Ἀγρίου δαίμονος ἐπιφορᾷ τις τῶν ἐκεῖσε πολιορκούμενος, φρενῶν ἔρημος ἐξαίφνης καθίσταται· καὶ τὰς οἰκείας καταξαίνων σάρκας ὡς ἀλλοτρίας, βαρὺς ἑκάστῳ τῶν προσιόντων ἐδείκνυτο. δεσμοῖς τοῦτον περιβαλόντες πλείονες, καὶ πέδαις ἀσφαλισάμενοι φρουρᾷ παρενέβαλον, φύλακας ἐπιστήσαντες· ἀλλὰ μιᾶς ἑσπέρας πρὸς Θεὸν ἱκεσία, τοῦ παραλυποῦντος ἀποδείξασα ἐλεύθερον, τῶν πεδῶν ἐκπεσόντων ἀθρόον τοῦ σώματος, πρὸς τὸ κυριακὸν σωφρόνως ἐπανιόντα παρέδει- C ξε τὸν πρὶν παραπλῆγα, καὶ πᾶσι δυσάντητον. χρεία τις ἐκάλει τὸν ὅσιον πορευθῆναι πρὸς τὸ πολίχνιον, καὶ δὴ πορευθέντος χειμὼν ἐπιπίπτει παράδοξος· κύμασί τε πολλοῖς ἐξογκώσας τὴν θάλατταν, καὶ ἄγριον ἀνεγείρας τὸν κλύδωνα, τὴν ἐπάνοδον ἀπετείχιζεν. ὁ δὲ τῇ συνήθει κρατυνόμενος πίστει, τῷ τὴν ἰδίαν ἐκπληροῦντι διακονίαν φησὶν, ἄγγειλον τῇ συνδούλῃ χαλάσαι τὸν κλύδωνα, καὶ τὰ νῶτα ἡμῖν ὑφαπλῶσαι γαλήνια, ἵνα τὴν οἴκαδε πορείαν ἠρέμα ποιήσωμαι· καὶ θᾶττον ἢ λόγος ἐπηκολούθει τὸ ἔργον, τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν ὡς ἐν πᾶσι κἀν τούτῳ δεικνύων ἐπαληθεύοντα, μείζονα ποιήσειν τοὺς οἰκείους θεράποντας τοῦ ἰδίου δεσπότου διατεινόμενον. πᾶσι δὲ τοῖς ἄλλοις D λαμπόμενος κατορθώμασι, τῆς τῶν πενήτων ἐπιμελείας πλείστην φροντίδα τῶν ἄλλων ἐτίθετο· φιλαδελφίᾳ δὲ πλεῖστα τῶν ἄλλων κοσμούμενος, τὸν ἐξ αὐτῆς φυόμενον ἔλεον διαφερόντως ἠσπάζετο. καὶ δὴ τοῖς προσιοῦσι χεῖρα ὀρέγων σωτήριον, μησὶ τέσσαρσι τὸν προσόντα τῇ μονῇ σῖτον, μηδὲ τοῖς οἴκοι δυνάμενον ἐπαρκεῖν, ἀφειδῶς ἐξεφόρει. τοῦ δὲ τὴν διακονίαν διέποντος ἐπὶ τούτῳ δυσχεραίνοντος, καὶ μηδὲ τοῖς οἴκοι δυνάμενον διαρκεῖν τοῦτον ἐπομνυμένου, πρᾳείᾳ φωνῇ τὸν σῖτον ἀριθμῆσαι διακελεύεται. ὁ δὲ τοῦτο διαπραξάμενος, εὗρεν ὡς πρὸ τῆς διαδόσεως, μηδενὸς μεδίμνου τὸ σύνολον ἐπιλείψαντος. ἀλλὰ γὰρ ῥᾷον κύματα θαλάττης ἐξαρι- E θμεῖν, ἢ κοτύλῃ πέλαγος ἐκμετρεῖν, ἢ τὰς ἐκείνου τῶν θαυμάτων νιφάδας ἐγκωμίων λόγοις περιλαβεῖν. διόπερ ἄλλοις ἄλλας ἐκφράζειν ἀφεὶς, ἐπὶ τὰ κυριώτερα τοῦ λόγου μετελεύσομαι.

Πᾶσι μὲν οὖν τὸ τῆς ἐκκλησίας λήϊον ἔθαλλε καλοῖς· δόγμασι μὲν ὀρθοδόξοις ὡς μάλιστα καταρδόμενον, ἀναλόγοις δὲ τούτοις πιαινόμενον πράξεσι. καὶ βασιλεῖς μὲν θεοφιλεῖς τρόποις, ἢ τῷ προσόντι τῆς βασιλείας ὄγκῳ μεγαλαυχούμενοι διεδείκνυντο. Ἀρχιερεὺς δὲ ὁ μέγας τῆς ὑψηλῆς ἐπειλημ-

μένος καθέδρας, τὰς τῆς ἀρετῆς λαμπηδόνας γῆν ἐπὶ πᾶσαν, ὅσην ἥλιος ἐφορᾷ, διεπύρσευεν· οἱ δ' ὑπ' αὐτὸν τελοῦντες ἀρχιερεῖς ἀμέμπτως τὴν οἰκείαν ἕκαστος ποίμνην οἱονεί τινα ὁλκάδα πρὸς γαληνίους λιμένας ἐπηδαλιούχει· οἱ δὲ τῶν σεμνείων προστάται, ὧν προστάτης ὑπῆρχε καὶ καθαρώτατος ἥλιος ὁ θαυμάσιος, τὴν εἰς οὐρανὸν φέρουσαν τοὺς ὑπ' αὐτοῖς ἐκδιδάσκοντες τρίβον, γυμνὸν κτημάτων ἐδείκνυον τὸν πρότερον κακῶς δυναστεύσαντα. ἀλλ' οὐκ ἠνέγκεν ὁρᾷν ὄφις ὁ βάσκανος τηλικούτοις ἐπανθεῖν τὴν ἐκκλησίαν καλοῖς, τὴν δὲ τῶν πολλῶν ἁμαρτίαν συνεργὸν προστησάμενος, συγχωρήσει θείᾳ τὸ ταύτης κάλλος ἐπιλυμήνασθαι διανίσταται. ἄνδρα γοῦν ἐπιζητῶν τῆς ἰδίας σκαιότητος ἁπάσης χωρητικὸν, ἐφευρίσκει πλέον ἢ ἐβούλετο· Λέοντα τὸν ἐξάγιστον, ὃς Ἀρμενίοις τε καὶ Ἀσσυρίοις ἐπαναφέρων τὸ γένος, τῶν μὲν ἐπλούτει τὸ ὕπουλον, καὶ κακόηθες, τῶν δὲ τὸ θηριῶδες εἰς ἅπαν ἐκμιμούμενος· μᾶλλον μὲν οὖν μακρῷ τῷ μέσῳ τούτους ὑπερβαλλόμενος, θηριωδίᾳ μὲν ἐξενίκα τὸ ὕπουλον, ὑπουλότητι δὲ τὸ θηριῶδες παρέτρεχεν· ἕτοιμος μὲν ψεύσασθαι, δεινὸς δ' ἐπιθεῖναι πίστιν τοῖς ἐψευσμένοις· ἀρετὴν ἡγούμενος τὴν ἀπάτην, καὶ ταύτῃ κατὰ τῶν οἰκειοτάτων χρώμενος. ὃς τῆς μειλιχίου, καὶ πολλὰ τιμησάσης κατεξαναστὰς βασιλείας, ἐξωθεῖ μὲν τῆς ἐκκλησίας τὸν παγκόσμιον καὶ ἄδυτον ἥλιον, συνεξωθεῖ δὲ τούτῳ τῶν ἀρχιερέων μικροῦ δεῖν τοὺς ἅπαντας· καὶ τὴν ἄνωθεν ἐξ Ἀποστόλων ταύτην παράδοσιν παρ' οὐδὲν ἡγησάμενος, ἐξορύττει μὲν Χριστοῦ τῆς θείας σαρκὸς τὸ ὁμοίωμα· συνεξορύττει δὲ τῆς τούτου μητρὸς, καὶ πάντων ἁγίων τὰ σεπτὰ εἰκονίσματα, καὶ τὴν ἐκκλησίαν ψηλαφητοῦ σκότους ἐμπίμπλησι, πολλῷ τοῦ παρ' Αἰγυπτίοις χαλεπωτέρου. ἐντεῦθεν τῇ ἐλληνικῇ βίᾳ τὴν προγονικὴν ἀναμίξας ἀπόνοιαν, ἐλάλει μὲν εἰς ὕψος ἀνομίαν τὸν παλαιὸν ἐκεῖνον Ῥαψάκην ὑπερβαλλόμενος· τὴν πόλιν δὲ Θεοῦ, τὴν ἐκκλησίαν φημὶ, πολλοῖς κατασείειν ἐπεχείρει τοῖς μηχανήμασι. πολιτεία μὲν οὖν εὐθὺς ἅπασα τῷ τῆς ἐκείνου βίας ἐναυάγει κλύδωνι, μηδ' ἀντισχεῖν ἐγχειρήσασα· οἱ δὲ τῷ ὕψει τῶν ἀρετῶν χειραγωγοῦντες τοὺς ἄλλους πρὸς τὰ οὐράνια, τοῖς τῆς πονηρίας ἐκείνου παρεσύρησαν κύμασι, εἰ καὶ μεταμελείᾳ τὴν ἧτταν ἀνεκαλέσαντο. οἱ δὲ τῶν ἐπὶ γῆς, καὶ ἑαυτῶν ἀφειδήσαντες, καὶ φρενῶν ἀγχινοίᾳ τὴν πονηρίαν ἐκνικήσαντες, οἱ μὲν λιμῷ προσεκαρτέρουν, οἱ δὲ μάστιξι ἀνηλεῶς ᾐκίζοντο· ἔθ' ὅτε καὶ νυκτὶ θαλάττῃ παραπεμπόμενοι.

Τότε δὴ τότε πρὸς πάλην καλεῖται καὶ ὁ θαυμάσιος, οὐ τυραννικῇ καὶ βιαίᾳ χειρὶ, ἀλλὰ θωπείαις τῶν ἐξ ἔθους δῆθεν ἐκμαλασσόμενος. κατ' ἐχθρῶν, φησὶν, ἐκστρατεία μοι πάρεστι, καὶ δέον ταῖς εὐχαῖς καθοπλισθέντα πρότερον, οὕτω συμμίξαι τοῖς πολεμίοις. ὁ δὲ τὸ τῶν τρόπων κακόηθες ἐπιστάμενος, νεφρῷ πολυχρονίῳ καὶ δυσουρίᾳ τρυχόμενος. ὄργανα γὰρ διὰ τοῦ φυσικοῦ ὑπονόμου τῇ κύστῃ παραπεμπόμενα, καὶ τοὺς ἐγκειμένους ἐν ταύτῃ διαθρύπτοντα λίθους, τοῖς ἐκτὸς παρεπέμποντο, τὴν ἔξοδον τῷ ὑγρῷ περιττώματι, ὡς δυνατὸν, ἀκώλυτον μηχανώμενοι. τούτοις οὖν τειχόμενος, καὶ κλινήρης διὰ βίου ὑπάρχων, ἀκατίῳ περαιωθεὶς πρὸς τὴν βασιλίδα πόλιν ἐγκαθορμίζεται. τοῦτο δὴ μαθὼν ὁ ἐξάγιστος,

A blimem cathedram consecutus, virtutis lumina per universum orbem terrarum accendebat. Qui autem sub eo erant Antistites, suos quique greges sine reprehensione tutos in portus perducebant. Monasteriorum denique Præsides, quibus tamquam sol nitidissimus, admirandus hic vir prælucebat, viam in cælum ducentem docentes discipulos, nudum opibus eum, qui male prius dominatus esset, religiosa abdicatione monstrabant. Sed invidus serpens Ecclesiam tam multis bonis florentem videre non poterat, exque plebis peccatis occasionem arripiens, ita permittente Deo, Ecclesiæ pulchritudinem pervertere aggressus est. B Verum cum propriæ perversitatis ministrum idoneum quæreret, aptiorem invenit, quam optabat: Leonem, inquam, scelestissimum hominem, qui ab Armeniis & Assyriis genus ducens, alterius gentis dolos ac morositatem, alterius feritatem numeris omnibus absoluta imitatione expresserat: imo vero longo eos intervallo superans, feritate dolos, dolis feritatem vincebat: ad mentiendum promptus, & ad persuadendum ea, quæ mentiebatur, aptissimus. Fraude, loco virtutis utebatur, eamque adversus conjunctissimos exercebat. Hic in blandum, ac qui multum ei honoris habuerat Imperatorem consurgens, ornatissimum ac qui numquam occidat Ecclesiæ solem ejicit, C ac cum illo omnes fere exturbat Antistites. Hanc itaque ab Apostolis per manus traditam institutionem spernens, divinæ carnis Christi imaginem exscindit; idemque in Matris ejus, ac Sanctorum venerandas imagines committit; ac Ecclesiæ graviores longe Ægyptiacis, densissimasque tenebras offundit. Hinc tyrannorum quos tulit Gentilitas violentiæ patrium altum admiscens, ac veterem illum Rapsacem superans, iniquitatem in sublime loquebatur; & civitatem Dei, quæ est Ecclesia, multis machinamentis dolisque concutere studebat. Statim itaque omnis respublica illius violentiæ procella naufragium facere, cum ne obniti quidem conaretur. Qui virtutum quo D præstabant merito reliquis ad cælestia duces erant, illius nequitiæ fluctibus secus agi, astuque decipi, tametsi pœnitentiæ remedio noxam resarcivere. Qui autem res terrenas, seque ipsos contemnentes mentis solertia scelus vicerant, qua fame conficiebantur, qua verberibus dire excruciabantur: nonnumquam etiam noctu conjiciebantur in mare.

Tunc igitur, tunc ad certamen vocatur etiam vir admirandus, non quidem manu tyrannica, & ut illata vi adducatur; sed ut tyranno consuetis blanditiis ac dolis ad iter inducatur. Adversus hostes, ajebat, belli mihi moles incumbit: sed antequam manus cum illis conferam, precum tuarum præsidio muniar necesse est. Theo- E phanes autem cognita hominis malitia, quamvis renum & urinæ difficultate laboraret (instrumentis enim per naturalem cuniculum in vesicam admissis, quæ lapides insitos commolirent, humidis excrementis exitum præbebat) ac cum maximis molestiis vexaretur, inque lectulo ægrotus assidue decumberet, scapha tamen ad urbem regiam trajecit. Quod cum scelestissimus ille intellexisset, sancti viri aspectum (ejus puto constantiam animo

Leo Armenus Iconomachus.

Exutus Imperio Michaele Nicephorus actus exilio.

Isai. 52. v. 2.

reputans) veritus, per unum aliquem maximæ inter illius domesticos fidei, hæc illi significat. Si venisti, ut mihi morem geras (morum enim qua præditus es lenitas, ut de te id sperem, facile suadet) scito tam multis te bonis fruiturum, quam multis eos frui par est, qui propriæ voluntati Imperatoris voluntatem, & consilium anteponunt: tumque Monasterio tuo omnis generis muneribus aucto, tum propinquis tuis maximis dignitatibus, favoreque regio condecoratis, primus apud me amicitiæ ac auctoritatis partes ipse consequeris. Sin, quod vix cogitare fas est, pervicaci animo tuo preces meas posthabueris, & consilium meum neglexeris, ac quæ tibi proponuntur, bona fueris aspernatus, invitus faciens, quæ volens, recusas, maximi tibi ipse dedecoris, ac calamitatis auctor existes.

Præclarum viri Dei ad impium Leonem responsum.

Ad hæc vir divinus, perspecta dictorum stultitia, auctoremque irridens, ita nuncio respondet. Ego nec pecuniis, nec possessionibus, aut ullis aliis vitæ hujus bonis indigeo. Quæ enim adolescens, cum iis frui possem, amore Christi inflammatus repudiavi, ea jam senex quomodo complectar, ac eum cujus desiderio teneor, contemnam? præsertim cum corpus morbis confectum sit, ut vitæ finis procul abesse non possit, & hæc inania esse constet. Quod autem ad Monasterium propinquosque pertinet, id Deo erit curæ, cui utrosque commendo: & quibus Deus melius, quam Imperatores & Principes, consulere potest. Quod si, quemadmodum pueros parum generosos Magistri scutica perterrefaciunt, ita tu me morbo & senectute confectum, minis territum iri speras, rogus accendatur, tormenta parentur, & omnia cruciatuum genera, eaque ejusmodi ut vim omnem propositi superent, artificiososque cunctos modos excedant; ut scias planissime, Christi virtutem in meis infirmitatibus perfici, Ego qui in terra gradi non valeo, valetudinis infirmitate superata, in rogum promptus insiliam.

Vincit præstigiatorem.

His auditis, turpissimus ille constantiam quidem animi fortis admiratus est; de victoria tamen spem non abjecit, hominis inter suos dolis strenuissimi fretus suadæ vi: is nempe magorum præstigiis, ac Sophistarum imposturis, Græcorumque auspiciis, atque jecinoris inspectionibus, quam disciplinis instructior erat; cumque miserum hominem in impietatis barathrum traxisset, apud eum valebat plurimum. Huic beatum tradit Theophanem, sperans illius verborum lenocinio omnino deceptum iri. Verum tamquam asinus ad lyram deprehensus est. Invictam itaque viri sancti dicendi libertatem vehementius admiratus, antequam congrederetur, se victum esse confessus est: nunciavitque Imperatori, eum præstantiorem esse, quam ut oratione, aut minis ullis superari posset: quin etiam si ibi diutius commoreretur, fore, ut aliorum animos in sententiam jamjam concessuros, a proposito absterreret. O mentem adamante firmiorem, & nullis eedentem machinis oppugnantibus veritatem! O amoris vim erga Creatorem incredibilem, quæ nullis vitæ tentationibus dissolvi potuit. Cæterum ab impugnatione non destitit homo tyrannica plenus crudelitate: sed virum sanctum in Eleu-

τοιάδε τούτῳ διά τινος τῶν οἰκειοτάτων δηλοῖ· εἰς ὄψιν ἡμῖν ἀγαγεῖν, τὸ στεῤῥὸν οἶμαι τοῦ ἀνδρὸς διατεθυμμένος, ἠρυθεία. εἰ μὲν πειθηνίως ἥκεις ταῖς ἐμαῖς ἱκεσίαις, χρηστὰς γὰρ ἡμῖν ἐλπίδας τὸ σὸν προσηνὲς ἐντίθησιν, ἴσθι τοσούτων καταπολαύων καλῶν, ὅσον εἰκὸς ἐπαπολαύειν τοὺς τῆς οἰκείας φιλονεικίας βασιλικῶν συμβουλιῶν καὶ παρακλήσειν ποιουμένους ἐπίπροσθεν· τῆς τε σῆς μονῆς παντοίοις ἐξαιρομένης χαρίσμασι, καὶ τῶν σῶν συγγενῶν τιμῆς μεγίστης, καὶ παῤῥησίας ἠξιωμένων, τὰ πρῶτα τῆς ἐμῆς φιλίας οἴσεις καὶ παῤῥησίας· εἰ δὲ ὃ μηδὲ λογίσασθαι θέμις, τὴν οἰκείαν ἔριν τῆς ἐμῆς ἱκεσίας προτιμησάμενος, ὑπερόπτης μὲν τῆς ἐμῆς συμβουλῆς, ὑπερόπτης δὲ τῶν προτεινομένων γένοιο καλῶν, ἄκων διαπραξάμενος ἅπερ ἑκὼν οὐ βούλῃ, σαυτῷ μεγίστης αἰσχύνης, καὶ δυσβουλείας ἔσῃ παραίτιος.

Ὁ δὲ θειότατος τὰς εὐηθείας τῶν λεγομένων ἐπιμειδιάσας τὸν εἰρηκότα, τοιοῖς δὲ λόγοις ἀμείβεται τὸν πεπομφότα. χρημάτων μὲν καὶ κτημάτων, καὶ ὅσα τῆς παρούσης ἐστὶ καλὰ βιοτῆς, οὐδενὸς ἐν χρείᾳ καθέστηκα· οὐ γὰρ νεάζων ἀποσεισάμην, δυνάμενος χρῆσθαι, τῷ Χριστοῦ κατατετρωμένος ἔρωτι, πῶς ἂν γηραιὸς ἐπ᾽ ἀθετήσει τοῦ ποθουμένου προσδέξομαι; καὶ ταῦτα τῶν ἐπικειμένων νοσημάτων τῷ σώματι ταχεῖαν μηνυόντων τὴν ἔξοδον, καὶ τὴν κτῆσιν τούτων ματαίαν ὑπεμφαινόντων· μονῆς δὲ, καὶ συγγενῶν Θεῷ μελήσει, ᾧ καὶ παρατίθημι τούτους, τῷ κρειττόνως ἐπικουρεῖν δυναμένῳ ἢ βασιλεῖς τε καὶ ἄρχοντες. εἰ δὲ νόσοις καὶ γήρατι θαῤῥυνόμενος, αἵ με νῦν συνέχουσι, μορμολύττειν ταῖς ἀπειλαῖς, καὶ δειματοῦν ἐθέλεις καθάπερ σκυτάλῃ τὰ ἀγεννῆ τῶν μειρακίων οἱ παιδευταί, ἁπτέσθω πυρά, ἐπιμαζέσθω στρεβλωτήρια, καὶ πρόθεσιν ἅπασαν ἐκνικῶντα, καὶ τρόπους μηχανημάτων παρατρέχοντα, ὅπως εἰδῇς ἐν ταῖς ἐμαῖς ἀσθενείαις τὴν τοῦ Χριστοῦ τελειουμένην σαφέστατα δύναμιν. αὐτὸς πρὸς τὴν πυρὰν ἐλθεῖν ἐπειχθήσομαι, ὁ γῆς ἐπιβαίνειν ὅλως οὐ δυνάμενος, τὴν ἐπικειμένην ἀσθένειαν ἐκνικήσας τῇ προθυμίᾳ.

Ταῦτα μαθὼν ὁ τρισάθλιος, κατεπλάγη μὲν οἷας τῆς γενναίου ψυχῆς τὸ παράστημα· οὐ μὴν ἀπέγνω τὴν νίκην, τῷ γενναιοτάτῳ τῶν παρ᾽ αὐτῷ θαῤῥῶν ἀθλητῶν, ὃς γοητικαῖς τῷ ὄντι καλλωπιζόμενος μαγγανείαις, καὶ σοφιστικαῖς δῆθεν ἐκαλλώπιστο τερατείαις, ταῖς Ἑλλήνων οἰωνοσκοπίαις, καὶ ταῖς δι᾽ ἥπατος μαντείαις ἐπὶ πλεῖον μεγαλαυχούμενος, ἢ τοῖς μαθήμασιν. οὗτος πρὸς τὸ τῆς ἀσεβείας ἑλκύσας τὸν δύστηνον βάραθρον, τὰ πρῶτα παρ᾽ αὐτῷ τῆς δυναστείας ἐκέκτητο. τούτῳ τὸν μακάριον ἐκδίδωσι, ἁλῶναι πάντως τῇ ἴυγγι τῶν τούτου λόγων οἰόμενος. ἀλλ᾽ ὄνος ᾄδων πρὸς λύραν ἡλίσκετο· καὶ τῇ ἀμάχῳ τοῦ ἀνδρὸς παῤῥησίᾳ τῶν λόγων καταπλαγείς, πρὸ συμπλοκῆς τὴν ἧτταν ἠσπάζετο, καὶ τῷ κρατοῦντι διήγγειλεν ὡς κρείττων παντὸς λόγου, καὶ ἀπειλῶν ὁ ἀνήρ, καὶ τοὺς ἤδη πεισθησομένους ἐπιμείνας τῷ τόπῳ ἀνακόψει τῆς ἐγχειρήσεως. ὢ γνώμης ἀδάμαντος στεῤῥοτέρας, καὶ ἀνυπείκτου πᾶσι τοῖς κατὰ τῆς ἀληθείας μηχανήμασιν. ὢ φίλτρου περὶ τὸν κτίστην ἀκόρεστον, ὑπὸ μηδενὸς τῶν τοῦ βίου πειρατηρίων διαλυόμενον. ἀλλ᾽ οὐδ᾽ ὡς ἀπέληγε μάχης ὁ τυραννικῆς ὠμότητος ἔμπλεως. τοῖς τῶν Ἑλλ-

Ἐλευθερίου δὲ ἀνακτόροις ἀσφαλεστάτῃ φρουρᾷ παραδίδωσι, φύλακας ἐπιστήσας, ὅπως μήτινα τῶν εἰς αἰδῶς τὰς φύσεως πρόσεισι παραμυθίαν ἐμποιῆσαι τῷ διὰ Χριστὸν κακουμένῳ· σῶμα μὲν οὖν λιμῷ πολυχρονίῳ τηκόμενον κατὰ μέρος πρὸς φθορὰν ἐπείγετο, καὶ αὐτὴν τὴν ὀξεῖαν τελευτὴν ζημιούμενον· νόσοι δὲ τοῖς τῶν ἰατρῶν ἐπικουρίας ἐλευθερίαν δραξάμεναι, ἀλγεινότερον ἐπεκώμαζον, κατὰ πολὺ τὰς ζωῆς ἰδιοποιοῦσαι τὴν τελευτήν. ἀλλ' ἡ ἀξίωσις τοῦ πρώτου τῶν ὀρεκτῶν τοῖς παμποθήτοις ἐντρυφῶσα κάλλεσι, τὰ τοῖς ἄλλοις μὴ δ' ἀκοῇ φορητὰ ῥᾷον ἔφερεν. ἔχαιρον ἄγγελοι τὴν μακροῖς χρόνοις τῶν βροτῶν δραπετεύσασαν καρτερίαν ὀφθαλμοῖς αὖθις ἐπανελθοῦσαν ἐπιδεῖν εὐτυχήσαντες· καὶ τῇ τούτου συνηδόμενοι κατ' ἐχθρῶν ἀριστείᾳ, τὸ ἐπινίκιον ἐπανηγύριζον. ἔφριττον δαίμονες, ὧν μηδ' ἀκοῇ φέρειν ἠνείχοντο τὰ ὀνόματα, καὶ ὧν προσεπολέμουν τοῖς εἰκονίσμασι, τούτους αὖθις αὐτοῖς ἐπανατέλλοντας πράγμασι θεᾶσθαι κακοδαιμονήσαντες, καὶ βασκανίᾳ διαπριόμενοι, τοὺς ἑαυτῶν ὑπηρέτας τῆς ἀσθενείας ἐκάκιζον. Χριστὸς δὲ, τοῖς πάντα λόγον νικῶσι τὸν οἰκεῖον ἀριστέα καταλαμπρύνων χαρίσμασι, τῷ νικητηρίῳ κατηγλάιζε στέφει.

Δυσὶ γοῦν ἔτεσι τῇ ἀτληποτάτῃ προσκαρτερήσας εἱρκτῇ, τῇ Σαμοθρᾴκῃ παραπέμπεται νήσῳ· ὃ καὶ νοερῷ προϊδὼν ὀφθαλμῷ, τῷ τὴν ὑπηρεσίαν πληροῦντι προήγγειλε· καὶ τρισὶν ἡμέραις πρὸς εἴκοσι τῇ νήσῳ προσβιοὺς, ὡς εὐώδης θυσία τῷ κοινῷ δεσπότῃ προσφέρεται, καὶ ταῖς ἐκείνου χερσὶ τὸ ἱερὸν καὶ πανάγνον ἐπαφεὶς πνεῦμα, πρὸς τὴν πάλαι ποθουμένην ἐπαναφέρεται κληρουχίαν. ἀλλ' οὐδὲ τὸ νικηφόρον τούτου σῶμα, καὶ τῇ ψυχῇ σύνδρομον ἐν πᾶσι καλοῖς, τῶν κατ' ἀξίαν γερῶν ἀπελείπετο. χερσὶ μὲν θεοφιλῶν ξυλίνῃ κατατίθεται λάρνακι, καὶ ταῖς πρεπούσαις, ὡς ὁ καιρὸς ἐδίδου γεραιρόμενον ὑμνῳδίαις, ἐξαισίοις δὲ χάρισι παρὰ Θεοῦ κλεϊζόμενον. λοιμοῦ γοῦν ἐπικειμένου τοῖς κατὰ τὴν νῆσον κτήνεσι, καὶ αἰφνιδίως τῷ θανάτῳ παραπέμποντος, ἄκρῳ τῇ λάρνακι ὕδωρ ἀπομυρίσαντες, οὐ γὰρ προσψαῦσαι τοῦ θείου κατετόλμησαν σώματος, καὶ τοῖς νοσοῦσιν ἐπιῤῥάναντες, ἐλεύθερα τῆς ἐπικειμένης αὐτοῖς ἀπέδειξαν λοίμης.

Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ δίκην δίδωσι μίαν ἀντὶ πολλῶν τῶν ἀδικημάτων ὁ τῆς Χριστοῦ ἐκκλησίας ἄγριος μονιὸς, ἐν ἱεροῖς τόποις, εἰς οὓς κακῶς ἐνύβρισεν, ἀσχημόνως καταστρέψας τὸν βίον· καὶ τῆς παχείας ὁμίχλης ἀπὸ μέρους ἐκκαθαρθείσης, ἀχλυώδης τις ἐλευθερίας ἐπανέτειλεν ἥλιος, λεπτοτάτοις ὑπολαμπόμενος νέφεσι· τότε δὴ τότε θαῤῥήσαντες οἱ τοῦ θαυμασίου φοιτηταὶ, λέμβῳ τῇ νήσῳ προσορμίζονται, καὶ τὸ ἀοίδιμον ἐκεῖνο καὶ λαμπροτάταις ἀποστίλβον ταῖς χάρισι σῶμα, σὺν τῇ λάρνακι κομισάμενοι ἐπανάγουσιν εἴς τόπον τινὰ, σημείοις ἀπέχοντα τῆς μονῆς δύο καὶ δέκα· ὄνομα τῷ τόπῳ φασὶν Ἱέρια....

Ἀλλ' ὁ δοξάζων τοὺς αὐτὸν δοξάζοντας Κύριος, τῆς μελλούσης δόξης τούτου φανερῶν τὴν κατάστασιν, τοὺς κατὰ πᾶσαν ἐκείνην οἰκοῦντας γῆν τῶν τούτου χαρίτων μετασχεῖν ἐνεποίησεν. ἤγοντο γοῦν οἱ νόσοις ἀνηκέστοις πεπεδημένοι, κύματα θαλάττης ἀπομιμούμενοι, τῶν τούτου καλῶν εὐμοιρῆσαι διασπουδάζοντες· καὶ δαιμονῶντες μὲν βίᾳ τῷ κράτει τῆς ἐξουσίας ἑλκόμε-

A therii palatio includi jubet, adhibitis custodibus, ne quis humanitate ductus, ei propter Christum patienti consolationem ullam afferret. Itaque corpus ejus diuturna fame confectum, paulatim tabescebat; ipsumque hoc detrimenti loco erat, quod non cita morte tolleretur. Morbi porro per Medicorum curæ absentiam grassandi nacti licentiam, gravius sæviebant, & vitam reddebant morte ipsa longe acerbiorem. At ipse, ejus qui desiderabilium primatum tenet desideratissimam pulchritudinem in deliciis habens, quæ nec auditu reliquis tolerabilia sunt, patienti ac æquo animo perferebat. Gaudebant Angeli, cum tolerantiæ vim, quæ longo tempore ab humanis exulaverat, postliminio reversam felici longe spectaculo cernerent: ac viri sancti præstanti adversus hostes virtute lætantes, victoriæ præconium illi concinebant. Horrebant dæmones, quod Sanctos, quorum vel nomina audire non poterant, & imagines oppugnabant, rursum ipsis factis florentes spectare cogerentur, misereque acti invidia satellites suos, ac ministros imbecillitatis arguebant. Christus denique muneribus omnem vim dicendi superantibus, pugilem suum decoratum, victoriæ corona donavit.

Includitur fame pedoreque cruciandus.

Duos igitur annos acerbissimo defunctus carcere, in Samothracem insulam deportatur: quod ipse mentis oculo prospiciens, ei, qui sibi ministrabat, prænunciaverat. Cumque tres supra viginti illic dies egisset, tamquam suavis hostia communi Domino oblatus est: illiusque manibus sacrum, ac sanctissimum spiritum suum tradens, ad hæreditatem olim desideratam contendit. Neque vero victoriæ insignibus clarum ejus corpus, ac quod animo gerenda omni virtute socium, comesque extiterat, meritis muneribus caruit, quanta in ipsum conferre licuit. Nam piorum virorum manibus in lignea arca compositum, & convenientibus cantibus, ut tempus ferebat elatum, admirandis gratiis a Deo fuit illustratum. Cum enim lues in insulæ pecora desæviret, adeo ut mortua repente conciderent, aqua extremis illius arcæ oris delibuta, (neque enim corpus ausi erant contingere) pecora peste laborantia conspergebant, & periculo liberabant.

Moritur.

Haud multo post immitis ille Ecclesiæ Christi aper, multorum reatum scelerum uno supplicio luit; inque sacris locis, lo quæ nequiter debacchatus fuerat, turpiter vitam amisit. Quare, densa caligine paulisper disjecta, obscurus quidam libertatis sol, tenuissimis nubibus sublucens emersit. Tunc igitur sancti viri discipuli assumpta fiducia in insulam navigio advecti, præclarum illud, & splendidissimis gratiis effulgens corpus cum arca sublatum, in locum quemdam Hieria dictum asportant, duodecim stadiorum intervallo a Monasterio dissitum, inque templo S. Martyris Procopii deponunt.

Leo in templo cæsus.

Hic ille, qui eos, a quibus honoratur, honoribus afficit, ut futuræ gloriæ Sancti sui statum declararet, incolas omnes illius regionis munerum ipsius fecit esse participes. Confluebant enim, undarum instar qui morbis gravissimis, nec ullam curationem admittentibus laborantes, illius impertiri bonis satagebant; ac quidem a dæmonibus vexati, invitis, ac do-

Sancti miracula.

lorem suum clamore nimio gemituq; testantibus, cum adhibita vi huc pertraherentur, solo arcæ contactu, sive etiam aqua arcæ attactu deluta ab spirituum nequam vexatione soluti, Deo, qui per illum sanos effecisset, quas par erat gratias agentes, domum revertebantur. Qui autem clam ex peste laborabant, eadem se necessitate prodentibus dæmonibus, athletæque jussu diffugientibus, ab iis liberi reddebantur. Paralytici, qui vix in lectulis suis gestari poterant, Sancti virtute corroboratis membris, lectulos humeris reportantes, ad sua redibant. Cæci, qui omni corporis actione destituti aliorum manibus ducebantur, verosque duces lumina requirentes venerant, voti eompotes facti sine labore ita redibant, ut alienæ manus opera nulla desideraretur. Claudi, membra corporis, quibus gradi insuetum est, humi fœde trahentes, aut alienas manus ad iter mutuantes, caprearum in morem rectis tibiis saliendo discedebant. Qui aurium, aut linguæ munere fungi non poterant, miro novoque eventu aliorum fabulantium sermones audientes, pari cum eis voce gratias agebant. Fœminæ, quæ perpetuo fluxu sanguinis laborantes, insiti caloris discessu emortuo pene corpore fuerant, non Domini fimbriæ, sed servi arcæ contactu, mirabiliter exsiccato fluxu, grati probique animi monumento gratiarum actionis fontes promebant. Chirographum flagitiosis actionibus plenum, cum obsignatum arcæ admotum esset, sic omnes mundum aspexerunt, ac si nihil umquam in eo fuisset scriptum; cunctique Apostolicam potestatem ex hujus arca manantem suspexerunt. Verum, quis ea, quæ tunc ab ipso gesta sunt, singulatim valeat enarrare, cum ne genere quidem numerari facile queant? Quisve etiam, quamvis illi linguæ sint decem, oraque decem scriptis consignare?

Integrum igitur annum in templo illustris Christi Martyris Procopii commorati, ne supplices divino viri munere prohiberent, vix tandem aliquando iter ad ejus Monasterium recta contenderunt, cum ordine quadruplici circa feretrum ipsius constitissent. Medio enim inter Patres loco constituti viri nobiles in humeros sublatum, velut arcam quamdam gestabant; in qua non urna erat ingrati populi cibum conservans, non lapideæ tabulæ, non virga Aaron ..... qui virtutem omni reprehensione superiorem ostenderat, innataque tranquillitate invidiæ aculeos obtuderat; qui charitatis insigniis eximie claruerat; qui fide, cui nihil ambiguum est, in primis præstiterat, inque ea adversariorum munitiones everterat; qui spe Christi firmissima velut thorace munitus atque protectus, hostium tela prorsus inania stultaque ostenderat; qui donorum Spiritus fluvius erat; qui pectus omne quibus affluebat gratiis, exhilararet; in Ecclesiæ firmamento sol occasum nesciens, semperque lucidus esset: qui hæreticorum oculos doctrinæ splendore perstrinxerat, piorumque animos ad fidem inculpatam direxerat.

Transfertur ad suum Monasterium.

Hebr. 9.

Deest unum folium: nec minus in Lipomano, etsi illius interpres velut nulla esset lacuna cuncta connectit.

O ægrotantium medice! o peccatorum propitiatio, largire mihi celerem mearum ægritudinum curationem: ut recuperata sanitate, rursum ad te sup-

τοι, ὀλολυγμοῖς γὰρ καὶ φωναῖς ἐξαισίοις τοῦτο διεσήμαινον, τῇ θίξει μόνῃ τῆς θήκης, εἰ καὶ ἐπιμυξίσματι, τῶν ἐνοχλούντων ἀπολυόμενοι τῷ σεσωκότι δι' αὐτοῦ Θεῷ τὴν προσήκουσαν ἀναφέροντες εὐχαριστίαν ἐπανήεσαν. οἱ δὲ κρυφίως τοῖς ἐκείνου λοίμοις μετειληφότες, ταῖς αὐταῖς κατανάγκαις εἰς τὸ ἐμφανὲς ἀγομένων, τῶν ἐνοχλούντων ἐπιταγῇ τοῦ ἀθλητοῦ δραπετευόντων, ἐλευθερούμενοι διεδείκνυντο. παράλυτοι ταῖς κλίναις μόλις ἐπιφερόμενοι, τῷ τούτου σθένει τὰ μέλη σφιγγόμενοι, τοῖς ὤμοις ταύτας ἀναφέροντες σὺν εὐφημίαις ἀπῄεσαν. τυφλοὶ, τῇ παντελεῖ τοῦ σώματος * ἀπραξίᾳ πεδούμενοι, ὑφ' ἑτέρων χειραγωγούμενοι, τὸν ὄντως χειραγωγὸν ἐπιζητοῦντες ὀφθαλμὸν ἐπήρχοντο, καὶ τὸ ποθούμενον ἀμόχθως εὑρίσκοντες ἐπανήρχοντο, τοῦ χειραγωγεῖσθαι μετὰ τῆς νόσου δραπετεύσαντες. χωλοὶ τὰ μέλη τοῦ σώματος, ἃ τῇ γῇ προσβαίνειν οὐκ εἰώθεν ἐπ' ἐδάφους καθυβρίζοντες, οἱ τὰς ἑτέρων χεῖρας δανειζόμενοι πρὸς τὴν ἔλασιν, δορκάδος δίκην ἀλλόμενοι ποσὶν ἀρτίοις ἐποιοῦντο τὴν ἀναχώρησιν. ἀκοῆς δὲ, καὶ τοῦ λέγειν ἕτεροι καταδικασθέντες τὴν στέρησιν, τῆς ἑτέρων ὁμιλίας παραδόξως ἐπακούοντες, ὁμόφωνον τὴν εὐχαριστίαν ἐνήργουν. αἱμορροοῦντα γύναια τῇ διηνεκεῖ χύσει τοῦ αἵματος τοῦ ἐμφύτου θερμοῦ τῇ ἀποχωρήσει πρὸς νέκρωσιν ἀπαγόμενα, οὐ κρασπέδου δεσποτικοῦ, δούλου δὲ θήκης ἐφαπτόμενα, παραδόξως ἀναξηρανθείσης τῆς ῥύσεως, πηγὰς εὐχαριστίας ἐγνωσμένως ἀνέβλυζον. χειρόγραφον μεστὸν μοχθηρῶν πράξεων ἐσφραγισμένον τῇ θήκῃ προσανατεθὲν, ὡς μηδὲ πώποτε γραφὲν τοῖς πᾶσιν ἐγνωρίζετο, καὶ τὴν ἀποστολικὴν ἐξουσίαν ἐθαύμαζον τῆς τούτου θήκης ἀναβλύζουσαν. ἀλλὰ τίς ἂν λόγος τῶν τότε πραχθέντων τούτων τὸ πλῆθος κατὰ μέρος ἐξειπεῖν δυνήσεται, ὅπουγε καὶ κατ' εἶδος οὐκ εὐχερές. ποῖος δὲ γραφῇ παραδοῦναι, κἂν εἰ δέκα στομάτων, καὶ γλωσσῶν εὐμοιρήσειεν.

* malim ἀορασίᾳ.

Ὅλον γοῦν ἐνιαυτὸν τῷ ναῷ τοῦ καλλινίκου Προκοπίου προσκαρτερήσαντες, τοῦ μὴ τὴν θεόβρυτον χάριν τοῦ μάκαρος ἀναστεῖλαι τῶν δεομένων, ὀψὲ καὶ μόλις τὴν εὐθὺ τῆς ἐκείνου μονῆς τρίβον ᾔεσαν, τετραμερῶς σφᾶς αὐτοὺς περὶ τὴν θήκην ἐντάξαντες. μέσσον γὰρ τῶν πατέρων οἱ πρόκριτοι ὤμοισιν ἄραντες, οἷά τινα κιβωτὸν ἐκόμιζον, οὐ στάμνον ἔχουσαν ἔνδον ἀγνωμόνων τροφῆς φυλακτήριον, καὶ πλάκας λιθίνας, καὶ τὴν ῥάβδον....μων. τοῦ σώματος· ὁ μόνος δείξας ἀρετὴν ἀνωτέραν μώμου παντὸς, ἀμβλύνας τε φθόνου κέντρα τῇ φυσικῇ γαληνότητι· ὁ θεσμοῖς ἀγάπης ἐξόχως λαμπόμενος· ὁ πίστει μηδὲν ἀμφίβολον κεκτημένῃ μόνος φραξάμενος, καὶ τὰ τῶν ἐναντίων ἐν ταύτῃ καταβαλὼν ὀχυρώματα· ὁ ἐλπίδι Χριστοῦ τῇ ἐρραγεστάτῃ διὰ βίου θωρακισάμενος, καὶ τὰ τῶν πολεμίων δι' αὐτῆς βέλη κοῦφα πᾶσιν ἐναποδείξας, καὶ μάταια· ὁ ποταμὸς τῶν χαρισμάτων τοῦ πνεύματος· ὁ πάσας καρδίας ἱλαρύνων ταῖς χάρισι· ὁ τοῦ τῆς ἐκκλησίας στερεώματος ἄδυτος ἥλιος· ὁ κόρας μὲν αἱρεσιωτῶν ἀμβλύνας τῇ τῶν δογμάτων λαμπρότητι, ψυχὰς δὲ θεοφιλῶν χειραγωγήσας πρὸς πίστιν ἀμώμητον.

Τὸ τῶν ἀσθενῶν ἰατρεῖον, τῶν πταιόντων τὸ ἱλαστήριον, δίδου μοι τῶν ἐπικειμένων νοσημάτων ἐλευθερίαν τάχιστα, ἵνα ῥᾷστα φανῶ πάλιν ἱκέτης εὐχάριστος· δίδου μοι τῶν ὁσημέραι προσγινομένων πτ-

εἰσάσειν ἀπολύτρωσιν, ἵνα ταῖς καλλίσαις τῶν πράξεων ἐνδαπανήσας τὸ δύνασθαι, δημιουργὸν ἐπιγράψω τῶν κατορθωμάτων σαφέστατα. ἁμαρτιῶν ἀγνοίας, καὶ νεότητος παρὰ Θεοῦ τῶν ἐμῶν ἀποκοπὰς αἰτησάμενος, ὡς πρὶν ἐκείνου τοῦ τῇ σῇ θήκῃ τὸν χάρτην ἀναθεμένου, λαμπρὸν προστάτην τοῦ φοβεροῦ βήματος ἐναπόδειξον. τοῦ καθ' ἡμῶν κακίστου φθόνου τὰ κέντρα παραδόξως ἀμβλύνας, ἀνωτέρους τῆς τῶν βασκαίνων διατήρησον λοίμης· ὅν ἀπρόσκοπον διὰ σοῦ τὴν τῆς σωτηρίας διανύοντες τρίβον, τὸ ἐπινίκιον τῆς σῆς σεπτῆς ἀριστείας σὺν εὐθυμίᾳ πανηγυρίζωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ, ᾧ ἡ δόξα καὶ τὸ κράτος καί.

A plex accedam, gratique animi testimonium afferam. Libera me x periculis, quæ quotidie imminent, ut cum pulcherrimis factis pro virili mea incubuero, illorum te auctorem perspicue agnoscam. Ignorantiæ, ac juventutis delicta mea divina aboleri clementia exorans, uti quondam illius, qui tuo chartam imposuit loculo, præclarum te mihi patronum ante Judicis tremendum tribunal ostendito. Pessimæ contra nos incitatæ invidiæ tela mira dexteritate detuodens, ab invidorum peste tutos integrosque conserva; ut sine offensione præsidio tuo salutis semitam conficientes, venerandi tui certaminis trophæa lætis animis celebremus; in Christo Jesu Domino nostro: cui gloria & imperium jo sæcula sæculorum.

Τῷ αὐτῷ μηνὶ ιβ΄. τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ τῆς Σιγγριανῆς.

Mensis Martis die 12. Sancti Patris nostri Theophanis Confessoris Singrianæ Monachi.

Ad Vesperas Versiculus. Tonus A obliquus 4.

O novum miraculum.

DIVINO sensu prædite Pater Theophanes, a Christi nomen fortitus apparitione, ejus vivifica pressisti vestigia, ac sæculi reliquisti oblectamenta, in desideratam tibi pulchritudinem animo intendens, o vir optime, divinaque in eam propensione Deitatem præclare, ac perfectissime induens.

Similis.

Divino sensu prædite Pater Theophanes, molesta exilia cum imbecillo esses B corpore fortiter sustinuisti, oblitus corpori parcere ob venerandas Imagines, vir clarissime; exilio relegatus, velut qui leoninæ feritatis viro insultares, consilia fatua ostendisti, vereque stultas cogitationes, ac mentem nequissimam.

Similis.

Vere laborum, quos posuisti, præmia bonorum tibi dator uberrime donavit, vim præbens fugandi dæmones, morbosque curandi, o ter beate. Accessit & gaudium nullis verbis explicabile, ubi Angelorum agmina choros ducunt, ipseque semper Omnipotentis vultum contemplaris.

C

Canon in S. laudem, cujus initiales stroph. litteræ e Græco hunc sensum reddunt.
Theophanes Theophanem modulis canit.

Ode 1. Tonus 4.

Maris rubrum pelagus.

Dei qui in carne apparuit vestigia secutus es, Pater pietatis luce illustris; ut inde congruam vere nominis appellationem feliciter consecutus sis, pro eo ac providentia præfinitum erat.

Dulcissimo Domini tui amore delinitus es, ut sæculi amorem contemneres: porro autem gratia imbutus, mundi dulcia nihili fecisti, perquambeatissi- D me.

Ferali modo irruens Leo tyrannus electos persecutus est, non ferens videre Christi imaginem venerationem habere: cum quibus te quoque, o Theophanes, damnavit exilio.

Ode 3. Tractus.

Non in sapientia.

Divina plenus luce Theophanes apparuisti, charitatis vi desiderato cohærens, o beate: eam ob rem gloriosam tuam memoriam veneramur.

Εἰς τὸ, Κύριε ἐκέκραξα, στίχηρον. ἦχος πλαγ. δ΄.

Ω τοῦ παραδόξου θαύματος.

ΠΑΤΕΡ θεόφρον Θεόφανες, θεοφανείας Χριστοῦ κεκλημένος ἐπώνυμος, ζωηφόροις ἴχνεσι τοῖς αὐτοῦ ἠκολούθησας, καὶ τὰ τερπνὰ τοῦ βίου κατέλιπες, ἐνατενίζων τῷ ποθουμένῳ σοι κάλλει, πανάριστε· ἐν ταῖς θείαις νεύσεσι ταῖς πρὸς αὐτὸν ἄριστα θεούμενος, καὶ τελειώτατα.

Ομοιον.

Πάτερ θεόφρον Θεόφανες ὑπερορίας πικρὰς ἀσθενῶς ἐξωρισμένος καρτερῶς ὑπήνεγκας, ἀφειδήσας τοῦ σώματος ὑπὲρ σεπτῶν εἰκόνων, πανεύφημε· θυμῷ λεόντων ἐξορισζόμενος, ὡς κατορχούμενος τὰς βουλὰς ἐμώρανας, καὶ λογισμοὺς ὄντως ματαιόφρονας, καὶ νοῦν ἀλάστορα.

Ομοιον.

Οντως ἀμοιβὰς τῶν πόνων σου τῶν ἀγαθῶν ὁ δοτὴρ δαψιλῶς σοι δεδώρηται, ἀπελαύνειν δαίμονας, θεραπεύειν νοσήματα, παρεσχηκὼς, τρισμάκαρ, τὴν δύναμιν· κατηξιώθης καὶ τῆς ἀφράστου χαρᾶς ἔνθα χορεύουσι τῶν ἀγγέλων τάγματα, διὰ παντὸς πρόσωπον θεώμενος τοῦ παντοκράτορος.

Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς. Θεοφάνης μέλπει τὸν Θεοφάνην.

Ωιδ. α΄. ἦχ. δ΄.

Θαλάσσης τὸ Ερυθραῖον πέλαγος.

Θεοῦ τοῦ σαρκὶ φανέντος ἴχνεσιν ἐπηκολούθησας, ἐν εὐσεβείᾳ πάτερ πυρσωθεὶς, ὡς ἐντεῦθεν τὴν κλῆσιν πλουτεῖν τὴν ἀληθῶς φερώνυμον, ὡς τῇ προνοίᾳ προτετύπωτο.

Εθέλχθης ποθεινοτάτῳ ἔρωτι τῷ τοῦ δεσπότου σου καταφρονῆσαι πόθου κοσμικοῦ· συγκραθεὶς δὲ τῇ χάριτι βιοτικὴν τερπνότητα οὐδὲν ἡγήσω, παμμακάριστε.

Ορμήσας θηριωδῶς ἐδίωξε Λέων ὁ τύραννος τοὺς ἐκλεκτοὺς, μὴ φέρων ὁρᾷν τιμωμένην εἰκόνα Χριστοῦ. μεθ' ὧν καί σε, Θεόφανες, ὑπερορίᾳ κατεδίκασεν.

Ωιδ. γ΄. Ο εἱρμος.

Οὐκ ἐν σοφίᾳ.

Φωτὸς τοῦ θείου πεπλησμένος ὠράθης Θεόφανες, δι' ἀγάπης συγκραθεὶς τῷ ποθουμένῳ μακάριε· διό σου τὴν ἔνδοξον μνήμην γεραίρομεν.

Ἀπαγορεύσας τὰ δυσσεβῆ τοῦ Λέοντος δόγματα, τοὺς θεσμοὺς πανευσεβῶς τῆς ἐκκλησίας ἐκράτυνας· διό σε τοῖς θαύμασι Χριστὸς ἐδόξασε.

Νευρουμένη τῆς ἐλπίδος καὶ πίστεως ὅσιε, τῆς σαρκὸς τὸ ἀσθενὲς ψυχὴ στερρότητι ῥώννυσι, Θεῷ οἰκειώσασα σῶμα ὁμόδουλον.

Κάθισμα. ἦχ. γ'.

Θείας πίστεως.

Ζῆλον ἔνθεον προσκεκτημένος, δόγμα ἄθεον ἀπεβδελύξω, καὶ κινδύνοις πολυτρόποις ὡμίλησας, ὑπερορίαις ἀδίκως στελλόμενος, καὶ εὐσεβῶς παμμάκαρ τελειούμενος. πάτερ Θεόφανες Χριστὸν τὸν Θεὸν ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὠιδ. δ'.

Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία.

Ἡ οὐράνιος ἡτοίμασται βασιλεία ὡς ἀθλητῇ σοι ἔνδοξε. τῆς γὰρ ἐπιγείου χαίρων μετετέθης σκηνῆς, βοῶν τῷ δεσπότῃ σου· δόξα τῇ δυνάμει σου, Κύριε.

Στεφανηφόρος Θεόφανες ἀνεδείχθης. τὸ γὰρ σεπτὸν εἰκόνισμα Χριστοῦ, θεοφόρε μάκαρ, οὐκ ἠρνήσω τιμᾶν· διὸ καὶ ἀνέκραζες, δόξα τῇ δυνάμει σου, Κύριε.

Μεθιστάμενος προστάγματι τοῦ τυράννου τοῦ δυσσεβοῦς ὁ ὅσιος, σαρκὸς ἀσθενείας ὅλως οὐκ ἐφρόντισε, κραυγάζων τῷ κτίσαντι, δόξα τῇ δυνάμει σου, Κύριε.

Ἐμεγαλύνθης τοῖς θαύμασι, θεοφόρε. ὁ γὰρ Θεὸς ἠμείψατό σε τῆς καρτερίας· ὅθεν, καὶ ἰάματα πηγάζεις τοῖς χρήζουσιν ὥσπερ ἐκ πηγῆς, ἱερώτατε.

Ὠιδ. ε'.

Σὺ Κύριέ μου φῶς.

Λόγῳ πανευσεβεῖ ὀρθοδόξως ἐκήρυξεν ὁ ὅσιος Θεοφάνης τὸ τῆς πίστεως δόγμα, τῷ πνεύματι λαμπόμενος.

Πλοῦτον παντοδαπῆ θεοφρόνως, διένειμας, προστάγματι τοῦ δεσπότου, τοῖς πενίᾳ συζῶσιν, ἑπόμενος πανεύφημε.

Ἔχων σου τὴν ψυχὴν κατ' εἰκόνα τοῦ κτίσαντος, τὴν ἄχραντον τοῦ δεσπότου προσεκύνεις εἰκόνα, τῷ πόθῳ ἀσπαζόμενος.

Ὠιδ. ϛ'.

Θύσω σοι μετὰ φωνῆς αἰνέσεως, Κύριε.

Ἴθυνον πρὸς ἀρετὴν τὸν βίον μου, ὅσιε· τὴν τῆς ἀσκήσεως τρίβον ταῖς εὐχαῖς σου, πάτερ, ἐξομαλίσας, ἣν συντόνως εὐθυπορεῖν με μάκαρ ἀξίωσον.

Σωφρόνως σὺ τὴν ζωὴν διήνυσας ὅσιε· μετὰ φρονήσεως ἔχεις σὺν ἀνδρείᾳ γὰρ τὴν δικαιοσύνην, καὶ τῷ κύκλῳ τῶν ἀρετῶν ἐφάνης κοσμούμενος.

Εὐκλείας μαρτυρικῆς ἐπέβης Θεόφανες, τῆς θεομήτορος κόρης καὶ μαρτύρων, πάτερ, τοὺς χαρακτῆρας ὡς τιμήσας, καὶ τοῖς διώκταις ἀντιταττόμενος.

A Impia Leonis dogmata tibi interdicens, pie admodum confirmasti Ecclesiæ leges; quamobrem te Christus clarum miraculis effecit.

Roboratus, vir sancte, animus spei, atque fidei firmitate, carnis imbecillitatem roborat; utique conservum corpus Deo concilians.

Sessio. Tonus 3.

Divina fide.

Divina præditus æmulatione; impium dogma detestatus es, multisque ac variis B periculis es defunctus, injuste deportatus exilio, pieque, o beatissime, consummatus. Pater Theophanes Christo Deo supplica, ut magna nos misericordia donet.

Ode 4.

Sublimem elatum videns te Ecclesia;

Cælorum tibi regnum, vir sancte, paratum est tamquam athletæ: terreno enim tabernaculo gaudens translatus es clamans Domino, gloria potentiæ tuæ, Domine.

Triumphator Theophanes effectus es. Venerandam quippe Christi effigiem non C abnuisti colere, Deo afflate vir beate: idcirco etiam clamabas, Gloria potentiæ tuæ, Domine.

Exilio ejectus vir sanctus impii tyranni decreto, imbecillæ carnis nullam prorsus rationem habuit, clamans auctori, Gloria potentiæ tuæ, Domine.

Magnificis effulsisti miraculis, vir Deo plene: Deus namque vicem reddidit sustinentiæ; quamobrem etiam velut e fonte sanationum remedia egentibus fundis, vir sacratissime.

Ode 5.

D Tu Domine meum lumen.

Piissima doctrina orthodoxæ fidei doctrinam prædicavit sanctus Theophanes, Spiritus luce illustratus.

Uberes divitias divino sensu egenis distribuisti, Domini præcepto obsecutus, vir clarissime.

Qui ad auctoris imaginem animo conditus esses, intemeratam Domini venerabaris imaginem, desiderio exosculans.

Ode 6.

Sacrificabo tibi cum voce laudis, Domine.

E Dirige ad virtutem vitam meam, vir sancte, religiosæ institutionis semitam tuis, Pater, precibus complanans; quam roga, vir beate, ut recto tramite concite, ac contente percurram.

Sobrie casteque vitam peregisti, vir sancte: quippe cum prudentia, fortitudine, ac justitia præditus fuisti, virtutumque choro ornatus eluxisti.

Martyris claritatem Theophanes adeptus es, velut qui Dei parentis puellæ, Martyrumque imagines, o Pater, veneratus sis, ac persecutoribus resisteres.

A

Contacium. Tonus 2.

Superna quærens.

Divina e celso revelatione accepta, e mediis turbis festinus excessisti, Monachique amplexus institutum, vir sancte, operationis ac prophetiæ munus accepisti, uxore carens, atque divitiis.

Κοντάκιον. ἦχος β΄.

Τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους λαβὼν τὴν θείαν ἀποκάλυψιν, ἐξῆλθες σπουδῇ ἐκ μέσου τοῦ θορύβου, καὶ μονάσας, ὅσιε, εἴληφας ἐνεργείας καὶ προφητείας ἀξίωμα, συμβίου καὶ πλούτου στερούμενος.

Domus.

Cum in terra nihil cuperes, vocantem Christum gaudens secutus es, ejusque jugum in humeros tuos alacri animo sustulisti, ac requiem animæ tuæ invenisti. Hanc mihi quoque pauperi, segnique mitte, qui dicam, nec prorsus efficiam, sed vacem adhuc sæculi curis; mirerque, ut cuncta effugeris, conjuge carens, atque divitiis.

B

Ὁ οἶκος.

Ἐπὶ τῆς γῆς μηδὲν προθυμήσας, ἠκολούθησας χαίρων, τῷ καλοῦντί σε Χριστῷ, καὶ τὸν ζυγὸν αὐτοῦ ἔλαβες ἐπὶ τὸν ὦμον τὸν σὸν προθύμως, καὶ ἀνάπαυσιν εὗρες τῇ ψυχῇ σου. ἣν περ κἀμοὶ τῷ πτωχῷ καὶ ῥαθύμῳ κατάπεμψον, τῷ λέγοντι, καὶ μηδόλως ἐκποιοῦντι, ἀλλ᾽ ἔτι σχολάζοντι ἐν τοῖς τοῦ βίου πράγμασι, καὶ θαυμάζοντι πῶς πάντα ἔφυγες, συμβίου καὶ πλούτου στερούμενος.

Memoria sancti Patris nostri Theophanis Confessoris Singrianæ Monachi, qui in Magno agro quiescit.

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ, τοῦ τῆς Σιγγειάνης, τοῦ ἐν τῷ Μεγάλῳ ἀγρῷ κειμένου.

Hic Isaacio patre natus est, matre autem Theodota. Patre mortuo, dum Ægæopelagitarum Præfecturam gerit, sua matris cura instituitur, ac educatur. Annorum factus duodecim, fœminæ desponsæ junctus, cum ea annis octo vitam socialem agit. Erant ambo opibus locupletissimi. Porro famuli cujusdam domestici consiliis inductus, ingenti desiderio tenebatur amplectendi status monastici. Matre vivis exempta, immensisque filio relictis divitiis, cogebat socer ut nuptiarum legitima impleret, uxoremque filiam duceret. Ac vero cum constituta dies advenisset, ponitur thalamus, Hymenæus occinitur, reliquaque nuptiarum solemnia peraguntur. Urgebat tempus, jamque vir beatus cum conjuge thalami secreta erat petiturus. Tum illo animi arcanum detegente, puella lubens assentitur, certoque affirmat, si quid ille velit, se quoque prompte facturam. His juvenis auditis, Deo gratias agit: exindeque ambo diu noctuque precibus assidui erant. Re cognita, Leo impius Imperator, ac viri socer, a proposito adolescentes prohibuerunt. Misit namque Imperator Cyzicum, eam in urbem suam operam collaturum: jam enim tum exstruebatur. Abiens vero præclatus juvenis, suis ipse sumptibus, quod Imperatoris jussu urbi præstandum erat, effecit. Ætatis porro illius anno vigesimo primo, cum Leo Imperator, tum viri socer vitam commutant, deincepsque nedum juvenis, sed & orbis ipse liber agit, Irene Augusta sceptra postmodum moderante. Cum itaque ex voto cuncta successissent, egenis ac pauperibus substantiam distribuit, servosque libertate donavit. Nobilissimæ autem conjugi elargitus multas pecunias, in Principis ita dicto Monasterio detondit, Megalus nomine in Irenem illi commutato. Is vero se Domino munus consecrat in Monasterio, quod in Singrianorum monte situm Polychronii nuncupationem habet. Factus Monachus, præesse nullo modo sustinuit, sed in cellula sedens, manuum la-

C

D

E

Οὗτος, πατρὸς μὲν ἔφυ Ἰσαάκ, μητρὸς δὲ Θεοδότης. τοῦ δὲ πατρὸς τελευτήσαντος ἐν τῇ ὑπ᾽ αὐτοῦ διεπομένῃ τῶν Αἰγαιοπελαγιτῶν ἀρχῇ, ἦν παρὰ τῇ μητρὶ ἀναγόμενος καὶ τρεφόμενος. γενομένου δὲ αὐτοῦ δωδεκαετοῦς, ἁρμόζεται γυναικί, καὶ αὐτῇ συνδιάγει ἦν χρόνους η΄. πλοῦτος δὲ ἦν ἀμφοτέροις πολύς. συμβούλῳ δέ τινι χρησάμενος ἰδίῳ οἰκέτῃ, πόθον εἶχε πολὺν τὸν τῶν μοναστῶν ὑπελθεῖν βίον. τῆς δὲ μητρὸς τὸν βίον ἀπολιπούσης, καὶ πλοῦτον ἄπειρον αὐτῷ καταλελοιπυίας, ὁ κηδεστὴς αὐτοῦ πληρῶσαι τὰ τῷ γάμῳ νενομισμένα τοῦτον ἐξεβιάζετο. καὶ δὴ τῆς κυρίας ἡμέρας καταλαβούσης, καὶ παστὰς ἐπήγνυτο, καὶ ὑμέναιος ᾔδετο, καὶ τὰ λοιπὰ ἐτελεῖτο. ἐπεὶ δὲ ὁ καιρὸς αὐτὸν τὸν μακάριον, καὶ τὴν σύνευνον καταμόνας γενέσθαι ἐκάλει, τὰ τῶν λογισμῶν αὐτοῦ κρύφια ἐφανέρου τῇ νεάνιδι, ἣ τις καὶ συγκατέθετο· καὶ εἴ τι δ᾽ αὖ καὶ βούληται αὐτὸς πράττειν, καὶ αὐτὴ τοῦτο μετὰ προθυμίας διεβεβαιοῦτο ποιεῖν. ὅπερ ἀκούσας, ηὐχαρίστησε τῷ Θεῷ. ἐκ τότε οὖν ἐποίουν ἀμφότεροι τὰς ἡμερινὰς καὶ νυκτερινὰς εὐχάς. ταῦτα μαθὼν Λέων ὁ δυσσεβὴς βασιλεύς, καὶ ὁ τούτου κηδεστής, διεκώλυε τοὺς νέους τοῦ σκοποῦ. ἐξαπέστειλε δὲ αὐτὸν ὁ βασιλεὺς πρὸς τὸ τῆς Κυζίκου κάστρον συγχειρήσοντα· ἤδη γὰρ τότε ἐκτίζετο· καὶ ἀπελθὼν ὁ τίμιος παῖς, ἐξ ἰδίων ἀναλωμάτων τὴν τοῦ κρατοῦντος δουλείαν πεποίηκε. τῷ δὲ εἰκοστῷ πρώτῳ χρόνῳ τῆς αὐτοῦ ἡλικίας, ὅ, τε δυσώνυμος βασιλεύς, καὶ ὁ πενθερὸς αὐτοῦ καταστρέφουσι τὸν βίον· καὶ λοιπὸν ἐν ἐλευθερίᾳ οὐ μόνον ὁ νέος, ἀλλὰ καὶ ἡ οἰκουμένη γίνεται, Εἰρήνης τὰ σκῆπτρα διαδεξαμένης. ἐπεὶ δὲ κατὰ νοῦν πάντα αὐτῷ γέγονε, τοῖς ἐνδεέσι καὶ πτωχοῖς τὴν οὐσίαν αὐτοῦ διεσκόρπισε, καὶ τοὺς οἰκείους ἐλευθερίᾳ τετίμηκε· τῇ δὲ τιμίᾳ αὐτοῦ συζύγῳ χρήματα πολλὰ παρασχόμενος, ἐν τῇ τοῦ Πρίγκιπος μονῇ ἀπέκειρεν, Εἰρήνην αὐτὴν ἀντὶ Μεγαλοῦς ὀνομάσας. αὐτὸς δὲ τῷ Κυρίῳ ἑαυτὸν προσφέρων ἱερουργεῖ ἐν τῇ τῶν Σιγγειανῶν ὄρει κειμένῃ μονῇ Πολυχρονίῳ λεγομένῃ. μοναχοῦ δὲ αὐτοῦ γενομένου, οὐδ᾽ ὅλως τὸ ἄρχειν κατεδέξατο. ἀλλ᾽ ἐν τῇ κέλλῃ καθεζόμενος, ἐξ οἰκείων

χειρῶν τὴν τροφὴν ἐπορίζετο, καλλιγραφῶν ἐξαετῆ χρόνον διανύσας ἐν τῇ καλουμένῃ νήσῳ τῆς Καλωνύμου, ἐν ᾗ συνεστήσατο αὐτὸς μονήν· καὶ πάλιν ἔρχεται ἐν τῷ νῦν τῆς Σιγγριανῆς ὄρει. τῷ δὲ πεντηκοστῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ, ἀσθενείᾳ τινὶ παραδίδοται, ἥ τις ἦν λιθιάσεως κύστεως, καὶ νεφριτικῆς ἀκολουθίας σύμπτωμα· ἐκ τούτου λοιπὸν τοῦ χαλεποῦ νοσήματος ἔμεινε διὰ παντὸς τοῦ βίου κλινήρης καὶ ἀκίνητος. μετὰ ταῦτα ἐδέξατο τὰ σκῆπτρα τῆς βασιλείας Λέων ὁ Ἀρμένιος. ἀλλ' οἷα τούτῳ συμβέβηκεν, οὐδεὶς ἀγνοεῖ. πῶς δὲ ὁ ἀνόητος καὶ ἀνόσιος πέμπει πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον, ἐλθὲ λέγων, εὖξαι ὑπὲρ ἡμῶν, ὅτι κατὰ βαρβάρων ἀπέρχομαι. αὐτὸς δὲ διὰ τὸ ἀκίνητος εἶναι, ἐκ τῆς ἁμάξης μετετέθη εἰς πλοῖον, καὶ ἤχθη πρὸς τὴν βασιλεύουσαν· καὶ τῆς μὲν αὐτοψίας ὄψεως τοῦ τυράννου οὐκ ἔτυχε· πλὴν μηνύσει ἐχρήσατο πρὸς αὐτόν· εἰ κατανεύσεις λέγων τῇ παρακλήσει μου, καὶ σοὶ καὶ τῇ μονῇ σου ἀγαθὰ παρέξω· εἰ δὲ μή γε, ξύλῳ ἀγχόνης σε παραδειγματίσω, καὶ τῷ λοιπῷ εἰς φόβον σε προθήσω. ὁ δὲ ὁμολογητής· τῶν δωρεῶν σου ἔφη, μὴ κενώσῃς τοὺς θησαυρούς· τὸ δὲ ἀγχόνης ξύλον, ἢ καὶ τὸ πῦρ εὐτρέπισον σήμερον· τούτου γὰρ ἐφίεμαι διὰ τὴν τοῦ Χριστοῦ μου ἀγάπην. ταῦτα ὁ ἀναιδὴς ἀκούσας, παρέδωκεν αὐτὸν Ἰωάννῃ τῷ μάντει περὶ λόγους αὐχοῦντι, καὶ τὸ μῖσος τῶν Εἰκονομάχων ἐμπεπλησμένῳ, στρεβλότητι ἀντιπεκκλῖναι αὐτὸν ἡγούμενος. ὃς παραληφθεὶς ἐν τῇ Ὁρμίσδου μονῇ Σεργίου καὶ Βάκχου τῇ παρακειμένῃ τῷ παλατίῳ, καὶ πρὸς λόγων ἅμιλλαν τῷ μάντει συνελθών, καὶ τοῦτον ἡττήσας, καὶ τῷ περιόντι τῆς σοφίας καταβροντήσας, καὶ τὸ ἀμετάθετον ἐνδειξάμενος, τοῦτον ᾐσχυμμένον εἰς τὸν μανιώδη τύραννον ἀπέπεμψεν. ἀγροίκου μᾶλλον ἢ ῥήτορος δόξαν ὁ δείλαιος ἀπηνέγκατο. ὃς ἀπελθὼν πρὸς αὐτόν, κρεῖσσον ἔφη βασιλεῦ κηρῷ μαλάξαι σίδηρον, ἢ πεῖσαι τὸν ἄνδρα μετατεθῆναι πρὸς τὸ σοὶ ἐφετόν. τούτων ἐπακούσας ὁ τύραννος, μετάγει τοῦτον εἰς τὰ Ἐλευθερίου ἀνάκτορα, καὶ κατακλείσει αὐτὸν ἔν τινι οἰκήματι σκοτεινοτάτῳ, καταστήσας καὶ φρουροὺς ὡς μηδὲ διακονεῖσθαι αὐτὸν παρά τινος. οὕτω διετῆ χρόνον τελέσας θλίψεσι καὶ στενοχωρίαις πιεζόμενος, κατήσχυνε μὲν τούτῳ τὸν τύραννον. ἐπεὶ δὲ καθ' ἑκάστην ὑποκύψαι τῇ αὐτοῦ βουλῇ ἠναγκάζετο, μὴ εἴξας, ἐξορίζεται ἐν τῇ τῆς Σαμοθράκης νήσῳ· ἡ δὲ πρὸς τὴν ὑπερορίαν ἀπαγωγή, ταχεῖαν ἔχει τὴν ἀπὸ τοῦ σώματος ἐξαγωγήν. ἡμέραις γὰρ τρισὶ πρὸς ταῖς εἴκοσι τὴν ἐν τῇ νήσῳ ζωὴν διανύσας, ἐκεῖ κατεπαύσατο, ἀπελθὼν ἐν Κυρίῳ ὁσίως καὶ εἰρηνικῶς· τί δὲ χρὴ λέγειν ὁπόσης μὲν εὐλογίας τὸν τόπον ἐνέπλησε, καὶ ὁπόσων δὲ ἰατρείων ὁ χῶρος ἐκεῖνος εὐπόρησεν.

Ὠιδ. ζ.

Ἐν τῇ καμίνῳ.

Τὸ κατ' εἰκόνα σὺ κεκτημένος, καὶ ὁμοίωσιν βίῳ λαμπροτάτῳ πάτερ προσειληφώς, δι' ἀμφοτέρων ὑπερέλαμψας· εὐλογημένος εἶ ἐν τῷ ναῷ βοῶν τῆς δόξης σου, Κύριε.

Ὁμολογίας σου στεφάνῳ πάτερ διέπρεψας, ἔργῳ διελέγξας λόγους τῶν δυσσεβῶν, τοὺς πιστοὺς δὲ ἐβε-

bore victum parabat, scribendis codicibus se se impendens annos sex continuos in insula dicta Calonymus, in eo Monasterio quod castruaerat; iterumque revertitur ad Singrianæ montem. Ætatis autem anno quinquagesimo ægritudini corpusculum traditur, nempe vesica petrascente, ac renum molesto illi dolore. Ex illo deinceps morbo afflicta valetudine, totam vitam lecto decumbens egit, nec sibi motum imperare valens. Postea Leo Armenius Imperii sceptra capessit: verum quid illi acciderit, nemo nescit. Hactenus vero homo demens, scelestusque ad Dei virum mittit, jobetque veniat, ac sibi comprecetur, quod adversus hostes expeditionem suscepturus sit. Ille quod ægro corpore se se movere non posset, e plaustro in scapham transfertur, inque urbem regiam vehitur: nec tamen tyranno in conspectum venire concessum; sed ministro ad eum misso: Si, inquit, hortanti mihi annueris, cum tibi, tum Monasterio tuo bene faciam; sin autem, probro publico e furca laqueo suspendam, ac reliquis in terrorem exponam. Tum Confessor: Noli, inquit, tuorum munerum thesauros effundere: patibuli vero lignum, sive etiam ignem expedi hodie: id enim qua dilectione in Christum feror, desiderio cupio. His auditis, Impudens tyrannus Joanni ariolo tradidit, homini erudiri nomen ambienti, quique Ichonomachorum odio in fideles plenus esset, fore ratus ut is obliquitate in adversum viri constantiam flecteret. Assumptus ille in Hormidæ Sergii ac Bacchi Monasterio quod palatio adjacet, ac disputatione cum ariolo congressus, eoque victo, ac eximiæ sapientiæ vi perculso, præclareque constantia prodita, vir sanctus confusum eum ad insanum tyrannum ablegat; miserque rustici magis, quam oratoris sibi nomen ascivit. Ascendens itaque ad Imperatorem, Facilius, inquit, ferrum cera emollias, quam viri animum in id quod tibi collibitum est, transferas His auditis, tyrannus ad Eleutherii eum palatia traducit, inque tenebricosa quadam ædicula concludit, datis etiam custodibus, ut ne quis etiam affecto corpori ministerium impenderet. In hunc modum exacto biennio, afflictus, ac angustia confectus, vel sic tyranno pudorem incussit. Cumque quotidie vis adhiberetur, ut illius consiliis animum accommodaret, nec is quicquam e mentis firmitate remitteret, exilio relegatur in Samothracem Insulam. Eam in exilium abductionem, brevi secuta eductio e corpore. Post enim dies tres supra viginti, consummato ea in insula vitæ curriculo, illic requievit, sancte ac pacate ad Dominum commigrans. Quid autem refere dicere quanta locum benedictione impleverit, ac quanta prædium sanationum munera per illum consecutum sit?

Ode 7.

In camino.

Ut ad imaginem esses adeptus, vitaque clarissima similitudinem Pater consecutus, utroque eximie fulsisti; clamans, Benedictus es Domine in templo gloriæ tuæ.

Confessionis tuæ Pater corona claruisti; opere factisque impiorum verba confutasti, fideles vero confirmasti; clamans,

Benedictus es Domine in templo gloriæ tuæ.

Firmissimo alacrique animi proposito corporis dolores Pater fortiter pertulisti, Deo gratias agens; clamans, Benedictus es Domine in templo gloriæ tuæ.

A βαίωσας· εὐλογημένος εἶ ἐν τῷ ναῷ βοῶν τῆς δόξης σου, Κύριε.

Τῷ στερροτάτῳ ἐν προθυμίᾳ τὰς τοῦ σώματος πάτερ ἀλγηδόνας ἤνεγκας καρτερῶς, εὐχαρίστως τῷ δεσπότῃ σου· εὐλογημένος εἶ ἐν τῷ ναῷ βοῶν τῆς δόξης σου, Κύριε.

Ode 8.

Manibus expansis Daniel.

Videns vir beate, Leo tyrannus firmo te proposito illi obniti, gravissimo nequissimus damnavit exilio: tu vero lætus pertulisti, clamans; Benedicite omnia opera Domini Dominum.

Cum intelligeres honorem imaginis ad exemplar transire, ad stadium ut quam legitimus athleta cucurristi, victorque acclamatus coronam accepisti, dulcius concinens, Omnia opera laudate Dominum.

Cæleste tibi pro eo quod in terra est tabernaculum universorum Dominus contulit: arctæque custodiæ loco latitudinem exultationis in paradiso voluptatis cum Martyribus invenisti, clamans, Benedicite omnia opera Domini Dominum.

Spiritali luce illustratus es, ac divino Spiritu perfusus, vir beate Theophanes: indeque sanitates scaturis fidelibus ad te confugientibus, tuumque sanctum loculum amore venerantibus, ac clamantibus, Omnia opera laudate Dominum.

Ὠιδ. ή.

Χεῖρας ἐκπετάσας Δανιήλ.

Θεώμενος μάκαρ τὸ στερρὸν τῆς σῆς ἐνστάσεως Λέων B ὁ τύραννος, ὑπερορίᾳ σε ἔκρινε πικροτάτῃ, ὁ παμπόνηρος· ἐν εὐφροσύνῃ δὲ βοῶν ταύτην ὑπήνεγκας, εὐλογεῖτε πάντα τὰ ἔργα τοῦ Κυρίου τὸν Κύριον.

Ἐπὶ τὸ πρωτότυπον εἶδος τὴν τῆς εἰκόνος τιμὴν διαβιβάζεσθαι, ἐπὶ τὸ στάδιον ἔδραμες ἀθλητὴς ὡς ἐννομώτατος· καὶ νικητὴς ἀναδειχθεὶς στέφανον εἴληφας, ἀναμέλπων· πάντα τὰ ἔργα ἀνυμνεῖτε τὸν Κύριον.

Οὐράνιον ἀντὶ τῆς ἐν γῇ σκηνὴν σοι δέδωκε ὁ πάντων Κύριος· ἀντὶ στενώσεως εὗρες δὲ πλατυσμὸν ἀγαλλιάσεως, ἐν παραδείσῳ τῆς τρυφῆς μετὰ μαρτύρων βοῶν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Φωτὶ ἐλάμφθης νοητῷ καὶ θείῳ πνεύματι, μάκαρ Θεόφανες, ὅθεν ἰάματα βρύεις γὰρ τοῖς ἐν πίστει σοι προσC τρέχουσι, καὶ τὴν ἁγίαν σου σορὸν πόθῳ γεραίρουσι, καὶ βοῶσι, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ode 9.

Lapis sine manu præcisus.

Omni substantia tua in egenos distributa, vir divino sensu prædite, justitiam palam tibi orientem illius præmio retulisti: pro iis quæ sunt corruptilia, ea decerpens quæ in sæculum virescunt.

Morbos curas, vir beatissime, Paracleti potentia, dæmonesque palam illius vi abigis, vir felicissime: idcirco nos fideles te contuentes beatum prædicamus.

Lucida, divino sensu prædite, tuæ migrationis dies fideles omnes invitat, ut sanctificatione participentur: quam & nunc gaudentes peragimus, vir sacratissime.

Tribuas quæso uberem tuam gratiam illi, qui tuarum laudum carmen alacri animo texuit: iisdemque tecum moribus, uti & eodem censetur nomine, Deo gratis precibus tuis facito, vir sacratissime.

Ὠιδ. θ'.

Λίθος ἀχειρότμητος.

Ἅπαντα τὸν βίον σκορπίσας τοῖς δεομένοις, Θεοφόρε, τὴν δικαιοσύνην σαφῶς ἀντεκομίζου σοι ἀνατέλλουσαν· ἀντὶ φθαρτῶν δρεπόμενος τὰ δι' αἰῶνος ἀνατέλλοντα.

Νόσους θεραπεύεις παμμάκαρ τοῦ παρακλήτου τῇ δυνάμει· δαίμονας σαφῶς ἀπελαύνεις τῇ ἐνεργείᾳ D τούτου πανόλβιε, διὸ πιστοὶ θεώμενοι σὲ θεοφόρε μακαρίζομεν.

Ἡ σὴ φωσφόρος θεόφρον τῆς μεταστάσεως ἡμέρα πάντας προσκαλεῖται τοὺς πιστοὺς πρὸς μετουσίαν τοῦ ἁγιάσματος· ἥνπερ καὶ νῦν γηθόμενοι ἐπιτελοῦμεν ἱερώτατε.

Νέμοις τὴν σὴν ἄφθονον χάριν τῷ τὸν ἐπαίνων σου τοὺς λόγους πλέξαντι θεόφρον προθύμως· ὁμότροπον σοι ὥσπερ ὁμώνυμον τοῦτον δεικνὺς πρεσβείαις ταῖς σαῖς εὐπροσδέκτοις, ἱερώτατε.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΘΕΟΦΑΝΟΥΣ

ΗΓΟΥΜΕΝΟΥ ΤΟΥ ΑΓΡΟΥ

ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

ΧΡΟΝΟΓΡΑΦΙΑ ΕΤΩΝ ΦΚΗ·

ΑΡΧΟΜΕΝΗ ΑΠΟ ΠΡΩΤΟΥ ΕΤΟΥΣ ΔΙΟΚΛΗΤΙΑΝΟΥ, ἕως δευτέρου ἔτους Μιχαὴλ καὶ Θεοφυλάκτου υἱοῦ αὐτοῦ· τοῦτ᾽ ἔστιν ἀπὸ ͵εψοζʹ. ἔτους τοῦ κόσμου ἕως ἔτους ͵στεʹ. κατὰ τοὺς Ἀλεξανδρεῖς, κατὰ δὲ Ῥωμαίους ͵στκαʹ.

S. PATRIS NOSTRI

THEOPHANIS

ABBATIS AGRI ATQUE CONFESSORIS

CHRONOGRAPHIA

annorum IↃXXIIX.

AB ANNO DIOCLETIANI PRIMO, ad Michaelis & Theophylacti ejus F. annum ſecundum: id eſt, ab anno mundi v ∞ IↃCCLXXVII, ad annum ſecundum Alexandrinos VI ∞ CCCV, ſecundum Romanos vero VI ∞ CCCXXI.

ΠΡΟΟΙΜΙΟΝ

τῆς χρονογραφίας.

Eodem quoque anno Persarum regis filius Narses in Mesopotamiam excursionibus factis, urbem Amidam cœpit. Constantius Cæsar Constantini filius cum eo congreditur, & adversa suo vitio fortuna aliquantum usus, demum ita superior in pugna evasit, ut profligatum Narsem interemerit.

A

Εἰσὶ δὲ αἱ γενέσεις αὐτῶν οὕτως, ὡς ὑποτέτακται.

ΚΩΝΣΤΑΝΤΙΟΣ Ο ΜΕΓΑΣ
ἐκ Θεοδώρας Ἑρκουλίου θυγατρὸς γεννᾷ.

Κωνστάντιον πατέρα Γάλλου Δαλματίου, ἐξ οὗ.	Ἀνιβαλλιανόν τε, καὶ Γάλλον,	Κωνσταντίαν γαμετὴν Λικινίου.

Δαλμάτιος ὁ νέος Ἰουλιανοῦ τοῦ παραβάτου.

Ἐκ δὲ Ἑλένης γεννᾷ Κωνσταντῖνον τὸν μέγαν καὶ μόνον.

Ὁ δὲ μέγας Κωνσταντῖνος ἐκ Φαύστας θυγατρὸς Ἑρκουλίου γεννᾷ

B

Κρίσπον,	Κωνσταντῖνον,	καὶ Ἑλένην γαμετὴν Ἰουλιανοῦ τοῦ παραβάτου.	Κωνστάντιον,	Κώνσταντα.

Κόσμου ἔτη ͵εωιϛ'.	Τῆς θείας σαρκ. ἔτη τιϛ'.	Βασιλεὺς Ῥωμ. Κωνσταντῖνος ἔτη λβ'.	Περσῶν βασιλ. Σαβώριος ἔτη ο'.	Ῥωμ. ἐπίσκ. λβ'. Σίλβεστρος ἔτη κη'.	Βυζ. ἐπίσκ. Ἀλέξανδρος ἔτη κγ'.	Ἱεροσ. ἐπίσκ. λβ'. Μακάριος ἔτ. κ'.	Ἀλεξ. ἐπισ. Ἀλέξανδρος ἔτη κγ'.	Ἀντιοχείας ἐπίσκ. κγ'. Εὐστάθιος ἔτη ιή.
		ιθ'.	κα'.	κγ'	δ'	θ'.	ζ'	θ'

C

Τούτῳ τῷ ἔτει ὁρῶν Κωνσταντῖνος ὁ εὐσεβὴς Λικίνιον μανικώτερον τῷ διωγμῷ χρώμενον, καὶ ἐπιβουλὴν κατὰ τοῦ εὐεργέτου μελετῶντα, ὁπλίζεται κατ᾽ αὐτοῦ διά τε ξηρᾶς καὶ θαλάττης. καὶ δὴ πολέμου δημοσίου κροτηθέντος κατὰ τὴν Βιθυνίαν, ζῶν συλλαμβάνεται ἐν Χρυσοπόλει, καὶ εἰς τὰς χεῖρας Κωνσταντίνου παραδίδοται. ὁ δὲ συνήθει φιλανθρωπίᾳ χρησάμενος, χαρίζεται αὐτῷ τὴν ζωήν. καὶ εἰς Θεσσαλονίκην τοῦτον ἐκπέμπει φρουρεῖσθαι. μετ᾽ οὐ πολὺ δὲ βαρβάρους μισθωσάμενος νεωτερίζειν ἤμελλεν, εἰ μὴ προγνοὺς τοῦτο ὁ πρᾳότατος Κωνσταντῖνος διὰ ξίφους τοῦτον ἀποτμηθῆναι ἐκέλευσε. ἐκ τούτου λοιπὸν τελείας ἀπήλαυσε γαλήνης τὰ πράγματα τῆς Χριστιανῶν πολιτείας τῇ δυνάμει τοῦ ζωοποιοῦ σταυροῦ, γεγονότων ἐκ ποδῶν τῶν τυράννων, καὶ μόνου κρατήσαντος τῇ Θεοῦ συνεργείᾳ τοῦ Κωνσταντίνου τῆς Ῥωμαίων ἀρχῆς. καταστήσας οὖν τοὺς οἰκείους παῖδας Καίσαρας ἀπήλαυσεν εἰρήνης. ἦν δὲ ὁ ἀνὴρ τὰ πάντα λαμπρὸς, δι᾽ ἀνδρείαν ψυχῆς, δι᾽ ὀξύτητα νοὸς, δι᾽ εὐπαιδευσίαν λόγων, διὰ δικαιοσύνης ὀρθότητα, δι᾽ εὐεργεσίας ἑτοιμότητα, δι᾽ ἀξιοπρέπειαν ὄψεως, διὰ τὴν ἐν πολέμοις ἀνδρείαν καὶ εὐψυχίαν. ἐν τοῖς βαρβαρικοῖς μέγας, ἐν τοῖς ἐμφυλίοις ἀήττητος, ἐν τῇ πίστει στερρὸς καὶ ἀσάλευτος. ὅθεν κατὰ πάντων τῶν πολεμίων ἀπηνέγκατο τῇ δι᾽ εὐχῆς τὴν νίκην. διὸ καὶ κυριακὰ πρὸς ἐπιστροφὴν τῶν ἐθνῶν κατὰ τόπους εἰς τιμὴν τοῦ Θεοῦ πεποίηκεν.

D

E

Τῷ δ᾽ αὐτῷ ἔτει καὶ Μαρτῖνος ἐσφάγη τυραννήσας μῆνας τρεῖς. καὶ Λικινιανὸς υἱὸς Λικινίου ὁ Καῖσαρ ἀπεδύθη ὑπὸ Κωνσταντίου.

Τῷ δ᾽ αὐτῷ ἔτει Ναρσῆς ὁ υἱὸς τοῦ τῶν Περσῶν βασιλέως κατέδραμε τὴν Μεσοποταμίαν, καὶ λαμβάνει πόλιν Ἀμίδαν. τούτῳ Κωνστάντιος ὁ Καῖσαρ Κωνσταντίνου παῖς πολεμεῖ, καὶ πταίσας ὀλίγον, τέλος οὕτω τῆς μάχης ἐκράτησεν, ὡς καὶ αὐτὸν ἀνελεῖν τὸν Ναρσῆν.

Κόσμου ἔτη ͵εωιϛ'.	Τῆς θείας σαρκώσεως ἔτη τιϛ'.	Ῥωμ. βασιλ. Κωνσταντίνου ἔτη λβ'.	Περσῶν βασιλ. Σαβώρης ἔτη ο'.	Ῥωμ. ἐπίσκ. Σίλβεστρος ἔτη κη'.	Βυζ. ἐπίσκ. Ἀλέξανδρος ἔτ. κγ'.	Ἱεροσ. ἐπίσκ. Μακάριος ἔτη κ'.	Ἀλεξ. ἐπίσκ. Ἀλέξανδρος ἔτ. κγ'.	Ἀντ. ἐπίσκ. Εὐστάθιος ἔτη ιη'.
		κ'	κβ'	κδ'	ε'	ι'	ιη'	ι'.

Anni mundi 5816.	Divinæ Incarn. 316.	Rom. Imp. Constantinus annis 32.	Persarũ rex Sapores annis 70.	Roman. Episc. Sylvester annis 28.	Byzantii Episc. Alexander annis 20.	Hieros. Episc. Macarius annis 25.	Alex. Episc. Alexander annis 23.	Ant. Episc. Eustathius annis 18.
		20	22	24	5	10	18.	10

Τούτῳ τῷ ἔτει ἡ εἰκοσαετηρὶς τῆς Κωνσταντίνου Αὐγούστου βασιλείας ἐτελειώθη. Καὶ ἐγένετο ἡ ἁγία οἰκουμενικὴ πρώτη σύνοδος τῶν τιη'. πατέρων, ὧν οἱ πολλοὶ θαυματουργοί τε καὶ ἰσάγγελοι ὑπῆρχον, τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῷ σώματι φέροντες ἐκ τῶν προλαβόντων διωγμῶν. ἐν οἷς Παφνούτιος, καὶ Σπυρίδων, καὶ ὁ Μακάριος, καὶ ὁ Νισιβηνὸς Ἰάκωβος, θαυματουργοὶ, καὶ νεκροὺς ἀναστήσαντες, καὶ πολλὰ παράδοξα ποιήσαντες. τῆς δὲ ἁγίας συνόδου ἐν Νικαίᾳ τῆς Βιθυνίας γενομένης, ἐξῆρχον αὐτῆς ὁ Μακάριος Ἱεροσολύμων, Ἀλέξανδρος Ἀλεξανδρείας, ὑπὲρ δὲ τοῦ Ῥώμης Βῖτος καὶ Βικέντιος παρῆσαν. τῆς δὲ Ἀντιοχέων ἐκκλησίας χηρευούσης, ἡ σύνοδος Εὐστάθιον ἐκύρωσε τὸν ἐπίσκοπον Βερροίας τῆς Συρίας. Ἀλέξανδρος δὲ ὁ τοῦ Βυζαντίου οὐ παρῆν ἐν τῇ συνόδῳ διὰ γῆρας βαθύτατον, καὶ ἀσθένειαν σώματος· πρεσβύτεροι δὲ αὐτοῦ τὸν τόπον ἀνεπλήρωσαν· τότε καὶ ὁ Παῦλος ὁ Νεοκαισαρείας παρῆν τῇ συνόδῳ, καὶ ἄλλο πλῆθος ἁγίων ἀνδρῶν βίῳ καὶ λόγῳ διαπρεπόντων, περὶ ὧν μεγάλους ἐπαίνους ἐν τῷ τρίτῳ λόγῳ τῷ εἰς τὸν βασιλέα Εὐσέβιος ὁ Παμφίλου ἔγραψε· πᾶσι δὲ τὰ πρὸς τὴν χρείαν δαψιλῶς ὁ Χριστιανικώτατος βασιλεὺς ἐχορήγει· αὕτη ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος συνεργείᾳ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος Ἄρειον καθεῖλε, καὶ τοὺς ὁμόφρονας αὐτοῦ· Εὐσέβιον τὸν Νικομηδείας, καὶ τοὺς περὶ αὐτὸν, χωρὶς Εὐσεβίου τοῦ Παμφίλου συνθεμένου τῇ φωνῇ τοῦ ὁμοουσίου, πρὸς τὸ παρὸν, καὶ τούτους ἐξορίᾳ παρέπεμψε, συμπαρόντος αὐτοῖς καὶ τοῦ πανευφήμου βασιλέως Κωνσταντίνου καὶ συνεργοῦντος ἐν πᾶσι τοῖς κατὰ Θεὸν, ἄλλους τε ἀντ' αὐτῶν χειροτονηθῆναι ἐκέλευσε, πίστεώς τε ἔκθεσιν ἔγγραφον ἐξέθηκε, τὴν κατὰ πᾶσαν ἐκκλησίαν ὀρθοδόξων νῦν ἀπαγγελλομένην. τότε Ἀρείου τοῦ δυσσεβοῦς παρόντος ἐν τῇ συνόδῳ καὶ κρινομένου, Εὐσέβιος ὁ Νικομηδείας, καὶ Θεόγνις, καὶ Μάρις, καὶ Νάρκισσος, καὶ Θεοφάνης, καὶ Πατρόφιλος ἀντιποιούμενοι Ἀρείου, οἱ συντάξαντες πίστεως λόγον βλάσφημον, ἐπέδωκαν τῇ συνόδῳ. τοῦ δὲ διαρρηχθέντος, οἱ πεποιηκότες τοῦτον ἀντιστραφέντες κατεδίκασαν Ἄρειον χωρὶς Σεκούνδου Πτολεμαΐδος τῆς Αἰγύπτου, καὶ Θεωνᾶ τοῦ Μαρμαρικῆς, ὧν ἐκβληθέντων σὺν Ἀρείῳ, καὶ ἀναθεματισθέντων, τὸ ἅγιον σύμβολον τῆς πίστεως ἀνηγόρευσαν, ὑπογράψαντες ἅπαντες σὺν τῷ σεβασμίῳ βασιλεῖ, καὶ εὐφήμησαν, καὶ οὕτω διελύθη ὁ σύλλογος.

Τούτῳ τῷ ἔτει Κρίσπος ὁ υἱὸς τοῦ βασιλέως Χριστιανὸς ἐκοιμήθη· καὶ τὸ Βυζάντιον ἤρξατο κτίζεσθαι.

Συνέστη οὖν ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος τῇ ιβ'. Ἰνδικτ. ἔτει κ'. τοῦ μεγάλου Κων-

Hoc anno vicennalia Constantini Augusti celebrata, & sancta universalis prima Synodus trecentorum decem & octo Patrum habita, quorum plurimi miraculorum patratores, & meritis Angelis æquales, ex præviis persecutionibus Christi stigmata in corpore circumferebant: inter quos præcipui Paphnutius, Spiridon, Macarius, & Nisibinus Jacobus prodigiorum opifices, qui mortuos etiam suscitarant ad vitam, aliaque id genus supra hominum fidem miranda ediderant. Sancta itaque Synodo Nicææ Bithyniæ celebrata, Præsides ejus consederunt Macarius Hierosolymorum, & Alexander Alexandriæ Antistites: vice autem Romani Vitus & Vincentius adfuere: Vidua vero Pontifice Antiochensium Ecclesia, Synodus Eustathium confirmavit BerrhϾ in Syria Episcopum. Alexander demum Byzantii Præsul ob extremam senectutem, & corporis invaletudinem Synodo non interfuit: Presbyteri tamen ipsius locum tenuerunt. Tunc etiam Paulus Neocæsareæ Episcopus venit ad Synodum, & sanctorum virorum moribus & doctrina præstantium multitudo, quorum eximias laudes tertia in Imperatorem oratione Eusebius Pamphili conscripsit: Cunctis autem quæ necessitas postulabat Christianissimus Imperator liberaliter suppeditabat. Sancta hæc & universalis Synodus sanctæ & consubstantialis Trinitatis auxilio Arium, & ejus sententiæ sectatores damnavit: Eusebium Nicomediæ, & adjunctos ei socios, dempto tamen Eusebio Pamphili, qui quoad illud tempus Homousii vocabulo præbuit assensum, communione interdictos misit in exilium, sancita cuncta laudatissimo Imperatore Constantino sua præsentia firmante, omnibusque quæ Deo forent consona opitulante: insuper alios in abdicatorum locum instituit ordinari: ac demum, quæ nunc per omnem Orthodoxorum Ecclesiam publicatur scriptis mandatam fidei expositionem evulgavit. Cum vero impius Arius ad ipsam præsens astaret & examinaretur, Eusebius Nicomediæ Theognis, & Maris, Narcissus, & Theophantus, & Patrophilus, blasphemo fidei libello composito, Synodoque tradito, partem ejus susceperc defendendam: quo in frusta conciso, ejus auctores, mutata sententia, damnaverunt Arium, excepto Secundo Ptolemaidis Ægypti, & Theona Marmarices Episcopis: quibus mox cum Ario ejectis, & anathemate percussis, una cuncti cum augustissimo Imperatore subscribentes, sanctum fidei Symbolum, felicibus etiam precationibus & acclamationibus additis, publicaverunt: atque ita conventus solutus est.

Edit. Paris. pag. 17.

Hoc anno Crispus Imperatoris filius Christianus effectus decessit: & Byzantium cœpit condi.

Coacta est sancta & universalis prima Synodus duodecima Indictione, anno

magni Constantii vigesimo, mensis Maii die pariter vigesimo. Circularem autem epistolam in Aleaandriam, Libyam & Pentapolim Synodus misit, qua Arii, secundi & Theonæ depulsionem declaravit: De Meletio item, ut se quiete in propria civitate contineret: & qui ab eo manuum impositionem acceperant, alia secretiori ordinatione confirmarentur, significavit. De Paschare præterea, ne amplius ritu Judaico celebraretur, sed jam per Italiam recepto more, Dominico magis die festive coleretur, edixit. Pari quoque modo litteras in provincias piissimus Imperator misit, quibus cuncta, quæ a S. Synodo fuerant pronunciata, probarentur, & nunciarentur exequenda. Ariumque una cum sectæ assectis ab Ecclesia proscripsit; eos Porphyrianos vocari, libros eorum igne consumi, & qui non acquiescerent, morti tradi decrevit: & super his omnibus demum Imperatorium promulgavit edictum. Instante vero sub id tempus vicennalis ejus Imperii die festo, cunctis Patribus ad epulum invitatis una & ipse accubuit: & splendide & cum honore cunctos excipiens, Paphnutii & sociorum Confessorum effossos in persecutione oculos, & mutilata membra, quasi sanctimoniam in se exinde derivaturus, exosculabatur. Cunctos deinde Episcopos hortabatur ad concordiam, & ut a proximorum criminibus deferendis absisterent: Libellos autem quos adversus invicem nonnulli dederant, igne consumpsit; hoc addito sacramento firmans, quod si adulterantem Episcopum cerneret, ipse propria purpura libenter tegeret. Donis denique immensis per omnes Ecclesias distributis, provinciarum Præsidibus, ut sacerdotes colerent, præcepit; lætos tandem omnes dimisit. Cum autem Ethnici Philosophi probris Imperatorem Byzantii onerarent, quod præter Romanorum Imperatorum mores, communi religione innovata, prave se gereret; e Philosophorum grege selectum unum cum Alexandro Episcopo in disputationis certamen committere placuit. Alexander vero vir quidem divinus erat, sed ingenio ac litteris rudis. Hic versatissimo in Dialecticæ præceptis Philosopho, linguæque lascivia laboranti, Te, inquit, in nomine Jesu Christi veri nostri Dei silere jubeo, & conticescere. Eo dicto obmutuit ille, & loquelæ factus est expers. Macario præterea Hierosolymorum Episcopo, qui Concilio interfuit, mandavit Imperator, ut reversus sanctæ Resurrectionis locum, & Calvarii Golgotham, & vivificum crucis lignum requireret. Eodem quoque anno matrem Helenam mulierem divino sensu præditam coronavit Constantinus, & ut Imperatrix monetam suo charactere cusam distribueret, donavit. Ostentum autem vidit jubens eam Hierosolymam proficisci, & divina loca sub terram ab impiis & prophanis defossa in lucem educere. Tunc ipsa filium Constantinum rogat, ut divinitus sibi imposita munera adimpleret. Ille divino nutu concitatus matri morem gessit. Pius idem Constantinus urbem suo de nomine condere volens, in planitie, quæ Ilio subjacet ad Ajacis tumulum, ubi Græcos ad Trojanam expeditionem profectos navium stationem habuisse ferunt, jussus est in somnis a Deo in Byzantii, quæ nunc Constantinopolis, illud moliretur opus. Urbe igitur præclaris ædificiis extructa, viros dignitate præcipuos ab urbe Roma,

Edit. Paris. pag. 18.

A σταντίνου, μηνὶ Μαΐῳ κʹ. ἔγραψε δὲ ἐπιστολὴν ἐγκύκλιον ἡ σύνοδος ἐν Ἀλεξανδρείᾳ, καὶ Λιβύῃ, καὶ Πενταπόλει, δι᾽ ἧς ἐδήλωσε τὴν ἐκβολὴν Ἀρείου, καὶ Σεκούνδου, καὶ Θεωνᾶ· ἐσήμανε δὲ καὶ περὶ Μελετίου, ὥστε ἰδιάζειν ἐν τῇ ἰδίᾳ πόλει ἡσυχάζοντα· τοὺς δὲ ὑπ᾽ αὐτοῦ χειροτονηθέντας μυστικωτέρᾳ χειροτονίᾳ βεβαιωθῆναι. ἔγραψε δὲ καὶ περὶ τοῦ Πάσχα μηκέτι μετὰ Ἰουδαίων αὐτὸ ποιεῖν, ἀλλὰ τῷ κατὰ Ἰταλίαν τύπῳ κατὰ τὴν κυριακὴν μᾶλλον ἡμέραν ἑορτάζοντας. ὁμοίως καὶ ὁ πανευσεβὴς βασιλεὺς ἐπιστολὰς ἔγραψε πανταχοῦ τὰ αὐτὰ βεβαιώσας, καὶ κελεύσας τὰ παρὰ τῆς ἁγίας συνόδου ἐκφωνηθέντα, καὶ Ἄρειον ἅμα τοῖς ὁμόφροσιν αὐτοῦ ἀποκηρύττων, Πορφυριανούς τε αὐτοὺς ὀνο- B μάζεσθαι, καὶ τὰ συγγράμματα αὐτῶν κατακαίεσθαι, καὶ τοὺς μὴ τοῦτο ποιοῦντας θανατοῦσθαι· ἐξέθετο δὲ καὶ νόμον βασιλικὸν ὑπὲρ ταῦτα γίνεσθαι. τῆς δὲ ἑορτῆς ἐνστάσης κατ᾽ αὐτὸ τῆς εἰκοσαετηρίδος τῆς αὐτοῦ βασιλείας, πάντας τοὺς πατέρας εἰς ἑστίασιν προσεδέξατο, συγκατακλιθεὶς αὐτοῖς, καὶ λαμπρῶς τιμήσας αὐτούς· Παφνουτίου δὲ καὶ τῶν ὁμοίων ὁμολογητῶν τοὺς ἐξορυχθέντας ὀφθαλμοὺς, καὶ τὰ πηρωθέντα μέλη ἐν τῷ διωγμῷ κατεφίλει, ἁγιασμὸν ἐξ αὐτῶν πορίζόμενος. παρῄνει δὲ πᾶσι τοῖς ἐπισκόποις εἰρήνην ἄγειν, καὶ τῶν κατὰ τοῦ πλησίον λοιδοριῶν ἀπέχεσθαι. τοὺς δὲ λιβέλλους, οὓς κατ᾽ ἀλλήλων τινὲς ἐξεδώκασι, πυρὶ κατέκαυσεν, ὅρκῳ βεβαιῶν, ὡς εἰ ἴδοι ἐπίσκοπον μοιχεύοντα, τῇ πορφυρίδι C σκέπειν τοῦτον προθύμως. πολλὰ δὲ πάσαις ταῖς ἐκκλησίαις δωρησάμενος, καὶ τοῖς ἄρχουσι τῶν ἐθνῶν τιμᾷν τοὺς ἱερεῖς παρακελευσάμενος, χαίροντας ἅπαντας ἐξαπέστειλε. τοῦ δὲ βασιλέως ἀπὸ σοφῶν Ἑλλήνων ὀνειδισθέντος ἐν Βυζαντίῳ, ὡς οὐ πράττοι καλῶς παρὰ τὰ ἔθη τῶν βασιλέων Ῥωμαίων καινουργίζων τὴν θρησκείαν. ἔδοξε τῷ βασιλεῖ ἕνα τῶν φιλοσόφων Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ τοῦτον πρὸς τὸ διαλεχθῆναι μετ᾽ αὐτοῦ παραπέμψαι. ὁ δὲ Ἀλέξανδρος θεῖος μὲν ἦν ἀνὴρ, λόγων δὲ ἄπειρος. εἶπε δὲ τῷ διαλεκτικῷ φιλοσόφῳ γλωσσαλγοῦντι· ἐπιτάττω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ ἡμῶν Θεοῦ σιωπᾷν, καὶ μὴ φθέγγεσθαι. ἅμα δὲ τῷ λόγῳ ἐφιμώθη, καὶ D γέγονεν ἄλαλος. τῷ δὲ ἐπισκόπῳ Ἱεροσολύμων Μακαρίῳ παρόντι ἐν τῇ συνόδῳ προσέταξεν ὁ βασιλεὺς ἐπανιόντι ἐρευνῆσαι τὸν τόπον τῆς ἁγίας ἀναστάσεως, καὶ τὸ τοῦ κρανίου Γολγοθᾶ, καὶ τὸ ζωοποιὸν ξύλον. τῷ δ᾽ αὐτῷ ἔτει τὴν Ἑλένην τὴν θεόφρονα αὐτοῦ μητέρα ἔστεψε, καὶ μονίταν ὡς βασιλίδι ἀπένειμεν. αὕτη δὲ ὀπτασίαν ἑώρακε κελεύουσαν αὐτὴν καταλαβεῖν τὰ Ἱεροσόλυμα, καὶ τοὺς ὑπὸ τῶν ἀνόμων καταχωσθέντας θείους τόπους εἰς φῶς ἀγαγεῖν. ἡ δὲ τὸν παῖδα Κωνσταντῖνον ᾐτήσατο τὰ θεόθεν αὐτῇ κελευσθέντα πληρῶσαι. ὁ δὲ τὴν ὑπακοὴν πεποίηκε, θείῳ νεύματι κινούμενος. Ὁ εὐσεβὴς Κωνσταντῖνος πό- E λιν εἰς ἴδιον ὄνομα κτίσαι βουληθεὶς ἐν τῷ πρὸ τοῦ Ἰλίου πεδίῳ, ὑπὲρ τὸν Αἴαντος τάφον, οὗ δή φασι τὸν ναύσταθμον ἐσχηκέναι τοὺς ἐπὶ Τροίαν στρατεύσαντας Ἕλληνας. Θεὸς δὲ κατ᾽ ὄναρ αὐτῷ ἐκέλευσεν ἐν τῷ Βυζαντίῳ κτίσαι τὴν νῦν Κωνσταντινούπολιν· ἣν φιλοτίμως δειμάμενος οἴκοις περιφανέσι, τοὺς ἀπὸ Ῥώμης ἀξιολόγους μετῴκισε, καὶ ἐξ ἄλλων τόπων κατὰ γένος ἐπιλεξάμενος, καὶ οἴκους

A μεγάλως αὐτοῖς χαρισάμενος, οἰκῆσαι τὴν πόλιν πεποίηκε. τότε δὲ τὸν ναὸν τῆς ἁγίας Σοφίας, καὶ τῆς ἁγίας Εἰρήνης, καὶ τῶν Ἀποστόλων, καὶ τοῦ ἁγίου Μωκίου, καὶ Ἀρχαγγέλου ἐν τῷ Ἀνάπλῳ ὁ φιλόχριστος βασιλεὺς ᾠκοδόμησε. τοὺς δὲ τῶν εἰδώλων εἰδωλικοὺς ναοὺς καταλύεσθαι προσέταξε, καὶ ἐκκλησίας οἰκοδομεῖσθαι. τότε κατεσκάφη ὁ ἐν Αἴγαις Ἀσκληπιοῦ ναός, καὶ ὁ ἐν Ἀφάκοις τῆς Ἀφροδίτης, καὶ πολλοὶ ἕτεροι· καὶ τὰς τούτων προσόδους ταῖς ἐκκλησίαις ἐδωρήσατο. τότε πολλὰ ἔθνη τῷ βαπτίσματι προσῆλθον τοῖς θαύμασι τοῖς γινομένοις ὑπὸ τῶν αἰχμαλώτων τῶν ἐπὶ Γαλιήνου τοῦ βασιλέως αἰχμαλωτισθέντων ἱερέων πρότερον ἐκ τῶν ἐπιδραμόντων τοῖς Ῥωμαίοις Γότθων, καὶ Κελτῶν, καὶ Γαλατῶν τῶν ἑσπερίων. καὶ νῦν δὲ ἐπὶ τοῦ νικητοῦ Κωνσταντίνου πλεῖστα μέρη τῶν ἐθνῶν ἐφωτίσθησαν τῷ Χριστῷ, προσδραμόντων. B Ἰνδοὶ οἱ ἐνδότεροι ἐπίστευσαν τῷ Χριστῷ, Μηροπίου φιλοσόφου Τυρίου Αἰδέσιον καὶ Φρουμέντιον τοὺς μαθητὰς αὐτοῦ λαβόντος, καὶ εἰσελθόντος ἐκεῖ ἱστορῆσαι τοὺς τόπους, καὶ διδάξαντος αὐτοὺς τὸν λόγον τοῦ Θεοῦ. πρῶτον ἐπίσκοπον Φρουμέντιον χειροτονεῖ Ἀθανάσιος ἐν αὐτοῖς. ὁμοίως καὶ Ἴβηρες ἐπὶ αὐτοῦ ἐπίστευσαν ὑπὸ τῆς αἰχμαλώτου γυναικὸς Χριστιανῆς ὁρῶντες γινόμενα θαύματα καὶ τὴν ἐπιπεσοῦσαν ἀχλὺν τῷ βασιλεῖ αὐτῶν κυνηγοῦντι ἰασαμένης. ταῦτα Ῥουφῖνος ἱστορεῖ παρὰ τοῦ αὐτοῦ βασιλέως τῶν Ἰβήρων Βακουρίου ἀκηκοώς. ὁμοίως καὶ Ἀρμένιοι τελείως ἐπὶ αὐτοῦ ἐπίστευσαν διὰ Τηριδάτου τοῦ βασιλέως αὐτῶν, καὶ Γρηγορίου ἐπισκόπου αὐτῶν, τὴν σωτηρίαν δεξάμενοι. τότε καὶ C Δωρόθεος ἐπίσκοπος Τύρου, ὁ ἐπὶ Διοκλητιανοῦ πολλὰ κακοπαθήσας, καὶ ἐξορίας καὶ βάσανα ὑπομείνας, ἤκμαζε, πλεῖστα συγγράμματα καταλιπών, Ῥωμαϊκὰ καὶ Ἑλληνικά, ὡς ἀμφοτέρων γλωσσῶν ἐμπειρότατος, καὶ πολυΐστωρ δι' εὐφυΐαν γενόμενος. οὗτος ἀκριβῶς καὶ περὶ τῶν ἐπισκόπων τοῦ Βυζαντίου καὶ ἄλλων πολλῶν τόπων διεξῆλθεν. αὐτὸς ἐπανελθὼν ἐκ τῆς ἐξορίας, καὶ ἐν τῇ συνόδῳ εὑρεθείς, καταλαβὼν τὴν ἰδίαν παροικίαν, διήρκεσε μέχρι Ἰουλιανοῦ τοῦ παραβάτου. καὶ ἐπειδήπερ οὐ προφανῶς, ἀλλὰ κρυπτῶς διὰ τῶν ἀρχόντων ὁ μιαρὸς ἀνὴρ εἰς τοὺς Χριστιανοὺς παρῴνει, πάλιν ὁ μακάριος Δωρόθεος κατέλαβε τὴν Ὀδυσσόπολιν, ἔνθα καὶ συσχεθεὶς ὑπὸ τῶν ἀρχόντων Ἰουλιανοῦ, καὶ πολλοὺς ὑπομείνας αἰκισμούς, ἐν βαθυτάτῳ γήρει D διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν ταῖς βασάνοις ἐναπέθανεν ἑκατὸν ἑπτὰ ἤδη τυγχάνων ἐτῶν.

Κόσμου ἔτη ͵εωιζʹ.	Τῆς θείας σαρκ. ἔτη τιζʹ.	Ῥωμ. βασιλ. Κωνσταντῖνος ἔτη λβʹ.	Περσῶν βασιλ. Σαβώρης ἔτη οʹ.	Ῥωμ. ἐπίσκ. Σίλβεστρος ἔτη κηʹ.	Κωνσταντ. ἐπίσκ. Ἀλέξανδρος ἔτ. κγʹ.	Ἱεροσ. ἐπίσκ. Μακάριος ἔτη κʹ.	Ἀλεξ. ἐπίσκ. Ἀλέξανδρος ἔτ. κγʹ.	Ἀντ. ἐπίσκ. Εὐστάθιος ἔτη ιηʹ.
		κα'	κγ'	κε'	ς'	ια	ιθ'	ιη'.

E Τούτῳ τῷ ἔτει Ἰουδαῖοί τε, καὶ Πέρσαι τὸν Χριστιανισμὸν ὁρῶντες ἀκμάζοντα κατὰ τὴν Περσίδα διαβάλλουσι Σαβώρῃ Περσῶν βασιλεῖ Συμεῶνα ἀρχιεπίσκοπον Κτησιφῶντος, καὶ τῆς Σελευκείας, ὡς φίλους τῶν Ῥωμαίων βασιλέων, καὶ μηνυτὰς τῶν Περσικῶν πραγμάτων. ὥστε μεγάλου διωγμοῦ ἐν Περσίδι κινηθέντος πλεῖστοι τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ κατεκοσμήθησαν, ἐν οἷς καὶ Οὐσθαζάδης παιδαγωγὸς Σαβωρίου, καὶ Συμεὼν

A aliisque subinde locis selectos illuc transtulit, & præclaris habitationibus assignatis urbem præcepit incolere. Eo tempore sanctæ Sophiæ, sanctæ Irenes, & Apostolorum, & sancti Mocii, & Archangeli, ad locum qui Anaplus dicitur, templa, Christi amans Imperator exstruxit: profanaque idolorum fanal dejici, & Ecclesias ædificari jussit. Tunc templum Æsculapii ad Ægas, & Veneris in Aphacis, & alia plurima sunt eversa, atque illorum reditus Ecclesiæ addicti. Sub hoc idem tempus multæ Gentes ad Baptismum accesserunt, miraculis motæ editis a quibusdam Sacerdotibus, qui antea sub Galieno Imperatore a Gotthis, Celtis, & Gallis Hesperiis, qui tunc adversus Romanos incursiones faciebant, captivi ducti fuerant: nunc vero sub victore Constantino innumeræ B ex his Gentibus ad Christi cultum confugientes illuminatæ sunt. Indi præterea interiores Christi fidem susceperunt, Meropio Tyrio Philosopho Ædesium & Frumentium discipulos secum assumente, & ad ibi posita loca quæque describenda profecto, iisdemque divinum verbum prædicante: primusque Frumentius Episcopus ab Athanasio apud ipsos consecratus. Iberes similiter sub Constantino fidem acceperunt, visis a Christiana muliere captiva patratis miraculis, quæ inter cætera oculorum caliginem regi inter venandum ingruentem sanavit. Hæc Rufinus ab Iberum rege Baccurio audita narrat. Pari quoque eventu ipsius ætate Armeni Tiridatis eorum regis, & Gregorii eorum Episcopi hortatibus fidem una C cum salute susceperunt universi. Ejus quoque temporibus Dorotheus Tyri Episcopus pluribus sub Diocletiano malis exantlatis, exilium etiam & tormenta perpessus, florebat; qui, ut utriusque linguæ Græcæ pariter & Latinæ peritissimus, & tum ob ingenii felicitatem, tum ob rerum experimenta variam eruditionem adeptus, præclara nobis in utraque scripto reliquit monumenta. Hic de Byzantii, & aliorum plurium locorum Episcopis diligenter disseruit. Idem exilio revocatus interfuit Synodo, & propriæ restitutus Ecclesiæ ad prævaricatoris Juliani tempora permansit in vivis. Cum vero non aperta, sed occulta vi per Magistratus in Christianos scelestus ille debaccharetur, beatus Dorotheus Odyssopolim rursum profectus, & D a Juliani Magistratibus ibidem comprehensus, variis contusus injuriis, in extrema senectute, ob Christi confessionem, centum & septem vitæ numerans annos, in tormentis occubuit.

Edit. Paris. pag. 19.

Anni mundi 5817.	Divinæ Incarn. 317.	Romanorum Constantinus annis 32.	Persarum rex Sabores annis 70.	Romæ Episcopus Sylvester annis 28.	Constantinopolis Episc. Alexander annis 23	Hierosol. Episc. Macarius annis 20.	Alex. Episc. Alexander annis 23.	Antiochenus Episc. Eustathius annis 18.
		21	13	25	6	11	19	18

Hoc anno Judæi & Persæ, cognito fi-E dei Christianæ per totam Persiam augmento, Symeonem Ctesiphontis & alterum Seleuciæ Archiepiscopum, ceu Romanorum Imperatorum amicos, quique res Persicas eis revelarent, apud Saborem Persarum regem criminati sunt: unde horrenda in Perside persecutione commota, plurimi pro Christo Martyrii corona fuere decorati: inter quos Usthaxades Saboris Pædagogus, & Symeon Ar-

Edit. Paris. pag. 20.

chiepiscopus, & præter alios plures centum Clerici & Episcopi, & alia innumera multitudo una die Martyrii palmam adepti sunt. Ab eodem insuper infidelissimo Sabore in præcipuis urbibus nobilissimi quique ad decem & octo millia cruciatibus horrendis, & ab humana penitus alienis natura Martyres fuere consummati. Ea tempestate Apsicimas Episcopus, Æthalas presbyter, & Turbulia Symeonis Archiepiscopi soror cum plurimis aliis ejusdem sexus Martyrio afficiuntur. Quibus auditis sacratissimus Imperator Constantinus, ut Christianorum sanguini fundendo parceret, & a tanta crudelitate sibi temperaret, per litteras, additis etiam precibus, Saborem est adhortatus. Mirando ac divino stilo composita est hæc epistola: duram tamen viri mentem flectere non valuit.

Eodem anno beatam Helenam cum ingenti pecuniarum pondere, ad vivificam Domini crucem perquirendam, divinus Constantinus Hierosolymam misit. At cum debito honore Imperatrici factus obviam Macarius Hierosolymorum Patriarcha una cum ipsa semotus a comitatus tumultu, mentis dico tranquillitate, fervidis orationibus & jejuniis vacans desiderati ligni perquisitionem agebat. Quibus ita persolutis, divino tandem nutu, locus, quo Veneris impuri dæmonis templum ac simulachrum erecta fuerant, ipsi Macario manifestatus est: eumque Helena divinitus coronata Imperatrix regia potestate usa, operarum adhibita multitudine, a fundamentis effosum dejecit, rudera exportavit, & cuncta ab Ælio Adriano quondam ibi magnis sumptibus constructa demolita est & expurgavit. Confestim vero sanctum monumentum detectum, & Calvarii locus patefactus, & his proxime tres cruces ad Orientem effossæ: sed & studiosius investigantibus clavi etiam reperti. Anxiis vero cunctis, quæ utique crux Dominica foret, & beata Helena valido mœrore confecta, Macarius Episcopus proprii nominis claritudine beatus, dubium omne fide sua dissolvit. Illustrium enim fœminarum cuidam de vita desperatæ, & jam animam agenti, hujus & illarum crucium admotis lignis, Dominicam agnovit. Nam ut ad infirmam sola accessit umbra, quæ absque spiritu, & omni motu destituta jacebat, divina virtute confestim exiliit, & magna voce Deo laudem reddidit. Pientissima vero Helena cum tremore, & plurimo cordis tripudio vivifica cruce sublata, partem quidem cum clavis ad filium detulit: aliam autem argenteo loculo inclusam Macario Episcopo tradidit sequuturæ deinceps posteritati monumentum. Ecclesias quoque jussit extrui in sancto Sepulchro, in Calvario, & singularem aliam de filii sui nomine, ubi vivifica crux reperta est, in Bethleem, & in olivarum monte, quibus peractis ad illustrem Constantinum reversa est. His hilare acceptis, vitalis crucis partem auro inclusam Episcopo servandam commendavit: clavorum autem hos quidem in galeam scite composuit, alios in equi ejus frænum fabrefactos admiscuit, ut adimpleretur vaticinium Prophetæ, dicentis: *In illa die, erit in equi fræno Sanctum Domino omnipotenti.* Ipse celebratissimus Constantinus Macario, cujus viri nomen laudes etiam testatur, ut fabricam urgeret & promoveret, scripsit: ac liberali sumptu dato Præfectum operis

pag. 21.

Ἀρχιεπίσκοπος, καὶ πρὸς ἄλλοις πολλοῖς ἑκατὸν κληρικοὶ καὶ ἐπίσκοποι ἐν ἡμέρᾳ μιᾷ ἐμαρτύρησαν, καὶ πολλὰ πλήθη ἀναρίθμητα. ἐν δὲ τῶν πόλεων τοὺς ἐπισήμους ὀκτωκαίδεκα χιλιάδας ἠρίθμησαν μαρτύρων βασάνοις φρικώδεσι καὶ ξένοις τῆς φύσεως τελειωθέντας ὑπὸ Σαβωρίου τοῦ ἀθεωτάτου. τότε καὶ Ἀψιαιμᾶς ἐπίσκοπος, καὶ Αἰθαλᾶς πρεσβύτερος, καὶ Τουρβουλία ἡ ἀδελφὴ Συμεὼν τοῦ ἀρχιεπισκόπου σὺν ἑτέραις πλείσταις, ἐμαρτύρησαν. Κωνσταντῖνος δὲ ὁ θειότατος βασιλεὺς Σαβωρίῳ διὰ γραμμάτων παρῄνει φείσασθαι Χριστιανῶν αἱμάτων, καὶ παύσασθαι τῆς τοσαύτης ὠμότητος· ἥ τις ἐπιστολὴ θαυμασίως συντέτακται, καὶ θειότατα· ἀλλ' οὐκ ἔπεισε.

Τῷ δ' αὐτῷ ἔτει Ἑλένην τὴν μακαρίαν μετὰ χρημάτων ἀπέστειλεν εἰς τὰ Ἱεροσόλυμα ὁ θεῖος Κωνσταντῖνος πρὸς τὸ ἀναζητῆσαι τὸν ζωοποιὸν τοῦ Κυρίου σταυρόν. Μακάριος δὲ ὁ πατριάρχης Ἱεροσολύμων συναντήσας τῇ βασιλίδι μετὰ τῆς δεούσης τιμῆς, τὴν ζήτησιν τοῦ ποθουμένου ξύλου ἐποιεῖτο σὺν αὐτῇ, μεθ' ἡσυχίας, καὶ προσευχῶν σπουδαίων, καὶ νηστείας. τούτων δὲ γενομένων, ἐφάνη συντόμως θεόθεν ὁ τόπος τῷ αὐτῷ Μακαρίῳ δειχθείς, ἐν ᾧ ἵδρυτο τῆς ἀκαθάρτου δαίμονος Ἀφροδίτης ὁ ναός, καὶ τὸ ἄγαλμα· ὃν τῇ βασιλικῇ αὐθεντίᾳ χρωμένη συντόμως καθεῖλεν ἡ θεόστεπτος Ἑλένη διὰ πλήθους τεχνιτῶν ἐκ βάθρων κατασκάψασα, καὶ τὸν χοῦν ἀπορρίψασα, ὑπὸ Ἀδριανοῦ Αἰλίου πάλαι κτισθέντα πολυτελῶς. αὐτίκα δὲ τὸ ἅγιον μνῆμα, καὶ ὁ τόπος τοῦ κρανίου ἀνεδείχθησαν, καὶ πρὸς ἀνατολὴν σύνεγγυς τούτων τρεῖς σταυροὶ κεχωσμένοι· ἐρευνήσαντες δὲ εὗρον καὶ τοὺς ἥλους. ἀμηχανούντων δὲ πάντων ποῖος ἄρα ἐστὶν ὁ δεσποτικὸς σταυρός, καὶ σφόδρα τῆς μακαρίας Ἑλένης λυπουμένης, ὁ Μακάριος φερωνύμως ἐπίσκοπος διὰ πίστεως ἔλυσε τὸ ζητούμενον· ἀπεγνωσμένῃ γάρ τινι γυναικὶ τῶν ἐμφανῶν, καὶ σχεδὸν τεθνηκυίᾳ προσαγαγὼν ἕκαστον τῶν σταυρῶν τὰ ξύλα, τὸ δεσποτικὸν ἔγνω. μόνον γὰρ ἤγγισε τῇ ἀσθενούσῃ ἡ σκιὰ αὐτοῦ, εὐθὺς ἡ ἄπνους καὶ ἀκίνητος, θείᾳ δυνάμει παραχρῆμα ἀνεπήδησε, δοξάζουσα τὸν Θεὸν μεγάλῃ τῇ φωνῇ. ἡ δὲ πανευσεβὴς Ἑλένη μετὰ φόβου καὶ πολλῆς χαρᾶς ἀνελομένη τὸ ζωοποιὸν ξύλον, μέρος μὲν αὐτοῦ σὺν τοῖς ἥλοις ἤγαγε πρὸς τὸν παῖδα· τὸ δὲ λοιπὸν εἰς ἀργυρέαν καταθεμένη γλωσσόκομον, παρέδωκε τῷ ἐπισκόπῳ Μακαρίῳ, εἰς μνημόσυνον ταῖς μετέπειτα γενεαῖς. τότε δὲ καὶ ἐκκλησίας ἐκέλευσε κτισθῆναι ἔν τε τῷ ἁγίῳ μνήματι, καὶ ἐν τῷ κρανίῳ, καὶ ἐπ' ὀνόματι τοῦ ἑαυτῆς υἱοῦ ἔνθα εὑρέθη τὸ ζωοποιὸν ξύλον, καὶ ἐν Βηθλεέμ, καὶ ἐν τῷ ὄρει τῶν ἐλαιῶν, καὶ οὕτως ἐπανῆλθε πρὸς τὸν πανεύφημον Κωνσταντῖνον. ὁ δὲ δεξάμενος αὐτὴν μετὰ χαρᾶς, τὴν μὲν τοῦ ζωοποιοῦ ξύλου μοῖραν ἐν χρυσῇ θήκῃ παρέθετο, παραδοὺς τῷ ἐπισκόπῳ εἰς τήρησιν· τῶν δὲ ἥλων τοὺς μὲν εἰς τὴν ἑαυτοῦ περικεφαλαίαν ἐχάλκευσε, τοὺς δὲ ἀνέμιξε τῷ σαλιβαρίῳ τοῦ ἵππου αὐτοῦ, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τοῦ χαλινοῦ τοῦ ἵππου ἅγιον τῷ Κυρίῳ παντοκράτορι. ὁ δὲ αὐτὸς πανεύφημος Κωνσταντῖνος ἔγραψε τῷ Μακαρίῳ φερωνύμως ἐπισπεύδειν τῇ οἰκοδομῇ, καὶ ἄρχοντα τοῦ ἔργου ἀπέστειλε μετὰ δαψιλείας χρημάτων, ἀπ-

λύσας

λεύσας οὕτω κτισθῆναι τοὺς ἁγίους τόπους, ὡς μὴ εἶναι τοιαύτην καλλονὴν ἐν ὅλῃ τῇ οἰκουμένῃ, γράψας ἄγεσθαι τοὺς τῆς ἐπαρχίας συνδραμεῖν τοῖς ἔργοις σπουδαίως ἐκ τοῦ δημοσίου λόγου. ἦν δὲ ὁ βασιλεὺς φαιδρῶς ἑορτάζων καὶ εὐχαριστῶν τῷ Θεῷ τῷ ποιήσαντι τοιαῦτα ἀγαθὰ ἐν τοῖς χρόνοις αὐτοῦ.

Τῷ δ' αὐτῷ ἔτει ὁ φερώνυμος Μακάριος ὁ πατριάρχης Ἱεροσολύμων ἐκοιμήθη ἐν εἰρήνῃ, καὶ διεδέξατο τὸν θρόνον αὐτοῦ Μάξιμος πρᾶος ἀνὴρ καὶ ἐπίσημος, ὃς πολλὰς βασάνους ὑπέστη διὰ τὸν Θεὸν ἐν τῷ διωγμῷ, καὶ τὸν δεξιὸν ὀφθαλμὸν ἀπολέσας.

Κατ' αὐτὸν τὸν καιρὸν καὶ ἡ μακαρία Ἑλένη ἐκοιμήθη ἐν Κυρίῳ ἐτῶν ὀγδοήκοντα, πολλὰ ἐντειλαμένη τῷ υἱῷ περὶ τῆς εἰς Χριστὸν εὐσεβείας. ἐτάφη δὲ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐν Κωνσταντινουπόλει, ὃν ἔκτισεν ὁ υἱὸς αὐτῆς Κωνσταντῖνος, εἰς τὸ θάπτεσθαι τοὺς τελευτῶντας βασιλεῖς Χριστιανούς. πρώτη δὲ ἐν αὐτῷ ἐτάφη ἡ μακαρία Ἑλένη, μνήμαις φαιδραῖς καὶ παννυχίσι τιμηθεῖσα. αἱ δὲ ἐν Ἱεροσολύμοις ἱεραὶ παρθένοι, αἷς ἑστῶσα δι' ἑαυτῆς, ὡς θεράπαινα, ταῖς τραπέζαις διηκόνει ἡ θεόφρων Ἑλένη, διὰ παντὸς θείαις μνήμαις αὐτὴν ἐμακάριζον. Εὐσεβίῳ δὲ τῷ Παμφίλου βίβλους ἱερὰς κατασκευάσαι ὁ βασιλεὺς προσέταξε λόγῳ τῶν ἐκκλησιῶν Κωνσταντινουπόλεως, παρασχὼν αὐτῷ ἐκ δημοσίου χρήματα.

Κόσμου ἔτη ͵εωιϛʹ.	Τῆς θείας σαρκ. ἔτ. τιϛʹ.	Ῥωμ. βασιλ. Κωνσταντῖνος ἔτη λβʹ.	Περσῶν βασιλ. Σαβώρης ἔτη οʹ.	Ῥωμ. ἐπίσκ. Σίλβεστρος ἔτ. κηʹ.	Κωνσ. ἐπίσκ. Ἀλέξανδρος ἔτ. κγʹ.	Ἱεροσ. ἐπίσκ. Μακάριος ἔτη κʹ.	Ἀλεξ. ἐπίσκ. Ἀλέξανδρος ἔτη κγʹ.	Ἀντ. ἐπίσκ. Εὐστάθιος ἔτη ηʹ.
		κβʹ	κδʹ	κϛʹ	ζʹ	ιαʹ	κʹ	ιβʹ

Anni mundi 5816.	Divinæ Incarn. 316.	Rom. Imp. Constantinus annis 32.	Persarum rex Sabores annis 70.	Romæ Episcopus Sylvester annis 28.	Constantinopolis Alexander Episc. ann. 23.	Hierosol. Episc. Macarius ann. 20.	Alex. Episc. Alexander annis 23.	Antioc. Episc. Eustathius ann. 8.
		22	24	26	7	11	20	12

Τούτῳ τῷ ἔτει Κωνσταντῖνος ὁ μέγας κατὰ Γερμανῶν, καὶ Σαρματῶν, καὶ Γότθων στρατεύσας τὸν Δανοῦβιν περάσας γέφυραν ἐν αὐτῷ (ἔνθα ὁ μέγας Κωνσταντῖνος γέφυραν ἐν τῷ Δανουβίῳ ἔκτισε) λιθίνην κατασκευάσας, νίκην ἤρατο κραταιὰν διὰ τῆς τοῦ τιμίου σταυροῦ δυνάμεως, καὶ τούτους ἐρημώσας εἰς ἐσχάτην αὐτοὺς ἤγαγε δουλείαν.

Τῷ δ' αὐτῷ χρόνῳ καὶ Δρεπάνην ἐπικτίσας εἰς τιμὴν Λουκιανοῦ τοῦ μάρτυρος ὁμωνύμως τῇ μητρὶ αὐτοῦ Ἑλενούπολιν κέκληκε. τῷ συμβόλῳ τῆς ἐκτεθείσης ἐν Νικαίᾳ ὑπὸ τῶν πατέρων πίστεως πάντα ὀρθοδοξεῖν Εὐσέβιος ὁ Παμφίλου μαρτυρεῖ γράφων τοῖς ἑαυτοῦ πολίταις, καὶ ἑρμηνεύων τὰ ῥήματα πρὸς τὴν διάνοιαν. Ἀθανάσιος δὲ ἐν τῇ πρὸς Ἄφρους ἐπιστολῇ μαρτυρεῖ τῷ Παμφίλῳ εἰσδεξαμένῳ τὴν φωνὴν τοῦ ὁμοουσίου· ὁ δὲ Θεοδώρητος φησὶν ὅτι Εὐσέβιος ὁ Παμφίλου σύμφρων τῶν Ἀρειανῶν ὑπῆρχεν Εὐσεβίου τοῦ Νικομηδείας καὶ τῶν σὺν αὐτῷ. ὅθεν ἐν τῇ καθαιρέσει τοῦ θείου Εὐσταθίου Ἀντιοχείας συνέδραμεν, μεθ' ὧν καὶ τὸν βασιλέα πείσας δικαίως αὐτὸν καθαιρεῖσθαι ἐν τῷ Ἰλλυρικῷ παρεσκεύασεν αὐτὸν ἐξορισθῆναι.

		κγʹ	κεʹ	κζʹ	ηʹ	ιγʹ	καʹ	ιγʹ

Τῷ αὐτῷ ἔτει τὸ ἐν Ἀντιοχείᾳ ὀκτάγωνον κυριακὸν ἤρξατο οἰκοδομεῖσθαι.

misit, qui sancta loca ex ejus mandato curaret adeo sumptuose extrui; ut splendore pares in orbe universo non extarent ædes, etiam provinciæ Præsidibus ex ærario publico collatis expensis, ad opus inceptum absolvendum opem suppeditare Imperatoris rescripto jussis. Quibus confectis Imperator dies festos hilariter celebravit, debitasque Deo, a quo Imperii sui tempora tot bonis cumulata sunt, grates persolvit.

Eodem anno tanto nomine dignus Macarius Hierosolymorum Patriarcha quievit in pace: in cujus thronum successit Maximus vir mansuetus & eximius, qui mota propter Dei religionem persecutione, dextrum oculum amisit, & plurimos sustinuit cruciatus.

Sub idem tempus beata Helena annis vitæ octoginta numeratis, multisque Christianæ vitæ præceptis filio relictis obdormivit in Domino. Sepulta est Constantinopoli in Æde sanctorum Apostolorum, quam filius ejus Constantinus, ut Imperatores Christiani ibi post obitum humarentur, construxerat. Prima vero beata Helena in hac sepulta fuit solemnibus Ecclesiæ officiis, & nocturnis vigiliis honorata. Sacræ autem Hierosolymitanæ virgines, quibus religiose de Deo sentiens Helena servarum more stans propriis manibus ministrabat, jugi piaque recordatione nomen ejus celebrantes, æternam ei beatitudinem precabantur. Denique in Ecclesiarum Constantinopolis gratiam Eusebium Pamphili, suppeditatis ex ærario publico expensis, jussit Imperator sacros libros colligere.

Hoc anno magnus Constantinus expeditione adversus Germanos Sarmatas & Gotthos suscepta, constructo in Danubio, quem pertransivit, lapideo ponte, venerandæ crucis virtute maximam reportavit victoriam, devastatisque eorum agris extremam in eos induxit servitutem.

Edit. Paris. pag. 12.

Eodem quoque anno Drepanam in honorem Luciani ibi martyrio consummati restaurans, Helenopolim de matris nomine appellavit. Fidei in Nicæna Synodo a Patribus expositæ Eusebius Pamphili testimonium rediens, rectum & legitimum omnem sensum illud continere suis civibus scripto profitetur, & singulorum ejus verborum mentem explanat. Ad Africanos scribens Athanasius Eusebium voci Consubstantialis assensum præbuisse affirmat. Theodoretus autem Eusebium Pamphili cum Arianis, Eusebio videlicet Nicomediæ Episcopo, ejusque sectatoribus, sensisse refert: unde cum ipsis ad sanctum Eustathium Antiochiæ Præsulem dignitate deponendum concurrit: cum quibus, ejus abdicationem velut justam Imperator approbans, exilium apud Illyrios eidem paravit.

		23	25	27	8	13	21	13

Eodem anno Dominicum Octagonum Antiochiæ ædificari cœptum.

									A									
			24	26	28	9	14	22	14				κδ'	κϛ'	κη'	θ'	ιδ'	κβ'	ιδ'

Hoc anno piissimus Imperator Constantinus Danubium trajecturus lapideum pontem in eo construxit, & Scythas edomuit.

Τούτῳ τῷ ἔτει Κωνσταντῖνος ὁ εὐσεβὴς τὸν Δανούβιν περάσας, γέφυραν ἐν αὐτῷ λιθίνην πεποίηκε, καὶ τοὺς Σκύθας ὑπέταξε.

				Romae Episc. 32. Marcus an. 2.				
		25	27	1	10	15	23	15

				Ῥωμ. ἐπίσκ. λβ'. Μάρκος ἔτη β'.				
		κε'	κζ'	α'	ι'	ιε'	κγ'	ιε'

B Hoc anno pius Constantinus Constantinopolim a se constructam novam Romam sanxit appellari, & Senatum habere decrevit: atque columnam ex Porphyrite, cui propriam imposuit statuam, ea in urbis parte, qua ejus ædificia condi cœpta, ad occiduam regionem, qua Romam ituris via sternitur, erexit: urbem ipsam variis distinxit ornamentis; & si quod opus uspiam provinciarum & civitatum extitit elaboratum ac præstans inter statuas, æra, & marmora, illud omne Constantinopolim transportari curavit.

Τούτῳ τῷ ἔτει κτίζων Κωνσταντῖνος ὁ εὐσεβὴς τὴν Κωνσταντινούπολιν Ῥώμην νέαν χρηματίζειν ταύτην ἐθέσπισε, καὶ σύγκλητον ἔχειν ἐκέλευσε, στήσας καὶ πορφυροῦν κίονα, καὶ ἐπάνω αὐτοῦ ἀνδριάντα, ἀπὸ τοῦ τόπου, οὗ ἤρξατο οἰκοδομεῖν τὴν πόλιν. ἐπὶ δὲ τὸ δυτικὸν μέρος τοῦ ἐπὶ Ῥώμην ἐξιούσης πύλης, κοσμήσας τὴν πόλιν, καὶ κομίσας ἐπ' αὐτῇ ἀπὸ πάσης ἐπαρχίας καὶ πόλεως, εἴ τι ἔργον ἦν εὐκοσμίας, καὶ ἀνδριάντων, καὶ χαλκοῦ, καὶ μαρμάρου.

Edit. Paris. pag. 23.

						Alexander Episc. Athanasius annis 46.	
	26	28	2	11	16	2	16

C

						Ἀλεξ. ἐπίσκ. Ἀθανάσιος ἔτη μϛ'.	
	κϛ'	κη'	β'	ια'	ιϛ'	α'	ιϛ'

Hoc anno pius Constantius templorum pariter ac idolorum eversionem promovit, adeo ut ubique delerentur: ipsorumque redicus Dei Ecclesiis addicerentur.

Τούτῳ τῷ ἔτει ἐπέτεινε Κωνσταντῖνος ὁ εὐσεβὴς τὴν τῶν εἰδώλων καὶ τῶν ναῶν αὐτῶν κατάλυσιν, καὶ κατὰ τόπους ἠφανίζοντο· καὶ αἱ πρόσοδοι αὐτῶν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ ἐδίδοντο.

Anni mundi 5828.	Divinæ Incarn. 328.	Rom. Imp. Constantinus annis 32.	Persarum rex Sabores annis 70.	Romæ Episco. 31. Julius annis 15.	Constantinopolis Episc. Alexander annis 23.	Hierosol. Episc. Macarius annis 20.	Alex. Episc. Athanasius annis 46.	Antioc 23. Episc. Eustathius annis 18.
		27	29	1	12	17	3	17

D

Κόσμου ἔτη ͵εωκη'.	Τῆς θείας σαρκ. ἔτ. τκη'.	Ῥωμ. βασιλ. Κωνσταντῖνος ἔτη λβ'.	Περσῶν βασιλ. Σαβώριος ἔτη ο'.	Ῥωμ. ἐπίσκ. Ἰούλιος ἔτη ιε'.	Κωνστ. ἐπίσκ. Ἀλέξανδρος ἔτη κγ'.	Ἱεροσ. ἐπίσκ. Μακάριος ἔτη κ'.	Ἀλεξ. ἐπίσκ. Ἀθανάσιος ἔτη μϛ'.	Ἀντ. ἐπίσκ. κγ'. Εὐστάθιος ἔτη ιη'.
		κζ'	κθ'	α'	ιβ'	ιζ'	γ'	ιζ'

Hoc anno Basilica Nicomediensis igne cælesti conflagravit.

Τούτῳ τῷ ἔτει ἡ ἐν Νικομηδείᾳ βασιλικὴ πυρὶ θείῳ κατεφλέχθη.

		28	30	2	13	18	3	18

		κη'	λ'	β'	ιγ'	ιη'	γ'	ιη'

E Hoc anno septima Indictione imminente, fames adeo truculenta Orientem invasit, ut e pagis homines turmatim glomerati in urbem Antiochenam & Cyprum effunderentur: & primo quidem noctu urbis vias obvia quæque diripere, postremum autem de die in horrea & apothecas irrumpentes, & cuncta prædari, depopulari, & mox discedere cœperunt. Vænile tritici modius argenteis quadringenteis. Magnus autem Constantinus frumenti demensum, quod viduis, orphanis, peregrinis, pauperibus, & clericis

Τούτῳ τῷ ἔτει μελλούσης ζ'. Ινδικτ. ἐπιλαμβάνεσθαι λιμὸς ἐγένετο ἐν τῇ ἀνατολῇ ἐπικρατήσας σφοδρότερον, ὥστε κώμας ἐπὶ τὸ αὐτὸ ἐν ὄχλῳ πολλῷ συναγομένας ἐπὶ τῆς χώρας Ἀντιοχέων, καὶ τῆς Κύπρου ἐπέρχεσθαι κατ' ἀλλήλων, καὶ ἁρπάζειν μὲν, ὡς ἐν νυκτὶ, ταῖς ἐφόδοις. ἔσχατον δὲ ἐν ἡμέρᾳ ἐπεισιέναι εἰς τοὺς σιτοβολῶνας, καὶ ἐν τὰς ἀποθήκας, καὶ πάντα σκυλεύοντας ἁρπάζειν, καὶ ἀναχωρεῖν γενέσθαι δὲ τὸν μόδιον τοῦ σίτου τετρακοσίων ἀργυρίων. ὁ δὲ μέγας Κωνσταντῖνος σιτομέτριον ταῖς ἐκ-

κλησίαις κατὰ πόλιν ἐχαρίσατο εἰς διατροφὴν διηνεκῶς χήραις, καὶ ὀρφανοῖς, καὶ ξένοις, πένησί τε, καὶ τοῖς κληρικοῖς. ἡ δὲ ἐν Ἀντιοχείᾳ ἐκκλησία ἐλάμβανε σίτου μοδίους λϛ'.

Τῷ δ' αὐτῷ ἔτει σεισμοῦ λαβροτάτου γενομένου ἐν Κύπρῳ Σαλαμὶν ἡ πόλις κατέπεσε, καὶ ἱκανὸν πλῆθος διέφθειρεν.

								Ἀντ. ἐπίσκ. Εὐλάλιος ἔτη γ'.
		λβ'	λα'	γ'	ιδ'	ιθ'	δ'	α'

Τούτῳ τῷ ἔτει Δαλμάτιος Καῖσαρ ἀνηγορεύθη. Καλόκαιρος δὲ ἐν Κύπρῳ τῇ νήσῳ τυραννήσας, οὐ κατέσχε τῇ Ῥωμαίων προσβολῇ· καὶ ἡττηθεὶς ἅμα τοῖς αἰτίοις, ἀνῃρέθη ἐν Ταρσῷ τῆς Κιλικίας, καυθεὶς ζῶν ὑπὸ Δαλματίου Καίσαρος.

Τῷ δ' αὐτῷ ἔτει καὶ Ἄρειος ἐκ τῆς ἐξορίας ἀνακληθεὶς δι' ἐπιπλάστου δῆθεν μετανοίας, καὶ εἰς Ἀλεξάνδρειαν πεμφθείς, οὐκ ἐδέχθη ὑπὸ Ἀθανασίου.

			λ'	λβ'	δ'	ιγ'	κ'	ε'	β'

Τούτῳ τῷ ἔτει Κωνσταντίνου τοῦ εὐσεβεστάτου καὶ νικητοῦ ἤχθη τὰ τριακονταετηρὶς πάνυ φιλοτίμως. καὶ ἐφάνη ἀστὴρ ἐν τῇ Ἀντιοχείᾳ ἐν ἡμέρᾳ ἐν οὐρανῷ κατὰ τὸ ἀνατολικὸν μέρος καπνίζων σφόδρα, ὡς ἀπὸ καμίνου, ἀπὸ ὥρας τρίτης ἕως ὥρας πέμπτης. ὁ γὰρ Ἄρειος σὺν τῷ Νικομηδείας Εὐσεβίῳ, καὶ τοῖς ὁμόφροσιν αὐτοῦ διαναστήσας, μεθ' ὅρκων λιβέλλους ὀρθοδοξίας ἐπιδεδωκότες τῷ βασιλεῖ δι' αὐτῶν, ὅτι ὁμοφρονοῦσι τοῖς ἐν Νικαίᾳ πατράσι ψευδόμενοι. τούτοις παραπεισθεὶς ὁ βασιλεύς, ἠγανάκτησε κατὰ Ἀθανασίου, ἐφ' οἷς Ἄρειον καὶ Εὐζώϊον οὐκ ἐδέξατο τοὺς ὑπὸ Ἀλεξάνδρου καθαιρεθέντας, διακόνου τότε ὄντος Εὐζωΐου. ἀφορμὴν δὲ ἀφορμὴν ὁ Εὐσέβιος, καὶ οἱ σὺν αὐτῷ, ἠγωνίζοντο κατὰ Ἀθανασίου, ὡς προμάχου τῆς ὀρθῆς πίστεως.

Κόσμου ἔτη ϛωκζ'.	Τῆς θείας σαρκ. ἔτη τκζ'.	Ῥωμ. βασ. Κωνσταντῖνος ἔτη λβ'.	Περσῶν βασ. Σαβώρης ἔτη ο'.	Ῥωμ. ἐπίσκοπος Ἰούλιος ἔτη ιε'.	Κωνστ. ἐπίσκ. Ἀλέξανδρος ἔτη κγ'.	Ἱεροσ. ἐπίσκ. Μάξιμος ἔτη κγ'.	Ἀλεξ. ἐπίσκ. Ἀθανάσιος ἔτη μϛ'.	Ἀντ. ἐπίσκ. Εὐλάλιος ἔτη γ'.
		λα'	λγ'	ε'	ιϛ'	α'	ϛ'	γ'

Τούτῳ τῷ ἔτει τὴν ἀγανάκτησιν τοῦ βασιλέως τὴν κατὰ Ἀθανασίου γενομένην, διὰ τὸ μὴ δέξασθαι Ἄρειον καὶ Εὐζώϊον μετὰ τὴν ἐπίπλαστον δῆθεν ἐπιστροφήν, οἱ περὶ τὸν Νικομηδείας Εὐσέβιον ἅμα καὶ Μελιτιανοῖς ὄργανον κακίας εὑρόντες, τὰ κατὰ Ἀθανασίου συνεσκεύαζον· καὶ πρῶτον μὲν τὴν χειροτονίαν διέβαλλον, καίπερ Ἀπολλιναρίου τοῦ Σύρου μεγάλα τῆς περὶ Ἀθανασίου χειροτονίας μαρτυροῦντος. δεύτερον δὲ περὶ τῆς λινῆς ἐσθῆτος, ἣν οἱ ἐχθροὶ ἐπιθεῖναι τὸν ἅγιον ἐσυκοφάντουν· τρίτον περὶ Φιλουμένου, ᾧ χρυσίον πολὺ πέμψαι ἔλεγον, ψευδόμενοι, εἰς ἐπιβουλὴν τοῦ βασιλέως. μετακαλεσάμενος

Theophanis Chron.

perpetuo esset alimento, Ecclesiis per urbes largitus est. Antiochena certe Ecclesia triginta sex millia modiorum frumenti accepit.

Eodem vehementissimo terræ motu Cyprum concutiente, Salamina urbs eversa est, & in ea magna hominum multitudo oppressa.

								Antioc. Episc. Eulalius ann. 3.
		20	11	3	14	19	4	1

Hoc anno Dalmatius Cæsar est declaratus. Calocærus autem tyrannide in Cypro insula occupata, Romanorum impressionem sustinere non valuit; & cum criminis auctoribus superatus, Tarsi in Cilicia necatur, vivus a Dalmatio Cæsare igni traditus.

Edit. Paris. pag. 14.

Eodem anno Arius ob simulatam pœnitentiam exilio revocatus, & Alexandriam missus, ab Athanasio in Ecclesiasticam societatem nullatenus est admissus.

			30	32	4	13	20	5	2

Hoc anno Piissimi & Victoris Constantini tricennalia magna cum festivitate & munificentia celebrata sunt. Antiochiæ media die ad cæli partem Orientalem visa est stella, ex qua densus velut e camino fumus exhalabat a tertia ad quintam usque horam. Arius enim una cum Eusebio Nicomediensi reliquisque asseclis resumptis animis excitatus, libellos sinceræ rectæque fidei testes, additis etiam jura mentis, Imperatori obtulit, quibus, ut tum ipse, tum socii congregatis olim Nicææ patribus assentirentur dolose mentitus asseveravit. His Imperator suasus in Athanasium indignatione movetur, quod Arium & Euzojum ab Ecclesiastica quondam communione ab Alexandro rescissos, ipso Euzojo Diaconi munus tunc exercente, non recepisset. Istam vero Eusebius, & qui favebant, occasionem nacti, adversus Athanasium tamquam veræ fidei propugnatorem decertabant.

Anni mundi 5827.	Divinæ Incarn. 327.	Rom. Imp. Constantinus annis 32.	Parsarũ rex Sabores annis 70.	Roman. Episc. Julius annis 15.	Constan. Episc. Alexander annis 23	Hieros. Episc. Maximus annis 23.	Alex. Episc. Athanasius annis 46.	Ant. Episc. Eulalius annis 3.
		31	33	5	16	1	6	3

Hoc anno conceptam adversus Athanasium Imperatoris iram, quod Arium & Euzojum, post simulatam videlicet eorum conversionem, Ecclesiæ non aggregasset, qui Eusebii Nicomediensis & Meletianorum partes fovebant, velut nequitiæ commodum instrumentum adepti, plura in eum machinati sunt. Et primum quidem ordinationem ejus calumniabantur, de qua tamen Apollinarius Syrus fidem faciens grave dabat testimonium. Secundo ob lineam vestem, quam sanctum superimponere ejus adversarii criminabantur. Tertio de Philumeno, ad quem magnam auri copiam, ad parandas nimirum Imperatori insidias, eum misisse mentiebantur. Advocans autem Impera-

tor Athanasium, & cuncta mendaciis compacta reperiens, eum honore plurimo cumulatum cum litteris Alexandriam remisit.

Edit. Paris. pag. 25.

Eodem anno perniciosum Ischyræ consilium in Athanasii caput ad Mareotem conflatum est. Hic Ischyras sacerdotem se fingens Ecclesias circumibat: quod resciens Athanasius hominem a temerariis ausibus Macarii presbyteri ope prohibuit. Hic fuga saluti consulens, Eusebium Nicomediæ, structa in Athanasium accusatione, convenit; & quasi per acta sacrati Mysterii tempore sancta vasa ex altari deturbata contregisset, sacros quoque libros per Macarium combussisset, & declamatam abscidisset Arsenii manum illa magicis in operibus usurus, sanctum virum hac arte reum impudenter agebant. Cognitis in Athanasium criminationibus Imperator Dalmatio fratris filio Antiochiæ tunc commoranti horum disquisitionem committit: Postmodum vero judicium Cæsaream transtulit: quod cum propter Eusebium Pamphili recusaret Athanasius, dies ei a veritatis adversariis Tyri dicitur, ab Eusebio dico Nicomediæ Præsule fraudibus Imperatorem circumveniente, & sanctorum locorum recenter ædificatorum se desiderio teneri, atque præsentia sua dedicationem eorum cohonestare se velle prætexente. Magno itaque comitatus apparatu dimissum jubet Imperator objectas Athanasio criminationes diluere, & hoc pacto cum eo dedicationis solemnitati interesse. Iis Tyri coactis, Maximus Hierosolymorum Antistes, cui nulla paratarum Athanasio insidiarum erat notitia, advenit. Athanasius demum iniquorum consessum ingressus accusatorum calumnias aranearum instar dissolvit: adeo ut, quod in mendacio fuissent deprehensi concitati & vehementius indignati, cuncta tumultu clamoribusque complere coeperint vociferantes: Tollite præstigiatorem omnes imposturis circumvenientem & opprimentem silentio. Ac vix Dalmatius Cæsar Imperatoris nepos armata militum manu instructus Athanasium morti sibi inferendæ proximum potuit eripere. Tunc etiam Arsenius, quæ Dei fuit providentia, Tyri comparuit: & convicta criminis intentati fictione, & calumnia in Ischyræ faciem repulsa, Athanasii hostes turpiter confusi conventum dissolverunt: Athanasius quoque propter intolerandas in se paratas insidias Tyro discessit. Mox qui Arii mentem tuebantur, ex unius factionis Episcopis inito conciliabulo absentem Athanasium sua dignitate deponunt: quique Ario & Euzojo communionem impertiebant, eos Alexandriam miserunt: ac ita cruentis manibus dedicationis peregere mysteria. Omnium vero malorum princeps atque auctor extitit Eusebius Nicomediensis. Sane veritatis fama obtinuit magnum Athanasium Tyro fugientem accessisse Hierosolymam, & conceptis precibus loca orationibus, & sacrificiis destinata sancto inunxisse unguento, & ante impiorum adventum consecrasse: mox ad Imperatorem profectum omnia adversum se gesta exposuisse. Quibus ex admiratione attonitus præclarus Imperator ob adversariorum malitiam, magno auctum honore cum litteris Alexandriam remisit. Cum vero Nicomediensis Eusebius, vel contra nomen ab omni pietate alienus, & Theognis & Ur-

pag. 26.

δὲ ὁ βασιλεὺς Ἀθανάσιον, καὶ πάντα ψευδῆ εὑρὼν, μετὰ γραμμάτων καὶ τιμῆς πολλῆς εἰς Ἀλεξάνδρειαν τοῦτον ἀπέστειλεν.

Τῷ δ' αὐτῷ ἔτει καὶ ἡ Ἰσχύρας κατὰ Ἀθανασίου ἐπιβουλὴ εὑρέθη ἐν τῷ Μαρεώτῃ. οὗτος ὁ Ἰσχύρας ἱερέα ἑαυτὸν σχηματίσας, περιῄει· ὅπερ μαθὼν Ἀθανάσιος, τοῦτον ἐκώλυε τοῦ τολμήματος, διὰ Μακαρίου πρεσβυτέρου. ὁ δὲ φυγὼν ἦλθε πρὸς Εὐσέβιον τὸν Νικομηδείας, κατηγορῶν Ἀθανασίου, ὡς καὶ ἱερὰ σκεύη τῷ καιρῷ τῆς μυσταγωγίας ἐκ τοῦ θυσιαστηρίου κατεάξαντος, καὶ ἱερὰς βίβλους διὰ Μακαρίου καύσαντος· Ἀρσενίου τε τοῦ περιβόητον χεῖρα ἀποκόψαι καταψεύσαντο πρὸς μαγείαν ταύτην κεχρῆσθαι τὸν ἅγιον, οὕτως ἀναιδῶς διαβάλλοντες. γνοὺς δὲ ὁ βασιλεὺς τὰς κατὰ Ἀθανασίου διαβολὰς, Δαλματίῳ πρῶτον τῷ ἰδίῳ ἀνεψιῷ ἐπιτρέπει ζήτησιν εἰς Ἀντιόχειαν ὄντι. ὕστερον δὲ μεταφέρει τὴν δίκην εἰς Καισάρειαν, ἣν ὑπερθέμενος ὁ Ἀθανάσιος διὰ τὸν Παμφίλου Εὐσέβιον, ἐν Τύρῳ κρίνεται ὑπὸ τῶν ἀντιδίκων τῆς ἀληθείας, Εὐσεβίου δὲ, φημὶ, τοῦ Νικομηδείας ἀπατήσαντος τὸν βασιλέα, ἐπιθυμίᾳ δῆθεν τῶν οἰκοδομηθέντων ἁγίων τόπων, καὶ τοῦ εὑρεθῆναι εἰς τὸν ἐγκαινισμὸν αὐτοῦ, καὶ μετὰ μεγάλης τιμῆς ἀπέλυσε, κελεύσας λυθῆναι τὰς κατὰ Ἀθανάσιον διαβολὰς, καὶ οὕτω σὺν Ἀθανασίῳ εἰς τὴν ἑορτὴν τῶν ἐγκαινίων γενέσθαι. συνελθόντων αὐτῶν ἐν Τύρῳ, εὑρέθη καὶ Μάξιμος Ἱεροσολύμων ἀγνοῶν τὰς κατὰ Ἀθανασίου συσκευάς· εἰσελθὼν δὲ Ἀθανάσιος εἰς τὸ συνέδριον τῶν κακοφρόνων, ἀράχνης δίκην τὰς συκοφαντίας τῶν κατηγόρων διέλυσεν, ὥστε αὐτοὺς ἐφ' οἷς ὤφθησαν ψευδόμενοι, καὶ μανέντες, συγχεῖν ἅπαντα καὶ βοᾶν· ἄρατε τὸν γόητα ἅπαντας φιμώσαντα. Δαλμάτιος δὲ ὁ Καῖσαρ καὶ ἀνεψιὸς τοῦ βασιλέως μετὰ στρατιωτικῆς χειρὸς μόλις Ἀθανάσιον περιέσωσεν ἀναιρεῖσθαι ὑπ' αὐτῶν μέλλοντα. τότε καὶ Ἀρσένιος κατὰ Θεοῦ πρόνοιαν ἐν Τύρῳ παρεγένετο, καὶ τοῦ κατ' αὐτὸν πλάσματος διελεγχθέντος, ἐπὶ τὴν κατὰ Ἰσχύραν συκοφαντίαν οἱ ἐχθροὶ ἐτρέποντο. Ἀθανάσιος δὲ διὰ τὰς ἀφορήτους κατ' αὐτοῦ ἐπιβουλὰς ὑποχωρήσας τῆς Τύρου, πρᾶξιν δὲ κατὰ μονομερίαν συστησάμενοι οἱ Ἀρειόφρονες, καθαιροῦσιν ἀπόντα τὸν Ἀθανάσιον. Ἀρείῳ δὲ καὶ Εὐζωΐῳ συγκοινωνήσαντας, εἰς Ἀλεξάνδρειαν τούτους ἐξέπεμψαν· καὶ οὕτως ἀνῆλθον ᾑμαγμέναις χερσὶν εἰς τὰ ἐγκαίνια. πάντων δὲ τῶν κακῶν ἦν ἀρχηγὸς ὁ Νικομηδείας Εὐσέβιος. λόγος δὲ ἀληθείας κρατεῖ, ὅτι ὁ μέγας Ἀθανάσιος φυγὼν ἐκ Τύρου ἀνῆλθεν εἰς Ἱεροσόλυμα· καὶ ποιήσας εὐχὰς, καὶ τῷ ἁγίῳ χρίσας μύρῳ, καὶ ἁγιάσας τοὺς εὐκτηρίους, πρὸ τῆς τῶν ἀσεβῶν παρουσίας, κατέλαβε τὸν βασιλέα, καὶ πάντα καθ' ἑαυτὸν ἐξηγήσατο. ὁ δὲ πανεύφημος Κωνσταντῖνος θαυμάσας τὴν τῶν ἀντιδίκων αὐτοῦ πονηρίαν, τιμῆς μεγίστης ἀξιώσας αὐτὸν, μετὰ γραμμάτων ἀπέλυσεν εἰς Ἀλεξάνδρειαν. μετὰ δὲ τὴν ἐκ τῶν ἐγκαινίων ἐπάνοδον ὁ πάσης εὐσεβείας ἀλλότριος Νικομηδείας Εὐσέβιος, καὶ Θέογνις, καὶ

Οὐρσάκιος, καὶ Πατρόφιλος, καταλαβόντες τὸ Βυζάντιον, καὶ τὰς πρώτας κατὰ Ἀθανασίου διαβολὰς σιωπήσαντες, μάρτυρας ψευδεῖς προσεβάλλοντο τέσσαρας ἐπισκόπων χειροτονίας ἔχοντας· οἵ τινες μεθ' ὅρκου εἰπεῖν ἐτόλμησαν, ὅτι ἠκούσαμεν Ἀθανασίου ἀπειλοῦντος κωλύειν τὴν σιτοπομπίαν τὴν ἐρχομένην ἐξ Αἰγύπτου εἰς τὸ Βυζάντιον. ὅθεν καὶ κινήσαντες εἰς ὀργὴν τὸν φιλόχριστον βασιλέα, παρασκευάζουσιν ἐξορίσαι τὸν μέγαν Ἀθανάσιον εἰς Τίβερριν τῆς Γαλλίας. Ἀθανασίου δὲ ἐξορισθέντος, Ἄρειος πάλιν ἐτάραττε τὴν Αἴγυπτον. γνοὺς δὲ ὁ βασιλεὺς, μεταπεμψάμενος αὐτὸν, ἠρώτα εἰ τοῖς ἐν Νικαίᾳ δόγμασι συντίθεται περὶ τοῦ ὁμοουσίου. τοῦ δὲ μεθ' ὅρκου εἰπόντος συντίθεσθαι, δόλον τε νοῶ, ὡς ἀεὶ ἐργαζόμενος. δύο γὰρ χάρτας συντέθεικεν, ἕνα μὲν ὑπὲρ τοῦ ὁμοουσίου, θάτερον δὲ κατ' αὐτοῦ· ὃν καὶ δι' ἑαυτοῦ ἔγραψε, τὸν πρῶτον δι' ἑτέρου γράψας. πείθει τοίνυν τὸν βασιλέα, ὀμόσας οὕτω πιστεύειν, κελεῦσαι δεχθῆναι αὐτὸν ἐν τῇ καθολικῇ ἐκκλησίᾳ. ὅπερ μαθὼν ὁ θεῖος Ἀλέξανδρος, τῷ Θεῷ προσέκλαυσεν εἰς τὴν καλουμένην Εἰρήνην ἐκκλησίαν· καὶ λόγου θᾶττον ἡ θεία δίκη μετῆλθε τὸν Ἄρειον, ἐν τόποις ἀξίοις τῶν τῆς γλώσσης ἀμαρτημάτων, ἐκκόψασα τῆς ζωῆς, ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι, τῶν σπλάγχνων αὐτοῦ κατενεχθέντων ἐν ἀμφόδοις, καθ' ἣν ὥραν ἔμελλε τῶν ἱερῶν ἀναξίως ἐπιβαίνειν περιβόλων. ταῦτα τῷ τριακοστῷ πρώτῳ ἔτει γέγονε τοῦ μεγάλου Κωνσταντίνου, τοῦ θείου Ἀλεξάνδρου ἐπισκοποῦντος τὴν Κωνσταντινούπολιν, καὶ οὐχ ὥς φασιν, Εὐσέβιος μόνος, ὅτι ὁ Νικομηδείας Ἀσεβὴς Εὐσέβιος, ὅτε εἰς τὰ ἐγκαίνια τὰ κατὰ Ἀθανασίου ἐσκεύαζε, τὸν Κωνσταντινουπόλεως θρόνον ἐπεῖχε. τοῦτο γὰρ καὶ ἐκ τῆς τῶν χρόνων ὁμάδος δείκνυται ψεῦδος. ἐπείπερ Κωνσταντῖνος τὰ ὅλα ἔτη τριάκοντα δύο ἐβασίλευσεν· ὃς μετὰ τὴν πρώτην δεκαετηρίδα, τῷ δεκάτῳ τρίτῳ αὐτοῦ ἔτει καταλαβὼν τὸ Βυζάντιον, Μητροφάνην τὸν πρὸ Ἀλεξάνδρου εὗρεν ἐπίσκοπον πρῶτα, εἶτα Ἀλέξανδρος ἔτη κγ'. ἐπεσκόπησεν· ὡς εἶναι ἀπὸ τῆς ἀρχῆς τῆς βασιλείας τοῦ μεγάλου Κωνσταντίνου, ἕως κοιμήσεως Ἀλεξάνδρου, ἔτη λζ'. ἅπερ Κωνσταντῖνος οὐκ ἔφθασε· καὶ οὕτω μὲν ἐκ χρονικῆς ὁμάδος δείκνυται μὴ ἄρξαι τὸν Εὐσέβιον ἐπὶ Κωνσταντίνου τοῦ θρόνου Κωνσταντινουπόλεως. δείκνυται δὲ καὶ ἐκ τῶν εἰρημένων ἀνωτέρω περὶ Ἀρείου καὶ Ἀθανασίου. ἡ γὰρ Ἀθανασίου ἐξορία, καὶ Ἀρείου κατάλυσις, μετὰ τριακοστὸν ἔτος Κωνσταντίνου γέγονε, καὶ μετὰ τὰ ἐγκαίνια Ἱεροσολύμων· ὁ δὲ μέγας Ἀλέξανδρος ἔτι περιῆν.

							Ἀντ. ἐπίσκ. Εὐφρόνιος ἔτη ε'.
	λβ'	λδ'	ς'	ζ'	β'	ζ'	α'

Τούτῳ τῷ ἔτει Εὐστάθιος πρεσβύτερος Κωνσταντινουπόλεως ἀποστολικὸν βίον ἐπανῃρημένος, καὶ εἰς ἄκρον ἀρετῆς ἐληλακὼς, διαπρέπων

Τούτῳ τῷ ἔτει Πέρσαι Βεζαυχδὲ καλούμενον κάστρον παρέλαβον· Κωνστάντιος δὲ ἀκηκοὼς, ὅτι Ἰουλιανὸς ἐν Γαλλίαις ἐν πολέμοις εὐδοκιμήσας ὑπὸ τοῦ στρατοῦ βασιλεὺς ἀνηγορεύθη, ἐν Ἀντιοχείᾳ διάγων διὰ τὸν Περσικὸν πόλεμον, ἐξώρμησε κατὰ Ἰουλιανοῦ τυράννου· καὶ ἐλθὼν ἐν Μοψουκρήνῃ, ἐν πρώτῃ μονῇ ἀπὸ Ταρσοῦ τῆς Κιλικίας ἐτελεύτησε μηνὶ Δίῳ γʹ. πολλὰ τῆς ἀνοίας αὐτοῦ καταγνούς. B ἐβαπτίσθη δὲ τότε εἰς Ἀντιόχειαν ὑπὸ Εὐζωΐου τοῦ Ἀρειανοῦ, τοῦ καθολικοῦ κόσμου ἔτους ,εωνβʹ. τῆς δὲ ἀπιελάδου φλγʹ. ἀρχομένης τῆς ιβʹ. τότε λοιπὸν Ἰουλιανὸς μονοκράτωρ γενόμενος, ἀναιδῶς ἑλλήνιζεν, αἵματι θυσιῶν τὸ ἅγιον βάπτισμα ἀποπλυνάμενος, καὶ πάντα ποιῶν ὅσα οἱ δαίμονες θεραπεύονται.

Κόσμου ἔτη	Τῆς θείας σαρκ.	Ῥωμ. Βασιλ. Ἰουλιανὸν ἔτη γʹ.	Περσῶν βασιλ. Σαβώρης ἔτη οʹ.	Ῥωμ. ἐπίσκ. Δάμασος ἔτη ιηʹ.	Κωνσ. ἐπίσκ. Εὐδόξιος ἔτη ιʹ.	Ἱεροσ. ἐπίσκ. Ἱλαρίων ἔτη ιβʹ.	Ἀλεξ. ἐπίσκ. Ἀθανάσιος ἔτη μϛʹ.	Ἀντ. ἐπίσκ. Εὐζώϊος ἔτη ηʹ.
		γʹ	νθʹ	θʹ	ιβʹ	ζ	λεʹ	γʹ

C

Τούτῳ τῷ ἔτει ἐβασίλευσεν Ἰουλιανὸς ὁ παραβάτης, μοναρχήσας διὰ πλῆθος ἁμαρτιῶν ἡμῶν. ἐπαρθεὶς γὰρ τῇ τῶν βαρβάρων νίκῃ, ἑαυτῷ τὸ κράτος ἐπιτρέψας, καὶ διάδημα περιθέμενος, πρὸ τῆς Κωνσταντίου τελευτῆς εἰς ἑλληνισμὸν ἀναιδῶς ἐξετράπη. ἅπερ Κωνστάντιος πλεῖστα μεταμελούμενος, ἀπέδωκε τὸ πνεῦμα, ἐπί τε τῷ τοῦ γένους D φόνῳ, καὶ τῇ καινοτομίᾳ τῆς πίστεως, καὶ τῇ ἀρνήσει τοῦ Ἀποστάτου. Ἰουλιανοῦ δὲ τοῦ Ἀποστάτου θείοις κρίμασι μονοκρατορήσαντος, παντοδαποὶ θεήλατοι ὀργαὶ τὴν Ῥωμαίων γῆν κατειλήφασι, καὶ θέλων δεῖξαι τὸν Κωνστάντιον ἄδικον καὶ ἀπάνθρωπον, ὑποκρινόμενος δικαιοσύνην ὁ παράνομος, τοὺς ἐν ἐξορίᾳ ἐπισκόπους ἀνεκαλέσατο· Εὐσέβιον δὲ τὸν πρῶτον τῶν βασιλικῶν εὐνούχων ἀνεῖλεν, ὡς δῆθεν ἄδικον· ἐδίωξε δὲ καὶ τοὺς ἄλλους εὐνούχους τοῦ παλατίου, διὰ τὸ ἀποβαλεῖν τὴν γυναῖκα, ἣν συνῆψεν αὐτῷ Κωνστάντιος ἀδελφὴν ἑαυτοῦ· ὁμοίως E καὶ μαγείρους διὰ τὸ λιτὸν τῆς διαίτης, καὶ κουρέας, διὰ τὸ ἕνα πολλοῖς ἀρκεῖν, ὡς ἔλεγε. τοῦ δὲ δημοσίου τάς τε καμήλους, καὶ ὄνους, ἵππους συγχωρήσας ὑπουργεῖν διὰ φιλαργυρίαν, ἧς δοῦλος ἦν, ὡς πρὸ τῆς εἰδωλολατρείας. τότε οἱ κατὰ τὴν ἀνατολὴν Ἕλληνες ἐπαρθέντες, εὐθέως ἐν Ἀλεξανδρείᾳ Γεώργιον τὸν ἐπίσκοπον σύροντες ἀνεῖλον, καὶ τὸ λείψανον αὐτοῦ ἀθλίως ἐπόμπευον διὰ τῆς πόλεως,

rum Apostorum æde, ruinam ejus caussatus, ad sancti Acacii templum transtulit. Populo vero depositionem hujusmodi prohibente, magna adeo cædes edita est, ut puteus & Martyrici templi area, adiacentesque plateæ cæsorum sanguine complerentur. Constantius, eo cognito, in Macedonium iratus, virum gradu deponi jubet: & ingens malum majori calamitate commutans, Eudoxium in ejus locum substituit.

Hoc anno Castrum, cui nomen Bedzaechdt, Persæ obtinuerunt. Constantius autem audiens Julianum bellica laude conspicuum ab exercitu Imperatorem in Galliis renunciatum, ipse moram Antiochiæ trahens, & Persicæ expeditioni intentus, in Julianum tyrannum protectionem suscepit. Cumque Mopsocrenas primam a Tarso Ciliciæ stationem attigisset, tertio Dii mensis die, propria longiori sermone damnata prius væcordia defunctus est. Ab Euzojo Ariano baptismum accepit Antiochiæ, numerato tunc temporis universi orbis anno 5852. duodecima, post undecimam exactam, annorum 532 redeunte periodo. Solus itaque Julianus Imperio potitus, impurorum sanguine sacrificiorum sancto baptismate polluto, idolis inverecunde cærimoniabatur, nec ullum, quo mulcentur dæmones, cultum volebat omitti.

Edit. Paris. pag. 39.

Anni mundi	Divinæ Incarn.	Rom. Imp. Julianus annis 3.	Persarum rex Sabores annis 70.	Romæ Episc. Damasus annis 18.	Constant. Episc. Eudoxius annis 10.	Hierosol. Episc. Hilarion annis 12.	Alexand. Episc. Athanasius annis 46.	Antioc. Episc. Euzoios annis 8.
		1	59	9	2	7	35	1

Hoc anno, ita nostrorum criminum exigente multitudine, Julianus Prævaricator tyrannidem solus arripuit. Victoriis etenim adversus Barbaros elatus, omnem sibi permisit Imperii potestatem, & imposito ante Constantii obitum diademate, deposito veræ Religionis pudore, ad prophanos Gentilium ritus animum convertit. Constantius cædium in proprium genus perpetratarum conscius, & renovatæ a Juliano superstitionis idolicæ, & initæ ab eodem a vera fide defectionis tristi nuncio perculsus, ob eidem delatum Imperii consortium pluribus lachrymis pœnitentiam testatus, spiritum emisit. Juliano igitur cælestibus decretis Imperium solo obtinente, variarum calamitatum imbres in Romanum orbem divino nutu immissi depluere cœperunt. Nimirum ille juris & æqui transgressor, juris vindicem se fingens, Constantio injustitiæ & inhumanitatis labem tentans aspergere, amandatos in exilium Episcopos sanxit revocandos. Eusebium vero regiorum Eunuchorum Principem, ceu noxium morte damnavit: sed & reliquam eviratorum turbam, uxore, quam Constantius frater tradiderat, amissa, coquos item, quod victus parcitatem & frugalitatem prosequeretur, ac tonsores demum, quod pluribus unus sufficeret, ut ajebat, Palatio expulit. A publici porro cursus consuetudine, camelis, asinis, bobus, & mulis ablegatis, adaugendæ pecuniæ, cujus etiam ante idolorum mancipabatur libidini, solos equos in ministerium adhiberi permisit. Eo tempore Gentiles Orientis incolæ resumptis animis, Georgium Alexandrinum Episcopum de repente per vim abreptum occiderunt; cadaver autem ejus ludibrius

pag. 40.

per impietatem afficiendum, ac lo civitatis vicos omnes traducendum impofuerunt camelo, & beftiarum tandem mortuarum offibus admixtum confumpferunt igne, & in ventum difperferunt reliquias. Tunc Athanafius longo temporis fpatio a quadam virgine occultatus redux recepit Ecclefiam, & Alexandriæ convocata Syoodo, fancita prius apud Nicæam fidei dogmata confirmavit. Sublato Georgio Lucium fibi præfecerunt Ariani, & in profanis ædibus conventicula celebrarunt. Gentiles etiam plurimos Chriftianorum crucibus fuffixos mactaverunt: ac fubinde Patrophili Scythopolitani Præfulis reliquias terra erutas partitim hinc & inde disjecerunt, calvariam vero contumeliofe fufpendentes ludificati funt. Gazæ vero atque Afcalone Presbyteros & virgines Deo in perpetuum facratas interemeruot, eorumque inaperta vifcera complentes hordeo porcis objecerunt difcerpenda. Ad hæc, Cyrillum Diaconum, quod fub beatæ memoriæ Conftantino evertiffet idola, Heliopolitæ in Phœnicia letho multaverunt, & ex ejus jecore ftruxerunt epulum. Qui porro Diaconum fciderat, & ex ejus delibarat jecore, hæc deinceps eft perpeffus. Linguam tabo fluentem evomuit, & expuit dentes: oculifque tandem excæcatus, ac miferandum in modum cruciatus, vitam finivit. Chriftianis infuper Cæfareæ in Cappadocia civibus plurima mala Julianus rependit. Ob illatas quippe ab ipfis fub Conftantio Gentilibus noxas, & everfum Fortunæ fanum, civitatis jus ademit, & antiquato Cæfareæ nomine, Mazocam, quæ prior erat ejus appellatio, juffit vocari. Horrenda infuper tormenta Arethufæ exercuit in Chriftianos: inter quos etiam Marcum fanctiffimum Monachum, qui ab exercitus Conftantii fobolem ad necem quærentis poteftate Julianum ipfum exemerat, iovolvit. Hujus adhuc fpirantis vifcera . . . . in magna Ecclefia Jovis idolum, antiquis ædibus everfis, erexit. Mares autem Chalcedonenfis Epifcopus Juliano ad Fortunæ fanum facrorum faciendorum gratia proficifcenti contumelias in faciem intulit: quas ille Philofophi perfonam agens fuftinuit.

λῳ ἐπιθέντες ἐνεπόμπευον διὰ τῆς πόλεως, καὶ μετὰ νεκρῶν ἀλόγων ὀστέων μίξαντες αὐτοῦ τὸ λείψανον, κατέκαυσαν, καὶ ἐσκόρπισαν. Τότε Ἀθανάσιος πρός τινα παρθένον κρυπτόμενος χρόνον πολὺν ἐξελθὼν, σύνοδον ἐν Ἀλεξανδρείᾳ ἐκρότησε, καὶ τὰ κατὰ Νίκαιαν κυρώσας δόγματα, τὴν ἐκκλησίαν ἀπέλαβεν. οἱ δὲ Ἀρειανοὶ μετὰ Γεώργιον Λούκιον προεχειρίσαντο ἑαυτοῖς, καὶ ἐν οἴκῳ κοινῷ συνήγοντο. πολλοὺς δὲ καὶ ἄλλους Χριστιανοὺς οἱ Ἕλληνες ἀνεσταύρωσαν, καὶ κατέσφαξαν. τοῦ δὲ Πατροφίλου τοῦ ἐν Σκυθοπόλει ἐπισκόπου λείψανα ἀνορύξαντες, τὰ μὲν ἄλλα ἐσκόρπισαν, τὸ δὲ κρανίον ἐφυβρίστως κρεμάσαντες ἐνέπαιζον. ἐν δὲ Γάζῃ καὶ Ἀσκάλωνι πρεσβυτέρους καὶ ἀειπαρθένους ἀναιροῦντες, ἀνέπτυσσον τὰ σπλάγχνα αὐτῶν, καὶ κριθῶν πληροῦντες, τοῖς χοίροις παρέβαλλον. ἐν δὲ Φοινίκῃ Κύριλλον διάκονον οἱ Ἡλιοπολῖται ἀνελόντες, τοῦ ἥπατος αὐτοῦ ἀπεγεύσαντο, ἐπειδὴ τὰ εἴδωλα αὐτῶν ἐπὶ τοῦ μακαρίου Κωνσταντίνου κατέστρεψεν. ὁ δὲ ἀνατεμὼν τὸν διάκονον, καὶ ἀπογευσάμενος τοῦ ἥπατος αὐτοῦ, πέπονθε ταῦτα. τὴν μὲν γλῶσσαν σαπεῖσαν κατέβρωσε, καὶ τοὺς ὀδόντας ἀπέβαλε, καὶ τοὺς ὀφθαλμοὺς ἐπηρώθη, καὶ οὕτω βασανιζόμενος ἀπέθανε. τοῖς δὲ ἐν Καισαρείᾳ Καππαδοκίας Χριστιανοῖς πολλὰ κακὰ ἐνεδείξατο ὁ Ἰουλιανός. ἀφείλατο δὲ τὰ δίκαια τῆς πόλεως, καὶ τὸ ὄνομα τοῦ καλεῖσθαι αὐτὴν Καισάρειαν. Μάζακαν δὲ αὐτὴν, ὡς τὸ πρὶν, ἐκέλευσε λέγεσθαι· ὅτι οἱ αὐτόθι Χριστιανοὶ ἐπὶ Κωνσταντίου πολλὰ κακὰ τοὺς Ἕλλησιν ἐποίησαν, καὶ τὸν ναὸν τῆς τύχης κατέσκαψαν. ἐν δὲ Ἀρεθούσῃ φοβερὰ κατὰ Χριστιανῶν διεπράξατο· ἐν οἷς καὶ Μάρκον τὸν ἁγιώτατον μοναχὸν τὸν σώσαντα καὶ κρύψαντα Ἰουλιανὸν, ἐν τῷ ἀναιρεῖν τὸν στρατὸν τὸ γένος Κωνσταντίου. τούτου τὰ σπλάγχνα ζῶντος * . . . . ἐν Ἐμέσῃ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τοῦ Διὸς εἴδωλον ἵδρυσε, τὰς δὲ παλαιὰς ἐκκλησίας κατέστρεψε. Μάρις δὲ ὁ Χαλκηδόνος πολλὰς ὕβρεις τῷ Ἰουλιανῷ κατὰ πρόσωπον εἰς τὸν οἶκον τῆς τύχης ἀπιόντι, καὶ θύσοντι ἐπήγαγεν. ὁ δὲ, ὡς φιλόσοφος δῆθεν, τὰς ὕβρεις ὑπήνεγκεν.

* Deest

| | | 2 | 60 | 20 | 3 | 8 | 36 | 4 |

Edit. Parif. pag. 42.

Hoc anno impius Julianus Chriftianos ne Gentilium difciplinis acquirendis ftudium apponerent, edicto prohibuit. Eapropter Apollinarius ex divina quidem Scripturæ argumento fibi propofito, eodemque vetuftiorum, quos ioitiatus eft, dictione & charactere ornato, librum, quem, Pro veritate, infcripfit, adverfus Julianum edere molitus, Ecclefiam magnopere juvit. Magnum vero Athanafium Julianus a Gentilibus in ipfum concitatus Alexandria pelli præcepit. Ille difceffum parans, Chriftianos fui caufa lachrymis perfufos bono animo jubebat effe, dicens: Confidite, nubecula eft: commodum diffipabitur. Titum infuper facrum Boftrenfium Epifcopum ut cives urbe ejicerent, refcripto mandavit: Dorotheum quoque Tyri Præfulem multis certaminibus præclarum, variarum Ecclefiæ hiftoriarum fcriptorem, dicendi peritia præftantem, eum, inquam, qui Confefforis nomen fub Diocletiano, & Licinii rurfum temporibus fuerat adeptus, fecun-

| | | β' | ξ' | ι' | γ' | η' | λς' | δ' |

Τούτῳ τῷ ἔτει ὁ δυσσεβὴς Ἰουλιανὸς ἐνομοθέτησε μὴ μετέχειν Χριστιανοὺς Ἑλληνικῶν μαθημάτων. Ἀπολλινάριος δὲ τῇ μὲν θείᾳ γραφῇ χρησάμενος ὕλῃ, χαρακτῆρας δὲ τῶν ἀρχαίων μιμησάμενος, καὶ κατὰ τοῦ Ἰουλιανοῦ λόγον συγγράψας, ὃν ὑπὲρ ἀληθείας ὑπέγραψε, πολλὰ τὴν ἐκκλησίαν ὠφέλησεν. Ἀθανάσιον δὲ τὸν μέγαν Ἀλεξανδρείας ἐξελαθῆναι ἐκέλευσε, πολλὰ τῶν Ἑλλήνων σφοδρῶς αὐτῷ παροξυνόντων κατ' αὐτοῦ. ὁ δὲ ἐξερχόμενος, θαρρεῖν εἶπε Χριστιανοῖς τοῖς ὑπὲρ αὐτοῦ δακρύουσι, φήσας· θαρσεῖτε, νεφύδριόν ἐστι, καὶ παρέρχεται. καὶ Τίτον τὸν ἱερὸν ἐπίσκοπον Βόστρων Ἰουλιανὸς ἔγραψε Βοστρηνοῖς ἐξελάσαι τοῦτον τῆς πόλεως, Δωρόθεόν τε τὸν πολύαθλον ἐπίσκοπον Τύρου, τὸν πολλὰς ἱστορίας γράψαντα ἐκκλησιαστικὰς, καὶ ἐν λόγοις διαπρέποντα, τὸν ἐπὶ Διοκλητιανοῦ ὁμολογητὴν γεγονότα, καὶ αὖθις ἐπὶ Λικινίου ἐν γήρᾳ φθάσαντα βαθεῖ, ἐν τῷ δεύ-

τέρῳ

τέρῳ χρόνῳ τοῦ παραβάτου οἱ τούτου ἄρχοντες ἐν Ὀδυσσοπόλει τοῦτον εὑρόντες ἰδιάζοντα πολλοῖς αἰκισμοῖς διατέθεισαν εἰς Χριστὸν πίστιν ἐπάγοντες αὐτὸν ρζʹ. χρόνων ὑπάρχοντα. τὰς δὲ Χριστιανῶν εὐποιΐας ὁ ἄχρηστος καὶ παραβάτης μιμούμενος ξένοις τε καὶ πτωχοῖς τὰ πρὸς τὴν χρείαν χορηγεῖσθαι ἐκέλευσεν, ἀπατῶν τοὺς ἁπλουστέρους. ταῖς εἰκόσιν ἑαυτοῦ Δία, καὶ Ἄρεα, καὶ Ἑρμῆν συγγράφεσθαι προσέταξεν ὁ δυσσεβὴς, καὶ τοὺς λοιποὺς δαίμονας· τοὺς δὲ ἀναβαλλομένους τὴν τούτων προσκύνησιν, ὡς ἐχθροὺς τοῦ βασιλέως κολάζεσθαι. τοῦ δὲ στρατοῦ τὴν ῥόγαν διανέμων πῦρ προσετίθει, καὶ λίβανον, καὶ θυμιᾶν τὸ στράτευμα ἠνάγκαζεν· ἐν Καισαρείᾳ δὲ τῆς Φιλίππου, τῇ νῦν Πανεάδι, ὅθεν κατήγετο ἡ αἱμορροοῦσα, ἀνδριὰς ἵστατο πρὸ τοῦ οἴκου αὐτῆς τοῦ Κυρίου ἡμῶν καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ, ὃν ἐθνικῷ ἔθει εὐχαριστήριον ἀνέστησε. τοῦτον κατενεχθῆναι προσέταξεν ὁ δυσσεβὴς Ἰουλιανὸς, ὃ καὶ γέγονε. κατ' ἐμπαιγμὸν δὲ ἔθεν συράντων τῶν Ἑλλήνων τὸν ἀνδριάντα, καὶ ἀντ' αὐτοῦ ξόανον ὀνόματι Ἰουλιανοῦ στησάντων. τοῦτον δὲ λαβόντες Χριστιανοὶ τὸν ἀνδριάντα εἰς ἐκκλησίαν ἀπέθεντο· τὸ δὲ τοῦ παραβάτου ξόανον κατελθὸν πῦρ ἐκ τοῦ οὐρανοῦ κατέφλεξε. βοτάνη δὲ ἐφύετο ὑπὸ τὴν βάσιν τοῦ ἀνδριάντος πάσης νόσου ἀλεξητήριος, ἥτις καὶ πρὸς φθόνον ἐκίνησε τὸν ἀποστάτην Ἰουλιανὸν καταστρέψαι τὸν τοῦ Κυρίου ἀνδριάντα. ἐν Νικοπόλει τῆς Παλαιστίνης τῇ λεγομένῃ τὸ πρὶν Ἐμμαοῦς πηγή ἐστιν παντοίων παθῶν ἀνθρώπων τε καὶ ἀλόγων ἰάσεις παρέχουσα. ἐν αὐτῇ γάρ, φασι, τὸν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν τοὺς πόδας ἀπονίψασθαι ἐξ ὁδοιπορίας, καὶ ταύτην ὁ δυσσεβὴς καταχωσθῆναι ἐπέτρεψεν. ἐν Ἑρμουπόλει τῆς Θηβαΐδος δένδρον ἵσταται περσέα. ταύτης φύλλον καὶ κάρφος εἰ λάβοι τίς πρὸς πᾶσαν νόσον ἀνθρώπων ἐστὶν ἰάσιμον· φασὶ δὲ ἡνίκα ὁ Κύριος εἰς Αἴγυπτον ἔφυγε τὸν Ἡρώδην σὺν τῇ Θεοτόκῳ καὶ τῷ Ἰωσὴφ, κατὰ τὸν τόπον ἐκεῖνον γενόμενος, κλιθὲν τὸ δένδρον ἐπὶ τὴν γῆν προσεκύνησεν αὐτῷ, καὶ μέχρι τοῦ νῦν σώζει τὸ σχῆμα τῆς προσκυνήσεως. Ἰουλιανὸς διάγων ἐν τῇ Ἀντιοχείᾳ, καὶ συνεχῶς ἐν Δάφνῃ ἀνιὼν, καὶ τὸ τοῦ Ἀπόλλωνος θεραπεύων εἴδωλον, οὐδεμιᾶς ἀποκρίσεως, ὡς ᾤετο, ἐτύγχανεν ἀπὸ τοῦ εἰδώλου. νοήσας δὲ ὅτι διὰ τὰ ἀποκείμενα ἐν τῇ Δάφνῃ λείψανα τοῦ ἁγίου μάρτυρος Βαβυλᾶ ἀποσιωπᾷ τὸ εἴδωλον δόγμα ἐξέπεμψε πάντα τὰ ἀποκείμενα ἐκεῖ τῶν νεκρῶν λείψανα μετατεθῆναι σὺν τοῖς τοῦ μάρτυρος. καὶ τούτου γενομένου ἀθρόως τῇ νυκτὶ κατεφλέχθη οὐρανόθεν ὁ ναός. τὸ δὲ εἴδωλον ὑπὸ κατεκάη, ὥστε μὴ ἴχνος αὐτοῦ φανῆναι. ἐλέγετο δὲ πρὸ ἐτῶν ἑστηκέναι. ὁ δὲ ναὸς ὑπὸ κατηρυπώθη, ὥστε τοὺς μετέπειτα ὁρᾷν τὴν τούτου τέφρωσιν, καὶ ἐπὶ τῷ παραδόξῳ ἐκθαμβεῖσθαι τῆς τοῦ Θεοῦ παραδοξοποιΐας. ἐπὶ τούτῳ ἔκθαμβος γενόμενος Ἰουλιανὸς ὑπονοήσας κατ' ἐπιβουλὴν τῶν Χριστιανῶν τοῦτο γενέσθαι, ἐπὶ ἐξέτασιν τῶν παραμενόντων ἱερέων ἐχώρει, καὶ παντοίαις βασάνοις αὐτοὺς ὑποβαλὼν, ὡς καὶ ἀποθανεῖν ἐξ αὐτῶν, τοῦτο μόνον ἤκουσε παρ' αὐτῶν· ὅτι οὔτε ἀπὸ Χριστιανῶν, οὔτε ὑπὸ ἀνθρωπίνης ἐπιβουλῆς τοῦτο γέγονεν· ἀλλ' ἐκ τοῦ οὐρανοῦ πῦρ κατελθὸν ἐνέπρησε τὸν ναὸν, καὶ τὰ ἀγάλματα· ὥστε ἐν τῇ νυκτὶ ἐκείνῃ τισὶ φανῆναι ἐν τῇ ἀγροικίᾳ τὸ πῦρ καταφερόμενον. θυμωθεὶς οὖν ὁ τύραννος βασιλεὺς, καὶ ὥσπερ τῷ Θεῷ μαχόμενος, τὴν μεγάλην ἐκκλη

do demum Imperii Prævaricatoris anno, cum Magistratus ab eo missi privatam vitam agentem Odyssipoli offendissent, centum & septem annis provectum verberibus & contumeliis ob Christi fidem obrutum letho dederunt. Christianam pietatem & beneficentiam imitatus ille nefarius & Prævaricator, peregrinis & egenis res necessarias edixit suppeditari: hinc fucus animis simplicioribus factus. Jovem, Martem, Mercurium, reliquosque dæmonas propriis appingi voluit impius imaginibus: qui adorare detrectarent, velut in Principem perduelles, puniri. Annonam exercitui distributurus, ignem & thus apponi jubebat, & milites suffire cogebat. Cæsarea Philippi, quæ nunc Paneas, & olim mulieris sanguinis profluvio laborantis, patria fuit. Ibi ante proprias ædes Domini nostri & Dei Jesu Christi statuam Gentilium morem sequuta beneficii & grati animi memor illa erexerat, quam dejici sacrilegus Julianus imperavit: quod & factum est: Gentilibus nimirum cum ludibrio imaginem trahentibus, & simulachrum Juliani nomine in ejus locum sufficientibus. Receptam Christi imaginem Christiani reposuerunt in Ecclesia: Prævaricatoris autem simulachrum ignis e cælo missus consumpsit. Ex imaginis porro basi enascebatur herba morborum omnium præsentissimum remedium, quæ ad evertendam Domini effigiem Juliano Desertori invidiæ faces subjecit. Nicopoli Palæstinæ, quæ prius Emmaus vocabatur, fons exoritur, qui omnibus tam brutorum quam hominum morbis remedium exhibet: in eo quippe Dominum & Deum nostrum Jesum Christum ex itinere reversum pedes abluisse referunt: eumdemque aggesta terra obstrui nefarius imperavit. Hermipoli in Thebaide arbor extat nomine Persica. Ejus folium vel ramusculum si quis decerpserit, omni humanæ medicabitur infirmitati. Domino cum divina Genitrice & Josepho persecutionem Herodis fugienti, cum ad arboris locum pervenissent, eam ad terram usque proclivem se se dicunt inflexisse, & usque nunc etiam adorantis speciem servare. Julianus Antiochiæ moram trahens, & repetitis vicibus in Daphnem se conferens, Apollinis simulachro cultum exhibiturus, nullius, ut sperabat, responsi gratiam ab idolo retulit. Quocirca ex repositis in Daphne sancti Martyris Babylæ reliquiis silentium idolo obvenisse suspicatus, cuncta mortuorum cadavera, ac Martyris ipsius ibi recondita jussit efferri: quo facto templum, de noctu consestim igne cælitus misso, conflagravit: adeoque consumptum est idolum, ut ne vestigium quidem illius superextiterit. Ante annos . . . . erectum ferebatur. Templum autem ita dirutum est, ut disjecta huc & illuc ejus rudera posteri conspicientes, incredibili divinorum operum admiratione percellerentur. Attonitus hac de re Julianus, & incendium Christianorum insidiis contigisse ratus, variis eosdem tormentis, adeo ut plures etiam mactarentur, subjecit: Hoc porro solum ab eis didicit: neque Christianorum, neque hominis opera id factum, sed emisso cælitus igne conflagrasse templum, & simulachra comminuta: ita ut ea nocte per agros passim quibusdam consistentibus vibrata superne fulgetra manifesto conspicerentur. Iratus itaque Imperator, velut Deo bellum indicturus, magnam clausit Eccle-

Edit. Paris. pag. 42.

siam, & omnem sacram supellectilem publicavit. Ad quam missi duo Comites Felix & Julianus Apostatæ in hæc verba eruperunt: Presentem quamdam virtutem hic inesse arbitrabamur, quæ nos prohiberet: Felix vero: Viden' quibus vasis filio Mariæ ministratur? Et paulo post, Felix quidem magnam sanguinis vim de repente ore evomens, excruciatus vitam finivit: Julianus Comes ipsa die in difficillimum morbum incidens, adeo ut ejus viscera tabo liquescerent, & excrementa ore egeret, inter dolores expiravit.

Anni mundi 5855.	Divinæ incarn. 355.	Rom. Imp. Julianus annis 3.	Persarum rex Sabores annis 70.	Romæ Episc. Damasus annis 18.	Constant. Episc. Eudoxius annis 12.	Hierosol. Episc. Hilarion annis 12.	Alexand. Episc. Athanasius annis 46.	Antioc. Episc. Leontius annis 8.
		6	61.	1	4	2	37	5

Hoc anno plures virorum militiæ adscriptorum ad defectionem a vera fide sollicitati seducti sunt, hi quidem donorum & honorum pollicitis, alii vero necessitate a propriis Ducibus imposita coacti. Theotecnus quoq; presbyter, cui in Antiochensi suburbio Ecclesia fuerat credita, promissorum blanditiis deceptus, ad idolorum cultum sponte defecit: eumque divina statim insectata est vindicta. Vermibus siquidem depastus, amissis luminibus, linguam corrosit, & efflavit animam. Heron etiam Thebaidos Episcopus nullo cogente in Antiochensi civitate fidem desertor abnegavit: quem mox Deus ad exemplum & terrorem cæterorum ultus est. Ille namque dissolutis ex putredine membris, in plateam projectus sub omnium oculis expiravit. Alii ex adverso his angustiis pressi Christianæ fidei confessione clarissimi evasere. Valentinianus Tribunus Legionis Coronatorum, quibus Numerus nomen, non modo dignitate semet exuit, sed & exilio damnatus est: qui demum temporis processu Imperator a Deo est renunciatus. Pari animi vigore cingulum militare solvit Jovianus clamans: Christianus sum. Hunc cum Magistri militum officio fungeretur, ceu bene meritum, ne quid adversi pateretur, populus sibi concedi expetiit: isque idem extincto Juliano adeptus est Imperium. Artemius item Diœceseos Ægypti Dux, datis sub Constantio, quo ferebatur in idola, aversi animi indiciis, Alexandriæ in publicum raptus capite truncatur. Æmilianus insuper Dorostoli, quæ Thracica urbs est, a Capetuliano vir emeritæ militiæ igni traditus fuit: aliique quamplurimi Christiana confessione per varia loca celebres effecti sunt. Ex adverso Thalassius quidam perdito luxu atque libidine famosus, qui propriam filiam ad turpia officia producebat, ceu Extispex Imperatori Juliano charus habebatur, & juxta Palatium Antiochiæ sedem obtinuit. Collapsis autem in eum ædibus, solus cum Eunucho, quem forte complexu stringebat, periisse repertus est, cunctis ejus domesticis, ipsa etiam uxore, & ejus comitibus, Christiana fide insignitis, incolumibus omnino servatis. Inter quos vix annorum septem puelius salvus a ruina collectus, qui lethum evasisset interrogatus, Ab Angelo deportatus, respondit. Julianus porro vir execrandi nominis, quasi Dei

Edit. Parif. pag. 43.

σίαν ἀπέκλεισε, καὶ πάντα τὰ ἱερὰ ἐδήμευσε. τῶν δὲ ἀποσταλέντων Κομήτων δύο Φήλικος καὶ Ἰουλιανοῦ ἀποστατῶν, ἔλεγον ταῦτα. ἐνομίζομεν ἐποπτικήν τινα εἶναι δύναμιν τὴν ὀφείλουσαν ἡμᾶς κωλῦσαι· ὁ δὲ Φῆλιξ· ἴδε εἰς ποταπὰ σκεύη ὑπηρετεῖται ὁ υἱὸς τῆς Μαρίας. καὶ μετ' ὀλίγον ὁ μὲν Φῆλιξ ἀθρόως διὰ στόματος αἷμα ἀναγαγὼν, βασανιζόμενος ἀπέσβεσε τὸν βίον. Ἰουλιανὸς δὲ ὁ Κόμης κατὰ τὴν ἡμέραν νόσῳ περιπεσὼν χαλεπωτάτῃ, ὡς καὶ τὰ ἐντὸς αὐτοῦ διαφθαρῆναι, καὶ κόπρον διὰ στόματος ἀγαγεῖν, βασανιζόμενος ἀπέθανεν.

Κόσμου ἔτη ͵εωνεʹ.	Τῆς θείας σαρκώσεως ἔτη τνεʹ.	Ῥωμ. βασιλ. Ἰουλιανὸς ἔτη γʹ.	Περσῶν βασιλ. Σαβώρης ἔτη οʹ.	Ῥωμ. ἐπίσκ. Δάμασος ἔτη ιηʹ.	Κωνστ. ἐπίσκ. Εὐδόξιος ἔτη ιβʹ.	Ἱεροσ. ἐπίσκ. Ἱλαρίων ἔτη ιβʹ.	Ἀλεξ. ἐπίσκ. Ἀθανάσιος ἔτη μςʹ.	Ἀντ. ἐπίσκ. Λεόντιος ἔτη ηʹ.
		γʹ	ξαʹ	αʹ	δʹ	βʹ	λζʹ	εʹ

Τούτῳ τῷ ἔτει τινὲς ἀπατήθησαν τῶν ἐν στρατείαις ἐξεταζομένων πρὸς ἀποστασίαν, οἱ μὲν ἐπαγγελίαις δόσεων καὶ ἀξιωμάτων, οἱ δὲ ἀνάγκαις ἐπιτιθεμέναις ὑπὸ τῶν ἰδίων ἀρχόντων. καὶ Θεότεκνος πρεσβύτερος ἐν προαστείῳ Ἀντιοχείας ἐκκλησίαν πεπιστευμένος ἐξ ὑποσχέσεως ἀπατηθεὶς, αὐτομάτως ἐπὶ τὴν εἰδωλολατρείαν ἐχώρησεν· ὃν ὁ Θεὸς ἐτιμωρήσατο παραχρῆμα. σκωληκόβρωτος γὰρ γενόμενος, καὶ τὰς ὄψεις ἀποβαλὼν, τὴν γλῶσσαν ἐσθίων, ἀπέθανε. καὶ Ἥρων ἐπίσκοπος Θηβαΐδος αὐτομάτως ἀπεστάτησε τῇ Ἀντιοχέων πόλει, ὃν ὁ Θεὸς παραδοθεὶς εἰς παράδειγμα καὶ φόβον πολλῶν ἐτιμωρήσατο. οὗτος σηπεδόνος νοσήματι διαλυθέντων αὐτοῦ τῶν μελῶν ἐν τῇ πλατείᾳ ἐρριμμένος, ἐν ὀφθαλμοῖς πάντων ἐξέψυξεν. ἄλλοι δὲ ἐν τούτοις διέπρεψαν ὁμολογίᾳ τῇ εἰς Χριστόν. Οὐαλεντινιανὸς Τριβοῦνος τότε ὢν τάγματος Κορωνάτων λεγομένων νουμέρου, οὐ μόνον τοῦ ἀξιώματος καταφρονήσας, ἀλλὰ καὶ ἐξορίᾳ ὑποβληθεὶς, ὅστις μετὰ ταῦτα ὑπὸ Θεοῦ βασιλεὺς ἀνεδείχθη. ὁμοίως καὶ Ἰωβιανὸς τὴν ζώνην ἔλυσε κράζων· Χριστιανός εἰμι· ὃν ὁ λαὸς ἀγαπῶν στρατοπεδάρχην ὄντα ἐξητήσατο τὸν βασιλέα, μὴ ἀδικεῖσθαι αὐτόν· ὅς τις καὶ βασιλεὺς μετὰ Ἰουλιανὸν ἀνεδείχθη. Ἀρτέμιός τε ὁ Δοὺξ τῆς κατ' Αἴγυπτον διοικήσεως, ἐπειδήπερ ἐπὶ Κωνσταντίου ζῆλον πολλὴν κατὰ τῶν εἰδώλων ἐνεδείξατο ἐν Ἀλεξανδρείᾳ, ἐδημεύθη, τὴν κεφαλὴν ἀποτμηθείς, ἐμαρτύρησε δὲ καὶ ἐν Δωροστόλῳ τῆς Θρᾴκης καὶ Αἰμιλιανὸς ἀπὸ στρατιωτῶν, πυρὶ παραδοθεὶς ὑπὸ Καπιτωλιανοῦ· καὶ πολλοὶ ἄλλοι κατὰ διαφόρους τόπους διέπρεψαν ἐν τῇ εἰς Χριστὸν ὁμολογίᾳ· Θαλάσσιος δέ τις ἐπ' ἀσελγείαις καὶ ἀσωτείαις ἐπίσημος, ὁ καὶ τὰς ἑαυτοῦ θυγατρὸς ἐπ' αἰσχρουργίᾳ προαγωγεὺς, ἐτιμᾶτο ὑπὸ τοῦ βασιλέως, ὡς σπλαγχνοσκόπος οἰκῶν ἐν Ἀντιοχείᾳ πλησίον τοῦ παλατίου. συμπεσόντος οὖν αὐτῷ τοῦ οἴκου μόνος ἀπώλετο μεθ' ἑνὸς εὐνούχου, ᾧ καὶ συμπεπλεγμένος εὑρέθη. ἐσώθησαν δὲ πάντες οἱ ἴδιοι αὐτοῦ Χριστιανοὶ ὄντες, ἥτε τούτου γυνὴ, καὶ οἱ σὺν αὐτῇ. παιδίον δὲ ἕως τῶν ἑπτὰ χρόνων ἐκεῖ εὑρεθὲν καὶ σωθὲν, ἐρωτώμενον πῶς ἐσώθη; εἴρηκεν ὡς ὑπ' ἀγγέλου

βασαχθέν. ὁ δὲ δυσώνυμος Ἰουλιανὸς ἐπ' ἀνατροπῇ τῆς θείας ἀποφάσεως τὸν τῶν Ἰουδαίων ναὸν οἰκοδομηθῆναι προσέταξεν, Ἀλύπιον Ἕλληνά τινα σπουδαῖον κατὰ Χριστοῦ προστησάμενος τοῦ ἔργου. τοῦ δὲ καὶ τὰ ἀφανῆ τῶν θεμελίων κατορύξαντος, διὰ τὸν ἐγχωσμὸν ἄνεμος βιαιότατος ἐπιπνεύσας σὺν λαίλαπι τὴν παρασκευασμένην ἄσβεστον ἐξηφάνισε, μοδίων μυριάδων εἴκοσιν οὖσαν· ἐπιμενόντων δὲ τῶν Ἰουδαίων τῇ ἐγχειρήσει τοῦ ἔργου, πῦρ ἐξελθὸν τούτους κατέφλεξε, καὶ οὕτως ἐπαύσαντο τῆς τόλμης. ἀνατροπὴν δὲ Ἰουλιανὸς ὁ δυσσεβὴς ἔγραψε τῶν θείων εὐαγγελίων, ἣν ὁ μέγας Κύριλλος Ἀλεξανδρείας ἐν ἐξαιρέτῳ πραγματείᾳ λαμπρῶς ἐπανέτρεψε. Πορφύριος δὲ ὁ καθ' ἡμῶν λυττήσας, Τύριος μὲν ἦν τῷ γένει, Χριστιανὸς δὲ τὸ πρὶν ὁ ἄθλιος· τυφθεὶς δὲ ὑπὸ Χριστιανῶν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης, κατ' ὀργὴν μετῆλθεν εἰς τὸν ἑλληνισμὸν, καὶ τότε γράψαι κατὰ τῆς ἀληθείας ὁ κύων ἐτόλμησεν. ἐπὶ τούτοις ὤφθη ὁ θεῖος σταυρὸς ἐν τῷ οὐρανῷ φωτοειδὴς κυκλούμενος ὑπὸ στεφάνου φωτὸς, ἀπὸ τοῦ Γολγοθᾶ ἕως τοῦ ἁγίου ὄρους τῶν ἐλαιῶν, λαμπρότερος μᾶλλον ἢ ἐπὶ Κωνσταντίου. αὐτομάτως τε τοῖς ἁπλώμασι τῶν θυσιαστηρίων, καὶ βίβλοις, καὶ ἄλλοις ἐνδύμασι τῶν ἐκκλησιῶν, καὶ ἐν ἱματίοις, οὐ μόνον Χριστιανῶν, ἀλλὰ καὶ Ἰουδαίων ἐπεπόλαζε τὸ σημεῖον τοῦ σταυροῦ, οὐ μόνον ἐν Ἱεροσολύμοις, ἀλλὰ καὶ ἐν Ἀντιοχείᾳ, καὶ ἄλλαις πόλεσι· καὶ ἐν ἀναισχύντως ἠπίστουν οἱ Ἰουδαῖοι καὶ Ἕλληνες εὕρισκον τὰ ἱμάτια ἑαυτῶν πεπληρωμένα σταυρῶν. ἐν τισὶ δὲ ἐμελάνιζον. Ἰουλιανὸς δὲ πολλοὺς ἐν διαφόροις τόποις ἀπέστειλεν, εἰς τὰ μαντεῖα καὶ χρηστήρια, ὅπως ἂν δόξῃ μετ' ἐπιτροπῆς τῶν δαιμόνων ἐπὶ Πέρσας πόλεμον ἐγχειρεῖν. καὶ πολλῶν ἐκ διαφόρων κομισθέντων αὐτῷ χρησμῶν, ἑνὸς ἐπιμνησθήσομαι. ἔχει δὲ οὕτω· νῦν πάντες ὡρμήθημεν θεοὶ νίκης τρόπαια κομίσασθαι παρὰ θηρὶ ποταμῷ, τῶν δὲ ἐγὼ ἡγεμονεύσω θοῦρος πολεμόκλονος Ἄρης. τούτοις βεβαιωθεὶς, πρὸς τὸν κατὰ Περσῶν ὡπλίζετο πόλεμον, πολλὰ χρήματα τοὺς Χριστιανοὺς ζημιώσας. ἐν Ἀντιοχείᾳ δὲ γενόμενος, προφάσει τῶν ὠνίων, ὑβρίσθη σφοδρῶς παρὰ τῶν Ἀντιοχέων, ὅτε καὶ τὸν Μισοπώγωνα λόγον Ἀντιοχικὸν, πρὸς ἄμυναν δῆθεν, ἐπόνησε· Θεόδωρον δέ τινα νεανίαν προκατάρξαντα τῶν κατ' αὐτοῦ ὕβρεων πικρῶς ᾐκίσατο. πολλὰ δὲ καὶ μεγάλα κατὰ Χριστιανῶν ποιήσας, καὶ πλείονα ποιεῖν μετὰ τὸν Περσικὸν πόλεμον ἐπαγγειλάμενος, κακῶς τὸν παμμίαρον αὐτοῦ βίον ἐν αὐτῷ πεπλήρωκεν. ὑπερόριος γὰρ δίκῃ θείᾳ ἀνῃρέθη τούτῳ τῷ ἔτει, βασιλεύσας ἔτη δύο καὶ μῆνας ἐννέα, κατὰ τὴν Περσικὴν θεοπάτακτος γέγονεν ἐν τῇ κϛ΄. τοῦ Ἰανουαρίου μηνὸς Ἰνδικτιῶνος ϛ΄. ἐτῶν ὑπάρχων τριάκοντα ἑνός. ἐγένετο δὲ τὸ σημεῖον ὄντος αὐτοῦ ἐν τῇ Περσίδι μηνὶ Δίῳ. ὑδρία πεπληρωμένη ὕδατος ἐν οἰκίᾳ ἀγροικίδος τινος Χριστιανῆς μετεβλήθη εἰς οἶνον βράζοντα μοῦστον κατὰ τὴν δειλινὴν ὥραν. αὐτῇ δὲ τῇ ὥρᾳ τὸ ἀγγεῖον πεπληρωμένον προσήνεγκαν τῇ ἐκκλησίᾳ τοῦ χωρίου. ὁ δὲ κατὰ τὸν τόπον πρεσβύτερος πληρώσας μικρὸν ἀγγεῖον ἐξ αὐτοῦ ἐκόμισε τῷ ἐπισκόπῳ Ἀβγάρῳ. ἐν Κάρραις δὲ εὑρέθη γυνὴ ἐκ τῶν τριχῶν κρεμαμένη· καὶ ἐν Ἀντιοχείᾳ κρανία πολλὰ ἀνθρώπων, δι' ὧν ὁ παραβάτης

notitiam omnem extincturus, Judæorum templum reparari jussit, & Alypium quemdam Gentilem Christo maxime infensum operi præfecit. Qui dum fundamenta solo aggesto obruta effoderet, maxima vis venti cum turbine & procella per effossam terram erumpens, modiorum calcis viginti myriades ad id operis paratas dissipavit: Judæos vero cœptis insistentes, ignis ea eisdem fundamentis egestus absumpsit: & hoc viso a resumptis conatibus destiterunt. [*Edit. Paris. pag. 44.*] Impius Julianus sacrorum Evangeliorum confutationem scripsit, quam Cyrillus magnus Alexandriæ Præsul selectis & luculentis editis commentariis refutavit. Porphyrius ad hæc, qui adeo contra Christianos debacchatus est, genere quidem Tyrius, Christianus vero prius infelix extitit: sed cum Cætareæ in Palæstina a Christianis cæsus fuisset, ad Gentilitatem præ indignatione defecit, & tum demum contra veritatem scribere canis iste ausus est. Interea divina crux luminis instar & lumine circumdata, a Golgotha usque ad montem olivarum, illa, quæ sub Constantio visa est, splendidior in cælo apparuit. Quinetiam inter altarium mappas, libros, cæterasque Ecclesiæ vestes, sed & super hominum tam Christianorum, quam Judæorum pallia crucis signum sponte frequens enatum est: idque non solum Hierosolymis, sed etiam Antiochiæ, reliquisque in urbibus evenit: adeo ut Judæi & Gentiles, illius, quam impudentissime credere recusant, crucis vestigia nigra ut plurimum in veltibus undequaque respersa agnoverint. Cæterum Julianus multos in diversa loca vaticinationes & oracula consulturos, quo dæmonum impulsu bellum adversus Persas suscipere testaretur, submisit. E multis vero variisque responsis, quæ ad ipsum perlata sunt, unum apponam, quod ita habet: Nunc omnes dii victoriæ trophæa ad feram (Tigrim) fluvium deferre parati exilimus: eorum ego dux promptus & bellicis tumultibus assuetus Mars. His animatus, & Christianis multo pecuniarum pondere mulctatis, exercitum versus Persidem eduxit. Antiochiam profectus, rerum vænalium prætextu, contumelias ab Antiochenis latas sustinere coactus est: quo tempore, Misopogona, Antiochenum opus, injurias nimirum hac arte repulsurus, composuit, Theodorum tamen juvenem audacia conspicuum injuriarum in ipsum latarum præcentorem duris subjecit verberibus. Exinde plura & magis horrenda in Christianos aggressus, bisque fœdiora, confecto Persico bello, moliturum se minitatus, scelestissimam vitam in eo misere finivit. Hoc quippe anno, divina insequente vindicta, extra Imperii fines sublatus est, post Imperii annos duos, & menses novem, Januarii die sexta supra vigesimam Indictionis seatæ, annos ipse natus unum & triginta divina opera in Perside est interfectus. Eo Persidem ingresso mense Dio portentum contigit. Hydria aquæ plena in ædibus rusticæ cujusdam mulieris Christianæ in mustum recens, sive vinum ebulliens circa vesperam conversa est: eademque hora vas, ut erat plenum, in vici Ecclesiam illatum, ex quo loci Presbyter vasculum aliud replens ad Abgarum Episcopum deportavit. [*pag. 45.*] Carris mulier capillis suspensa reperta. Antiochiæ pariter plurimæ hominum calvariæ visæ, quibus indicto Persis bello in vaticiniis exercendis Prævaricator uteretur. Loca in quibus hæc re-

posita erant, seris atque sigillis diligenter occluserat & firmarat.

Anni mundi 5856.	Divinæ Incarn. ann. 356.	Rom. Imp. Jovianus anno uno.	Persarum Sabores annis 70.	Romæ Episcopus Damasus annis 18.	Constant. Episc. Eudoxius annis 10.	Hierosol. Episc. Hilarion annis 12.	Alexan. Episc. Athanasius annis 46.	Antioc. Episc. Leontius annis 46.
.		1	62	12	10	10	18	6

Hoc anno Jovianus Tribunus militum vir mitissimus, & de recta fide bene sentiens, ab omni exercitu, Ducibus, & Consulibus, ipso Persidos in loco, quo Prævaricator extinctus, Romanorum Imperator salutatur. Post unicum vero belli conflictum pax composita, & velut Dei nutu a Romanis pariter atque a Persis denunciata, ad triginta annos sancita. Jovianus Imperium suscipere detrectabat exercitui, qui Gentilium ritus servasset sub Juliano, se præfici non posse affirmans: ad quem omnes se Christianos esse una voce conclamarunt. Is autem Nisibin civitatem maximam, residui populi saluti consulturus, Persis concessit, & pacem egit. Generales quoque leges in universum Romanum orbem de sacris ædibus misit, quibus Ecclesiam Catholicam in pristinum statum atque honorem, quo sub beato Constantino potiebatur, restituit, & exulantes Episcopos revocavit. A sacro insuper Athanasio, ut accuratam sinceræ fidei expositionem scriptis significaret per litteras expetiit: quod ille demum præstitit, ad Jovianum, quæ rectum omnem fidei sensum complecteretur, data epistola. Quare Jovianus in recta fide stabilior redditus, in eos, qui Consubstantialis dogma profiterentur, dona contulit, & a pendendo tributo fecit immunes. Acacius autem ille pessimus Cæsareæ Episcopus, conventu cum aliis Episcopis facto, libellum ex sinceriori Ecclesiæ sensu compegit, & pientissimi Imperatoris metu, licet non ex Dei cultu, Consubstantialem, & actam Nicææ Synodum professus est. Jovianus autem Imperator mense Hyperberetæo Antiochiam advenit, quo tempore extra civitatis portam, loco cui Tripylon nomen, rustico hortulano infans fœmina partu septimestri nata est duo habens capita a se invicem disjuncta, utrique vero capiti forma fuit absoluta, adeo ut etiam collo separarentur ab invicem. Fœtus ille mortuus est editus mense Dio, qui nobis November. Exinde Jovianus Antiochia Constantinopolim profectus, & Ancyram Galatiæ perveniens Consul cum filio Uraniano in publicum processit: & eumdem Illustrissimum, absque purpuræ tamen insignibus, designavit & renunciavit.

Edit. Paris. pag. 46.

Eodem anno Jovianus Christianissimus Imperator post menses novem, & dies quindecim ab accepta potestate ad Dadasthanos Bithyniæ pagum sic dictum, vita functus est: in cujus locum Valentinianus Augustus, qui annos undecim tenuit Imperium, quod, tanquam Christianus, ex propria confessione celebris haberetur, Imperator ab exercitu renunciatur. Ille confestim Constantinopolim contendit, & in urbium Reginam appulsus Valentem fratrem, assignatis ei Orientis partibus, Imperii consortem declaravit: ipse vero Occidentales tenuit.

A τὰ μαντεῖα τὰ κατὰ Περσῶν πολέμου ποιούμενος, σφραγῖδας καὶ κλεῖθρα ταῖς τόποις ἐπέθηκεν.

Κόσμου ἔτη ͵εωνϛ΄.	Τῆς θείας σαρκ. ἔτη τνϛ΄.	Ῥωμ. Βασιλ. Ἰωβιανὸς ἔτη α΄.	Περσῶν βασιλ. Σαβώρης ἔτη ο΄.	Ῥωμ. ἐπίσκ. Δάμασος ἔτη ιη΄.	Κωνσ. ἐπίσκ. Εὐδόξιος ἔτη ι΄.	Ἱεροσ. ἐπίσκ. Ἰλαρίων ἔτη ιβ΄.	Ἀλεξ. ἐπίσ. Ἀθανάσιος ἔτη μϛ΄.	Ἀντ. ἐπίσκ. Λεόντιος ἔτη ϛ΄.
		α΄	ξζ΄	ιβ΄	ι	ι	λα΄	ϛ΄.

Τούτῳ τῷ ἔτει Ἰωβιανὸς χιλίαρχος ἀνὴρ πρᾳότατος B καὶ ὀρθόδοξος Χριστιανὸς βασιλεὺς Ῥωμαίων ὑπὸ παντὸς τοῦ στρατοῦ, καὶ τῶν στρατηγῶν, καὶ τῶν ὑπάτων ἀνηγορεύθη ἐν τῷ αὐτῷ τόπῳ τῆς Περσῶν γῆς, ἐν ᾧ ὁ παραβάτης ἀνῃρέθη. καὶ μετὰ μίαν συμβολὴν πολέμου εἰρήνη γέγονε, καὶ ὡς ἀπὸ Θεοῦ συμφώνως ἀνεβοήθη ὑπό τε Ῥωμαίων καὶ Περσῶν, καὶ ὡρίσθη ἐπὶ λ΄. ὁ δὲ παρῃτεῖτο τὴν βασιλείαν φάσκων μὴ δύνασθαι αὐτὸν ἄρχειν στρατοῦ ἑλληνίσαντος ἐπὶ Ἰουλιανοῦ· πρὸς ὃν πάντες ὁμοφώνως ἐβόησαν Χριστιανοὶ ὑπάρχειν. Ἰωβιανὸς δὲ πόλιν μεγάλην Νίσιβιν Πέρσαις παρεχώρησε σωτηρίᾳ τοῦ περιλειφθέντος λαοῦ, καὶ εἰρήνευσε. νόμους δὲ γενικοὺς ἀπέπεμψεν ὑπὲρ τῶν ἐκκλησιῶν εἰς πᾶσαν τὴν Ῥωμαίων, C τὴν ἐπὶ τοῦ μακαρίου Κωνσταντίνου κατάστασιν καὶ τιμὴν τῇ καθολικῇ ἐκκλησίᾳ ἀποδιδούς· τοὺς δὲ ἐν ἐξορίᾳ ἐπισκόπους ἀνεκαλέσατο, καὶ τῷ ἱερῷ Ἀθανασίῳ ἔγραψε τῆς ἀμωμήτου πίστεως ἐγγράφως σημᾶναι αὐτῷ τὴν ἀκρίβειαν, ὅπερ καὶ πέπραχε πάσης ὀρθοδοξίας Ἰωβιανῷ ἐπιστολὴν γράψας. ὅθεν Ἰωβιανὸς βεβαιότερος εἰς ὀρθοδοξίαν γενόμενος, τοὺς δοξάζουσι τὸ ὁμοούσιον ἐδωρήσατο πολλὰ, καὶ ἀτελεῖς ἐποιήσατο. Ἀκάκιος δὲ ὁ κάκιστος Καισαρείας Ἀρειανὸς συνελθὼν μεθ' ἑτέρων ἐπισκόπων εἰς Ἀντιόχειαν λίβελλον ὀρθοδοξίας δῆθεν συνέταξε, τὸ ὁμοούσιον καὶ τὴν ἐν Νικαίᾳ σύνοδον ὁμολογῶν φόβῳ τοῦ εὐσεβοῦς βασιλέως, καὶ οὐ κατὰ Θεόν. ὁ δὲ αὐτοκράτωρ Ἰωβιανὸς ἐπέβη τῇ Ἀντιο- D χέων μηνὶ Ὑπερβερεταίῳ. καὶ ἐγεννήθη παιδίον ἔξω τῆς πύλης τῆς πόλεως ἐπὶ τὸ λεγόμενον Τρίπυλον ἀγροίκῳ κηπουρῷ θῆλυ ἑπταμηνιαῖον ἔχον κεφαλὰς δύο διωρισμένας, ἑκάστη τὸ πλάσμα τετελειωμένον, ὡς ἀπὸ τοῦ τραχήλου ἑκάστης κεφαλῆς κεχωρισμένης. νεκρὸν δὲ τοῦτο ἐτέχθη μηνὶ Δίῳ, ὅς ἐστι Νοέμβριος. ἐξώρμησε δὲ Ἰωβιανὸς ἀπὸ τῆς Ἀντιοχέων ἐπὶ ΚΠ. καὶ ἐλθὼν ἐν Ἀγκύρᾳ τῆς Γαλατίας Ὕπατος προῆλθε σὺν τῷ υἱῷ αὐτοῦ Οὐρανιανῷ Ἐπιφανέστατον αὐτὸν ἀναγορεύσας, ἄνευ τοῦ ἐνδῦσαι αὐτὸν πορφύραν.

E Τῷ δ' αὐτῷ ἔτει βασιλεύσας μῆνας ἐννέα καὶ ἡμέρας δεκαπέντε Ἰωβιανὸς ὁ Χριστιανικώτατος ἐν Δαδασθάνοις χωρίῳ τῆς Βιθυνίας λεγομένῳ ἐτελεύτησε· καὶ ἀνηγορεύθη βασιλεὺς Οὐαλεντινιανὸς Αὔγουστος ἔτη ια΄. ἀπὸ τοῦ στρατοπέδου, διὰ τὸ εὐδοκιμῆσαι αὐτὸν ὡς Χριστιανὸν ἐν τῇ ὁμολογίᾳ, καὶ εὐθέως ἐξώρμησεν ἐπὶ τὴν ΚΠ. καὶ φθάσας τὴν βασιλεύουσαν, Οὐάλεντα τὸν ἴδιον ἀδελφὸν κοινωνὸν τῆς αὐτοῦ βασιλείας ἀνηγόρευσε, ἀπονείμας αὐτῷ τὰ ἀνατολικὰ μέρη. αὐτὸς δὲ τὰ δυτικὰ κατεῖχεν.

Κόσμου ἔτη ,εωνζ'.	Τῆς θείας σαρκ. ἔτη τνζ'.	Ῥωμ. Βασιλεὺς Οὐαλεντινιανὸς ἔτη ια'.	Περσῶν βασ. Σαβώρης ἔτη ο'.	Ῥωμ. ἐπίσκ. Δάμασος ἔτη ιη'.	Κων. ἐπίσκ. Εὐδόξιος ἔτη ι'.	Ἱεροσολ. ἐπίσκ. Ἱλαρίων ἔτη ιβ'.	Ἀλεξ. ἐπισ. Ἀθανάσιος ἔτη μϛ'.	Ἀντιοχείας Λεόντιος ἔτη η'.
		α'	ξγ'.	ιγ'	ε'	ια'	λθ'	ζ'

A

Anni mundi 5857.	Divinæ Incarn. 357.	Romæ Imperat. Valentinianus annis 11.	Persarum rex Sabores annis 70.	Romæ Episc. Damasus annis 18.	Constant. Episc. Eudoxius annis 10.	Hierosol. Episc. Hilarion annis 12.	Alexand. Episc. Athanasius annis 46.	Antioc. Episc. Leontius annis 8.
		1	61.	13	6	11	39	7

Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς ὁ Αὔγουστος Γρατιανὸν τὸν ἑαυτοῦ υἱὸν Αὔγουστον ἀνηγόρευσε, κοινωνὸν τῆς βασιλείας ὁμοῦ καὶ Ὕπατον προσαγορεύσας, καὶ Οὐάλεντα τὸν ἀδελφὸν βασιλέα, ὡς προλέλεκται, διάπυρον Ἀρειανὸν, καὶ ὑπὸ Εὐδοξίου βαπτισθέντα. οἱ δὲ ὀρθόδοξοι προσῆλθον Οὐαλεντινιανῷ δι' Ὑπατίου ἐπισκόπου Ἡρακλείας, δεόμενοι ἐπιτραπῆναι συνελθεῖν ἐπὶ διορθώσει τοῦ ὁμοουσίου δόγματος. πρὸς οὓς Οὐαλεντινιανὸς ἀπεκρίνατο. ἐμοὶ μὲν λαοῦ τεταγμένῳ περὶ τοιούτων πολυπραγμονεῖν οὐ θέμις. ὡς οὖν δοκεῖ ὑμῖν τοῖς ἱερεῦσι διαγίνεσθε. τότε συνελθόντες εἰς Λάμψακον, καὶ δύο μῆνας ἐκεῖ διατρίψαντες, τελευταῖον ἠκύρωσαν τὰ ἀπὸ Εὐδοξίου καὶ Ἀκακίου ἐν ΚΠ. πραχθέντα. κρατεῖν δὲ τὴν ἐν Σελευκείᾳ πίστιν. Οὐάλης γὰρ δυσσεβὴς τὰ ἐν Λαμψάκῳ πραχθέντα ἀνέτρεψε, καὶ τοὺς συνελθόντας ἐκεῖ ἐπισκόπους ἐξορίᾳ παρέπεμψεν. Εὐδοξίῳ δὲ τῷ ὁμόφρονι τὰς ἐκκλησίας παρέδωκεν ΚΠ. οἱ δὲ ὀρθόδοξοι οὔτε ποιμένα, οὔτε ἐκκλησίαν εἶχον.

Hoc anno Valentinianus Augustus cum Gratianum filium Imperii collegam simul & Consulem declarasset, Augustum jussit salutari; fratrem vero Valentem Arianum insignem ab Eudoxio baptizatum, Imperatorem, prout præmissum est, renunciavit. Orthodoxi porro Valentinianum convenerunt Hypatii Heracleensis B Antistitis ope deprecaturi, ut de Consubstantiali sancito dogmate edendo in unum coactis sibi potestas fieret. His responsum dedit Valentinianus. Mihi inter Ecclesiæ plebem recensito de his curiosius indagari, nefas. Ut igitur vobis Sacerdotibus pro bono videtur consulendum, discutite. Lampsacum itaque convenientes, & mensibus duobus in eo morati, quæ ab Eudoxio & Acacio fuerant acta Constantinopoli, resciderunt: Fidem vero Seleuciæ probatam voluerunt retineri. Impius Valens in adversum Lampsaceni conventus evertit edicta, & Episcopos, qui interfuerant egit in exilium: cæterum Eudoxio, qui secum sentiebat, Constantinopolitanas commisit Ecclesias: C ita ut Catholici neque pasturem neque Ecclesiam tunc habuerint.

		β'	ξδ'	ιδ'	ζ'	ιβ'	μ'	η'

		2	64	14	7	12	40	8

Τούτῳ τῷ ἔτει Λιβέριος ἐπίσκοπος Ῥώμης, καὶ Ἀθανάσιος Ἀλεξανδρείας, καὶ Μελέτιος Ἀντιοχείας, καὶ ὁ Σαμωσάτων Εὐσέβιος, ἀνακληθέντες ἐκ τῆς ἐξορίας ὑπὸ Ἰοβιανοῦ ἐν τῷ ὀρθῷ λόγῳ διέπρεπον, καὶ ὁ Ἱεροσολύμων Κύριλλος, καὶ ἕτεροι ἐπίσκοποι τῆς ὀρθοδοξίας πρόμαχοι. Ἀρειανῶν δὲ προΐστατο ἐν Ἀλεξανδρείᾳ Λούκιος, καὶ ἐν Ἀντιοχείᾳ Εὐζώϊος, Παυλῖνος δὲ τοῦ ἑνὸς μέρους τῶν ὀρθοδόξων εἰς δύο διῃρημένων, καὶ τοῦ ἄλλου Μελέτιος.

Hoc anno Liberius Rnmanus Episcopus, Alexandriæ Athanasius, Antiochiæ Meletius, & Samosatensium Eusebius, rectæ fidei defensores exilio a Principe Joviano revocati, & Hierosolymorum Cyrillus & alii quamplurimi vera fidei disciplina claruerunt. Arianis vero præerant Alexandriæ Lucius, & Antiochiæ Euzojus: Orthodoxorum autem bifariam divisorum partis unius Paulinus, alterius Melotius Præsulem agebat.

Edit. Paris. pag. 47.

						Ἱεροσ. ἐπίσκ. Κύριλλος ἔτη λϛ'		Ἀντ. ἐπίσκ. Εὐδόξιος ἔτη β'.
		γ'	ξε'.	ιε'.	η'	α'	μα'	α'

D

						Hierosol Episcop. Cyrillus annis 35.		Antiochiæ Episc. Eudoxius annis 2.
		3	65	15	8	1	41	1

Τούτῳ τῷ ἔτει Προκόπιος ἀντῆρεν ἐν ΚΠ. μηνὶ Σεπτεμβρίῳ, καὶ ἐξελθὼν ἐπὶ Νακόλειαν, καὶ πλείστῳ στρατῷ φραξάμενος, φόβον ἐποίησε τῷ Οὐάλεντι, καὶ τὸν κατὰ τῶν ἐκκλησιῶν πόλεμον ἀνῆκε πρὸς βραχὺ, ἕως Προκόπιον προέδωκαν οἱ ἴδιοι στρατηγοὶ Ἀγέλων καὶ Γόβαρις, ὃν τινα Προκόπιον εἰς δύο δένδρα ἐγγίζοντα πρὸς ἄλληλα ἐξαρτήσας τῶν σκελῶν ἀφεθῆναι κλιθέντα ἐκέλευσεν· ἅτινα βιαίως ὀρθωθέντα, διέσπασαν τὸν τύραννον. τοὺς δὲ προδεδωκότας αὐτὸν στρατηγοὺς Ἀγέλωνα καὶ Γόβαριν πρησθῆναι ἐκέλευσεν· ὃ καὶ πεπόνθασιν οἱ τάλανες, ἀναξίως εὐνοήσαντες. τότε καὶ Χαλκηδόνος τὰ τείχη καθεῖλε φόβῳ Προκοπίου. ἀνελὼν

Hoc anno Procopius Constantinopoli mense Septembri rebellavit: Nacoliaque occupata, & copioso stipatus exercitu, Valenti metum incussit; Quare bellum adversus Ecclesias excitatum ad modicum E sedatum est, donec proprii Duces Agelon & Gobaris prodiderint Procopium. Hunc ad duas arbores ad invicem adductas & inflexas pedibus appendi damnavit Valens, & arbores remitti: quæ cum impetu rursum erectæ discerpserunt tyrannum: Duces vero Agelonem & Gobarim proditionis auctores incendio perire jussit. Hoc passi sunt miseri erga indignum benevoli. Tunc etiam Procopii metu mu-

ros Chalcedonis evertit : & post Procopii mortem in fidem iterum motus est. Eo tempore Cyzici Episcopum Eleusium coegit Valens Filium Dei diversæ ab eo substantiæ confiteri. Ille Cyzicum adveniens, & flagitium publice enuncians, & qui sacra ulterius administraret, agnoscens se indignum, alium sibi substitui precabatur : quo percepto perversus Eudoxius Eunomium in ipsius locum Cyzici Episcopum suffecit.

Hoc eodem anno Valens Imperator Marcianopoli Mysiæ urbe moram egit. Terræ motus autem maximus per universum orbem decima Indictione de nocte contigit, adeo ut Alexandriæ navigia littori admota sursum, vel supra altiores ædes, & muros sublata, intra civitatem in atria atque domos transportarentur : mari vero recedente in sicco remanserunt. Populus autem, qui ab urbe terræ motus causa aufugerat, cum naves ita in sicco derelictas cerneret, ad deprædandas merces in navigia congestas irruebat : Verum aqua reversa cunctos involvit & obruit. Retulerunt alii nautæ, eadem hora se medio Adriatico mari agentes iter derepente deprehensos ad fundum desedisse : moxque aqua recurrente navigationem resumpsisse & confecisse.

Edit. Paris. pag. 48.

A δὲ τὸν Προκόπιον κατὰ τῆς ἀληθείας πάλιν κινεῖται. τότε καὶ Ἐλεύσιον τὸν Κυζίκου ἠνάγκασεν ὁμολογῆσαι τὸ ἑτερούσιον. οὗτος δὲ Ἐλεύσιος ἐλθὼν ἐν Κυζίκῳ, καὶ ἐξαγγείλας τὴν ἑαυτοῦ παρανομίαν, ἀνάξιόν τε τοῦ ἱερατεύειν εἰπὼν ἑαυτὸν, ἕτερον προβληθῆναι ἐπίσκοπον τῇ Κυζίκῳ προέτρεπε. τοῦτο μαθὼν Εὐδόξιος ὁ κακόφρων, Εὐνόμιον ἀντ᾽ αὐτοῦ κατέστησε τῆς Κυζίκου ἐπίσκοπον.

Τῷ δ᾽ αὐτῷ χρόνῳ διῆγεν Οὐάλης ὁ βασιλεὺς ἐν Μαρκιανουπόλει τῆς Μυσίας. σεισμὸς δὲ γενόμενος καθ᾽ ὅλης τῆς γῆς μέγας ἐν τῇ ί. Ινδικτ. ἐν νυκτί. ὡς καὶ ἐν Ἀλεξανδρείᾳ πλοῖα προσωρμισμένα τῷ αἰγιαλῷ ἐπαρθῆναι εἰς ὕψος, καὶ ὑπερβλῆναι τὰς ὑψηλὰς οἰκοδομὰς, καὶ B τὰ τείχη, καὶ μετατεθῆναι ἔνδον εἰς τὰς αὐλὰς, καὶ τὰ δώματα τὰ πλοῖα· ὑπαναχωρησάσης δὲ τῆς θαλάσσης, ἔμειναν ἐπὶ ξηρᾶς· οἱ δὲ λαοὶ ἐκ τῆς πόλεως φυγόντες διὰ τὸν σεισμὸν, θεωρήσαντες τὰ πλοῖα ἐπὶ τῆς ξηρᾶς, εἰς ἁρπαγὴν τῶν ἐν τοῖς πλοίοις φορτίων ἐπῆλθον, καὶ ἐπιστρέψαν τὸ ὕδωρ πάντας ἐκάλυψεν· ἄλλως δὲ ναυτικοὺς ἐξηγήσασθαι, ὡς κατ᾽ ἐκείνην τὴν ὥραν ἐν μέσῳ τοῦ Ἀδρίου πελάγους πλέοντες καταληφθῆναι ἐξαίφνας, καὶ ἐν τῷ πελάγει εἰς τὸ ἔδαφος καθίσαι τὸ πλοῖον· καὶ μετὰ βραχὺ πάλιν ἐπανελθεῖν τὸ ὕδωρ, καὶ ὑποπλεῦσαι.

			4	66	16	9	2	42	2
			δ´	ξϛ´	ιϛ´	θ´	β´	μβ´	β´

Hoc anno Valentinianus Senior, Severa uxore Gratiani matre adhuc inter vivos superstite, Justinam ab ipsa Severa ob pulchritudinem commendatam illegitime duxit, ex qua Valentinianum Juniorem dictum suscepit, quem mortuo patre exercitus Imperatorem salutavit : tres item filias ex eadem procreavit Justam, Gratam, & Gallam, quam secundas adiens nuptias magnus Theodosius duxit uxorem ; ex qua nata est ei Placidia : Arcadius enim & Honorius ex priore conjuge Placilla concepti erant. Sanxit ille legem plane illegitimam : Volenti liceret duas uxores eodem tempore tenere. Impius autem Valens duas filias genuit Anastasiam & Carossam, quarum nomine geminas ædificavit thermas, tum etiam Aquæductum in hunc usque diem Valentiniani appellatione celebrem excitavit. Cæterum Domnicam Valentis conjugem ei tantam pertinaciam ad Arianas partes suggessisse quidam arbitrantur : Narrant alii, cum suscepto jam Imperio baptizaretur ab Eudoxio, Arianorum sententiam tenere, nec umquam Consubstantialis confessionem suscepturum dato sacramento se adstrinxisse : atque ita deinceps variis persecutionibus in Ecclesiam motis ambo vexaverunt orthodoxos. Ad Liberium autem Romanum Episcopum mittunt Eustathium Armenium, Sylvanum Tarsensem, & Theophilum Castabolorum Episcopos, eorum opera se Consubstantialis fidem suscepisse confirmantes. Hi litteras dant ad Liberium, & Consubstantialis dogmati probando Libellum offerunt, quo hæresim omnem Nicænæ Synodo contrariam se aversari profitentur : receptos in communionem Liberius admisit : datisque commendatitiis & Formatis eorum fidei, velut orthodoxæ, testimonium reddidit. Valens demum expeditione adversus Gotthos mota Marcianopoli hyemavit.

C Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς ὁ μέγας ζώσης τῆς αὐτοῦ γαμετῆς Σεβήρας τῆς μητρὸς Γρατιανοῦ, ἔγημε παρανόμως Ἰουστίναν διὰ κάλλος μαρτυρηθεῖσαν ὑπὸ Σεβήρας, ἐξ ἧς ἔσχε τέκνα Οὐαλεντινιανὸν νέον λεγόμενον, ὃν ὁ στρατὸς μετὰ θάνατον τοῦ πατρὸς βασιλέα ἀνηγόρευσε, καὶ θυγατέρας τρεῖς Ἰοῦσταν, Γράταν, Γάλλαν, ἣν καὶ ἔγημεν ὁ μέγας Θεοδόσιος κατὰ δεύτερον γάμον, ἐξ ἧς ἐτέχθη αὐτῷ ἡ Πλακιδία· Ἀρκάδιος, καὶ Ὁνώριος ἐκ Πλακίλλης ἦσαν Θεοδοσίῳ τῆς πρώτης γαμετῆς. ἔγραψε δὲ καὶ νόμον παράνομον τῷ θέλοντι δύο γυναῖκας ἔχειν κατὰ ταυτὸν μὴ κωλύεσθαι. Οὐάλης δὲ ὁ δυσσεβὴς δύο θυγατέρας ἔσχεν Ἀναστασίαν καὶ Καρώσ- D σαν, ὧν καὶ ἐπ᾽ ὀνόμασι δύο λουτρὰ ἔκτισε, καὶ τὸν ἀγωγὸν τὸν μέχρι νῦν Οὐαλεντινιανικὸν λεγόμενον. τινὲς δέ φασιν ὅτι Δομνίκα ἡ γυνὴ Οὐάλεντος ἔπεισεν αὐτὸν Ἀρειανίζειν οὕτω σφοδρῶς. ἄλλοι δὲ ἱστοροῦσιν, ὅτι μετὰ τὸ βασιλεῦσαι βαπτισθεὶς ὑπὸ Εὐδοξίου ὅρκῳ διεβεβαιώσατο, αὐτὸν ἐν αὐτῷ τῷ βαπτίσματι τὰ Ἀρείου φρονεῖν, καὶ μὴ δέχεσθαι τὸ ὁμοούσιον, καὶ οὕτως οἱ ἀμφότεροι μυρίους διωγμοὺς κατὰ τῶν ὀρθοδόξων ἐκίνησαν οἱ ἀνόσιοι. πέμπουσι δὲ καὶ πρὸς Λιβέριον τὸν Ῥώμης, Εὐστάθιον τὸν Ἀρμένιον, καὶ Σιλβανὸν τὸν Ταρσοῦ, καὶ Θεόφιλον Κασταβάλων, ὑπισχνούμενοι δι᾽ αὐτῶν δέχεσθαι τὸ ὁμοούσιον. οὗτοι Λιβερίῳ ἔγραφον, E καὶ ὑπὲρ τοῦ ὁμοουσίου λίβελλον ἔδωκαν, ὁμολογοῦντες πᾶσαν αἵρεσιν ἀποστρέφεσθαι ἐναντιουμένην τῇ ἐν Νικαίᾳ συνόδῳ, οὓς καὶ ὑποδεξάμενος Λιβέριος, ἐκοινώνησε, γράψας τοῖς τῆς ἀνατολῆς, μαρτυρῶν αὐτοῖς ὀρθοδοξίαν. ἐν Μαρκιανουπόλει δὲ Οὐάλης στρατεύων κατὰ Γότθων, παρεχείμαζεν ἐκεῖ.

Κόσμου ἔτη ͵εωξα'.	Τῆς θείας σαρκώσεως ἔτη τξα'.	Ρωμ. βασιλεὺς Οὐαλεντινιανὸς ἔτη ια'.	Περσῶν βασ. Σαβώριος ἔτη ο'.	Ρωμ. ἐπίσκ. Δάμασος ἔτη κη'.	Κωνστ. ἐπίσκ. Εὐδόξιος ἔτη ι'.	Ἱεροσολ. ἐπίσκ. Κύριλλος ἔτη λα'.	Ἀλεξ. ἐπίσκ. Ἀθανάσιος ἔτη μϛ'.	Ἀντ. ἐπίσκ. Ἀνιανὸς ἔτη δ'.
		ι'	ξζ'.	ζ'	ι'	γ'	μγ'	α'

Τούτῳ τῷ ἔτει σύνοδος ἐν Τυάνοις γέγονεν, ἐν ᾗ ἀθροίσθησαν ὁ Εὐσέβιος ὁ Καισαρείας Καππαδοκίας, καὶ Γρηγόριος ὁ Ναζιανζοῦ, ὁ πατὴρ τοῦ Θεολόγου Γρηγορίου, καὶ ὁ Μελιτινῆς Ὀτρήϊος, καὶ ἕτεροι, οἵτινες τοῖς Λιβερίου γράμμασιν ἀγαλλιασάμενοι πᾶσι τοῖς ὀρθοδόξοις ἐπισκόποις ἐσήμαναν παραγενέσθαι εἰς Ταρσὸν ἐπὶ βεβαιώσει τῆς ὀρθῆς πίστεως, ὅπερ ἀκούσας Οὐάλης ἐκώλυσε γενέσθαι. Εὐδόξιος δὲ πάλιν Οὐάλεντα παρασκευάζει κελεῦσαι τοῖς κατὰ τόπον ἄρχουσιν ἐξορισθῆναι πάντας τοὺς ὑπὸ Κωνσταντίου ἐξορισθέντας. τότε Ἀθανάσιος ἑκουσίως ἐξῆλθεν Ἀλεξανδρείας, μὴ συγχωροῦντος τοῦ δήμου τῷ ἄρχοντι ἐκβαλεῖν αὐτὸν, ὃς καὶ πολὺν χρόνον ἐκρύπτετο ἐν πατρῴῳ μνημείῳ· ὕστερον δὲ Οὐάλης φόβῳ στάσεως Ἀλεξανδρέων ἔγραψεν ἐπανελθεῖν Ἀθανάσιον. τῆς δὲ κοινωνίας Εὐδοξίου ἀπέσχισεν Εὐνόμιος διὰ τὸ μὴ κοινωνίας Εὐδοξίου ἀπέσχισεν Εὐνόμιος διὰ τὸ μὴ κοινωνεῖν Εὐδόξιον Ἀετίῳ τῷ διδασκάλῳ Εὐνομίου. εἰ γὰρ καὶ ἀμφότεροι ὁμόφρονες ἦσαν, ἀλλὰ διὰ τὸ παρὰ πάντων μισεῖσθαι Ἀέτιον, Εὐδόξιος ἀπεστρέφετο αὐτὸν, μὴ αἰσχυνόμενος προδήλως τοῖς οἰκείοις δόγμασιν, ὡς ἀσεβέσιν, ἀποστρέφεσθαι. Εὐνόμιος γὰρ ὑπογραφεὺς γέγονε τοῦ ἀθέου Ἀετίου σοφιστικοὺς λόγους μαθὼν, ἐξ ὧν δῆθεν ἐκόμπαζε, τῶν θείων γραφῶν ἀμύητος ὢν πάντη, ὡς δηλοῦσι μάλιστα οἱ ἑπτὰ αὐτοῦ τόμοι. οἱ δὲ Κυζικηνοὶ ἐδίωξαν Εὐνόμιον ὡς αἱρετικὸν καὶ βλάσφημον. οὗτος δὲ ἐλθὼν ἡνώθη Εὐδοξίῳ· δεινὸς δὲ ἦν βλάσφημος, τολμῶν λέγειν· ὅτι ὁ Θεὸς περὶ τῆς ἰδίας οὐσίας οὐδὲν οἶδε πλέον ἡμῶν. ἑλληνικοῦ δὲ διωγμοῦ πλείονα συνέβη τοῖς ὀρθοδόξοις ἐπὶ Οὐάλεντος καὶ Εὐδοξίου τῶν ἀσεβῶν.

Τούτῳ τῷ χρόνῳ Εὐδοξίου τελευτήσαντος Δημόφιλον Ἀρειανοὶ προὐβάλοντο ἐπίσκοπον. οἱ δὲ ὀρθόδοξοι Εὐάγριόν τινα, ὃν ἐχειροτόνησεν Εὐστάθιος ὁ ἱερὸς Ἀντιοχείας λαθραίως διάγων ἐν Κωνσταντινουπόλει ἐπανελθὼν ἐκ τῆς ἐξορίας ἐπὶ Ἰοβιανοῦ. μὴ εὑρὼν δὲ αὐτὸν ζῶντα ἐν τῇ πόλει ἐκρύπτετο. τὴν δὲ Εὐαγρίου χειροτονίαν ἀκούσας Οὐάλης ἐν Μαρκιανουπόλει διάγων Εὐστάθιον μὲν τὸν ἱερὸν εἰς Κύζικον ἐξώρισεν, Εὐάγριον δὲ τῆς πόλεως ἐκβαλὼν, Δημοφίλῳ τὰς ἐκκλησίας παρέδωκε τῷ Ἀρειανῷ.

					ΚΠ. ἐπίσκ. Δημόφιλος ἔτ. ιβ'.			
		ι'	ξη'	ιη'	α'	δ'	μδ'	β'

Τούτῳ τῷ ἔτει Οὐάλεντι τῷ δυσσεβεῖ πρεσβείαν ἀπέστειλαν οἱ ὀρθόδοξοι ἐν Νικομηδείᾳ ἐλθόντι ἄνδρας ἱερατικοὺς ὀγδοήκοντα πέμψαντες, ὧν

Anni mundi 5861.	Divinæ Incarn. 361.	Rom. Imperat. Valentinianus annis 11.	Persarum rex Sabores annis 70.	Romæ Episcop. Damasus annis 28.	Constant. Episc. Eudoxius annis 10.	Hierosol. Episc. Cyrillus annis 31.	Alexan. Episc. Athanasius annis 46.	Antioc. Episc. Anianus annis 4.
		9	67	17	10	3	41	1

Hoc anno Synodus apud Tyana coacta, cui interfuerunt Eusebius Cæsareæ in Cappadocia, & Gregorius Nazianzi, pater Gregorii Theologi, & Otrejus Melitinæ, & alii Præsules, qui Liberii litteris exhilarati, cunctis Orthodoxis Episcopis, Tarsum suis decretis rectam fidem confirmaturi ut accederent, indixerunt. Hoc cum ad Valentem fuisset perlatum, prohibuit fieri. Eudoxius vero cunctos sub Constantio in exilium actos, suis per quæque loca Magistratibus, ut in exilium pariter mitterent, Valentem jubere rursum impulit. Tunc Athanasius, cum plebs Alexandrina ipsum a Præfecto expelli minime sineret, urbe sponte excedens, in paterno sepulchro diutissime latuit. Demum vero Valens Alexandrinorum seditionem veritus Athanasium revocari rescripsit. Eudoxii communione semet segregavit Eunomius, quod cum Aetio Eunomii Magistro communionem habere nollet Eudoxius. Quamvis enim in unam sententiam uterque iret, tamen quod omnium odiis objiceretur Aetius, ipsum avertabatur Eudoxius; nec quantum ipse hoc facto propriis dogmatibus, tamquam impiis, detraheret, aut alienum aperte se redderet, advertebat, vel reverebatur. Eunomius siquidem varium & excultum, quale Sophistarum est, dicendi genus edocendus, a Deo extorris Aetii fuit Amanuensis, ex quo præsumptionis aura in ejus animum immissa; nulla licet ex parte divinarum litterarum rudimentis esset initiatus, ut septem ab eo tomi conscripti liquido manifestant. Cæterum Cyziceni Eunomium velut hæreticum & blasphemum expulerunt. Profectus ille junctus est Eudoxio. Quin blasphemus mirum in modum extitit, enunciare ausus: Deum præter aut supra nos de propria natura nullam cognitionem habere. Sub impiis istis Valente & Eudoxio multo asperiora, quam quæ suis persequutionibus Gentiles exercuerint, Orthodoxis acciderunt.

Edit. Parif. pag. 49.

Hoc anno, mortuo Eudoxio, Demophilum Episcopum sibi præfecerunt Ariani, Evagrium quemdam ex adverso elegerunt Orthodoxi. Hunc Eustathius sacer Antiochiæ Præsul Constantinopoli clam degens consecravit, reversus nimirum ab exilio Joviani Principis edicto, quem cum vivum non offendisset, occulte morabatur in urbe. Audita Evagrii ordinatione Valens Marcianopoli moram trahens sacrum Eustathium relegavit Cyzicum, expulsoque Constantinopoli Evagrio, Ecclesias Demophilo Ariano commendavit.

					Const. Episc. Demophilus an. 12.			
		6	68	18	1	4	44	2

Hoc anno Theodosius pius Imperator beatam Pulcheriam imitatus magnam pecuniarum vim egenis distribuendam, auream quoque crucem pretiosis lapillis interstinctam sancto Calvariæ loco figendam ad Hierosolymorum Episcopum misit. Præsul hæc dona vicario munere com-

pensaturus dextræ manus Martyrum principis Stephani reliquias per sanctum Passarionem obtulit. Eo Chalcedonem usque profecto cernit beata Pulcheria nocturno in ostento sanctum Stephanum verbis istis se compellantem. Viden', ut preces tuæ sunt exauditæ, & ut petitio tua jam adimpleta Chalcedonem usque pervenerit? Exurgens illa, fratre comite sanctis reliquiis in occursum processit: illisque demum in palatium illatis, sumptuosam ædem sancto Martyrum ductori extruxit, & in ea sacra munera deposuit.

Edit. Paris. pag. 75.

A λείψανον τῆς δεξιᾶς χειρὸς τοῦ πρωτομάρτυρος Στεφάνου διὰ τοῦ ἐν ἁγίοις Πασσαρίωνος. τούτου δὲ εἰς Χαλκηδόνα φθάσαντος θεωρεῖ ἡ μακαρία Πουλχερία αὐτῇ τῇ νυκτὶ ἐν ὁράματι τὸν ἅγιον Στέφανον λέγοντα αὐτῇ· ἰδοὺ ἡ προσευχή σου ἀκούσθη, καὶ ἡ αἴτησίς σου γέγονε, καὶ ἦλθον εἰς Χαλκηδόνα. ἡ δὲ ἀναστᾶσα μετὰ τοῦ ἀδελφοῦ αὐτῆς λαβοῦσα, ἐξῆλθεν εἰς συνάντησιν τῶν ἁγίων λειψάνων, καὶ ταῦτα εἰς τὸ παλάτιον λαβοῦσα κτίζει οἶκον ἔνδοξον τῷ ἁγίῳ πρωτομάρτυρι, κἀκεῖ τὰ ἅγια κατέθετο λείψανα.

					CP. Episc. Sisinnius annis 2.			
		21	14	5	1	11	14	6

B

					ΚΠ. ἐπίσκ. Σισίννιος ἔτη β'.			
		κα'	ιδ'.	ε'.	α'.	ια'	ιδ'	ς'

Hoc anno Theodosius Imperator, licet armorum vi Persas & victoriis premeret, Christianorum tamen in Perside commorantium sanguini parciturus, summa clementia ductus pacem amplexatur, & Heleonem Patricium virum summis semper honoribus auctum, & Anatolium Orientis Præfectum Legatos pacis fœdus firmaturos mittit. Vararanes, cognita suorum jactura, lubens admittit Legatos, atque ita excitatus in Christianos persecutionis motus resedit. Imperator porro Theodosius in tantorum beneficiorum vicem grates acturus Deo una cum suis sororibus, quæ perpetuam virginitatem colebant, sacris canticis Numen celebrare, & ejus laudes extollere nusquam desistebat.

Eodem anno Sisinnius CP. Archiepiscopus Cyzici Episcopum ordinat Proclum: quem cum agnoscere Cyziceni detrectassent, Monachum quemdam nomine Dalmatium invito Sisinnio sibimet præficiunt Antistitem. Proclus propria destitutus Ecclesia, Sisinnii monitis & permissu sermonibus populo docendo habitis clarebat.

Eodem quoque anno mota in Christianos Persas persecutionis tempestas sedata est.

Τούτῳ τῷ ἔτει ἀγαθότητι πολλῇ κινούμενος Θεοδόσιος βασιλεὺς καίπερ νικήσας κατὰ κράτος τοὺς Πέρσας, φειδοῖ τῶν κατοικούντων ἐν Περσίδι Χριστιανῶν, εἰρήνην ἀσπάζεται, καὶ ἀποστέλλει πρεσβευτὰς Ἡλίωνά τε τὸν Πατρίκιον, ὃν πάλαι διὰ τιμῆς ἦγεν, καὶ Ἀνατόλιον τὸν τῆς ἀνατολῆς στρατηγὸν εἰρήνην σπείσασθαι. Οὐαραράνης δὲ γνοὺς τὴν ἑαυτοῦ ἧτταν δέχεται τὴν πρεσβείαν, καὶ οὕτως ὁ κατὰ τῶν Χριστιανῶν ἐπαύσατο διωγμός. ὁ δὲ βασιλεὺς Θεοδόσιος ἐπὶ ταῖς τοιαύταις εὐεργεσίαις τὸν Θεὸν εὐχαριστῶν,
C γεραίρειν τοῖς ὕμνοις οὐκ ἐπαύσατο, κοινωνοὺς ἔχων τῆς ὑμνῳδίας τὰς ἰδίας ἀδελφὰς διὰ βίου τὴν παρθενίαν ἀσκούσας.

Τῷ δ' αὐτῷ ἔτει Σισίννιος ἀρχιεπίσκοπος ΚΠ. Πρόκλον χειροτονεῖ ἐπίσκοπον Κυζίκου· ὃν τινα οἱ Κυζικηνοὶ μὴ δεξάμενοι, μοναχόν τινα παρὰ γνώμην Σισιννίου Δαλμάτιον λεγόμενον χειροτονοῦσιν. ὁ δὲ Πρόκλος ἰδίαν ἐκκλησίαν μὴ ἔχων, ἐν ΚΠ. προτροπῇ Σισιννίου ταῖς διδασκαλίαις ἦν διαπρέπων.

Τῷ δ' αὐτῷ ἔτει ὁ κατὰ τῶν Χριστιανῶν διωγμὸς ἐν Περσίδι ἐπαύσατο.

		22	15	6	2	12	15	7

		κβ'	ιε'	ς'	β'	ιβ'	ιε'	ζ'

D

Hoc anno Philippus Sides Presbyter Christianam Historiam libris triginta sex absolvens acerbius in Sisinnium invehitur; eo quod ipsi Philippo pariter ac Proclo Sisinnius idem ad Episcopatus electionem fuisset prælatus. Non diu post vero Sisinnius e vita migravit.

Τούτῳ τῷ ἔτει Φίλιππος πρεσβύτερος Σίδης Χριστιανικὴν ἱστορίαν συγγραψάμενος ἐν λς'. βιβλίοις πολλὰ καθάπτεται Σισιννίου διὰ τὸ προκριθῆναι τὸν Σισίννιον Φιλίππου εἰς τὴν ἐπισκοπὴν ἅμα καὶ Πρόκλῳ· εὐθὺς δὲ Σισίννιος ἐτελεύτησεν.

Anni mundi 5923.	Divinæ incarn. 423.	Rom. Imp. Theodosius annis 42.	Persarum rex Vararanes annis 20.	Romæ Episc. Celestinus ann. 10.	Constant. Episc. Nestorius annis 3.	Hierosol. Episc. Praulius annis 20.	Alex. Episc. Cyrillus annis 32.	Ant. Episc. Joannes annis 18.
		23	16	7	1	13	16	8

E

Κόσμου ἔτη ͵εϡκγ'.	Τῆς θείας σαρ. ἔτ. υκγ'.	Ῥωμ. βασιλ. Θεοδόσιος ἔτη μβ'.	Περσῶν βασιλ. Οὐαραράνης ἔτη κ'.	Ῥωμ. ἐπίσκ. Κελεστῖνος ἔτη ι'.	Κωνστ. ἐπίσκ. Νεστόριος ἔτη γ'.	Ἱεροσ. ἐπίσκ. Πραΰλιος ἔτη κ'.	Ἀλεξ. ἐπίσκ. Κύριλλος ἔτη λβ'.	Ἀντ. ἐπίσκ. Ἰωάννης ἔτη ιη'.
		κγ'	ις'	ζ'.	α'.	ιγ'.	ις'	η'

pag. 76.

Hoc anno Sisinnio CP. Pontifice defuncto, Nestorius in Episcopatu succedit. Is Germaniciam habuit patriam: simul autem ac thronum conscendit, confestim ejus prava fides, & perversa circa Ecclesiæ dogmata mens manifestata. Orationem quippe de rebus fidei suo Syncello traditam in publico Christianæ plebis conventu jussit re-

Τούτῳ τῷ ἔτει Σισιννίου ἐπισκόπου ΚΠ. κοιμηθέντος Νεστόριος τὴν ἐπισκοπὴν διαδέχεται Γερμανικεὺς τῷ γένει. ἅμα δὲ τῷ θρόνῳ ἐπέβη, παραυτίκα ἡ αὐτοῦ κακοπιστία, καὶ τὸ ἐν τοῖς δόγμασι διεστραμμένον φρόνημα ἐδείκνυτο. ὁμιλίας γὰρ περὶ πίστεως ἔδωκε τῷ ἑαυτοῦ Συγκέλλῳ, κελεύσας αὐτῷ ταύτην ἐπ'

ἐκκλησίας κηρύξαι· ἔχουσαν οὕτω. Θεοτόκον τὴν Μαρίαν καλείτω μηδείς· Μαρία γὰρ ἄνθρωπος ἦν, καὶ ὑπὸ ἀνθρώπου Θεὸν τεχθῆναι ἀδύνατον. ταύτης ἐπελάβετο πρῶτον τῆς φωνῆς Εὐσέβιός τις Σχολαστικὸς τῆς βασιλίδος Κωνσταντινουπόλεως, ὅθεν πολλοὶ τῶν Βυζαντίων ἐταράχθησαν. ὁ δὲ Νεστόριος τὸν λόγον κυρῶσαι σπουδάζων πανταχοῦ τὴν Θεοτόκου φωνὴν ἐξέβαλλε, ψιλὸν ἄνθρωπον λέγων τὸν Κύριον. ἐν μιᾷ δὲ κυριακῇ προκαθεζομένου Νεστορίου προτραπεὶς Πρόκλος τι ἐξηγήσασθαι, εἶπεν· ὁμιλία εἰς τὴν Θεοτόκον, ἧς ἡ ἀρχή. Παρθενικὴ πανήγυρις σήμερον, ἀδελφοί. τότε μισητὸς γενόμενος παρὰ πᾶσιν ὁ δυσσεβὴς Νεστόριος διὰ τῦφον καὶ κακοπιστίαν. εἶχε γὰρ καὶ Ἀναστάσιόν τινα πρεσβύτερον Ἀντιοχέα, ὃν σφόδρα περιεποιεῖτο, ὡς ὁμόφρονα, ἄνδρα τολμηρότατον, ἐπ' ἐκκλησίας βλασφημοῦντα τὴν ἀειπάρθενον Θεοτόκον. τότε δὲ Εὐσέβιος ὁ τοῦ Δορυλαΐου πρῶτος κατεῖπεν· ὅπερ δὲ διαπραττόμενος πολλοὺς θορύβους ἤγειρε καὶ ταραχάς.

Τῷ δ' αὐτῷ ἔτει καὶ τὸ φοβερὸν θαῦμα τῶν ἁγίων ἑπτὰ παίδων ἐν Ἐφέσῳ γέγονεν· ἀναστάντων αὐτῶν διὰ ρπδ΄. ἐτῶν.

citari ita continentem. Mariam nemo nuncupet Dei Genitricem. Homo namque Maria extitit: & ab homine Deum gigni impossibile. Hanc vocem Eusebius quidam Imperatricis Constantinopoleos Scholasticus primus reprehendit, ex quo Byzantiorum plures turbati. Nestorius autem sermonis confirmandi studiosus, Deiparæ vocem undecumque potuit, abolevit: & simplicem purumque hominem Dominum affirmabat. Die vero quodam Dominico, ipso Nestorio Ecclesiæ præsidente, Proclus sacram concionem exponere jussus, dixit: Homilia in Deiparam. Homiliæ principium hoc fuit. Virginis hodie celebritas, fratres. Exinde impius Nestorius propter fastum & pravam fidem cunctis execrandus extitit. Anastasium quippe quempiam Antiochenum Presbyterum familiarius sibi devinctum, ceu pravitatis & sensus ejusdem consortem, virum linguæ præpetem & audacem, & in Ecclesia perpetuam virginem Deiparam suis blasphemiis vitiantem secum habuit: in quem Eusebius Dorylæi Episcopus insurrexit primus: quod cum fecisset, multos tumultus turbasque concitavit.

Hoc eodem anno dignum admiratione prodigium Ephesi auditum: sanctorum videlicet puerorum septem, qui de somno, quo per annos 184. consepulti remanserant, suscitati sunt.

| | | κδ΄ | ιζ΄ | η΄ | β΄ | ιδ΄ | ιζ΄ | θ΄ |

| 1 | 24 | 17 | 8 | 2 | 14 | 17 | 9 |

Τούτῳ τῷ ἔτει μαθὼν Κύριλλος ὁ τῆς Ἀλεξανδρείας ἐπίσκοπος τὰς τοῦ Νεστορίου βλασφημίας, γράφει αὐτῷ παρακαλῶν, καὶ νουθετῶν ἀπέχεσθαι τῶν διεστραμμένων αὐτοῦ δογμάτων, καὶ τῆς ὀρθῆς πίστεως ἀντέχεσθαι. ὁ δὲ Νεστόριος ἀντεπέστειλεν ὑβρίζων καὶ βλασφημῶν. τότε Κύριλλος γράφει τῷ Πάπᾳ Ῥώμης τὰ περὶ Νεστορίου, καὶ τὰ πρὸς αὐτὸν γραφέντα παρὰ Νεστορίου βλάσφημα, κατάδηλα αὐτῷ ποιεῖ. τότε Κελεστῖνος γράφει Νεστορίῳ, ὁρίσας αὐτῷ ἡμερῶν ι΄. προθεσμίαν, ἵνα παύσηται τῆς βλασφημίας, ἢ μετανοήσῃ· ἐπιμένοντα δὲ τῇ κακοδοξίᾳ, μηκέτι αὐτὸν εἶναι κοινωνικὸν ἱερέα. γράφουσι δὲ ὁμοίως Κελεστῖνος καὶ Κύριλλος Ἰωάννῃ τῷ ἀρχιεπισκόπῳ Ἀντιοχείας, καὶ Πραυλίῳ τῷ Ἱεροσολύμων, περὶ Νεστορίου καὶ τῆς κατ' αὐτὸν αἱρέσεως. Ἰωάννης δὲ γράφει Νεστορίῳ συμβουλεύων αὐτῷ ἀποστῆναι τῆς αἱρέσεως, ὑπομιμνήσκων αὐτὸν τὸ τοῦ Ἀποστόλου ῥηθὲν· ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γεννώμενον ἐκ γυναικός. γνοὺς δὲ ὁ Νεστόριος ὅτι οὐκ ἀνέχονται οἱ Πατριάρχαι παρασιωπῆσαι ἐπὶ τεταραγμένων τῶν ἐκκλησιῶν, παρεσκεύασε τὸν βασιλέα γράψαι σάκραν πρὸς Κύριλλον πλήρη σιγμάτων, καὶ δοκῶν ἐκ τούτου κτυπεῖν, μᾶλλον διήγειρε. ἀναρρώσας γὰρ γράφει τῷ βασιλεῖ καὶ ταῖς τούτου ἀδελφαῖς, περί τε τῆς ὀρθῆς πίστεως, καὶ τῆς Νεστορίου κακοδοξίας, ἅμα καὶ αἰτούμενος σύνοδον οἰκουμενικὴν γενέσθαι εἰς τὸ γυμνασθῆναι κανονικῶς τὰ κατὰ Νεστόριον. τότε ὁ βασιλεὺς Θεοδόσιος γράφει πᾶσι τοῖς ὑπ' αὐτὸν ἐπισκόποις παραγενέσθαι εἰς Ἔφεσον χωρὶς πάσης ὑπερθέσεως μετὰ τὸ Πάσχα, ὁρίσας, ὅτι οὐδὲ μίαν ἕξει πρὸς Θεὸν οὐδὲ πρὸς ἡμᾶς ἀπολογίαν ὁ μὴ τὴν ἡμέραν τῆς ἁγίας Πεντηκοστῆς εὑρισκόμενος εἰς τὴν σύνοδον εἰς Ἔφεσον. ὁ δὲ τῆς Ῥώμης Κελεστῖνος γράφει Κυρίλλῳ τῷ Ἀλεξανδρείας τὸν αὐτοῦ τόπον ὑπέχειν ἐν τῇ

Hoc anno Cyrillus Alexandriæ Episcopus auditis Nestorii blasphemiis, ipsum pravis opinionibus disseminandis abstineret, & rectam fidem sustineret, litteris hortatur & admonet: ad quem Nestorius contumelias blasphemiasque rescripsit. Tum quæ Nestorius effutiret, & ad se litteris dedisset blasphemias, Papæ Romano Cyrillus scriptis manifestat. Mox Nestorio scribit Celestinus, & dierum decem præfixo termino jubet hominem a blasphemiis abstinere, & mentem retractare, alias in sensus pravitate perseverantem, neque Sacerdotem Ecclesiasticæ communionis consortem eum deinceps habendum. In hanc mentem de Nestorio & ipsius hæresi Joanni Antiochiæ Archiepiscopo & Praulio Hierosolymorum litteris significavit. Ipse Joannes scribit Nestorio, & de abdicanda hæresi consilium dat, hoc etiam suggesto Apostoli dicto: Misit Deus Filium suum natum ex muliere. Cæterum cum Patriarchas in hacce Ecclesiarum perturbatione silentium nequaquam acturos prævideret, Imperatorem ut Sacram minis & terrore gravem ad Cyrillum daret, impulit. Unde Cyrillum percellere & ferire meditatus, ad pugnam magis excivit. Quare renovatis animi viribus, ad Imperatorem, & ejus sorores, de recta fide & perversis Nestorii dogmatibus scribit, unaque ut legitima Ecclesiæ consuetudine Nestorii res discuterentur, generale Concilium celebrari postulat. Tunc Imperator Theodosius cunctis suæ ditionis Episcopis, ut sine dilatione, post Pascha, convenirent Ephesum scripto mandavit: nullam apud Deum, neque apud nos habiturum defensionem, qui sanctæ Pentecostes die Synodo apud Ephesum præsentem se non exhibuerit. Romanus vero Pontifex Celestinus, cum Synodo adesse nequiret, ob labores hyemali tempestate in mari tolerandos, Cy-

Edit. Paris. pag. 77.

rillo Alexandriæ Episcopo, ut suum locum teneret, rescripsit.

A συνόδῳ, διὰ τὸ τῆς θαλάσσης κόπου τοῦ χειμῶνος, μὴ δυνηθεὶς εὑρεθῆναι.

		25	18	9	3	15	58	10

		κε'	ιη'	θ'	γ'	ιε'	νη'	ι'

Hoc anno Sancta & Oecumenica Synodus ducentorum Episcoporum Ephesi congregata est. Cum omnes igitur Episcopi convenissent, Joannes Antiochiæ Pontifex, nec alii Orientis Episcopi ad præfinitum diem non occurrerunt: elapsis deinde a condicto termino diebus sexdecim, Joanne nondum comparente, cum multo comitum fastu Nestorius advenit. Die itaque Junii mensis vigesima celerari cœpit Concilium, Nestorio, Cyrillo, & Praulio Conventui præsidentibus, Cyrillo vero B Romani Pontificis locum obtinente: cunctisque jam Theologicas disquisitiones instituentibus, non sine magna arrogantiæ ostentatione dixit Nestorius. Eum equidem qui bimus aut trimus agnitus fuerit, nusquaam ego Deum appellaverim: Eapropter mundus sum ab omnium vestrum sanguine: nec ad vos postmodum me quavis ratione rediturum testor. His dictis, cum sex Episcopis ejus sententiæ obsequentibus egressus est. Cyrilli sequaces postera luce congregati, tres Episcopos qui Nestorium vocarent, destinant: quibus obedire renuit: eodemque pacto secundo, & iterum, imo quarto accersitus, non accessit; sed & legatos injuriis probrisque respergi providit. C Tum vero delegatos Episcopos injuriis ita probrisque affectos Sancta & Oecumenica Synodus excipiens sententiam adversus eum pronunciavit, & omni sacro Ordine, hoc est dignitate, alienum deinceps futurum sanxit: hancque veram & indubitatam ejus depositionem præsenti & coram denunciaverunt. His ita perfectis, Joannes Antiochiæ Præsul sex & viginti comitatus Episcopis tertia die advenit. Hi de Nestorii exautoratione certiores facti, se a sancto Concilio segregaverunt, separatimque cum Nestorio considentes, Cyrillum, & Memnonem Ephesiorum Antistitem depositione, ut sibi videbatur, mulctaverunt. Theodoretus sane Cyrillum insectari & D sedarguere urbitratus, duodecim capitus expositis, Nestorio virus omne evomitum suo respersit operi. Sanctus autem Cyrillus fortiter insurgens suorum capitulorum defensionem instruxit, expositionem adhibuit, & in lucem prolato Ecclesiasticæ doctrinæ thesauro, quam ad pietatem propria collimaret sentencia, omnium oculis reddidit manifestum. A sancta postmodum Synodo tertium vocatus Antiochensium Præsul Joannes, cum accedere detrecturet, adversam excepit cum sociis sententiam, adeo ut omni Ecclesiæ removereutur ministerio, donec arrepti consilii pœnitentes admissam faterentur culpam. Et hæc quidem sancta definivit Synodus, quo constaret, quævis E in Cyrillum & Memnouem sanctissimos Ecclesiæ Præsides præter pietatis jura & Canonum auctoritatem attentata, nullius omnino roboris esse vel firmitatis. Itaque controversiis de his omnibus agitatis, ac scriptis ad Theodosium Imperatorem relatis, utriusque partis Episcopi CP. tendere jussi. Conveniunt illi, & Dei opera vincunt qui sanctæ Synodi partes tuebantur: firmataque Nestorii exautoratione, Maximianus Ecclesiæ Constantinopolitanæ Presbyter consecrationis ritu

Edit. Paris. pag. 78.

Τούτῳ τῷ ἔτει ἡ ἐν Ἐφέσῳ ἁγία καὶ οἰκουμενικὴ σύνοδος τῶν διακοσίων πατέρων συνηθροίσθη. πάντων τοίνυν ἐπισκόπων ἐλθόντων Ἰωάννης ὁ Ἀντιοχείας, καὶ οἱ ἀνατολικοὶ οὐκ ἀπήντησαν τῇ ὁρισθείσῃ προθεσμίᾳ, καὶ τῇ δεκάτῃ ἕκτῃ ἡμέρᾳ μετὰ τὴν ὡρισμένην, τοῦ Ἰωάννου μὴ ἐλθόντος, ἔφθασεν ὁ Νεστόριος μετὰ πολλῆς ἀλαζονείας. καὶ τῇ εἰκοστῇ τοῦ Ἰουνίου μηνὸς ἐκροτήθη ἡ B σύνοδος Νεστορίου, καὶ Κυρίλλου, καὶ Πραυλίου προκαθεσθέντων, τοῦ δὲ Κυρίλλου τὸν τόπον τοῦ Ῥώμης ἐπέχοντος· καὶ πάντων θεολογούντων λέγει ὁ Νεστόριος μετὰ πολλῆς ἀλαζονείας. ἐγὼ τὸν γενόμενον διμηναῖον καὶ τριμηναῖον οὐκ ἂν Θεὸν ὀνομάσαιμι. καὶ διὰ τοῦτο καθαρός εἰμι ἀπὸ τοῦ αἵματος ὑμῶν· καὶ ἀπὸ τοῦ νῦν πρὸς ὑμᾶς οὐκ ἐπανέρχομαι. καὶ ταῦτα εἰπὼν, ἐξῆλθε μετὰ ἓξ ἐπισκόπων τῶν γνώμῃ ἀκολουθησάντων αὐτῷ. οἱ δὲ περὶ Κύριλλον τῇ ἑξῆς συνελθόντες, ἀπέστειλαν τρεῖς ἐπισκόπους καλέσαι αὐτὸν, καὶ οὐχ ὑπήκουσεν. ὁμοίως δὲ καὶ δεύτερον, καὶ τρίτον, καὶ τέταρτον προσκληθεὶς ὑπὸ τῆς συνόδου, οὐ παρεγένετο. ἀλλὰ καὶ τοὺς σταλέντας ὑβρισθῆναι, καὶ ἀτιμασθῆναι παρεσκεύασε. C τότε ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ὑβρισμένους, καὶ ἠτιμασμένους δεξαμένη τοὺς ἀποσταλέντας ἐπισκόπους, ἀπεφήνατο κατ' αὐτοῦ, καὶ ἀλλότριον αὐτὸν ὥρισε παντὸς ἱερατικοῦ τάγματος, δηλονότι ἀξιώματος, καὶ ἀπέστειλαν αὐτῷ εἰς πρόσωπον τὴν οἰκείαν καθαίρεσιν. τούτων οὕτω τελεσθέντων ἦλθε μετὰ τρεῖς ἡμέρας Ἰωάννης ὁ Ἀντιοχείας ἐπίσκοπος εἴκοσι ἓξ ἐπισκόπους ἔχων μεθ' ἑαυτοῦ, οἵ τινες μαθόντες καθαιρεθῆναι αὐτὸν, ἀποσχίσαντες τῆς ἁγίας συνόδου, καὶ μετὰ Νεστορίου συνεδράσαντες, καθεῖλον, ὡς ἐνόμισαν, Κύριλλον, καὶ Μέμνονα τὸν Ἐφέσιον. Θεοδώρητος μέντοι νομίσας Κύριλλον κα- D ταδραμεῖν, τὰ δώδεκα κεφάλαια παρεξηγησάμενος, ἐκεῖσε τὸν Νεστορίου ἐξέμεσεν ἰόν. ὁ δὲ ἐν ἁγίοις Κύριλλος γενναίως διαναστὰς ὑπὲρ τῶν αὐτοῦ κεφαλαίων ἀπελογήσατο, ἑρμηνεύων αὐτὰ, καὶ τὸν ἐν αὐτοῖς ἐκκλησιαστικὸν θησαυρὸν ἀνακαλύπτων, καὶ τὸν οἰκεῖον εὐσεβῆ σκοπὸν φανερῶν πᾶσιν. ὑπὸ δὲ τῆς ἁγίας συνόδου κληθεὶς ὁ τῆς Ἀντιοχέων Ἰωάννης ἐκ τρίτου, καὶ μὴ ὑπακούσας τοῦ παραγενέσθαι, ἀπόφασιν ἐδέξατο σὺν τοῖς μετ' αὐτοῦ, ὡς ἀλλοτριοῦσθαι πάσης ἐκκλησιαστικῆς λειτουργίας, ἄχρις ἂν ἑαυτῶν καταγνόντες τὸ οἰκεῖον ὁμολογήσωσιν σφάλμα. καὶ τοῦτο δὲ ἡ ἁγία ὥρισε σύνοδος, ὥστε τὰ πα- E ρὰ τῶν ἀνατολικῶν ἀθέσμως καὶ ἀκανονίστως ἐφ' ὕβρει τῶν ἁγιωτάτων τῆς ἐκκλησίας προέδρων Κυρίλλου καὶ Μέμνονος ἰσχὺν τινὰ μηδ' ὅλως ἔχειν. τούτων τοίνυν πάντων αἱ διαφοραὶ δι' ἀναφορᾶς τῷ βασιλεῖ Θεοδοσίῳ ἀνενεχθεῖσαι ἐκελεύσθησαν ἐκ τῶν ἀμφοτέρων μερῶν ἐπίσκοποι ἀνελθεῖν ἐν ΚΠ. καὶ ἀνελθόντες τῇ συνεργείᾳ τοῦ Θεοῦ ἐνίκησαν οἱ τῆς ἁγίας συνόδου· καὶ κυρωθείσης τῆς καθαιρέσεως Νεστορίου, Μαξιμιανὸς χειροτονεῖται ἐπίσκοπος ἐν ΚΠ. πρεσβύτερος ὢν τῆς αὐτῆς ἐκκλησίας. οἱ δὲ

ἀνατολικοὶ ἔλαβον τὸν Νεστόριον μεθ' ἑαυτῶν εἰς ἀνατολήν. τῷ δὲ τετάρτῳ χρόνῳ τῆς Νεστορίου καθαιρέσεως Ἰωάννης ὁ τῆς Ἀντιοχέων ἐπίσκοπος τὸν τοῦ Θεοῦ φόβον κεκτημένος, βλέπων πολλοὺς τῶν κατὰ τὴν Ἀντιόχειαν λογάδων ὑπὸ Νεστορίου νοθευομένους, γράφει παρακαλῶν τὸν βασιλέα τοῦτον ἐξῶσαι τῆς ἀνατολῆς· ὁ δὲ βασιλεὺς τὸν μὲν Νεστόριον ἐξώρισεν ἐν τῇ Θάσῳ, προστάγματα δὲ ἐξέπεμπε Κυρίλλῳ καὶ Ἰωάννῃ ἀνυπερθέτως ἑνωθῆναι πρὸς τὸ ἀπαλλάξαι τὰς ἐκκλησίας διχονοίας ἁπάσης. εἶξε δὲ τῷ προστάγματι Ἰωάννης, καὶ γράφει Κυρίλλῳ τὴν ἑαυτοῦ πίστιν, καὶ τὴν τῶν ἐν Νικαίᾳ πατέρων ὁμολογίαν, καὶ τῶν ρνʹ. τῶν ἐν ΚΠ. ἀποδεχόμενος, καὶ τὰ ἐν Ἐφέσῳ πεπραγμένα. τοῦτο ὁ Κύριλλος ἀποδεξάμενος γράφει Ἰωάννῃ, καὶ τοῖς ἀνατολικοῖς ἐπιστολὴν ἧς ἡ ἀρχή. Εὐφραινέσθωσαν οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ· καὶ τῇ αὐτῇ ὁμολογίᾳ συνθέμενοι ἀμφότεροι, ἑνώθησαν πρὸς εἰρήνην καὶ ὁμόνοιαν αἱ παρ' ἑκατέροις ἅγιαι ἐκκλησίαι. κατὰ τοῦτον δὲ τὸν χρόνον Νόννος ὁ θεοφόρος ἐποίμαινε τὴν τῶν Ἐδεσσηνῶν ἐκκλησίαν, ὁ τὴν πρώτην τῶν Μιμάδων Ἀντιοχέων τῷ Θεῷ ἀφιερώσας, καὶ ἀντὶ Μαργαρίτης πόρνης ἁγίαν αὐτὴν Πελαγίαν παραστήσας τῷ Χριστῷ. οὗτος οὖν ὁ ἐν ἁγίοις ἀγαλλιώμενος ἐπὶ τῇ ἁγίων ὁμονοίᾳ, γράφει τῷ ἀρχιεπισκόπῳ Ἰωάννῃ νουθεσίας καὶ διδασκαλίας ῥήματα, ἐν οἷς καὶ τοῦτο. κάθαιρε τὴν ἐκκλησίαν, ὦ ἄνθρωπε τοῦ Θεοῦ, ἀπὸ τῶν Νεστοριανῶν ζιζανίων, καὶ τῆς αὐτῶν δυσσεβείας. τὸν δὲ ἀσεβῆ καὶ βλάσφημον Νεστόριον ἐν τῇ ἐξορίᾳ ἡ θεία δίκη μετῆλθε σηπεδόνι τῶν μελῶν αὐτοῦ πάντων, μάλιστα δὲ τῆς μιαρᾶς αὐτοῦ γλώσσης, ᾗ περιπεσὼν διεφθάρη τῷ θανάτῳ, προλαβὼν τὴν ἀπὸ Θάσου ἀνάκλησιν εἰς ἕτερον τόπον.

A praeficitur Episcopus. Orientales autem Nestorium secum assumptum deduxerunt in Orientem. Cæterum anno a Nestorii depositione quarto Joannes Antiochensium Episcopus Dei timore ubertim clarus, cum insignissimos quosque Antiochensium Nestorii doctrina cerneret adulterari, de Nestorio ex Oriente penitus eliminando supplex Imperatorem postulat. Imperator Nestorium apud Thasum deportari jubet: ad Cyrillum autem & Joannem, ut sine dilatione pacem ineant, quo cuncta penitus dissensio ab Ecclesiis eliminetur, imperat. Jussis obtemperat Joannes, suamque Cyrillo fidem, & quæ fuit Nicææ Patrum confessio, quæ centum & quinquaginta Constantinopoli congregatorum, denique B quæ apud Ephesum fuerunt acta se recipere scribit. Id ubi Cyrillus accepit & probavit, epistolam ad Joannem & reliquos Orientales mittit, cujus principium: Lætentur cæli, & exultet terra. Et ambobus quidem in hanc confessionem convenientibus, subditæ utrique Ecclesiæ in pacis & concordiæ unionem redierunt. His temporibus Nonnus Deo plenus Pontifex Edessenorum pascebat Ecclesiam, qui mimarum Antiochensium insignissimam Deo consecravit, & Margaritus scorti vice Pelagiam sanctam pœnitentem Christo exhibuit. Hic igitur sanctorum non ultimus de sanctorum inita reconciliatione exultans, verba monitionum & doctrinæ plena Joanni scripsit, hæcque inter alia: Expurga C Ecclesiam, Vir Dei, a Nestorii zizaniis, & eorum perfidia. Impium tandem blasphemumque Nestorium divina justitia in exilio ulta est, membris ejus omnibus, & impura maxime lingua, tabo fluentibus, quo quidem corrosus letho absumitur, & e Thaso in alium locum revocationem prævenit.

Edit. Paris. pag. 79.

Κόσμου ἔτη ͵εϡκϛʹ.	Τῆς θείας σαρκώσεως ἔτη υκϛʹ.	Ῥωμ. βασιλ. Θεοδόσιος ἔτη μηʹ.	Περσῶν βασιλ. Οὐαραράνης ἔτη κʹ.	Ῥωμ. ἐπίσκ. Κελεστῖνος ἔτη ιʹ.	Κωνστ. ἐπίσκ. Μαξιμιανὸς, ἔτη βʹ.	Ἱεροσ. ἐπίσκ. Πραΰλιος ἔτη κʹ.	Ἀλεξ. ἐπίσκ. Κύριλλος ἔτη λβʹ.	Ἀντ. ἐπίσκ. Ἰωάννης ἔτη ιηʹ.
		κϛʹ	ιθʹ	ιʹ.	εʹ.	ιϛʹ.	ιηʹ.	καʹ

D

Anni mundi 5926.	Divinæ Incarn. 426.	Rom. Imp. Theodosius annis 48.	Persarum rex Vararanes annis 20.	Romæ Episc. Celestinus annis 10.	Constant. Episc. Maximianus annis 2.	Hierosol. Episc. Praulius annis 20.	Alex. Episc. Cyrillus annis 32.	Ant. Episc. Joannes annis 18.
		26	19	10	5	16	18	21

Τούτῳ τῷ ἔτει ἦλθεν Οὐαλεντινιανὸς ἀπὸ Ῥώμης ὁ Γάλλης Πλακιδίας καὶ Κωνσταντίου υἱὸς ἐν ΚΠ. καὶ ἔγημεν γυναῖκα τὴν θυγατέρα Θεοδοσίου τοῦ βασιλέως Εὐδοξίαν τὴν ἐξ Εὐδοκίας γεννηθεῖσαν αὐτῷ, καὶ ἐπανῆλθεν ἐν Ῥώμῃ.

Τῷ δ' αὐτῷ ἔτει Ἡσύχιος πρεσβύτερος Ἱεροσολύμων ἐτελεύτησε. καὶ ἡ μακαρία Μελάνη ἡ τῆς μεγάλης ἐγγόνη ἐν ἀσκήσει ἐκομίσθη ἐν βίῳ τελείῳ ἐν Ἱερουσαλήμ.

Hoc anno Valentinianus Gallæ Placidiæ & Constantini filius, Constantinopolim profectus uxorem duxit Eudoxiam Theodosii Imperatoris filiam ex Eudocia conjuge sibi natam: & posthac Romam reversus est.

Eodem anno Hesychius Presbyter Hierosolymitanus ultimum diem obiit: & beata Melania magnæ Melaniæ neptis in religiosarum virtutum exercitiis & perfectione vitæ Hierosolymis requievit.

				Ῥωμ. ἐπίσκ. Ξύστος ἔτη ηʹ.				
		κζʹ	κʹ	αʹ.	βʹ	ζʹ	κʹ	ιβʹ

E

				Romæ Episc. Xystus annis 8.				
		27	20	1	2	17	20	12

Τούτῳ τῷ ἔτει Θεοδόσιος ὁ βασιλεὺς τὴν γαμετὴν Εὐδοκίαν εἰς Ἱεροσόλυμα ἀπέστειλεν δι' χαριστηρίους ὕμνους προσάξουσαν τῷ Θεῷ, ἥτις πάμπολλα ταῖς ἐκκλησίαις ἐδωρήσατο, καὶ προσκυνήσασα τὸν τε ἅγιον σταυρὸν, καὶ τοὺς σεβασμίους τόπους, ὑπέστρεψεν εἰς τὰ βασίλεια.

Hoc anno Theodosius Imperator Eudociam conjugem laudes & grates relaturam Hierosolymam misit, quæ plurima dona Ecclesiis contulit: & adorata sacra cruce, locisque sacris perlustratis, in regiam Constantinopolim se recepit.

			Persarum rex Isdegerdes annis 17.		Cp. Episc. Proclus annis 12.			
		28	1	2	5	18	21	13

			Περσῶν βασ. Ἰσδεγέρδης ἔτη ιζʹ.		ΚΠ. ἐπίσκ. Πρόκλος ἔτη ιβʹ.			
		κηʹ	αʹ	βʹ	αʹ	ιηʹ	καʹ	ιγʹ

Edit. Paris. pag. 80.

Hoc anno ruina in Alexandriæ theatro facta in Niliacorum festorum pervigilio homines septuaginta duos supra quingentos oppressit.

A Τούτῳ τῷ ἔτει σύμπτωσις ἐγένετο ἐν τῷ θεάτρῳ Ἀλεξανδρείας, καὶ ἀπέθανον ἄνδρες φοβʹ. τῇ παννυχίδι τῶν Νειλώων.

		29 30	2 3	3 4	2 3	19 20	22 23	14 15

		κθʹ λʹ	βʹ γʹ	γʹ δʹ	βʹ γʹ	ιθʹ κʹ	κβʹ κγʹ	ιδʹ ιεʹ

Hoc anno sanctissimus Constantinopolitanus Episcopus Proclus, permissu ab Imperatore Theodosio petito, Joannis Chrysostomi reliquias a Comanis in regiam civitatem transtulit, & insequente anno, exacta nimirum annorum triginta trium periodo, easdem publica confertaque processionis pompa deductas, Imperatore & beata Pulcheria comitantibus, in Apostolorum deposuit Ecclesia: tum vero cunctos, qui propter abrogatam Joanni dignitatem ab Ecclesia fuerant segregati, ad pristinam recepit communionem. Sancti Procli ætate, quatuor mensium spatio factus est Constantinopoli terræ motus, adeo ut Byzantini terrore consternati ad Campum ita dictum ea Urbe secedentes, supplicationibus ac processionibus repetitis dies noctesque cum Episcopo protraherent. Semel itaque terra violentius agitata, & e populo cunctis, Domine miserere, conclamantibus intensius, sub omnium conspectu, circa diei tertiam horam adolescentulum quemdam in aera divina virtute sublevari contigit, & divinam vocem audire sibi præcipientem Episcopo plebique renunciaret litaniarum preces in hanc formam deinceps conciperent: Sanctus Deus, sanctus fortis, sanctus immortalis, miserere nobis: nec illis quicquam addere attentarent. Jussu istiusmodi accepto, populum ut ita caneret, sanctus Proclus adhortatus est, & confestim terræ quievit motus. Beata porro Pulcheria & ejus frater miraculo recreati, divinum illum hymnum per orbem quaqua patet decantari sanxerunt: ex quo per singulos dies suavibus modulis illum recitandi morem cunctæ receperunt Ecclesiæ.

B Τούτῳ τῷ ἔτει Πρόκλος ὁ ἁγιώτατος ἐπίσκοπος Κωνσταντινουπόλεως αἰτήσας τὸν βασιλέα Θεοδόσιον τὸ λείψανον Ἰωάννου τοῦ Χρυσοστόμου ἀπὸ Κομάνων εἰς τὴν βασιλεύουσαν μετεκόμισε. καὶ τῷ ἐρχομένῳ χρόνῳ διὰ λγʹ. ἐτῶν τοῦτο δημοσίᾳ ἐπὶ προελεύσεως πομπεύσας σὺν τῷ βασιλεῖ καὶ τῇ μακαρίᾳ Πουλχερίᾳ εἰς τὴν τῶν Ἀποστόλων ἀπέθετο ἐκκλησίαν. καὶ εἶτα τοὺς διὰ τὴν ἐκείνου καθαίρεσιν τῆς ἐκκλησίας χωρισθέντας ἥνωσεν. ἐπὶ τοῦ ἐν ἁγίοις Πρόκλου σεισμὸς γέγονεν ἐν ΚΠ. ἐπὶ τέσσαρας μῆνας. ὥστε φοβηθέντες οἱ Βυζάντιοι ἔφυγον ἔξω τῆς πόλεως ἐν τῷ λεγομένῳ Κάμπῳ, καὶ ἦσαν διημερεύοντες σὺν τῷ ἐπισκόπῳ ἐν ταῖς δεήσεσι λιτανεύοντες. ἐν μιᾷ δὲ κυμαινομένης τῆς γῆς, καὶ C παντὸς τοῦ λαοῦ κράζοντος τὸ, Κύριε ἐλέησον, ἐκτενῶς, περὶ ὥραν τρίτην, ἄφνω πάντων ὁρώντων συνέβη ὑπὸ θείας δυνάμεως ἀρθῆναί τινα νεανίσκον εἰς τὸν ἀέρα, καὶ ἀκοῦσαι θείας φωνῆς παρεγγυώσης αὐτὸν ἀναγγεῖλαι τῷ ἐπισκόπῳ καὶ τῷ λαῷ, λιτανεύειν οὕτω, καὶ λέγειν· ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς· μηδὲν ἕτερον προστιθέντας. ὁ δὲ ἐν ἁγίοις Πρόκλος ταύτην δεξάμενος τὴν ἀπόφασιν ἐπέτρεψε τῷ λαῷ ψάλλειν οὕτω, καὶ εὐθέως ἔστη ὁ σεισμός. ἡ δὲ μακαρία Πουλχερία, καὶ ὁ ταύτης ἀδελφὸς ὑπεραγασθέντες τῷ θαύματι, ἐθέσπισαν κατὰ πᾶσαν οἰκουμένην τὸν θεῖον τοῦτον ψάλλεσθαι ὕμνον· καὶ ἀπὸ τότε παρέλαβον πᾶσαι αἱ D ἐκκλησίαι καθ' ἑκάστην ἡμέραν ᾄδειν αὐτὸν τῷ Θεῷ.

Anni mundi 5911.	Divinæ Incarn. 436.	Rom. Imperat. Theodosius annis 42.	Persarum rex Isdegerdes annis 17.	Romæ Episcop. Xystus annis 8.	Constant. Episc. Proclus annis 12.	Hierosol. Epis. Juvenalis annis 38.	Alexan. Epis. Cyrillus annis 32.	Antioc. Episc. Joannes annis 18.
		31	4	5	4	1	24	16

Κοσμοῦ ἔτη ϛϡιαʹ.	Τῆς θείας σαρκ. υλϛʹ.	Ῥωμ. Βασιλεὺς Θεοδόσιος ἔτη μβʹ.	Περσ. βασιλ. Ἰσδεγέρδης ἔτη ιζʹ.	Ῥωμ. ἐπίσκοπος Ξύστος ἔτη ηʹ.	ΚΠ. ἐπίσκ. Πρόκλος ἔτη ιβʹ.	Ἱεροσ. ἐπίσκ. Ἰουβενάλιος ἔτη ληʹ.	Ἀλεξ. ἐπίσκ. Κύριλλος ἔτη λβʹ.	Ἀντ. ἐπίσκ. Ἰωάννης ἔτη ιηʹ.
		λαʹ	δʹ	εʹ	δʹ	αʹ	κδʹ	ιϛʹ

pag. 81.

Hoc anno Valentinianus non modo Britanniam, Galliam, & Hispaniam servare non valuit, quinetiam Occidentalem Libyam, quæ Afrorum dicitur provincia, hoc pacto amisit. Duo belli Duces tum erant Aetius & Bonifacius, quos rogante Valentiniano Theodosius Romam misit. Bonifacio vero Libyæ Occidentalis præfecturam assequuto invidens Aetius, in eum quasi defectionem meditantem, & jam Lybiam occupare conatum, machinatur calumniam. Et hæc quidem ad Placidiam

E Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς οὐ μόνον Βρεττανίαν, καὶ Γαλλίαν, καὶ Σπανίαν ἀνασώσασθαι οὐκ ἴσχυσεν, ἀλλὰ καὶ τὴν ἑσπέριον Λιβύην, τὴν τῶν Ἀφρῶν καλουμένην χώραν προσαπώλεσε τρόπῳ τοιῷδε. δύο στρατηγοὶ ἦσαν Ἀέτιος καὶ Βονιφάτιος, οὓς Θεοδόσιος κατὰ αἴτησιν Οὐαλεντινιανοῦ εἰς Ῥώμην ἀπέστειλε. Βονιφατίου δὲ τὴν ἀρχὴν τῆς ἑσπερίας Λιβύης λαβόντος, φθονήσας ὁ Ἀέτιος διαβολὴν ποιεῖται κατ' αὐτοῦ, ὡς ἀνταρσίαν μελετῶντος, καὶ τὴν Λιβύην κρατῆσαι σπεύδοντος· καὶ ταῦτα μὲν πρὸς Πλακιδίαν ἔλεγε τὴν τοῦ Οὐαλεντινιανοῦ μητέ-

μητέρα. γράφει δὲ Βονιφατίῳ οὕτως· ἐὰν μεταπεμφθῇς, παραγενέσθαι μὴ θελήσῃς. διεβλήθης γάρ, καὶ δόλῳ σε οἱ βασιλεῖς βούλονται χειρώσασθαι. ταῦτα δεξάμενος ὁ Βονιφάτιος, καὶ ὡς γνησίῳ φίλῳ τῷ Ἀετίῳ πιστεύσας, μεταπεμφθεὶς οὐ παρεγένετο. τότε οἱ βασιλεῖς τὸν Ἀέτιον ὡς εὐνοοῦντα ἀπεδέξαντο. ἦσαν δὲ τότε Γότθοι, καὶ ἔθνη πολλά τε, καὶ μέγιστα πέραν τοῦ Δανουβίου ἐν τοῖς ὑπερβορείοις τόποις κατῳκισμένα. τούτων δὲ ἀξιολογώτερά εἰσι τέσσαρα, Γότθοι, Ὑπόγοτθοι, Γήπεδες, καὶ Οὐάνδηλοι ἐν ὀνόματι μόνῳ, καὶ οὐδενὶ ἑτέρῳ διαλλάττοντες, μιᾷ διαλέκτῳ κεχρημένοι· πάντες δὲ τῆς Ἀρείου ὑπάρχουσι κακοπιστίας. οὗτοι ἐπὶ Ἀρκαδίου καὶ Ὁνωρίου τὸν Δανούβιον διαβάντες, ἐν τῇ Ῥωμαίων γῇ κατῳκίσθησαν. καὶ οἱ μὲν Γήπεδες, ἐξ ὧν ὕστερον διῃρέθησαν Λογγίβαρδοι, καὶ Ἀβάρεις, τὰ περὶ Σιγγίδονα καὶ Σιρμείου χωρία ᾤκησαν. οἱ δὲ Ὑπόγοτθοι μετὰ Ἀλάριχον τὴν Ῥώμην πορθήσαντες, εἰς Γαλλίας ἐχώρησαν, καὶ τῶν ἐκεῖ ἐκράτησαν. Γότθοι δὲ Παννονίαν ἔσχον πρῶτον, ἔπειτα τῷ ιθ΄. ἔτει τῆς βασιλείας Θεοδοσίου τοῦ νέου ἐπιτρέποντος, τὰ τῆς Θρᾴκης χωρία ᾤκησαν, καὶ ἐπὶ νη΄. χρόνους ἐν τῇ Θρᾴκῃ διετέλεσαν, καὶ τῆς ἑσπερίου βασιλείας ἐκράτησαν. οἱ δὲ Οὐάνδαλοι Ἀλανοὺς ἑταιρισάμενοι, καὶ Γερμανούς, τοὺς νῦν καλουμένους Φράγγους, διαβάντες τὸν Ῥῆνον ποταμόν, ἡγούμενον ἔχοντες Μοδίγισκλον, κατῴκησαν ἐν Σπανίᾳ πρώτῃ οὔσῃ τῆς Εὐρώπης ἀπὸ τοῦ ἑσπερίου Ὠκεανοῦ. Βονιφάτιος δὲ φοβηθεὶς τοὺς τῶν Ῥωμαίων βασιλεῖς περάσας ἀπὸ Λιβύης εἰς Σπανίαν πρὸς τοὺς Οὐανδήλους ἦλθε. καὶ εὑρὼν τὸν Μοδίγισκλον τελευτήσαντα, τοὺς δὲ ἐκείνου παῖδας Γόνθαριν τε καὶ Γιζέριχον τὴν ἀρχὴν διέποντας, τούτους προτρεψάμενος τὴν ἑσπέριον Λιβύην εἰς τρία μέρη διελεῖν ὑπέσχετο, ἐφ᾽ ὧν ἕκαστον τοῦ τρίτου μέρους ἄρχειν σὺν αὐτῷ, κοινῇ δὲ ἀμύνεσθαι τὸν οἷον δήποτε πολέμιον. ἐπὶ ταύταις ὁμολογίαις οἱ Οὐάνδαλοι τὸν πορθμὸν διαβάντες, τὴν Λιβύην κατῴκησαν ἀπὸ τοῦ Ὠκεανοῦ μέχρι Τριπόλεως τῆς κατὰ Κυρήνην. οἱ δὲ Ὑπόγοτθοι ἀναστάντες ἀπὸ Γαλλίας ἐκράτησαν καὶ τὴν Σπανίαν. τινὲς δὲ τῆς συγκλήτου Ῥωμαίων φίλοι Βονιφατίου τὴν Ἀετίου ψευδοκατηγορίαν ἀνήγγειλαν τῇ Πλακιδίᾳ, ἐμφανῆ ποιήσαντες, καὶ τὴν πρὸς Βονιφάτιον Ἀετίου ἐπιστολήν, τοῦ Βονιφατίου ταύτην αὐτοῖς ἀποστείλαντος. ἡ δὲ Πλακιδία ἐκπλαγεῖσα, τὸν μὲν Ἀέτιον οὐδὲν ἠδίκησε, Βονιφατίῳ δὲ λόγον προτρεπτικὸν μεθ᾽ ὅρκων ἀπέστειλε. τοῦ δὲ Γονθαρίου τελευτήσαντος, Γιζέριχος τῶν Οὐανδάλων γέγονεν αὐτοκράτωρ. Βονιφάτιος οὖν τὸν λόγον δεξάμενος, τῶν Οὐανδήλων κατεστράτευσε, στρατοῦ μεγάλου ἐλθόντος αὐτῷ ἀπό τε Ῥώμης καὶ ἀπὸ Βυζαντίου, στρατηγοῦντος Ἄσπαρος. πολέμου δὲ κροτηθέντος πρὸς Γιζέριχον, ἡττήθη ὁ τῶν Ῥωμαίων στρατός· καὶ οὕτω Βονιφάτιος μετὰ Ἄσπαρος εἰς Ῥώμην ἐλθών, τὴν ὑποψίαν διάλυσιν ἀποδείξας τῆς ἀληθείας. ἡ δὲ Ἀφρικὴ ὑπὸ Οὐανδήλους γέγονε. τότε καὶ Μαρκιανὸς στρατιώτης ὤν, καὶ δουλεύων τῷ Ἄσπαρι, ζῶν συνελήφθη ὑπὸ Γιζερίχου, ὁ μετὰ ταῦτα βασιλεύσας.

A Valentiniani matrem deferebat: Interea vero Bonifacio scribit. Si accersitus fueris, ne de reditu cogitato: criminis enim calumniam passus es, & te Imperatores dolis comprehendere moliuntur. His acceptis velut sinceriori amico Bonifacius confidens Aetio, vocatus non accessit. Tum vero ceu fidum & benevolum Imperatores habuerunt Aetium. Erant ea tempestate Gotthi, gentesque quamplurimæ & copiosæ trans Danubium in Hyperboreis regionibus habitantes, inter quas præcipuæ quatuor omnino sunt, Gotthi, Wisigotthi, Gepedes, & Vandali, nullo alio, quam nominum appellatione a se invicem discretæ, & ubique una communi B lingua utentes: omnes alioqui pravas Arii sectantur opiniones. Isti Arcadio & Honorio imperantibus trajecto Danubio, in Romanæ potestatis solo fixerant sedem. Gepedes quidem, ex quibus demum Longobardi & Abares divisi sunt, loca ad Singidonem & Sirmium posita occupaverunt. Wisigotthi post illatas ab Alaricho clades Roma devastata, in Galliam secedentes, varias obtinuerunt provincias: Gotthi Pannoniam primum adepti, mox nono supra decimum Imperii anno, Theodosio juniore ita permittente, Thraciæ regiones incoluere, & Thracica habitatione per annos octo & quinquaginta protracta, Occidentalis tandem Imperii facti sunt domini. Vandali demum Alanis, & Germanis, Francos nunc istos vocant, sibi C ascitis, Rheno flumine trajecto, duce Modigisclo, in Hispania, quæ ab Hesperio Oceano Europæ prima regio est, sedem posuerunt. Bonifacius autem ab Imperatoribus Romanis sibi metuens, e Libya trajiciens in Hispaniam ad Vandalos se recepit. Mortuo jam Modigisclo, Gontharim & Gizerichum ejus filios regnum administrantes offendit: ipsos pluribus hortatus Libyam Occidentalem in tres partes se divisurum promisit, ut unusquisque secum tertiam partem obtineret: cunctique simul adversarium omnem quisquis ille foret, ulcisceretur. His conditionibus firmatis, Vandali enavigato freto Libyam ab Oceano ad Tripolim, quæ est juxta Cyrenem, incoluerunt. Wisigotthi quoque e Gallia migrantes occu- D paverunt Hispaniam. Porro quidam ex Romanis Senatoribus Bonifacii amici dolos Aetii cunctasque ejus calumnias Placidiæ denunciavere, & Bonifacio epistolam ipsam Aetii ad eos submittente, ipsi eamdem Placidiæ fecerunt manifestam, & palam exhibuerunt. Augusta his exterrita, Aetium nullatenus ulta est; ad Bonifacium autem, quæ officium suaderent, etiam addito jusjurando verba fecit. Gonthari vero e vivis sublato, Vandalorum Imperium suscepit Gizerichus. Bonifacius ea adverso data fide confirmatus, copioso exercitu Roma Byzantioque sub Aspare Duce transmisso, bellum adversus Vandalos movit. Inito cum Gizericho certamine Romanæ acies deictæ. E Ita Bonifacius cum Aspare Romam ingressus, rei veritate probata, conceptam de se suspicionem diluit: Africa vero sub Vandalorum potestate remansit. Tum etiam Marcianus miles Asparis domesticus, vivus a Gizericho captus est; ac postmodum successit Imperio.

Edit. Paris. pag. 82.

			32	5	6	5	2	25	17

Hoc anno sancta Martyr Euphemia sexto Kalendas Octobris Alexandriam translata est.

			λβ'	ε'	ς'	ε'	β'	κε'	α'

Τούτῳ τῷ ἔτει μετετέθη ἐν Ἀλεξανδρείᾳ ἁ ἁγία μάρτυς Εὐφημία πρὸ ἓξ καλανδῶν Ὀκτωβρίων.

			33	6	7	6	3	26	18

Hoc anno Cantharus, quod balneum fuit Alexandriæ completus est. Porro quidam Monachi CP. profecti molestiam Imperatori inferebant causa Theodori Mopsuestiæ quondam Episcopi, quem etiam post mortem hæresis insimulabant. Imperator autem ad Orientis Episcopos, inquisitionem plenam instrui, & si vera proferrent Monachi, ut Theodorum anathemate ferirent, Proclo commisit ut scriberet. Joannes vero Antiochiæ Episcopus de recto Theodori sensu cum sua Synodo Proclo rescripsit, & de eadem Imperatori fidem fecit.

			λγ'	ς'	ζ'	ς'	γ'	κς'	α'

Τούτῳ τῷ ἔτει ὁ Κάνθαρος τὸ βαλανεῖον ἐν Ἀλεξανδρείᾳ ἐπληρώθη. μοναχοὶ δέ τινες ἐλθόντες ἐν Κωνσταντινουπόλει παρηνώχλουν τῷ βασιλεῖ κατὰ Θεοδώρου τοῦ γενομένου ἐπισκόπου Μοψουεστίας μετὰ θάνατον αὐτοῦ, ὡς αἱρετικὸν διαβάλλοντες. ὁ δὲ βασιλεὺς Πρόκλῳ ἐπέτρεψε τοῖς τῆς ἀνατολῆς ἐπισκόποις γράψαι τὴν ζήτησιν ποιεῖσθαι, καὶ εἰ ἀληθεύουσιν ἀναθεματίσαι Θεόδωρον. Ἰωάννης δὲ Ἀντιοχείας ἀντέγραψε Πρόκλῳ μετὰ τῆς ἁγίας συνόδου καὶ τῷ βασιλεῖ ὀρθοδοξίαν μαρτυρῶν Θεοδώρῳ.

							Antiochiæ Episc. Domnus annis 13.
	34	7	8	7	4	27	1

			Romæ Episc. Leo annis 21.				
	35	8	1	8	5	28	2

							Ἀντ. ἐπίσκ. Δόμνος ἔτ. ιγ'.
	λδ'	ζ'	η'	ζ'	δ'	κζ'	α'

			Ρωμ. ἐπίσκ. Λέων ἔτ. κα'.				
	λε'	η'	α'	η'	ε'	κη'	β'

Edit. Paris. pag. 83.

Hoc anno Charmosynus Augustalis ad tempus in venatus theatro percussus, interiit mensis Epiphi die primo.

Τούτῳ τῷ ἔτει Χαρμόσυνος ὁ Αὐγουστάλιος ἐν Ἀλεξανδρείᾳ ἐκροτηρίσθη ἐν τῷ κυνηγίῳ· καὶ ἀπέθανε μηνὶ Ἐπιφὶ πρώτῃ.

			36	9	2	9	6	29	3

Hoc anno Theodosius Imperator Antiochum Præpositum Patricium & Bajulum suum ædibus ejus publicatis contemptus & elationis erga Imperatoris majestatem damnatum Clericum esset jussit. Quare legem etiam tulit, ne quis Eunuchus ad Patricii dignitatem veheretur.

			λς'	θ'	β'	θ'	ς'	κθ'	γ'

Τούτῳ τῷ ἔτει Θεοδόσιος ὁ βασιλεὺς Ἀντίοχον τὸν Πραιπόσιτον, καὶ Πατρίκιον, τὸν καὶ Βαΐουλον αὐτοῦ ἐποίησε Παππᾶν, δημεύσας καὶ τὸν οἶκον αὐτοῦ, ὡς κατεπαιρόμενον τῆς βασιλείας, καὶ καταφρονοῦντα αὐτοῦ. διὸ καὶ νόμον ἐξέθετο μὴ εἰσέρχεσθαι εἰς Πατρικίου ἀξίαν εὐνοῦχον.

Anni mundi 5937.	Divinæ Incarn. 437.	Rom. Imp. Theodosius annis 42.	Persarum rex Isdegerdes annis 17.	Romæ Episc. Leo annis 21.	Constant. Episc. Proclus annis 12.	Hierosol. Episc. Juvenalis annis 38.	Alexand. Episc. Cyrillus annis 32.	Antioc. Episc. Domnus annis 8.
		37	10	3	10	7	30	4

Κόσμου ἔτη ,εϡλζ'.	Τῆς θείας σαρ. ἔτη υλζ'.	Ρωμ. βασ. Θεοδόσιος ἔτ. μβ'.	Περσῶν βασ. Ισδιγέρδης ἔτ. ιζ'.	Ρωμ. ἐπίσκοπος Λέων ἔτ. κα'.	ΚΠ. ἐπίσκ. Πρόκλος ἔτ. ιβ'.	Ἱεροσ. ἐπίσκ. Ἰουβενάλιος ἔτη λη'.	Ἀλεξ. ἐπίσκ. Κύριλλος ἔτη κα'.	Ἀντ. ἐπίσκ. Δόμνος ἔτ. η'.
		λζ'.	ι'	γ'	ι'	ζ'	λβ'	δ'

Hoc anno Cyrum Urbis & Prætorianorum Præfectum, virum litteratissimum, & in negotiis gerendis perpræstantem, qui Urbis mœnia partim extraxerat, & Urbem ex parte reparaverat, cum de eo, sedente in Circo Imperatore, & audiente, exclamassent Byzentini: Constantinus instauravit, Cyrus renovavit: indignatus Imperator de hujusmodi acclamationibus,

Τούτῳ τῷ ἔτει Κῦρον τὸν ἔπαρχον τῆς πόλεως, καὶ τῶν πραιτωρίων, ἄνδρα σοφώτατον, καὶ ἱκανὸν, κτίσαντά τε τὰ τείχη τῆς πόλεως, καὶ ἀνανεώσαντα πᾶσαν ΚΠ. περὶ οὗ ἔκραξαν οἱ Βυζάντιοι ἐπὶ τοῦ ἱππικοῦ καθεζομένου τοῦ βασιλέως καὶ ἀκούοντος. Κωνσταντῖνος ἔκτισε. Κῦρος ἀνενέωσε. καὶ ἐχόλανεν ὁ βασιλεὺς ὅτι ταῦτα εἰ-

πον περὶ αὐτοῦ, καὶ προφασισάμενος αὐτὸν ἑλληνόφρονα εἶναι, καθεῖλεν αὐτὸν τῆς ἀρχῆς, καὶ ἐδήμευσεν. ὁ δὲ προσφυγὼν τῇ ἐκκλησίᾳ ἐγένετο Παππᾶς. ὁ δὲ βασιλεὺς σπλαγχνισθεὶς ἐπ' αὐτῷ ἐκέλευσε γενέσθαι αὐτὸν ἐπίσκοπον Σμύρνης τῆς ἐν Ἀσίᾳ. οἱ δὲ Σμυρναῖοι καταλαβόντες αὐτὸν ὡς Ἑλληνόφρονα ἠβούλοντο ἀνελεῖν ἐν τῇ ἐκκλησίᾳ. τοῦ δὲ εἰσελθόντος εἰς τὴν ἐκκλησίαν, καὶ πρὸς ἅπαντας λαλῆσαι τῷ λαῷ, ἔφη. ἄνδρες ἀδελφοί, ἡ γέννησις τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σιωπῇ τιμάσθω. ὅτι ἀκοῇ καὶ μόνῃ συνελήφθη ἐν τῇ ἁγίᾳ παρθένῳ ὁ τοῦ Θεοῦ λόγος· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. καὶ ἐχάρη ὁ λαὸς, καὶ εὐφήμησαν αὐτὸν, καὶ ἐπεσκόπησεν εὐσεβῶς.

& eum cum Gentilibus ſentire cauſatus, Præfecti dignitatem Cyro abrogavit, & ejus facultates publicavit. Ille ad Eccleſiam ſe recipiens factus eſt Clericus. Imperator autem miſeratione in eum motus, Smyrnæ, quæ Aſiæ urbs eſt, Epiſcopum fieri juſſit. Eumdem vero comprehenſum, quaſi Gentilium opinionibus adhuc detentum in ipſa Eccleſia interficere meditabantur. Ille confertam Eccleſiam conveniens, & ad populum concionem habere compulſus, ait: Viri Fratres, nativitas Dei & Salvatoris noſtri Jeſu Chriſti colatur ſilentio: quandoquidem auditu etiam ſolo in ſancta Virgine Dei Verbum conceptum eſt. Ipſi gloria in ſæcula ſæculorum, Amen. His populus in hilaritatem verſus, felicibus votis eum proſequutus eſt: & Epiſcopi provinciam apud illos piiſſime adminiſtravit.

			λη'	ια'	δ'	ια'	η'	λα'	ε'

			38	11	4	11	8	31	5

Τούτῳ τῷ ἔτει ἐτυράννησεν Ἰωάννης ἕτερος, ὁ λεγόμενος Οὐανδαλὸς, κατὰ Οὐαλεντινιανοῦ ἐν Ῥώμῃ· καὶ ἀποστείλας Θεοδόσιος δύναμιν σὺν τῷ Ἄσπαρι καὶ Ἀρταβουρίῳ στρατηγοῖς, καὶ πολέμου κροτηθέντος ἡττήθη Ἰωάννης, καὶ λαβὼν λόγον παρέδωκεν ἑαυτὸν ζῶντα. καὶ εἰσάγουσιν αὐτὸν πρὸς τὸν βασιλέα Θεοδόσιον· καὶ τιμῆς ἀξιωθῆναι αὐτὸν παρασκευάζουσιν. ὁ δὲ Χρυσάφιος εὐνοῦχος ὢν, καὶ παραδυναστεύων ἐν τοῖς βασιλείοις, δολοφονήσας ἀνεῖλεν αὐτόν. ἀλλ' οὐκ εἰς μακρὰν τοῦτον ἡ δίκη μετῆλθεν.

Hoc anno Joannes alius, Vandalus cognomine, tyrannidem in Valentinianum Romæ ſuſcitare molitus eſt: Theodoſius Aſpare & Artaburio Rom. copiarum Ducibus miſſis prælio commiſſo, Joannem ſuperavit, qui etiam fide accepta vivum ſe in eorum manus dedit. Hi virum ad Imperatorem Theodoſium adducunt, & ut honores aſſequatur operam adhibent. Porro Chryſaphius Eunuchus ſummam in Palatio poteſtatem exercens dolis ei mortem intulit: a quo perpetratum ſcelus divina juſtitia inultum ſero differri non eſt paſſa.

Edit. Pariſ. pag. 84.

			λθ'	ιβ'	ε'	ιβ'	θ'	λβ'	ς'

			39	12	5	12	9	32	6

Τούτῳ τῷ ἔτει Κύριλλος Ἀλεξανδρείας, καὶ Πρόκλος Κωνσταντινουπόλεως εὐσεβῶς ἐκοιμήθησαν. καὶ τὸν μὲν Πρόκλον Φλαβιανὸς ὁ πρεσβύτερος, καὶ σκευοφύλαξ τῆς ἐκκλησίας Κωνσταντινουπόλεως διεδέξατο, ἀνὴρ ἱεροπρεπὴς καὶ ἐνάρετος. Κύριλλον δὲ Διόσκορος ὁ δυσσεβὴς διεδέξατο, μηδ' ὅλως ὢν διδασκαλικός· Ἀρχαῖος δὲ καὶ ἀνήμερος, ἐξαιρέτως δὲ ἐν τοῖς συγγενέσι Κυρίλλου γενόμενος, ὡς καὶ τὴν οἰκίαν αὐτῶν καίπερ οὖσαν ἐν ὕψει πολλῷ ἐπάνω τρίστεγον οἶκον καθιέρωσεν.

Hoc anno Cyrillus Alexandriæ, & Proclus CP. Epiſcopi cum pietate obdormierunt: & Proclum quidem Flavianus Presbyter, & Eccleſiæ CP. Scevophylax, vir ſacris præſtans & ornatus virtute excepit; in Cyrilli vero locum Dioſcorus flagirioſus, & omnis expers doctrinæ, nulli bonus, ſed ſola naturæ ferocitate conſpicuus ſuffectus eſt. Hæc ejus ſumma laus, quod inter Cyrilli affines numeraretur, quorum ædes ſumma licet altitudine ſpectabiles, ac ſuper tertiam contignationem elevatas prophano ritu conſecravit.

Κόσμου ἔτη [illegible]	Τῆς θείας σαρκώσεως ἔτη [illegible]	Ῥωμ. βασ. Θεοδόσιος ἔτ. μβ'.	Περσῶν βασ. Ἰσδιγέρδης ἔτ. ιζ'.	Ῥώμης ἐπίσκοποι Λέων ἔτη κα'.	Κωνστ. ἐπίσκ. Φλαβιανὸς ἔτ. β'.	Ἱεροσο. ἐπίσκ. Ἰουβενάλιος ἔτη λη'.	Ἀλεξ. ἐπίσκ. Διόσκορος ἔτη ε'.	Ἀντ. ἐπίσκ. Δόμνος ἔτ. η'.
		μ'.	ιγ'	ς'	α'	ι'	ε'	ζ'

Anni mundi [illegible]	Divinæ Incarn. 44[illegible]	Rom. Imp. Theodoſius annis 42.	Perſarum rex Iſdegerdes annis 17.	Romæ Epiſc. Leo annis 21.	CP. Epiſc. Flavianus annis 2.	Hieroſol. Epiſc. Juvenalius annis 38.	Alex. Epiſc. Dioſcorus annis 5.	Ant. Epiſc. Domnus annis 8.
		40	13	6	1	10	5	7

Τούτῳ τῷ ἔτει Χρυσάφιος εὐνοῦχος τοῦ τε παλατίου καὶ τοῦ βασιλέως κρατῶν, τῇ Φλαβιανοῦ χειροτονίᾳ φθονήσας, ὑπέθετο τῷ βασιλεῖ ἀκάκῳ ὄντι, καὶ εἰς Χαλκηδόνα διάγοντι, δηλῶσαι τῷ πατριάρχῃ ἀποστεῖλαι τὰς ὑπὲρ τῆς χειροτονίας εὐλογίας. ὁ δὲ Φλαβιανὸς καθαροὺς ἄρτους ἀπέστειλεν εὐλογίαν. ὁ δὲ Χρυσάφιος ἀποστρέψας τούτους, ἐδήλωσε χρυσᾶς εὐλογίας ζητεῖν τὸν βασιλέα. ὁ δὲ ἐπίσκοπος ἀντεδήλου μὴ ἔχειν χρήματα ἀποστεῖλαι, εἰ μή τισι χρήσομαι τῶν ἱερῶν σκευῶν. γίγνεται οὖν ἐκ τούτου οὐ μικρὰ λύπη ἐν μέσῳ αὐτῶν,

Hoc anno Chryſaphius Eunuchus ſummam in Palatio, & penes Imperatorem aſſequutus poteſtatem, Flavianum ordinatum cum invidia & moleſte ferens, Imperatori alioqui minime malo, Chalcedone tunc moram agenti, ſuggeſſit, ut in ordinationis & dignitatis vicem benedictionis aliquod munus rependeret Patriarcha, litteris ſignificaret. Flavianus mundos ac puros panes in benedictionem miſit. Hos averſatus Chryſaphius, aurea benedictionis munera Imperatorem poſtulare reſcripſit. Pecunias, quas mitteret, niſi conflaret ea ſacris Eccleſiæ vaſis, ſe non habere retulit Epiſcopus. Ex hujuſmodi reſponſo non modicus ab invicem

animorum ortus dissensus, cujus ad Pulcheriam nulla delata notitia. Et hæc quidem CP. Alexandriæ porro Dioscorus velut in arrepti muneris primo limine Cyrilli affinium facultates deprædatur, & eorum quæcumque bona rapit: consobrinum Athanasium Presbyteri dignitate promotum, publicatis etiam quæ possidebat omnibus, officio removit. Iste quidem vir a teneris unguibus Hæreticus, & Origenis opinionibus infectus, rectam Cyrilli fidem eversurus attentabat: & a Flaviano, ob nonnullas ejus affinibus datas suppetias, animum ferebat aversum. Interim Chrysaphius cum impietatem animo recoqueret, nec Ecclesiarum concordiam posset conspicari, studium illis turbandis adhibet, ac ut Flavianum Episcopatu dejiciat omnem lapidem movet, Eutychem quemdam Archimandritam, qui cum ipso male de fide sentiebat, Episcopum præficiendum secum consiliatus. Quoniam vero Pulcheria rerum summam administrante, nullæ valebat ipse auctoritate, in rudem & inexpertum Eudociæ animum sese primum insinuat, & in propriæ matris perniciem invidiæ faces accendit, eique suggerit, ut eam apud Imperatorem Præpositi sibi adsciscendi fine carpat & incuset: Pulcheria namque conjunctam Præpositi operam in negotiis gerendis necessario exigebat. Imperator a conjuge molestius interpellatus, hoc ad eam responsum dat. Depone animi anxietatem, Præpositum enim obtinere nequis: neque sororem præclare, solerter, & cum pietate res Imperii administrantem ego removeo. Intentis frustratus Chrysaphius, aliam dolorum componit machinam. Fit Eudociæ auctor, ut ipsa precibus Imperatorem fatiget, ac Pulcheriam, quam virginitatem Deo consecrasse sciebant, a Patriarcha Diaconissam ordinandam, eo jubente, impetret. Ita Eudocia in rogando frequentior, & in postulatis exigendis importunior, leniorem Imperatoris animum, quo desiderabat impellit. Beatus Flavianus, accepto Imperatoris jusso, mala ex eo, si fiat, nascitura præsentit, & in anxietatem conjicitur. Imperatoris tamen dictis obsequentem se foro pollicetur; ac simul Pulcheriæ, ne in ejus conspectum admittatur; ne forsan, inquit, quod a te libenter non sit ferendum, circa te quippiam exequi cogar, litteris significat. Ex scriptis, quod parabatur, illa conjiciens, Præposito ad Eudociæ libitum cedit, & in Hebdomum secedens privatam vitam agebat. Hinc in Flavianum, velut commissum sibi arcanum revelantem Imperatoris & Eudociæ commota indignatio. Cæterum Pulcheria ad privatam compulsa vitam, & Eudocia negotiorum curam gerente, tale quippiam accidit. Erat Paulinus quidam vir litteris omnibus & formæ venustate conspicuus, Eudociæ apprime charus, cum quo familiarius agere, & seorsim colloqui illa solebat. At cum sanctorum Theophaniorum die malum elegans omnino & stupendæ magnitudinis nonnullus Imperatori obtulisset, ille fructum admiratus Eudociæ misit, hæc Paulino dedit: Paulinus duos post dies illud Imperatori obtulit. Imperator malum agnitum cælavit, & ad Augustam profectus, Per salutem, inquit, meam, obtestor, quid de malo, quod tibi dedi, actum est? Ita salvus sis, inquit illa, comedi. Imperator in iram versus malum proferri jubet, & Paulinum in Cappadociam exulem ab-

Edit. Paris. pag. 85.

pag. 86.

Πουλχερίας ταῦτα μὴ εἰδυίας. καὶ ταῦτα ἐν Κωνσταντινουπόλει. ἐν Ἀλεξανδρείᾳ δὲ Διόσκορος εὐθὺς ἐκ προοιμίων τοὺς συγγενεῖς Κυρίλλου πορθεῖ, καὶ τὰ τούτων λῄζεται. τὸν δὲ ἀδελφιδοῦν Ἀθανάσιον πρεσβύτερον ὄντα καθεῖλεν ἀναιτίως, δημεύσας αὐτὸν ἐσχάτως. ταῦτα ἐποίει ἐναντιούμενος τῇ ὀρθῇ πίστει Κυρίλλου αἱρετικὸς ὢν ἐξ ἁπαλῶν ὀνύχων τὰ Ὠριγένους φρονῶν. ἐνεῖχε δὲ καὶ Φλαβιανῷ, διότι μικρὰν ἐπικουρίαν παρέσχε τοῖς συγγενέσι τοῦ μακαρίου Κυρίλλου. ὁ δὲ Χρυσάφιος δυσσεβὴς ὤν, καὶ μὴ φέρων ὁρᾷν τὴν τῶν ἐκκλησιῶν ὁμόνοιαν, σπουδὴν ποιεῖται αὐτὰς ταράξαι, καὶ παντοῖος γίνεται εἰς τὸ Φλαβιανὸν τῆς ἐπισκοπῆς ἐξῶσαι, βουλόμενος Εὐτυχῆ τινα Ἀρχιμανδρίτην ὁμόφρονα αὐτῷ εἰς τὴν ἐπισκοπὴν προχειρίσασθαι. καὶ ἐπειδὴ Πουλχερίας κρατούσης τῶν πραγμάτων οὐδὲν ἴσχυε, πρῶτον ὑπεισέρχεται τῇ Εὐδοκίᾳ ἀπείρῳ οὔσῃ, καὶ εἰς φθόνον αὐτὴν ἐρεθίζει κατὰ τῆς οἰκείας μητρός, καὶ ὑποτίθεται αὐτῇ λοιδορῆσαι αὐτὴν παρὰ τῷ βασιλεῖ πρὸς τὸ λαβεῖν αὐτὴν τὸν Πραιπόσιτον· ἐπειδὴ ἡ Πουλχερία εἰς τὴν διοίκησιν τῶν πραγμάτων ἀναγκαίως εἶχε τὸν Πραιπόσιτον. ὁ δὲ βασιλεὺς ὑπὸ τῆς γυναικὸς ἐνοχλούμενος, ἀντιπέμπεται αὐτῇ λέγων. μή σε τοῦτο λυπείτω· Πραιπόσιτον γὰρ ἔχειν σε οὐκ ἔστι δυνατόν. οὐδὲ τὴν ἐμὴν ἀδελφὴν καλῶς διοικοῦσαν, καὶ ἐμπείρως, καὶ εὐσεβῶς, ἐγὼ παραστέλλω. τούτου δὲ ἀποτυχὼν Χρυσάφιος ἐφ᾽ ἑτέραν μετέρχεται σκευὴν, καὶ ὑποτίθεται τῇ Εὐδοκίᾳ ὀχλῆσαι τῷ βασιλεῖ, καὶ ἐπιτρέψαι τῷ Πατριάρχῃ χειροτονῆσαι αὐτὴν διάκονον, ὡς παρθενεύειν εἰρημένην. καὶ ἐπὶ πλεῖον τῆς Εὐδοκίας ὀχλούσης, ἔπεισε τὴν κουφότητα τοῦ βασιλέως. καὶ τοῦτο προτραπεὶς ὁ μακάριος Φλαβιανὸς παρὰ τοῦ βασιλέως ἐλυπήθη σφόδρα προβλέπων τὰ μέλλοντα ἐκ τούτου ἀναφυῆναι σκάνδαλα. καὶ τῷ μὲν βασιλεῖ ὑπείκετο. τῇ δὲ Πουλχερίᾳ ἔγραψε παρακαλῶν αὐτὴν μὴ δεχθῆναι εἰς πρόσωπον αὐτῆς, ἵνα μὴ ἀναγκασθῶ, φησί, τῶν λυπούντων σε πρᾶξαί τι. ἡ δὲ ἐκ τῶν γραφέντων νοήσασα τὸ μελετώμενον, τὸν μὲν Πραιπόσιτον τῇ Εὐδοκίᾳ ἀπέστειλεν, εἰς δὲ τὸ Ἕβδομον ἐξελθοῦσα ἡσύχαζεν. ἐκ τούτου ὁ βασιλεὺς καὶ ἡ Εὐδοκία σφόδρα κατὰ Φλαβιανοῦ ἐλυπήθησαν, ὡς τὸ μυστήριον ἐκκαλύψαντος. τῆς δὲ Πουλχερίας ἡσυχαζούσης, καὶ Εὐδοκίας τὴν βασιλείαν ἰθυνούσης, συνέβη τι τοιοῦτον. Παυλῖνος τίς Μάγιστρος ἠγαπᾶτο παρὰ τῆς Εὐδοκίας, ὡς λογιώτατος καὶ ὡραιότατος ὤν τινι συχνῶς ἰδίως συντύγχανε. τῇ οὖν ἡμέρᾳ τῶν ἁγίων Θεοφανίων προσήγαγέ τις τῷ βασιλεῖ μῆλον μέγα τι καὶ θαυμαστόν. ὁ δὲ βασιλεὺς τοῦτο θαυμάσας ἀπέστειλεν αὐτὸ τῇ Εὐδοκίᾳ, κἀκείνη ἀπέστειλεν αὐτὸ τῷ Παυλίνῳ· ὁ δὲ Παυλῖνος μετὰ δύο ἡμέρας ἀπέστειλεν αὐτὸ τῷ βασιλεῖ. ὁ δὲ βασιλεὺς τοῦτο γνωρίσας ἔκρυψε. καὶ ἀπελθὼν λέγει τῇ Αὐγούστῃ· τὴν σωτηρίαν μου, τὸ μῆλον ὃ ἔπεμψά σοι, ποῦ ἐστίν; ἡ δὲ ἔφη· μὰ τὴν σωτηρίαν σου, ἔφαγον αὐτό. τότε εἰς ὀργὴν κινηθείς, κελεύει τὸ μῆλον ἐνεχθῆναι, καὶ τὸν Παυλῖνον ἐξορισθῆναι εἰς Καππαδοκίαν,

ἀφειδῶ σφαγιᾶσαι. ὁ δὲ ἀνωτέρω μνημονευθεὶς Εὐσέβιος ὁ Σχολαστικὸς, ὁ πρῶτος Νεστορίου λαβόμενος, προαχθεὶς εἰς ἐπισκοπὴν Δορυλαίου, καὶ πρὸς Εὐτυχῆ τὸν Ἀρχιμανδρίτην περὶ πίστεως διαλεγόμενος, εὗρεν οὐκ ὀρθῶς φρονοῦντα αὐτόν. πολλὰ δὲ παρακαλέσας καὶ παραινέσας ὠφελῆσαι αὐτὸν, οὐκ ἴσχυσεν. τότε ὁ Εὐσέβιος ἀνήγαγε τὸ περὶ αὐτοῦ Φλαβιανῷ τῷ ἐπισκόπῳ, ὅστις συγκροτήσας σύνοδον τεσσαράκοντα ἐπισκόπων, μεταστέλλεται τὸν Εὐτυχῆ, καὶ κατὰ πᾶσαν ἀκολουθίαν τῶν ἐκκλησιαστικῶν κανόνων ἀνακρίνας, καὶ εὑρὼν αὐτὸν αἱρετικὸν καὶ ὕπουλον, καθεῖλεν αὐτόν. Χρυσάφιος δὲ τούτου σύμφρων τοῦ παλατίου κρατῶν, καὶ τοῦτο μαθὼν ἐπὶ πλεῖον ἐξάπτεται εἰς ὀργὴν κατὰ Φλαβιανοῦ, καὶ δηλοῖ τῷ Διοσκόρῳ Ἀλεξανδρείας, εἰς πάντα αὐτῷ συνεργεῖν τὰ καταθύμια ἐν ταῖς κατὰ Φλαβιανοῦ καὶ Εὐσεβίου συνδράμῃ αὐτῷ κατηγορίαις καὶ ὑπὲρ Εὐτυχοῦς ἀγωνίσηται. κινεῖται δὲ πρὸς τοῦτο καὶ τὴν Αὔγουσταν Εὐδοκίαν τὰ περὶ Πουλχερίας λυπηρὰ κατὰ Φλαβιανοῦ ὑπομιμνήσκων αὐτήν. καὶ παρασκευάζουσιν ἀμφότεροι τὸν βασιλέα θεσπίσαι δευτέραν ἐν Ἐφέσῳ συγκροτηθῆναι τὴν σύνοδον, καὶ παρέχουσι Διοσκόρῳ ἐξάρχειν τῆς συνόδου ἀποστείλαντες αὐτῷ στρατὸν πλεῖστον πρὸς βοήθειαν.

| | | μα' | ιδ' | ζ' | β' | ια | β | η' |

Τούτῳ τῷ ἔτει κελεύσει βασιλέως Θεοδοσίου ἡ λῃστρικὴ καὶ παράνομος συνηθροίσθη σύνοδος τοῦ κριθῆναι τὰ περὶ Φλαβιανοῦ καὶ Εὐτυχοῦς ὑπὸ Διοσκόρου τοῦ δυσσεβοῦς κατὰ παραίνεσιν Χρυσαφίου τοῦ εὐνούχου, τοῦ ἐπίκλην Ταϊυμᾶ, τὴν τοῦ βασιλέως κουφότητα παραπείσαντος. συναθροισθέντων δὲ πάντων προκαθίσας ὁ Διόσκορος, οὐ συνεχώρησε παρεῖναι Νοτάριον ἕτερον τῇ συνόδῳ, ἀλλὰ τοὺς ἰδίους μόνους ἐποίησε γράφειν τὰ πραττόμενα. ζητήσεως οὖν γινομένης ἀπῃτεῖτο Εὐτυχὴς τὴν ἰδίαν δόξαν ἐκφάναι, καὶ ἀπεκρίνατο λέγων. ὁμολογῶ ἐκ δύο φύσεων γεγενῆσθαι τὸν Κύριον ἡμῶν πρὸ τῆς ἑνώσεως· μετὰ δὲ τὴν ἕνωσιν μίαν φύσιν ὁμολογῶ. καὶ ὁ Διόσκορος εἶπε· καὶ ἡμεῖς τούτοις συντιθέμεθα πάντες· καὶ οἱ μὲν τοποτηρηταὶ τοῦ Πάππα Λέοντος Ῥώμης θεασάμενοι τὴν Διοσκόρου ὁρμὴν, καὶ ὅτι τὴν ἐπιστολὴν τοῦ Πάππα τὴν πρὸς Φλαβιανὸν οὐ συνεχώρησεν ἀναγνωσθῆναι, οὔτε τὴν πρὸς τὴν σύνοδον, ἀλλὰ παρωράθησαν· ἔφυγον, καὶ κατῆλθον ἐν Ῥώμῃ. ὁ δὲ Διόσκορος τῷ Εὐτυχεῖ μὲν ἱερωσύνην ἀποδίδωσιν, Εὐσέβιον δὲ τὸν τοῦ Δορυλαίου, καὶ Φλαβιανὸν τὸν Κωνσταντινουπόλεως ἐπίμως καθεῖλεν· ὃς καὶ πρὸ τῆς καθαιρέσεως ὠθισμοῖς καὶ λακτίσμασι τοῖς ὑπὸ Διοσκόρου ἐμβαλλόμενος, τριταῖος τὸν βίον μετήλλαξε, καὶ τῇ ἑξῆς βίᾳ στρατιωτῶν καὶ ξιφῶν ὑπογράψαι οἱ ἐπίσκοποι ἠναγκάσθησαν. ὁ δὲ Δόμνος Ἀντιοχείας ἐπίσκοπος βίᾳ ὑπογράψας, καὶ εἰς ἑαυτὸν ἐλθὼν, ἀντέστη Διοσκόρῳ καὶ τοῖς ἄρχουσι, καταβοῶν τῶν πραχθέντων, καὶ ἀσεβῆ τὴν σύνοδον ὀνομάζων, καὶ τὴν ἑαυτοῦ ὑπογραφὴν ζητῶν ἀναλαβεῖν. ταῦτα μαθὼν ὁ Πάππας Λέων, πρόσεισι τῷ βασιλεῖ Οὐαλεντινιανῷ, καὶ ταῖς Αὐγούσταις μετὰ δακρύων αἰτεῖ ἐπιστολὰς τῷ βασιλεῖ Θεοδοσίῳ

actum trucidari. Porro memoratus Eusebius Scholasticus, qui primus Nestorium confutavit, ad Dorylæi Episcopatum provectus, disceptatione cum Eutyche Archimandrita habita, a recto fidei sensu comperit alienum. Pluribus autem precibus & exhortationibus emendare conatus, nihil profecit. Eo tempore, quæ sibi nota de illo forent, Eusebius detulit ad Flavianum Episcopum: qui quadraginta Episcoporum coacta Synodo, Eutychem adesse jubet, & juxta positum Ecclesiasticorum Canonum ordinem examinatum, cum Hæreticum, & in errore tuendo subdolum deprehendisset, dignitate mulctavit. At Chrysaphius Eutychis sententiæ particeps supremam in Palatio exercens potestatem, his auditis magis ac magis in Flavianum accenditur, & rem Dioscoro Alexandriæ Episcopo facit manifestam, ut ad quævis sibi placita præstaret operam, ad adversa quæque in Flavianum & Eusebium reos agendos proferenda juvaret, ac demum Eutychis partes pro virili susciperet tuendas. Commovet insuper Augustam Eudociam in Flavianum, quæ a Pulcheria pertulerat acerba reducens in memoriam. Una igitur ambo Imperatorem hortantur secundam Ephesi congregari Synodum indicat: ac simul Dioscoro, ut præsit, potestatem faciunt, non contemnenda militum manu in ejus auxilium summissa.

| | | 41 | 14 | 7 | 2 | 11 | 2 | 8 |

Hoc anno prædatorium & illegitimum conciliabulum Flaviani & Eutychis dirimendo ab impio Dioscoro discrimini, jubente Theodosio Imperatore, & Chrysaphio Eunucho, cui cognomen Tajumas, hortante, ac nimis facilem Imperatoris animum, quo vellet, vertente, congregatum est. Coactis igitur omnibus, cum præsideret Dioscorus, nullum Synodo Notarium adesse permisit, sed suos dumtaxat acta quæque conscribere præcepit. Instituta itaque disceptatione propriam enunciare sententiam rogabatur Eutyches, qui responsum dedit in hæc verba: Profiteor ex duabus naturis ante unionem Dominum constitisse: post unionem solam unam naturam admitto. Ad hæc Dioscorus. Et nos, inquit, omnes his assentimur. Conspecto porro Dioscori furore, & quod Papæ ad Flavianum epistolam, aliamque ad ipsam Synodum nullatenus legi permisisset, imo se ludibrio habitos Leonis Papæ Romani Legati cernentes, fuga se subduxerunt, & Romam reversi sunt. Dioscorus autem Eutychem in pristinum Sacerdotii gradum restituit, Eusebium vero Dorylæi & Flavianum CP. Antistites dignitate festine summovit. Hic porro etiam ante exautorationis decretum pugnis & calcibus a Dioscori ministris ejectus, triduanus cum morte vitam immutavit: & altero die minis & gladiis militum intentatis ad subscribendum Episcopi sunt adacti. Domnus autem Antiochenus Præsul vi subscripto nomine, & in seipsum reversus, Dioscoro & optimatibus obstitit, & iis quæ acta erant reluctatus, impiam pronunciavit eam Synodum, datamque subscriptionem recipere postulavit. His auditis Leo Papa Valentinianum Imperatorem adit & Augustas, & ad Imperatorem Theodosium dari litteras cum lachrymis obtestatur, & quæ

Edit. Paris. pag. 87.

præter Ecclesiæ jura Canonumque sanctiones gesta fuerant Ephesi in melius revocari precatur. Ille filiæ Eudoxiæ in hunc modum rescribit. Hoc Suavitati tuæ notum volo, Flavianum tamquam tumultuum auctorem divino nutu ab Ecclesiis ejectum. Porro Dioscorus Theodoretum, Ibam, & Andream, Domnum insuper Antiochiæ, cunctosque Orientis Episcopos Ecclesiastica potestate fecit eatorres. Theodosius autem Imperator in quamcumque partem impelleretur, facilis ibat, & omni suasionum vento ferebatur: ex quo schedis oblatis etiam non lectis, sæpius consensum & subscriptionem adjecit: inter quas donationem, qua sibi conjux ejus Eudocia in servitutem addicebatur, nec levi oculi jactu agnitam solertissima Pulcheria supposuit; cui subscripsit ille, merito deinde ob facilitatem nimiam a Pulcheria reprehensus.

Hoc eodem anno Gizerichus auctis Vandalorum copiis potentior factus, terræ marisque, & plurium insularum Romanis prius subjectarum principatu arrepto, Regem seipsum renuociavit: ex quo mœror animi Theodosio incussus: qui mille & centum onerarias naves cum ingenti Romanorum exercitu, Areobindo, Asylæ, Innobindo, Arintheo, & Germano Ducibus, commisit. Tum valida igitur classe ad Siciliæ oras appellente Gizerichus exterritus de fœderibus cum Theodosio ineundis legationem misit.

γραφῆναι, διόρθωσιν γενέσθαι τῶν ἐν Ἐφέσῳ ἀθέσμως καὶ ἀκανονίστως πραχθέντων. ὁ δὲ ἀντιγράφει τῇ θυγατρὶ Εὐδοξίᾳ οὕτω· τοῦτο τῇ σῇ γλυκύτητι γνωρίσαι βούλομαι, ὅτι Φλαβιανὸς θείᾳ κρίσει τῶν ἐκκλησιῶν ἐξεβλήθη, ὡς ταραχῶν πολλῶν αἴτιος. ὁ δὲ Διόσκορος καθῄρει καὶ Θεοδώρητον, καὶ Ἴβαν, καὶ Ἀνδρέαν, καὶ Δόμνον τὸν Ἀντιοχείας, καὶ τοὺς ἀνατολικοὺς ἐπισκόπους ἅπαντας. Θεοδόσιος δὲ ὁ βασιλεὺς εὐρίπιστος ὤν, παντὶ ἀνέμῳ φερόμενος, ὅθεν καὶ χάρταις ἀπαραγνώστως πολλάκις ὑπέγραφεν· ἐν οἷς καὶ Πυλχερία ἡ σοφωτάτη δωρεὰν ὑπέβαλεν ἀπαράγνωστον ἐκχωροῦσαν πρὸς δουλείαν Εὐδοκίαν τὴν γαμετὴν αὐτοῦ, καὶ ὑπέγραψε, παρὰ Πυλχερίας ὀνειδισθείς.

Τῷ δ' αὐτῷ ἔτει Γιζέριχος τῷ Οὐανδαλικῷ πλήθει πολὺς γενόμενος, καὶ ῥῆγα καλέσας ἑαυτόν, γῆς τε καὶ θαλάσσης, καὶ νήσων πολλῶν τοῖς Ῥωμαίοις ὑποτελῶν κατεχών, ἐλύπει τὸν Θεοδόσιον. καὶ ἀποστέλλει χιλίας ἑκατὸν ὁλκάδας μετὰ δυνάμεως Ῥωμαϊκῆς Ἀρεοβίνδου, καὶ Ἀσύλα, καὶ Ἰννοβίνδου, καὶ Ἀρινθέου, καὶ Γερμανοῦ τοῦ στρατηγοῦ. ταύτης οὖν τῆς δυνάμεως τῇ Σικελίᾳ προσορμισθείσης καταπλαγεὶς ὁ Γιζέριχος, πρεσβεύεται Θεοδοσίῳ περὶ σπονδῶν.

			Cp. Episc. Anatolius annis 9.			Ant. Episc. Maximus annis 4.
42	15	8	1	12	3	1

			ΚΠ. ἐπισκ. Ἀνατόλιος ἔτ. θ'.			Ἀντ. ἐπισκ. Μάξιμος ἔτ. δ'.
μβ'	α'	ε'	α'.	ιβ'	γ'	α'

Edit. Paris. pag. 88.

Hoc anno res proprias accuratius perpendens Theodosius, & se Chrysaphii fraudibus circumventum agnoscens, de impiis in Flavianum perpetratis sceleribus, & admissis in reliquos Episcopos injuriis, summum animi concepit dolorem. In iram itaque prorumpens, primo Chrysaphium in quamdam insulam ablegat: tum in Eudociam graviter objurgatam, malorum omnium auctricem eam dicens, quæ Pulcheriam aula ejecisset, durius invehitur, & ea insuper quæ circa Paulinum acciderant cum probris objicit. Illa desperatis in rebus Hierosolymam se dimitti rogat: Severoque Presbytero, & Joanne Diacono sociis itineris acceptis, Hierosolymam tenuit. Illos autem ad eam frequentius in Urbe prius itasse, & modo cum ea Hierosolymis reperiri, ac insuper pluribus ab ea donis augeri audiens Imperator, missis litteris, capite mulctari jussit: tum demum Beatam Pulcheriam multis precibus sollicitatam reduxit in aulam: quæ extemplo mandavit Ephesum, qui sancti Flaviani corpus asportarent, illudque magno pompæ satellitio per mediam Urbem stipatum in sanctorum Apostolorum ædem sepeliendum inferrent. Eo tempore Chalcoprateorum Ecclesiam, quæ Judæorum Synagoga prius fuerat, Deiparæ consecravit. Cæterum dum, ut supra præfatum, Legatorum Gizerichi adventum, & Imperatoris mandata classis Romana præstolatur in Sicilia, interea Omundil filius Attila, in Scythia natus, vir alioqui fortis & superbus, Bdela seniore fratre amisso, solus Scytharum, quos Unnos vocant, princi-

Τούτῳ τῷ ἔτει ἐπιλογισάμενος Θεοδόσιος, καὶ γνοὺς ἑαυτὸν ἀπατηθέντα ὑπὸ τῆς Χρυσαφίου πανουργίας, ἐλυπεῖτο περὶ τῆς εἰς Φλαβιανὸν γεγενημένης ἀσεβείας, καὶ τῆς εἰς τοὺς λοιποὺς ἐπισκόπους ἀδικίας. καὶ ἀγανακτήσας σφόδρα, πρῶτον μὲν Χρυσάφιον ἐξώρισεν εἴς τινα νῆσον. τῇ δὲ Εὐδοκίᾳ ἐπιφέρεται σφοδρῶς πάντων τῶν κακῶν αἰτίαν αὐτὴν ἀποκαλῶν, ὡς καὶ Πουλχερίαν τῶν βασιλείων ἀποδιώξασαν· ἅμα δὲ καὶ τὰ κατὰ τὸν Παυλῖνον ὀνειδίζων αὐτῇ. ἡ δὲ ἀπογνοῦσα παρεκάλεσεν ἐπὶ τὰ Ἱεροσόλυμα ἀπολυθῆναι αὐτήν. καὶ λαβοῦσα μεθ' ἑαυτῆς Σεβῆρον τὸν πρεσβύτερον, καὶ Ἰωάννην τὸν διάκονον, ἦλθεν εἰς Ἱεροσόλυμα. καὶ μαθὼν ὁ βασιλεύς, ὅτι οὗτοι ἐν τῇ πόλει ταύτῃ ἐσύχναζον, καὶ ἐν Ἱεροσολύμοις μετ' αὐτῆς εἰσι, καὶ πολλὰ αὐτοῖς δωρεῖται, ἀποστείλας ἀπεκεφάλισεν αὐτούς. τότε ὁ Βασιλεὺς τὴν μακαρίαν Πυλχερίαν πολλὰ παρακαλέσας, ἤγαγεν εἰς τὰ βασίλεια· ἥτις εὐθέως ἀποστείλασα εἰς Ἔφεσον, ἤγαγε τὸ λείψανον τοῦ ἁγίου Φλαβιανοῦ· καὶ μετὰ δορυφορίας διὰ τῆς μέσης ἐκκομίσασα, ἔθαψεν ἐν τοῖς ἁγίοις Ἀποστόλοις. τότε τὴν τῶν Χαλκοπρατείων ἐκκλησίαν τῇ Θεοτόκῳ ἀνήγειρε, συναγωγὴν Ἰουδαίων πρότερον οὖσαν. τοῦ δὲ λαοῦ, ὡς προέφημεν, ἐν Σικελίᾳ ἐκδεχομένου τὴν τῶν πρεσβευτῶν Γιζερίχου ἄφιξιν, καὶ τὴν τοῦ βασιλέως κέλευσιν, ἐν τῷ μεταξὺ Ἀττιλᾶς Ομυνδίου παῖς, Σκύθης, γενόμενος ἀνδρεῖος καὶ ὑπερήφανος, ἀποβαλὼν Βδέλαν τὸν πρεσβύτερον ἀδελφόν, καὶ μόνος ἄρχων τοῦ τῶν Σκυθῶν βασιλείου, οὓς καὶ Οὔν-

νας καλοῦσι, κατατρέχει τὴν Θρᾴκην, δι᾽ ὃν καὶ μάλιστα Θεοδόσιος σπένδεται Γιζερίχῳ, καὶ ἐπανάγει τὸν στόλον ἐκ Σικελίας. ἀποστέλλει δὲ τὸν Ἄσπαρα σὺν τῇ ὑπ᾽ αὐτὸν δυνάμει, καὶ Ἀρεόβινδον, καὶ Ἀργάλισκλαν ἐπὶ τὸν Ἀττίλαν Ῥατιάρειαν ἤδη, καὶ Ναισσὸν, καὶ Φιλιππούπολιν, καὶ Ἀρκαδιούπολιν, καὶ Κωνσταντίαν, καὶ ἕτερα πλεῖστα πολίσματα καταστρεψάμενον, καὶ σὺν αἰχμαλώτοις πολλοῖς ὑπέρογκον συμφορήσαντα λείαν, τῶν στρατηγῶν ἐλαττωθέντων. σφόδρα τῶν μάχαις ἐπαρθεὶς Ἀττίλας, καὶ μέχρι θαλάσσης ἑκατέρας, τῆς τε τοῦ Πόντου, καὶ τῆς πρὸς Καλλίπολιν, καὶ Σηστὸν ἀρχομένης, πᾶσαν πόλιν καὶ φρούρια δουλωσάμενος, πλὴν Ἀδριανουπόλεως, καὶ Ἡρακλείας, τῆς ποτὲ Περίνθου κληθείσης, ὥστε καὶ εἰς τὸ Ἀθύραν αὐτὸν φρούριον ἐλθεῖν. ἀναγκάζεται οὖν Θεοδόσιος πρεσβεύεσθαι πρὸς Ἀττίλαν· καὶ ἑξάκις χιλίας μὲν αὐτῷ λίτρας ὑπὲρ τῆς ἀναχωρήσεως παρασχεῖν, χιλίων δὲ λιτρῶν ἐτήσιον φόρον αὐτῷ ἀρεμβῶντι προσωμολόγησε τελεῖν. τούτων ἐπανελθούσης τῆς Ῥωμαϊκῆς δυνάμεως ἐκ τοῦ πολέμου τοῦ πρὸς Ἀττίλαν μετὰ βραχὺ τελευτᾷ Θεοδόσιος μηνὶ Ἰουνίῳ εἰκοστῇ ἰνδικτιῶνι τρίτῃ. ἡ δὲ μακαρία Πουλχερία μήπω τινὶ τῆς τοῦ βασιλέως τελευτῆς γνωσθείσης μεταστειλαμένη Μαρκιανὸν, ἄνδρα ἐν σωφροσύνῃ καὶ σεμνότητι διαπρέποντα γέροντα ὄντα, καὶ ἱκανώτατον, λέγει πρὸς αὐτόν. ἐπειδὴ ὁ βασιλεὺς ἐτελεύτησεν, ἐγὼ δὲ σὲ ἐξελεξάμην ἐκ πάσης τῆς συγκλήτου, ὡς ἐνάρετον· δός μοι λόγον, ὅτι φυλάττεις τὴν παρθενίαν μου, ἣν τῷ Θεῷ ἀνεθέμην, καὶ ἀναγορεύω σε βασιλέα. τοῦ δὲ συνθεμένου τοῦτο ποιεῖν, μεταστέλλεται τὸν Πατριάρχην καὶ τὴν σύγκλητον, καὶ ἀναγορεύει αὐτὸν βασιλέα Ῥωμαίων.

patum arripit, & in Thraciam excurrit: quo maxime motus Theodosius pacem init cum Gizericho, & ex Sicilia classem revocat. Tum Asparem, Areobindum, & Argalisclam mittit adversus Attilam, qui jam Ratiariam, Nassam, Philippopolim, & Arcadiopolim, Constantiamque, & alia pleraque oppida subverterat, quippe cum innumeris captivis etiam Romanis Ducibus superatis prædam immensam agebat. Tantis victoriis auctus Attila, & ad utrumque mare Ponticum videlicet, & quod Callipolim usque ad Sestum expanditur, civitatibus cunctis, munitisque locis suæ servituti, præter Adrianopolim, & Heracleam, cui nomen olim Perinthus, subactis, ad Athyram usque castellum progreditur. Ad Attilam itaque legationem decernere Theodosius cogitur: eiq; sexies mille auri libras ad recessum e Romanis finibus faciendum promittit; ac insuper mille librarum tributum annuum, si pacem egerit, annuit se pensurum. Porro Romanis copiis a bello contra Attilam receptis, paulo post diem obit Theodosius, mensis Junii vigesimo, indictione tertia. Cæterum Beata Pulcheria nondum ulli Imperatoris morte manifestata, Marcianum virum prudentia & honestate morum celebrem, ætate jam provectum, & ad negotia gerenda idoneum, ad se accersitum alloquitur: Quandoquidem decessit Imperator, ego te ex omni Senatu, seu virtute præstantissimum elegi. Da fidem: virginitatem meam, quam Deo consecravi, te servaturum inviolatam: & Imperatorem renunciabo. Illo se ita facturum pollicito, Patriarcham & Senatum Pulcheria convocat, & Marcianum Romanorum Imperatorem declarandum curat.

Edit. Paris. pag. 89.

Κόσμου ἔτη ,δϡμγʹ.	Τῆς θείας σαρκ. ἔτη υμγʹ.	Ῥωμ. βασιλ. Μαρκιανὸς ἔτη ϛʹ.	Περσῶν βασιλ. Ἰσδιγέρδης ἔτη ιζʹ.	Ῥωμ. ἐπίσκ. Λέων ἔτη καʹ.	Κωνστ. ἐπίσκ. Ἀνατόλιος ἔτη θʹ.	Ἱεροσ. ἐπίσκ. Ἰουβενάλιος ἔτη ληʹ.	Ἀλεξ. ἐπίσκ. Διόσκορος ἔτη ιʹ.	Ἀντ. ἐπίσκ. Μάξιμος ἔτη δʹ.
		αʹ	ιʹ	θʹ	βʹ	ιγʹ	δʹ	βʹ

Anni mundi 5943.	Divinæ Incarn. 443.	Rom. Imp. Marcianus annis 6.	Persarum rex Isdegerdes annis 17.	Romæ Episco. Leo annis 21.	Constant. Episc. Anatolius annis 9.	Hierosol. Episc. Juvenalius annis 38	Alexander Episc. Dioscorus annis 5.	Antioc. Episc. Maximus annis 4
		1	10	9	2	13	4	2

Τούτῳ τῷ ἔτει Μαρκιανὸς ὁ εὐσεβὴς θείᾳ ψήφῳ αὐτοκράτωρ ἀναδειχθεὶς, τοὺς ἐν ἐξορίᾳ πάντας ἀνεκαλέσατο. ἡ δὲ μακαρία Πουλχερία τὸν παμμίσητον Χρυσάφιον τὸν εὐνοῦχον ἐκδέδωκεν Ἰορδάνῃ τῷ παιδὶ Ἰωάννου, τοῦ ἐν Ῥώμῃ τυραννήσαντος, καὶ προσχωρήσαντος πρὸς Ἀρδαβούριον, καὶ Ἄσπαρα, καὶ εἰς τὸ Βυζάντιον ἐλθόντος, καὶ τιμῆς ἀξιωθέντος, ἀναιρεθέντος δὲ δόλῳ ὑπὸ Χρυσαφίου· ὃν λαβὼν Ἰορδάνης ἀνεῖλεν. ἄξιον δὲ ἐστι, καὶ τὴν ἐξ ἀρχῆς τοῦ Θεοῦ εἰς Μαρκιανὸν τὸν βασιλέα ἐκλογὴν σημᾶναι. ἐν τοῖς παρῳχηκόσι χρόνοις, ἐν οἷς ὁ Περσικὸς πόλεμος ἐκινήθη, στρατιώτης ὢν λιτὸς ὁ Μαρκιανὸς μετὰ τοῦ ἰδίου νουμέρου ἀπὸ τῆς Ἑλλάδος κατὰ Περσῶν ἀπῄει, καὶ γενόμενος ἐν Λυκίᾳ, ἀρρωστίᾳ περιπεσὼν, καὶ καταλειφθεὶς ἐν πόλει Σύδημα, κἀκεῖσε χρονοτριβήσας, προσκολλᾶται δύο ἀδελφοῖς τισὶν Ἰουλίῳ καὶ Τατιανῷ καλουμένοις· οἵτινες εἰς τὸν οἶκον λαβόντες αὐτὸν, διανέπαυσαν. εἰς θήραν δὲ ἐξελθόντες, ἔλαβον αὐτὸν μεθ᾽ ἑαυτῶν. κοπιάσαντες δὲ περὶ μεσημβρίαν, ἐκοιμήθησαν. προεξυπνισθεὶς δὲ ὁ Τατιανὸς θεωρεῖ τὸν Μαρκιανὸν εἰς τὸν ἥλιον κοιμώμενον, καὶ ἀετὸν παμμεγέστατον ἐπ᾽ αὐτὸν ἐλθόντα, καὶ τὰς ἑαυτοῦ πτέρυγας διαπετάσαντα, καὶ

Hoc anno pientissimus Marcianus divino suffragio Imperator renunciatus cunctos exules ad propria revocavit. Beata porro Pulcheria Chrysaphium Eunuchum cunctis exosum Jordani Joannis (qui Romæ quondam tyrannide arrepta ad Ardaburium & Asparem post deditionem se recipiens cum eis Byzantium profectus, atque ad honores & dignitates promotus, tandem a Chrysaphio mortem illatam sustinuerat) filio tradidit: quem Jordanes pari mortis pæna mulctavit. Cæterum operæ pretium fuerit, quomodo Marcianus ad Imperium a Deo fuerit destinatus, scripto significare. Superioribus annis quibus Persicum bellum susceptum, Marcianus miles gregarius cum existeret, e Græcia versus Persiam cum proprio numero proficiscebatur. In Lyciam cum venisset, morbo correptus, in urbe Sidema a suis relinquitur: in ea diuturnius moratus duobus quibusdam fratribus, quorum nomina Julius & Tatianus, amicitiæ fœdere connectitur. Isti Marcianum in propriis ædibus acceptum curant, & quietem jubent ducere: venatumque aliquando egressi, comitem eum adjungunt: ac circa meridiem fatigati sopore fruuntur. Prior cæteris a somno excitatus Tatianus Marcianum ad solem adhuc dormientem conspicatus, ingentem aquilam advolantem, & in eum

expaosis alis umbram facientem animadvertit. Porteotum miratus, fratrem excitat, miraculum indicat. Ac uterque tandem volucris benevolum officium diu miratus Marciano somnum excutit: & his eum compellat. Si oonnumquam Imperium assequaris, quid nobis gratiarum rependes? Respondet ille: Quisnam sum ego, cui tale quid contingat? Illi repetitis verbis deouo interrogant; quibus Marcianus. Si succedat a Deo Imperium, inquit, Patres vos renunciabo. Tunc ducentis nummis donato dicunt. Proficiscere CP. & nostri memoriam habe, ubi te Deus in meliorem fortunam evexerit. Digressus ab eis Ardaburio & Aspari Arianæ opinionis hominibus adjungitur, & quindecim annos cum eis moratus, ac Domesticus factus, cum Aspare tandem expeditionis in Africam adversus Gizerichum comes, in conflictu capitur. Gizerichus captivos atrio conclusos ex superiore cœnaculo contemplaturus circa meridiem procumbens in fenestram, Marcianum somno detentum conspicatur, & advolantem aquilam extentis penois eum obumbrantem. Re visa Gizerichus, eam divinæ providentiæ consilio geri mente perpendit: ac ubi accersitum ad se Marcianum Asparis Domesticum esse novit, ad Imperii culmen virum aliquando evehendum prævidit. Itaque Dei consilium a oullo præpediri arbitratus, mortem inferre noluit: at jusjurando exacto, ut si eum imperare Deo videretur, numquam Vandalos bello lacesseret, polliceri compulit. Ita Marcianus dimissus incolumis CP. regreditur. Mox vero brevi prætercurrente tempore, ac Theodosio fatis functo, Imperator, ut præmisimus, est salutatus, & lo subditos omnes humanissimum se præbuit. Cæterum Attila Impp. & Romæ Principem Valentinianum maxime bello vexare studuit, quod Honoriam propriam sororem ei conjugem loeare recusasset. Ad Aurelianorum itaque civitatem progressus, consertis cum Aetio Romano Duce manibus, pluribus suarum copiarum ad Ligetim fluvium amissis, superatur, & cum dedecore proprios repetit fines. Marcianus beneficii sibi quondam in Lycia collati memor, Tatianum & Julium ad se accitos Patres renunciat: & Tatianum quidem Urbis, Julium vero Libyca decorat Præfectura. Beata porro Pulcheria plures ac alias Christo construxit Ecclesias: maxime vero quæ celebrandæ Dominæ nostræ Deiparæ dicata conspicitur in Blachernis sub pientissimi Imperatoris Marciani exordia. Cæterum Beatus Leo Romanus Papa, quæ Dioscori & Eutychis temerariis ausibus adversus sanctum Flavianum Ephesi fuerant attentata in generali Concilio recudi ac discuti litteris expetiit: Imperator vero universos Episcopos congregari mandavit.

Edit. Paris. pag. 90.

A σκιὰν ἐπ᾽ αὐτῷ περιποιούμενον. καὶ τοῦτο θεασάμενος, ἐγείρει τὸν ἑαυτοῦ ἀδελφὸν, καὶ τὸ θαῦμα ὑποδείκνυσι. καὶ ἐπὶ πολὺ θαυμάζοντες τὴν τοῦ πετεινοῦ ἀνοικείαν δουλείαν, ἐξυπνίζουσι τὸν Μαρκιανὸν, καὶ λέγουσιν. ἐὰν βασιλεύσῃς, τί ἡμῖν χαρίζῃ; ὁ δὲ εἶπε. τίς γὰρ εἰμὶ, ἵνα εἰς ἐμὲ τοῦτο γένηται; οἱ δὲ ἐκ δευτέρου τὸν λόγον εἶπον. λέγει ὁ Μαρκιανός. ἐὰν τοῦτο ἐκ Θεοῦ γένηται, πατέρας ὑμᾶς ἀνακηρύξω. τότε διδόασιν αὐτῷ διακόσια νομίσματα, λέγοντες. πορεύου ἐν ΚΠ. καὶ μέμνησο ἡμῶν, ὅτε ὁ Θεός σε ὑψώσῃ. ὁ δὲ ἀπελθὼν, προσκολλᾶται Ἀρδαβουρίῳ, καὶ Ἄσπαρι Ἀρειανοῖς οὖσι, καὶ ποιήσας παρ᾽ αὐτοῖς ιε. χρόνους, καὶ Δομέστικος αὐτῶν γεγονὼς, κατῆλθε μετὰ τοῦ Ἄσπαρος εἰς Ἀφρικὴν παρατά-

B ξασθαι εἰς Γιζέριχον, καὶ ἐν τῷ πολέμῳ ἐκρατήθη. Γιζερίχου δὲ ἐν τῇ ἰδίᾳ αὐλῇ τοὺς αἰχμαλωτισθέντας ἀποκλείσαντος, καὶ ἐκ τῶν ὑπερῴων κατινόει αὐτούς. καὶ περὶ μεσημβρίαν παρακύψας ὁρᾷ τὸν Μαρκιανὸν καθεύδοντα, καὶ ἀετὸν ἐλθόντα, καὶ τὰς πτέρυγας ἐκτείνοντα, καὶ σκιάζοντα αὐτόν· καὶ τοῦτο ἰδὼν ὁ Γιζέριχος θείαν εἶναι οἰκονομίαν ἐλογίσατο ταύτην. καὶ μεταπεμψάμενος τὸν ἄνδρα, καὶ γνοὺς εἶναι αὐτὸν Δομέστικον τοῦ Ἄσπαρος, ἔγνω ὅτι εἰς βασιλέα ἀνάγεσθαι μέλλει. καὶ ἀποκτεῖναι αὐτὸν οὐκ ἠθέλησε, λογισάμενος ὅτι τοῦ Θεοῦ τὴν βουλὴν οὐδεὶς δύναται κωλῦσαι. ὅρκον δὲ αὐτὸν ἀπῄτησεν, ὅτι εἰ τῷ Θεῷ φίλον βασιλεύειν αὐτὸν, οὐ πολεμήσει ποτὲ Οὐανδήλους. καὶ οὕτως ἀβλαβὴς ἀπο-

C λυθεὶς ὁ Μαρκιανὸς, ἦλθεν εἰς τὸ Βυζάντιον. χρόνου δὲ ὀλίγου διελθόντος, καὶ Θεοδοσίου τελευτήσαντος βασιλεὺς ἀνεδείχθη, ὡς προείρηται. ἐγένετο δὲ χρηστὸς περὶ πάντας τοὺς ὑπηκόους. ὁ δὲ Ἀττιλᾶς ἐπανίσταται τοῖς βασιλεῦσι, καὶ Ῥώμης Οὐαλεντινιανῷ, διότι οὐκ ἔδωκεν αὐτῷ εἰς γυναῖκα τὴν ἰδίαν ἀδελφὴν Ὀνωρίαν· καὶ ἐλθὼν μέχρι πόλεως Αὐρηλίας, καὶ συμπλακεὶς Ἀετίῳ τῷ στρατηγῷ Ῥωμαίων, καὶ ἡττηθεὶς, πλείστους ἀποβαλὼν τῆς δυνάμεως παρὰ Λίγουιν ποταμὸν, ὑπέστρεψε κατῃσχυμμένος. ὁ δὲ Μαρκιανὸς τῆς ἐν Λυκίᾳ γεγενημένης αὐτῷ ὑπομνησθεὶς εὐεργεσίας Τατιανὸν καὶ Ἰούλιον μεταπεμψάμενος πατέρας αὐτοὺς ἀνεκήρυξε. καὶ τὸν μὲν Τατιανὸν Ὕπαρχον ἐποίησε πόλεως. τῷ δὲ Ἰουλίῳ τὴν

D τῶν Λιβύων ἐνεχείρισεν ἀρχήν. ἡ δὲ μακαρία Πουλχερία πολλὰς μὲν καὶ ἄλλας τῷ Χριστῷ ἀνήγειρεν ἐκκλησίας, ἐξαιρέτως δὲ τὴν ἐν Βλαχέρναις τῆς πανυμνήτου δεσποίνης ἡμῶν Θεοτόκου ἐν ἀρχῇ βασιλείας τοῦ εὐσεβοῦς Μαρκιανοῦ. Λέων δὲ ὁ μακάριος Πάππας Ῥώμης ἔγραψε Μαρκιανῷ αἰτῶν τὰ τολμηθέντα παρὰ Διοσκόρου καὶ Εὐτυχοῦς ἐν Ἐφέσῳ εἰς τὸν ἅγιον Φλαβιανὸν ζητηθῆναι ἐπὶ οἰκουμενικῆς συνόδου, καὶ ἐκέλευσεν ὁ βασιλεὺς συναχθῆναι πάντας τοὺς ἐπισκόπους.

| | | 2 | 17 | 10 | 3 | 14 | 5 | 3 |

E

| | | β | ζ | ι | γ | ιδ | ε | γ |

Hoe anno sancta & quarta Synodus Chalcedone celebrata est, mense Octobri indictione quinta, Marciano jam unum annum & duos menses Imperante. Cunctis igitur Episcopis & Senatu congregatis in æde sanctæ Martyri Euphemiæ dicata, & quæ prima indictione, tum quæ ab Eutyche gesta, & quæ a Dioscoro Ephesi fuerant innovata, discussis; de his interrogatus Dioscorus ad rerum actarum

pag. 91.

Τούτῳ τῷ ἔτει ἡ ἐν Χαλκηδόνι ἁγία δ΄. γέγονε σύνοδος μηνὶ Ὀκτωβ. ἰνδικ. ε΄. μετὰ ἐνιαυτὸν καὶ μῆνας δύο τῆς ἀναγορεύσεως Μαρκιανοῦ. πάντων δὲ ἐπισκόπων συνελθόντων ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας Εὐφημίας, καὶ τῆς συγκλήτου, καὶ γυμνασθέντα τὰ ἐπὶ τῆς πρώτης ἰνδικτιῶνος, καὶ τὰ παρ᾽ Εὐτυχοῦς πραχθέντα, καὶ τὰ ἐν Ἐφέσῳ ὑπὸ Διοσκόρου νεωτερισθέντα, ἐγκαλούμενος Διόσκο-

Διόσκορος περὶ τούτων, ἐπὶ τὴν ἄγνοιαν τῶν πεπραγμένων καταφεύγει, καὶ μὴ δυνηθεὶς ἐκφυγεῖν τὸν ἐν τοῖς πραχθεῖσιν ἔλεγχον, ἠπορεῖτο, καὶ ἡ ἀλήθεια παρεγυμνοῦτο. τότε μὴ ἔχων ἀπολογίαν, κατῃσχύνθη. οἱ δὲ συνεδρεύσαντες αὐτῷ ἐν τῇ λῃστρικῇ συνόδῳ, ἔλεγχον αὐτοῦ τὴν βίαν καὶ τὴν ἀνάγκην, ἣν ὑπέμειναν παρ᾽ αὐτοῦ. καὶ συγγνώμην τῇ συνόδῳ αἰτήσαντες, ἐδέχθησαν· ὧν εἷς ὑπῆρχε καὶ Ἰουβενάλιος ὁ Ἱεροσολύμων ἐπίσκοπος. ἀπορήσας δὲ ὁ Διόσκορος, καὶ μὴ ἔχων ἀπολογίαν, οὐκ ἔτι ἐτόλμησεν ἐμφανισθῆναι τῇ συνόδῳ. τότε ἡ σύνοδος συμπαρόντος καὶ τοῦ βασιλέως Μαρκιανοῦ, ἅμα τῆς συγκλήτου, ἀπεφήνατο κατὰ Διοσκόρου καὶ Εὐτυχοῦς, καὶ τούτους καθεῖλον. ἐν ᾗ καὶ τελευτᾷ. ὁ δὲ βασιλεὺς τὸν μὲν Διόσκορον ἐξορίσας εἰς Γάγγραν, τὴν δὲ σύνοδον ἐπαινέσας, εἶπε· χάριν μεγίστην ὁμολογῶ τῷ πάντων ἡμῶν δεσπότῃ καὶ Θεῷ, ὅτι ἀναιρεθείσης τῆς διχονοίας, εἰς μίαν καὶ τὴν αὐτὴν ὁμολογίαν συνεληλύθαμεν. καὶ φιλοφρονήσας τοὺς ἑξακοσίους τριάκοντα ἁγίους πατέρας ἀπέλυσεν ἕκαστον εἰς τὰ ἴδια ἐν εἰρήνῃ. ἐχειροτονήθη δὲ Προτέριος ἀντὶ Διοσκόρου ἐπίσκοπος Ἀλεξανδρείας.

Κόσμου ἔτη ͵εϡμε'.	Τῆς θείας σαρκ. ἔτη υμε'.	Ῥωμ. βασιλεὺς Μαρκιανὸς ἔτη ϛ'.	Περσ. βασιλ. Περόζης ἔτη κδ'.	Ῥωμ. ἐπίσκοπος Λέων ἔτη κα'.	Κωνσ. ἐπίσκ. Ἀνατόλιος ἔτη θ'.	Ἱεροσ. ἐπίσκ. Ἰουβενάλιος ἔτη λη'.	Ἀλεξ. ἐπίσκ. Προτέριος ἔτη ϛ'.	Ἀντ. ἐπίσ. Μάξιμος ἔτη δ'.
		γ'	α'	ια'	δ'	ιε'	α'	δ'

Ταύτῳ τῷ ἔτει Πουλχερία ἡ μακαρία καὶ εὐσεβὴς ἐκοιμήθη ἐν Χριστῷ πολλὰ ποιήσασα κατορθώματα, καὶ πάντα τὰ ἑαυτῆς πτωχοῖς καταλείψασα, ἅπερ Μαρκιανὸς πλεῖστα ὄντα προθύμως δέδωκεν. ἔκτισε δὲ ἡ αὐτὴ πολλοὺς εὐκτηρίους οἴκους, καὶ πτωχεῖα, καὶ ξενῶνας, καὶ ξενοτάφια. ἐν οἷς καὶ τὸν ναὸν τοῦ ἁγίου μάρτυρος Λαυρεντίου. τοῦ δὲ Διοσκόρου ἐξορισθέντος καὶ τοῦ Προτερίου προβληθέντος, οἱ σύμφρονες Διοσκόρου καὶ Εὐτυχοῦς στάσιν μεγίστην ἐποίησαν, ἀπειλήσαντες κωλύειν καὶ τὴν σιτοπομπίαν. Μαρκιανὸς δὲ μαθὼν, ἐκέλευσεν οὐκ εἰς Ἀλεξάνδρειαν, ἀλλ᾽ εἰς τὸ Πηλούσιον τὸν σῖτον τῆς Αἰγύπτου καταγωγιάζεσθαι διὰ τοῦ Νείλου, καὶ οὕτως εἰς τὴν βασιλίδα πλωΐζεσθαι. ὅπερ Ἀλεξανδρεῖς λιμώξαντες Προτέριον ᾔτησαν δεηθῆναι περὶ αὐτῶν τοῦ βασιλέως, καὶ οὕτω τῆς ἀταξίας ἐπαύσαντο.

Τούτῳ τῷ ἔτει ἀνεκτίσθη τὸ Διοκλητιανὸν βαλανεῖον ἐν Ἀλεξανδρείᾳ· καὶ Ἀττίλας ἔκαυσε τὴν Ἀκυλίαν πόλιν.

Τῷ δ᾽ αὐτῷ ἔτει Θεοδόσιος μοναχὸς ἀνὴρ λυμεὼν καταλαβὼν δρομαῖος μετὰ τὴν ἐν Χαλκηδόνι σύνοδον εἰς Ἱεροσόλυμα, καὶ μαθὼν Εὐδοκίαν τὴν Αὐγοῦσταν προσκεῖσθαι Διοσκόρῳ τῷ καθαιρεθέντι ὑπὸ τῆς συνόδου, ἤρξατο καταβοᾷν τῆς συνόδου, ὡς τὴν ὀρθὴν ἀναστρεψάσης πίστιν, καὶ συναρπάζει τὴν Αὐγοῦσταν, καὶ τοὺς μοναχοὺς, καὶ ταῖς ἰδίαις μιαιφονίαις χρησάμενος, βαρβαρικῷ τρόπῳ τὸν ἀρχιερατικὸν θρόνον ἁρπάζει, καὶ τοὺς τῆς Αὐγούστης ἀνθρώπους ὑπουργοὺς ἔχων, χειροτονεῖ ἐπισκόπους κατὰ πόλιν, τῶν ἐπισκόπων ἔτι ὄντων ἐν τῇ συνόδῳ. Σευηριανὸν δὲ τὸν ἐπίσκοπον Σκυθοπόλεως μὴ

Theophanis Chron.

ignorantiam confugit: at cum argumentis, quæ ab ipsis actis petebatur convinceretur, perplexus hæsitabat, ac simul veritas in apertum proferebatur. Tunc quid pro defensione diceret nescius, erubuit. Qui vero cum ipso in prædatoria Synodo convenerant, vis sibi ab eo illatæ Dioscorum arguebant: & venia sibi a Synodo petita, in gratiam sunt recepti: e quorum numero Juvenalius Hierosolymorum Episcopus extitit. Dioscorus animo fluctuans, & quid responderet incertus, Synodo se præsentem exhibere non ulterius est ausus. Tam vero Synodus ipso Imperatore Marciano, & Senatu præsente adversam Dioscoro & Eutychi sententiam pronunciavit, & eos depositione punivit. Pronunciata sententia Synodus soluta est. Imperator Gangras relegato Dioscoro, in Synodi laudes erumpens, dixit. Deo nostrum omnium Domino maximas debeo grates: quod sublata omni dissensione, in unam tandem & eamdem sententiam omnes ivimus. Sanctos demum sexcentos & triginta Patres postquam benigne & humane suscepisset, singulos cum pace ad proprias sedes dimisit. In Dioscori vero locum Proterius Alexandriæ Episcopus est ordinatus.

Anni mundi 5945.	Divinæ Incarn. 445.	Rom. Imp. Marcianus annis 6.	Persarum rex Perozes annis 24.	Romæ Epis. Leo annis 21.	Constant. Episc. Anatolius annis 9.	Hierosol. Episc. Juvenalius annis 38.	Alexand. Episc. Proterius annis 6.	Antioc. Episc. Maximus annis 4.
		3	1	11	4	15	1	4

Hoc anno multis rebus præclare gestis, cunctisque suis bonis pauperibus relictis, beata & pia Pulcheria obdormivit in Christo: bona ejus licet immensa Marcianus libentissime consignavit. Ipsa porro quamplurimas sacras ædes sive oratoria, multa item publica pauperum loca, peregrinorumque domicilia, & eisdem mortuis cœmeteria, in quibus sancti Martyris Laurentii templum numeratur, ædificavit. Dioscoro vero in exilium pulso, & in ejus vicem Proterio suffecto, qui cum Dioscoro & Eutyche sentiebant, magnum concitaverunt tumultum, frumentarium etiam commeatum se intercluſuros minati. Eo cognito, non Alexandriam, sed Pelusium per Nilum Ægyptum frumentum devehi, ac inde CP. reginam Urbium deportari Marcianus mandavit. Hinc ipsi Alexandrini fame vexati, Proterium, qui pro ipsis Imperatorem deprecaretur, interposuerunt: sicque tumultuari destiterunt.

Edit. Paris. pag. 92.

Hoc etiam anno Diocletianeum balneum Alexandriæ reparatum: & Attila Aquilejam urbem incendio devastavit.

Hoc eodem anno Theodosius Monachus vir exitiosus, peracto Chalcedone Concilio, cursu concito Hierosolymam delatus, & de Eudociæ Augustæ versus Dioscorum a Concilio depositum affectu certior factus, adversus illud, quasi rectam pervertisset fidem, vociferari & declamare cœpit: & Augusta in propriam sententiam rapta, circumventis etiam Monachis, familiaribus sibi cædibus usus, barbarico more in Pontificium thronum, etiam ipsis Augustæ domesticis invasionis hujusmodi administris, intruditur, & per urbes, Episcopis adhuc in Concilio considentibus, Episcopos destinat: Severianum autem Scythopoleos Episcopum cum ipsius pra-

vis erroribus assentiri nollet, civitate expulsum interficit, persecutionemque in eos qui ejus communionem aversarentur, excitat, & quosdam quidem examinat tormentis, aliorum ædes igne depopulatur, adeo ut civitatis a Barbaris devastatæ faciem in ipsa civitate exhiberet. Tandemque Athanasium sanctæ Resurrectionis Diaconum summam ejus in Deum impietatem probris & reprehensionibus insectantem necavit crudeliter, sanctique corpus per urbem publice in ludibrium raptum canibus objecit. Domnus vero Antiochiæ, & Juvenalius Hierosolymorum Episcopi in eremum secessu saluti consuluerunt. Cum vero illa pestis viginti menses continuos Hierosolymitanam occupasset sedem, Marcianus, re comperta, ipsum comprehendi jussit; at ille fuga Sinæum in montem se recepit. Ipso vero una cum sacrilege ordinatis eliminato, Juvenalius in sedem sibi propriam est restitutus.

A ὑπαχθέντα τῇ αὐτοῦ κακοδοξίᾳ τῆς πόλεως ἐξαγαγὼν κατασφάττει, καὶ ἐγείρει διωγμὸν κατὰ τῶν μὴ κοινωνούντων αὐτῷ, καὶ πολλοὺς μὲν ἐβασάνισε, καὶ ἑτέρων δὲ τοὺς οἴκους πυρὶ παρέδωκεν, ὥστε νομισθῆναι ὑπὸ βαρβάρων τὴν πόλιν ἑαλωκέναι. ἀπέσφαξε δὲ καὶ Ἀθανάσιον διάκονον τῆς ἁγίας Ἀναστάσεως ὀνειδίσαντα, καὶ ἐξελέγξαντα τὴν αὐτοῦ ἀθείαν, καὶ τὸ τοῦ ἁγίου σῶμα κατὰ τὴν πόλιν πομπεύσας τοῖς κυσὶ παρέδωκε. Δόμνος δὲ ὁ ἀρχιεπίσκοπος Ἀντιοχείας εἰς τὴν ἔρημον ἔφυγε· καὶ Ἰουβενάλιος Ἱεροσολύμων. τοῦ δὲ λυμεῶνος Θεοδοσίου ἐπὶ εἴκοσι μῆνας τὸν θρόνον Ἱεροσολύμων κρατήσαντος, γνοὺς ὁ βασιλεὺς Μαρκιανὸς ἐκέλευσεν αὐτὸν συλληφθῆναι· ὁ δὲ φυγὰς ᾤχετο ἐπὶ τὸ Σίναιον ὄρος. B τούτου δὲ ἐκ ποδῶν γεγονότος, καὶ τῶν ὑπ' αὐτοῦ χειροτονηθέντων, πάλιν Ἰουβενάλιος τὸν θρόνον αὐτοῦ ἀπέλαβεν.

							Ant. Episc. Basilius an. 2.
4	9	19	6	3	23	5	

							Ἀντ. ἐπίσκ. Βασ. λειος ἔτ. β'.
δ'	θ'.	ιθ'.	ϛ'	γ'	κγ'	ε'	

Hoc anno Valentinianus Imperator Aetii Patricii potestatem nimiam Romæ suspectam habens, Heraclio quodam Eunucho adjutore adscito, ipsum dolis interficit. Adversus autem Marcianum pactum a Theodosio tributum reddi non ferentem Attila bellum parabat. Interea puellæ, cujus forma liberalis omnino fuit, amore captus, dum nuptias cum illa celebrat, vino maxime madidus, ac profundo somno gravatus, copioso subinde sanguinis profluvio e naribus atque ore erumpente, vitam finiit. Tam amplam vero patris ditionem excipientes filii, & ad invicem dissidentes, profligantur. Romani porro qui partes Orientis tenebant, summa pace justitia & gaudio Marciano imperante fruebantur. Et erant certe Imperatoris benignitate aurea prorsus illa tempora, tranquillitate nimirum rebus omnibus superfusa.

Edit. Paris. pag. 93.

Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς βασιλεὺς ἐν Ῥώμῃ ὑφορώμενος τὴν Ἀετίου τοῦ Πατρικίου δύναμιν, δολοφονεῖ C τοῦτον Ἡρακλείου τινὸς τῶν εὐνούχων συμπράξαντος αὐτῷ. ὁ δὲ Ἀττιλᾶς εὐτρεπίζετο πολεμῆσαι Μαρκιανῷ μὴ ἀνεχομένῳ τὸν φόρον αὐτῷ παρασχέσθαι τὸν ὑπὸ Θεοδοσίου ταχθέντα. μεταξὺ δὲ κόρης τινὸς εὐπρεποῦς ἐρασθεὶς, καὶ τὸν πρὸς αὐτὴν γάμον ἐπιτελῶν, οἰνωθεὶς δὲ σφόδρα, καὶ ὕπνῳ βαρυνθεὶς, αἵματος ἀθρόον διαρρέοντος καὶ τοῦ στόματος ἐνεχθέντος, τελευτᾷ τὸν βίον. τὴν δὲ τοσαύτην αὐτοῦ δυναστείαν οἱ παῖδες τούτου διαδεξάμενοι, καὶ στασιάσαντες πρὸς ἀλλήλους, διαφθείρονται. οἱ μέν τοί γε κατὰ τὴν ἑῴαν Ῥωμαῖοι Μαρκιανοῦ βασιλεύοντες πάσης ἀπέλαυον εἰρήνης, καὶ δικαιοσύνης, καὶ εὐφροσύνης. καὶ ἦν ἐκεῖνα τὰ ἔτη χρυσᾶ τῇ τοῦ βασιλέως χρηστότητι γαλήνης πάντα ἐπικεχυμένης τὰ πρά-D γματα.

3	8	18	2	22	2	5		

ε'	γ'	η'	ϛ'	ιζ'	γ'	β'		

Hoc anno Valentinianus Romæ imperans recta quidem Ecclesiæ dogmata sustinebat, innumeris licet flagitiis quotidianum vitæ usum respergeret. Formosissimæ siquidem uxori Eudoxiæ Theodosii Imperatoris filiæ conjunctus, alienis mulieribus per artes dæmoniacas abutebatur. Etiam curiosa sectantibus assidue conversabatur: quare fœdissimo mortis genere plectitur. Ejus quippe Maximi, qui sub magno Theodosio tyrannidem fuerat aucupatus, nepos, & ejusdem nominis consors inter Patricios Romæ adscitus, in Palatium irruens, Valentinianum trucidavit, Eudoxiam vi oppressit, & Imperium obtinuit. Etenim per quæ peccat aliquis, per eadem castigatur. His afflicta Eudoxia, cum Theodosio patre & Pulcheria jam extinctis, nullum sibi Constantinopoli affuturum auxilium expectaret, Gizerichum, ex Maximi tyrannide eximi se deprecata, Romam advocat. Eo cum

Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς ὁ τῆς Ῥώμης βασιλεύων τῶν μὲν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων ἀντελαμβάνετο. πολλῇ δὲ τῇ παρανομίᾳ ἐν τῇ ἑαυτοῦ διεκέχρητο διαίτῃ. εὐπρεπεστάτῃ γὰρ γυναικὶ Εὐδοξίᾳ τῇ θυγατρὶ Θεοδοσίου τοῦ βασιλέως συνοικῶν ἀλλοτρίαις δαιμονιωδῶς ἐκέχρητο. ὡμίλει συνεχῶς καὶ τοῖς τὰ περίεργα πράττουσι. διὸ καὶ αἰσχίστῳ παραδίδοται θανάτῳ. Μαξίμου γὰρ τοῦ ἐπὶ Θεοδοσίου τοῦ μεγάλου τυραννήσαντος ἔγ-E γονος καὶ ὁμώνυμος ἐν τοῖς κατὰ τὴν Ῥώμην Πατρικίοις τελῶν, ἔνδον τοῦ παλατίου γενόμενος, τὸν Οὐαλεντινιανὸν ἀπέσφαξε, καὶ τῇ Εὐδοξίᾳ βίᾳ συνεγένετο, καὶ τῆς βασιλείας ἐκράτησε· δι' ὧν γάρ τις ἁμαρτάνει, διὰ τούτων καὶ παιδεύεται. ἐπὶ τούτοις ἡ Εὐδοξία ἀχθομένη, καὶ μηδεμίαν βοήθειαν ἐκ τοῦ Βυζαντίου ἔσεσθαι αὐτῇ λογισαμένη, Θεοδοσίου τοῦ πατρὸς αὐτῆς τελευτήσαντος, καὶ Πουλχερίας, μεταπέμπεται Γιζέριχον εἰς Ῥώμην, παρακαλοῦσα λυτρωθῆναι ἐκ τῆς τοῦ Μαξίμου τυραννίδος. Γιζέριχον δὲ σόλῳ

μεγάλῳ ἐκπλεύσαντος εἰς Ῥώμην, Μάξιμος φοβηθεὶς φυγῇ ἐχρήσατο. οἱ δὲ συνόντες αὐτῷ ἀνεῖλον αὐτὸν βασιλεύσαντα ἔτος ἕν. ὁ δὲ Γιζέριχος μηδενὸς αὐτῷ ἀντιστάντος, εἰσῆλθεν εἰς Ῥώμην τῇ γ΄. ἡμέρᾳ τῆς σφαγῆς Μαξίμου, καὶ λαβὼν πάντα τὰ χρήματα, καὶ τὰ τῆς πόλεως θεάματα εἰς τὰ πλοῖα ἐμβαλὼν, ἐν οἷς ἦσαν κειμήλια ὁλόχρυσα καὶ διάλιθα ἐκκλησιαστικὰ, καὶ σκεύη Ἑβραϊκὰ, ἅπερ Οὐεσπασιανοῦ Τίτος μετὰ τὴν ἅλωσιν Ἱεροσολύμων εἰς Ῥώμην ἤγαγε, σὺν τούτοις λαβὼν καὶ Εὐδοξίαν τὴν βασίλισσαν, καὶ τὰς θυγατέρας αὐτῆς, εἰς Ἀφρικὴν ἀπέπλευσε· καὶ τὴν μὲν Εὐδοκίαν Ὀνωρίχῳ τῷ πρωτοτόκῳ υἱῷ αὐτοῦ συνέζευξε, τὴν δὲ Πλακιδίαν ἄνδρα ἔχειν μαθὼν Ὀλύβριον τὸν πατρίκιον μετὰ τῆς μητρὸς ἐφύλαξεν Εὐδοξίας. μαθὼν δὲ τὸν τοῦ Μαξίμου θάνατον Μαιωρῖνος ἐβασίλευσεν ἔτη δύο, καὶ μετ' αὐτὸν Ἄβιτος τῆς Ῥώμης βασιλείας ἐκράτησεν ἐνιαυτοὺς δύο· καὶ μετὰ τοῦτον Σευῆρος ἔτη γ΄. καὶ μετὰ τούτους οὐκ ἔστι βασιλεὺς, ἀλλὰ Ῥεκίμερ ἐδιοίκει τὰ πράγματα στρατηγῶν, καὶ μεγάλην περικείμενος δύναμιν.

A ingenti classe Romam adnavigante, deterritus Maximus fugæ se committit: & a suis, cum vix annum imperasset, interimitur. Gizerichus nullo resistente, tertio a cæde Maximi die Romam ingreditur, direptisque omnibus Urbis divitiis, & cunctis ejus ornamentis spectatu dignioribus in naves impositis, in quibus etiam fuit copiosa Ecclesiæ supellex ex auro solido & gemmis conflata, & Hebraica vasa a Vespasiani filio Tito post Hierosolymorum excidium Romam allata, & insuper Eudoxia Imperatrice, ejusque filiabus una secum abductis, in Africam navibus remeat: ibi demum Eudociam Honoricho filio suo majori conjugio copulat, B Placidiam vero cum Olybrium Patricium virum habere comperisset, una cum matre Eudoxia sub custodia tenuit. Majorinus, audita Maximi morte, duos annos Imperio potitur: eo sublato, Avitus pari annorum numero occupavit: post hunc Severus annos tres. Post istos nullus Romæ extitit Imperator: verum Recimer Dux exercitus magna instructus potentia, rerum summam administravit.

Edit. Paris. pag. 94.

Τῷ δ' αὐτῷ ἔτει ἐτελεύτησεν Εὐδοκία ἐν Ἱεροσολύμοις πολλὰ καταλείψασα ταῖς ἐκκλησίαις.

Hoc etiam anno Eudocia donis maximis in Ecclesias collatis Hierosolymis decessit.

									Ἀντιοχείας Μαρτύριος ἔτη γ΄.
			ς΄	δ΄	ιδ΄	ζ	ιη΄	δ΄	α

C

									Antiochiæ Episc. Martyrius annis 3.
			6	4	14	7	18	4	1

Τούτῳ τῷ ἔτει ἐκάη ἡ Ῥάβεννα, καὶ μετ' ὀλίγας ἡμέρας ἐσφάγη ὁ Πατρίκιος Ῥαμίτος εἰς Κλάσας. καὶ μεθ' ἡμέρας ιθ΄. ἐνικήθη Ἄβιτος ὑπὸ Ῥεμίκου,* καὶ γέγονεν εἰς πόλιν Πλακεντίαν εἰς Γαλλίας.

* Locus mutilus.

Hoc anno Ravenna civitas igne consumpta est: & post dies paucos Ramitus Patricius ad Classas est interfectus: diesque abhinc undeviginti a Remico superatus est Avitus: factus autem Placentiæ civitatis Episcopus, in Gallias profectus occubuit.

			ζ	ιε΄	ιε	η΄	ιθ΄	ε΄	β΄

			7	5	15	8	19	5	2

Τούτῳ τῷ ἔτει Μαρκιανὸς ὁ βασιλεὺς ἐτελεύτησε πρὸ μιᾶς καλανδῶν Μαΐων· καὶ ἐβασίλευσε Λέων ὁ μέγας. αὐτῷ δὲ τῷ ἔτει ἀνενεώθη ἐν Ἀλεξανδρείᾳ τὸ Γρατιανὸν βαλανεῖον, καὶ ἡ βασιλικὴ μεγάλη εἰς τὸ στοιχεῖον. πάνυ δὲ ἦν εὐλαβὴς καὶ φοβούμενος τὸν Θεὸν Μαρκιανὸς, ὅστις ἐν ταῖς λιταῖς τοῦ Κάμπου πεζὸς ἐξῄει, πολλὰ τοῖς δεομένοις εὖ ποιῶν· ὅθεν τοῦτον ὁρῶν ὁ Πατριάρχης Ἀνατόλιος καὶ αὐτὸς οὐκ ἔτι φορείῳ φερόμενος, κατὰ τὸ ἔθος, ἐλιτάνευεν, ἀλλὰ πεζός.

D Hoc anno pridie Majas Kalendas Marcianus Imperator decessit, & in Imperio successit magnus Leo. Eadem tempestate Gratiani balneum Alexandriæ reparatur, & Regia major ad Stœchium. Marcianus porro valde pius religioso timore Deum colebat, & Processionibus ad Campum celebratis, pedes incedebat, & multis beneficiis sibi devinciebat egentes: quares his conspectis, non amplius sellæ sublatus, ut mos tunc ferebat, sed pedibus quoque iter agens Anatolius Patriarcha Processionum supplicationes obibat.

Τούτῳ τῷ ἔτει Τιμόθεος ὁ Αἴλουρος μαγγανείᾳ χρησάμενος, νυκτὸς ἐν τοῖς κελλίοις τῶν μοναχῶν περιήρχετο, ἐξ ὀνόματος καλῶν ἕκαστον. τοῦ δὲ ἀποκρινομένου ἔλεγεν. ἐγὼ ἄγγελός εἰμι, καὶ ἀπεστάλην εἰπεῖν πᾶσιν ἀποστῆναι μὲν τῆς κοινωνίας Προτερίου καὶ τῆς ἐν Χαλκηδόνι, Τιμόθεον δὲ τὸν Αἴλουρον ἐπίσκοπον προχειρίσασθαι Ἀλεξανδρείας.

Hoc etiam anno Timotheus Ælurus præstigiis & fraudibus usus, Monachorum cellas nocturnus ambulator circumibat, nominatim singulos vocans: cui cum responderet quispiam, referebat ille. Ego sum Angelus: & ut a Proterii commu- E nione, & ab iis quæ Chalcedone sunt acta, cuncti abstineant; & subinde Timotheum Ælurum Alexandriæ constituant Episcopum, enunciatum sum missus.

Τῷ δ' αὐτῷ ἔτει Εὐδοκία ἡ θυγάτηρ Θεοδοσίου τοῦ βασιλέως, γυνὴ δὲ Οὐαλεντινιανοῦ τοῦ τρίτου μετὰ μιᾶς θυγατρὸς Πλακιδίας γυναικὸς Ὀλυβρίου ἐπανῆλθεν ἐξ Ἀφρικῆς· ἡ γὰρ Εὐδοκία τῷ υἱῷ Γιζερίχου Ὀνωρίχῳ ἐζεύχθη, καὶ οὐκ ἐπανῆλθεν.

Theophanis Chron.

Hoc eodem anno Eudoxia Theodosii Imperatoris filia, Valentiniani vero tertii conjux, cum Placidia filiarum altera, Olybrii uxore, ex Africa remeavit: Eudocia siquidem Honoricho Gizerichi filio matrimonio juncta non rediit.

Anni mundi 5950	Divinæ Incarn. 450	Rom. Imp. Leo annis 17.	Persarũ rex Peroxes annis 24.	Romæ Episc. Leo ann. 21.	Constant. Episc. Anatolius annis 9.	Hieros. Episc. Juvenalius annis 38.	Alex. Episc. Proterius annis 6.	Anti. Episc. Martyrius annis 13.
		1	6	16	9	20	6	3

Κόσμου ἔτη ,εϡν'	Τῆς θείας σαρκώσεως υν'	Ῥωμ. Βασιλεὺς Λέων ἔτη ιζ'.	Περσ. βασιλ. Περόζης ἔτη κδ'	Ῥωμ. ἐπίσκοπος Λέων ἔτη κα'.	Κωνστ. ἐπίσκ. Ἀνατόλιος ἔτη θ'.	Ἱεροσ. ἐπίσκ. Ἰουβενάλιος ἔτη λη'.	Ἀλεξ. ἐπίσκ. Προτέριος ἔτη ϛ'	Ἀντ. ἐπίσ. Μαρτύριος ἔτη ιγ'.
		α'	ϛ'	ιϛ'	θ'	κ'	ϛ'	γ'

Edit. Parif. pag. 95.

Hoc anno Leo, genere Thrax, dignitate Tribunus, Imperator salutatur, mense Februario, indictione decima, & ab Anatolio Patriarcha coronatur.

Hoc anno maximo terræ motu Antiochiæ facto, tota ferme civitas corruit. Alexandriam porro Camelopardalis, Taurelaphi, & alia ferarum monstra sunt illata: simulque cum illis Timotheus, cognomento Ælurus, Alexandrinam urbem turbavit. Coempta quippe siccariorum manu, sedem Alexandrinam invasit tyrannice, & omni Ecclesiæ gradu dejectus, a duobus pariter Ecclesiastica dignitate extorribus Episcopis ordinatur. Hinc cuncta, quæ Alcaandriam vexaverunt, scandala originem habuere. Cunctis enim per universum orbem sacris viris Chalcedonensis Concilii decretum admittentibus, perversus ille rabie quadam effræni motus, contumellas in illud evomere non verebatur: prophanus & Ordinis expers, Episcoporum consecrationes perficiebat; & qui ne Presbyter quidem, alios collato baptismo initiabat. Cæterum paratas sibi ab Æluro insidias Beatus Proterius præsenriens, locum dat Iræ, & primo Paschalis celebritatis die ad venerandum Baptisterium confugit. At vero Præcursor Antichristi neque sacræ solemnitatis diem, neque veneranda loca reveritus, misit qui Præsulem prorsus innoxium cum sex aliis, qui cum illo erant, interficerent. Hi corpus Pontificis funibus alligatum extra sancti lavacri septa rapuerunt, & per civitatem ignominiose circumductum inhumane penitus & impie attrectaverunt, & illud demum ignibus absumpserunt, cineribus in aerem dispersis.

Eodem anno sanctæ Anastasiæ corpus Sirmio delatum, in ejus templo ad Domnici porticus depositum. Timotheus autem Ælurus Cyrilli magni opera nondum in lucem edita nactus, ea plerisque locis adulteravit, ut Petrus Presbyter Alexandrinus testatur.

Τούτῳ τῷ ἔτει Λέων ἐβασίλευσε, Θρᾷξ τῷ γένει, Τριβοῦνος τὴν ἀξίαν, μηνὶ Φεβρουαρίῳ ἰνδικτ. ια'. στεφθεὶς ὑπὸ Ἀνατολίου τοῦ Πατριάρχου.

Τῷ δ' αὐτῷ ἔτει σεισμοῦ φοβεροῦ γενομένου ἐν Ἀντιοχείᾳ σχεδὸν πᾶσα ἡ πόλις κατέπεσεν. ἦλθε δὲ ἐν Ἀλεξανδρείᾳ Καμηλοπάρδαλις, καὶ Ταυρέλαφοι, καὶ ἄλλα θηρία. σὺν αὐτοῖς καὶ ὁ Τιμόθεος ὁ ἐπίκλην Αἴλουρος, τὴν Ἀλεξανδρέων πόλιν διετάραττε. πλήθη γὰρ ἀτάκτων ἀνδρῶν ὠνησάμενος τυραννικῶς τὸν θρόνον Ἀλεξανδρείας ἐσφέτερισε, καὶ καθῃρημένος ὢν, ὑπὸ δύο καθῃρημένων χειροτονεῖται. ἐντεῦθεν πάντα τὰ σκάνδαλα ἀνέφυε ἐν Ἀλεξανδρείᾳ· πάντων γὰρ τῶν τῆς οἰκουμένης ἱερέων τὸν ὅρον τῆς ἐν Χαλκηδόνι συνόδου ἀποδεξαμένων, οὗτος ὁ μιαρὸς μετὰ λύττας τινὸς ἀχέτου ταύτην καθύβριζε, καὶ χειροτονίας ἐπισκόπων ἐποίει ἀχειροτόνητος ὤν, καὶ βάπτισμα ἐπετέλει πρεσβύτερος μὴ ὤν. ὁ δὲ μακάριος Προτέριος αἰσθόμενος τὴν κατ' αὐτοῦ σκευαζομένην ὑπὸ τοῦ Αἰλούρου ἐπιβουλὴν, δίδωσι τόπον τῇ ὀργῇ, καὶ τῷ σεπτῷ προσφεύγει βαπτιστηρίῳ ἐν τῇ πρώτῃ τῆς πασχαλίας ἡμέρᾳ. ὁ δὲ τοῦ Ἀντιχρίστου πρόδρομος μὴ αἰδεσθεὶς, μηδὲ τὴν ἁγίαν ἡμέραν, μήτε τοὺς σεβασμίους τόπους, ἀποστείλας κατασφάζει τὸν ἀνεύθυνον Ἀρχιερέα μετὰ καὶ ἄλλων ἓξ τῶν σὺν αὐτῷ. καὶ σχοινίοις περισύραντες τοῦτο τὸ λείψανον ἀπὸ τῆς ἁγίας ἐξέβαλον κολυμβήθρας, καὶ πομπεύσαντες αὐτὸ κατὰ τὴν πόλιν, ᾔκιζον αὐτὸ ἀνηλεῶς· τέλος αὐτὸ κατὰ τὴν πόλιν πυρὶ κατέκαυσαν, καὶ τὴν σποδὸν ἀέρι παρέπεμπον.

Τῷ δ' αὐτῷ ἔτει ἐνήχθη τὸ λείψανον τῆς ἁγίας Ἀναστασίας ἀπὸ τοῦ Σερμίου, καὶ κατετέθη ἐν τῷ ναῷ αὐτῆς ἐν τοῖς Δομνίνου ἐμβόλοις. Τιμόθεος δὲ ὁ Αἴλουρος τὰ συγγράμματα Κυρίλλου τοῦ μεγάλου μὴ ἐκδοθέντα εὑρὼν ἐνόθευσεν ἐν πολλοῖς τόποις, ὡς ἱστορεῖ Πέτρος ὁ πρεσβύτερος Ἀλεξανδρείας.

						CP. Episc. Gennadius annis 13.		Alex. Episc. prædo Timotheus Ælurus annis 2.	
		2	7	17	1	21	1	4	

					Κωνστ. ἐπίσκ. Γεννάδιος ἔτ. ιγ'.		Ἀλεξ. ἐκράτησεν ληστρικῶς Τιμόθ. Αἴλουρος ἔτη β'.	
		β'	ζ'	ι'	α'	κα'	α'	δ'

Hoc anno Leo Imperator de injusta Proterii cæde & iniqua Æluri promotione certior factus, misit Cæsarium, & linguis mutilatis relegavit eos, qui Proterii cædi communicaverant. In prophanum vero Ælurum non animadvertit: judicium de eo ad Episcopos pertinere pronuncians.

pag. 96.

Hoc etiam anno Zeno Ariadnæ Leonis filiæ matrimonio junctus est.

Τούτῳ τῷ ἔτει μαθὼν Λέων ὁ βασιλεὺς τὴν ἄδικον θάνατον Προτερίου, καὶ τὴν τοῦ Αἰλούρου ἄθεσμον προαγωγὴν, πέμψας, Καισάριον ἐγλωσσοτόμησε, καὶ ἀμφοτέρους ἐξώρισεν, ὡς κοινωνήσαντας τῷ φόνῳ Προτερίου· Τιμοθέῳ δὲ τῷ ἀνιέρῳ οὐκ ἐπεξῆλθε τὴν ἐπ' αὐτῷ κρίσιν ἐπισκόποις εἰπὼν ἁρμόζειν.

Locus mutilus ex Anastasio restituius.

Τούτῳ δ' αὐτῷ ἔτει καὶ Ζήνων ἐζεύχθη Ἀριάδνῃ τῇ θυγατρὶ Λέοντος.

		γ'	η'	ιη'	β'	κβ'	β'	ε'

Τούτῳ τῷ ἔτει γράμματα πρὸς τοὺς ἑκάστης ἐπαρχίας ἐπισκόπους ἀπέστειλεν ὁ βασιλεὺς, γράψαι αὐτῷ τὴν οἰκείαν γνώμην αὐτῶν. πότερον ἐν τοῖς ἐν Χαλκηδόνι ὁρισθεῖσιν ἀρέσκοιντο, καὶ περὶ τῆς τοῦ Αἰλούρου χειροτονίας τί λέγοιεν; ἐν οἷς καὶ τῷ ἁγίῳ Συμεὼν τῷ Στυλίτῃ, καὶ Βαρδᾷ τῷ μοναχῷ, καὶ Ἰακώβῳ θαυματουργῷ διαμαρτυρόμενος, ὡς τῷ Θεῷ τῶν ὅλων παρέχειν μέλλοντας τὴν κρίσιν τῶν ἀμφισβητουμένων ποιήσασθαι. οἱ δὲ παμψηφεὶ ὁμοφρόνως κυροῦσι μὲν τὴν ἐν Χαλκηδόνι ἁγίαν εἶναι, καὶ τῶν ὑπ' αὐτῆς ἐκτεθέντων ὅρων ἀποδέχονται. Τιμοθέου δὲ συμφώνως καταψηφίζονται, ὡς φονέως καὶ αἱρετικοῦ. ἐσπούδασε δὲ καὶ Γεννάδιος πρὸς τὸν βασιλέα ἐκδικῆσαι τὰ τολμηθέντα. ἀντιπράττετο δὲ αὐτῷ Ἄσπαρ ὁ Ἀρειανός. ὁ δὲ εὐσεβὴς βασιλεὺς τὸν μὲν Αἴλουρον ἐξώρισεν εἰς Γάγγρας, ἔνθα ὁ Διόσκορος ὁ τούτου διδάσκαλος. ὁ αὐτὸς δὲ ἐκεῖ ἤρξατο παρασυναγωγὰς ποιεῖν καὶ ταραχάς, ἃς μαθὼν ὁ βασιλεὺς, μετεξώρισεν αὐτὸν ἐν Χερσῶνι. Τιμόθεος δὲ ἄλλος, ἐπίκλην Λευκὸς, καὶ ὁ Σαλοφακίαλος, ὀρθόδοξος καὶ ἀγαθὸς ἀνὴρ, ὑπὸ πάντων φιλούμενος, ἐχειροτονήθη ἀντ' αὐτοῦ ἐπίσκοπος Ἀλεξανδρείας.

Hoc anno ad singulos omnium provinciarum Episcopos litteras dedit Imperator, ut propriam ipsi renunciarent sententiam: num Chalcedonensis Concilii decretis acquiescerent, & de Æluri promotione quid sentirent? Sancto insuper Simeoni Stylitæ, & Bardæ Monacho, tum Jacobo miraculorum patratori scripsit, quasi Deo rerum omnium Domino rationem reddituros, de controversis rebus ut judicium facerent cunctos obtestatus. Illi una voce communique sensu coactam Chalcedone Synodum sanctam esse firmant, & expositis ab ea definitionibus mentem submittere profitentur: parique sententia, ceu perpetratæ cædis reum & hæreticum, Timotheum damnant. Ad hæc, ut quæ nefarie perpetrata condignæ subjicerentur ultioni, studium omne penes Imperatorem Gennadius adhibuit; adversæ licet parti oppositus faveret Aspar Arianus. Porro pientissimus Imperator Gangras, quo Dioscorus ejus magister fuerat deportatus, Ælurum relegavit. Is vero conventicula celebrare, & turbas illic movere denuo cœpit: quorum certior factus Imperator, hominem in Chersonem relegavit. Alius autem Timotheus, cognomento Leucus, qui & Salophacialus, vir de rebus fidei recte sentiens, & ob morum probitatem omnibus charus, in prioris locum Episcopus Alexandriæ ordinatus est.

		δ'	θ'	ιθ'	γ'	κγ'	Ἀλεξανδ. ἐπίσκ. Τιμόθεος ὁ Λευκὸς ἔτ. ιε'. α'	ς'

		4	9	19	3	23	Alexandriæ Episc. Timotheus Leucus an. 15. 1	6

Τούτῳ τῷ ἔτει Ἰουβενάλιος ὁ ἁγιώτατος ἐπίσκοπος Ἱεροσολύμων ἐτελεύτησε, καὶ ἀντ' αὐτοῦ ἐχειροτονήθη Ἀναστάσιος. καὶ τῷ αὐτῷ χρόνῳ ἐκοιμήθη καὶ Συμεὼν ὁ μέγας Στυλίτης, ὁ τῆς Μάνδρας πρῶτος, καταδείξας τὴν τοιαύτην ἀρετὴν, καὶ σημειοφόρος γενόμενος.

Hoc anno Juvenalius sanctissimus Hierosolymorum Episcopus diem ultimum obiit, in cujus locum sacro ritu Anastasius suffectus est. Eodem quoque anno quievit Symeon magnus Stylita, cœtus Monastici celebratissimus, qui ejusmodi virtutis exemplum factus præ reliquis antesignanus exhibuit.

		ε'	ι'	κ'	δ'	κδ'	β'	ζ'

		5	10	20	4	24	2	7

Τούτῳ τῷ ἔτει ἐμπρησμὸς μέγας γέγονεν ἐν ΚΠ. τῇ δευτέρᾳ τοῦ Σεπτεμβρίου μηνὸς ἰνδικτιῶνος ιε'. ἀρξάμενος ἀπὸ τοῦ Νεωρίου, καὶ φθάσας ἕως τοῦ ἁγίου Θωμᾶ τῶν Ἀμαντίου. Μαρκιανὸς δὲ Οἰκονόμος ἀνελθὼν εἰς τοὺς κεράμους τῆς ἁγίας Ἀναστασίας κατέχων τὸ εὐαγγέλιον εὐχαῖς, καὶ δάκρυσι ἀβλαβῆ τὸν οἶκον διεφύλαξεν.

Hoc anno Septembris mensis die secundo, indictione decima quinta CP. magnum contigit incendium, cujus principium a navali, & ad sancti Thomæ Amantii fuit progressus. Marcianus autem Oeconomus, conscenso sanctæ Anastasiæ templo, manibus tenens Evangelium, precibus & lacrymis sanctam ædem illæsam servavit.

Edit. Paris. Pag. 97.

		ς'	ια'	κα'	ε'	κε'	γ'	η'

		6	11	21	5	25	3	8

Τούτῳ τῷ ἔτει ἐσφάγη Μαιωρῖνος εἰς Τερτῶνα ὑπὸ Ῥεκιμέρ, Πατρικίου, καὶ ἐπήρθη εἰς βασιλέα Σευῆρος καὶ Σερπέντιος νόναις Ἰουλίαις.

Τῷ δ' αὐτῷ ἔτει ζωγράφου τινὸς τὸν σωτῆρα γράψαι τολμήσαντος καθ' ὁμοιότητα τοῦ Διὸς, ἐξηράνθη ἡ χεὶρ, ὃν ἐξαγορεύσαντα, δι' εὐχῆς ἰάσατο Γεννάδιος. φασὶ δέ τινες τῶν ἱστορικῶν ὅτι τὸ

Hoc anno Majorinus ad Dertonam a Recimere Patricio interemptus est: & Nonis Juliis Severus & Serpentius ad Imperii culmen elevatus.

Hoc eodem anno pictoris cujusdam Jovis specie Salvatoris faciem referre ausi manus exaruit: facinus vero confessum Gennadii preces sanaverunt. Historico-

rum vero nonnulli crispos & raros crines ad effingendam Salvatoris faciem magis decentes autumant. Cæterum Gennadius ad altare orans dæmonis spectrum noctu vidisse ferunt, quem cum increpasset, clamantem audivit: eo quidem vivente se cedere, sublato vero, Ecclesia quaquaversus se potiturum. Hæc veritus Gennadius, ut piaculum averteretur, crebras ad Deum preces fudit.

Hoc etiam anno Præcursoris templum Studius extruxit, & traductos ex Insomnium mansione Monachos in eo posuit. Gratissimus quoque Præpositus sancti Cyriaci extra portam Auream erexit ædem, in qua ipse mundo nuncium remisit.

Anni mundi 5956.	Divinæ Incarn. 456.	Rom. Imp. Leo annis 17.	Persarum rex Perozes anis 6.	Romæ Episc. Hilarion annis 6.	Constant. Episc. Gennadius annis 13.	Hierosol. Epis. Juvenalius annis 18.	Alexand. Episc Timotheus annis 15.	Antioc. Episc. Martyrius annis 13.
		7	12	1	6	21	4	9

Hoc anno Leo Imp. Zenonem generum Ducem Orientis instituit, & Basiliscum Verinæ Augustæ fratrem, Thraciæ pariter Ducem. Zeno vero Antiochiam profectus, sacrum Martyrium in ea comperit Episcopum. Petrus autem Fullo etiam in templo Bassæ Martyris Chalcedonensis Presbyterio fungens Zenonem sequebatur. Is implorata Zenonis opera nonnullos ex Apollinarii asseclis mercede conductos sibi conjungit, & innumeros tumultus contra fidem, & Martyrium Episcopum excitat: anathemate etiam ferit qui non assererent, Deum cruci suffixum, populoque demum in duas partes Antiochiæ discisso addit ter sancto hymno: Qui crucifixus es pro nobis: quæ voces ab eo tempore in hodiernum usque diem a Theopaschitis usurpari consueverunt. Martyrius porro ad Imperatorem Leonem profectus, Gennadii CP. Præsulis commendationibus multo cum honore suscipitur. Antiochiam deinde reversus, cum populi factiones varias easdemque tumultibus comperisset agitatas, & Zenonis favore fortiores, in Ecclesiæ conventu cessit Episcopatu, verbis usus hujusmodi. Clero inobedienti, populo contumaci, & Ecclesiæ sordibus infectæ nuncium remitto: solaque Sacerdotii dignitate mihi reservata, Episcopale munus depono. Eo secedente Petrus Fullo in Antiochiæ thronum insiliens confestim Joannem quemdam degradatione damnatum ordinat Apameæ Episcopum. Nuncio de his accepto, Gennadius cuncta refert ad Imperatorem, qui Petrum Fullonem exilio plectendum pronunciat: quod cum Petrus audisset, ipse fuga proprium exilium evitat: moxque communibus suffragiis Julianus quidam Antiochiæ Episcopus institutus est.

Edit. Paris. pag. 98.

Hoc etiam anno, quinto Idus Majas Elisæi Prophetæ corpus Alexandriam delatum in Pauli Leprosi Monasterio reponitur. Sanavit ille Leprosum, alii lepram induit, & in æde a Leproso erecta reconditus est.

A οὖλον καὶ ὀλιγότριχον σχῆμα ἐπὶ τοῦ σωτῆρος οἰκειότερον ἐστί. τοῦ δὲ Γενναδίου τῇ νυκτὶ εὐχομένου ἐντὸς τοῦ θυσιαστηρίου ἰδεῖν λέγεται φάντασμα δαιμονίου, ὃ καὶ ἐπιτιμήσας ἤκουσεν αὐτοῦ κράζοντος, ὡς αὐτοῦ μὲν ζῶντος ἐνδίδωσι· μετὰ δὲ θάνατον αὐτοῦ κρατήσει πάντως τῆς ἐκκλησίας· ὅπερ δείσας Γεννάδιος, πολλὰ ὑπὲρ τούτου τὸν Θεὸν ἐδυσώπει.

Τῷ δ' αὐτῷ ἔτει καὶ Στούδιος τὸν ναὸν ἔκτισε τοῦ Προδρόμου, καὶ μοναχοὺς ἐκ τῆς μονῆς τῶν Ἀκοιμήτων ἐν αὐτῷ κατέστησε. καὶ Γρατίσιμος Πραιπόσιτος τὸν ναὸν τοῦ ἁγίου Κυριακοῦ ἔξω τῆς Χρυσῆς πόρτης ἔκτισε, καὶ ἀπετάξατο ἐν αὐτῷ.

B

Κόσμου ἔτη ͵εϡνϛ'.	Τῆς θείας σαρκ. ἔτη υνϛ'.	Ῥωμ. Βασιλ. Λέων ἔτη ιζ'.	Περσῶν βασιλ. Περόζης ἔτ. κδ'.	Ῥώμ. ἐπίσκ. Ἱλαρίων ἔτη ς'.	Κωνσ. ἐπίσκ. Γεννάδιος ἔτη ιγ'.	Ἱεροσ. ἐπίσκ. Ἰουβενάλιος ἔτη λς'.	Ἀλεξ. ἐπίσ. Τιμόθεος ἔτη ιε'.	Ἀντιοχείας ἐπίσκ. Μαρτύριος ἔτ. ιγ'.
		ζ'	ιβ'	α'	ς'	κα'	δ'	θ'

Hoc anno Zenoni Imperatori, ut socerum Verinam urbe ejiceret, Illus Magister consilium dedit: eamque dolosa quadam specie Chalcedonem missam, non diu post in Papurium castellum Marciano & Leontiæ convicturam amandavit. Illa vero litteris ab exilio revocari Ariadnam propriam filiam supplex rogavit: tum Imperatrix interpellabat Zenonem. Ille sic eam affatur. Illum Patricium pro matre deprecare. Illa accersitum ad se lachrymis emollire tentabat. Inflexus ille respondit. Alium a tuo conjuge Imperatorem fieri quæris. Tunc Ariadna furore succensa dixit Imperatori. Aut Illus in Palatio morari debet, aut ego? Ad hæc Imperator. Maneas mecum, jubeo: si quid vero potes in illum, exequere. Tum Illo parans insidias, ut quempiam

ad ejus cædem impelleret, Urbicium Cubicularium hortatur. Eo vero Circi cochleam ascendente, Scholarius quidam nomine Spanicius, ad facinus perpetrandum incitatus, in ejus caput gladium vibrat. Hunc attente conspicatus Magistri Spatharius brachio gladium excepit; ejus tamen acies extrema dextram Illi auriculam abscidit. Porro Zeno Magistro Illo facti hujus nullatenus se conscium suasurus, jussit Scholarium occidi: verior tamen causa fuit, quod proposito superior non evasisset. Posthac a vulnere salvus pileolum ad cutem semper gestabat. Petiitque ab Imperatore, ut sibi liceret in Orientem secedere, ut aerem mutaret, cum nimirum ex vulnere reliqua fuisset aliqua infirmitas. Imperator placatum eum omnino volens totius Orientis Præfectum eum creat, & instituendorum etiam Ducum potestatem amplissimam impertitur. Illus Leontio Patricio, genere Syro, viro alioqui litterarum disciplinis & bellandi arte æque præstantissimo, exercitus Thraciæ præfecto in comitatum ascito, una cum Mario atque Pamprempio Senatore, qui Magiæ delatus fuerat, magnisque viribus undequaque collectis, Antiochiam Syriæ urbem profectus, tyrannidem palam affectavit.

Edit. Paris. pag. 110.

A κελεύει Οὐρβικίῳ Κουβικουλαρίῳ προτρέψασθαί τινα τοῦ ἀνελεῖν αὐτόν. καὶ ἀνερχομένου αὐτοῦ εἰς τὸν κοχλίαν τοῦ ἱππικοῦ, Σχολάριος ὀνόματι Σπανίκιος ἐπιτραπεὶς κατὰ τῆς κεφαλῆς αὐτοῦ ἄγαγε τὸ ξίφος· προσεσχηκὼς δὲ τούτῳ ὁ Σπαθάριος τοῦ Μαγίστρου ἐδέξατο αὐτὸ εἰς τὸν βραχίονα αὐτοῦ· τὸ δὲ ἄκρον τοῦ ξίφους ἀπέτεμεν τὸ ὠτίον τοῦ Ἴλλου τὸ δεξιόν. τοῦτον δὲ Ζήνων ἀναιρεῖ, πείθων τὸν Μάγιστρον Ἴλλον μὴ συνεγνωκέναι τὸ γεγονός. τῇ δὲ ἀληθείᾳ ὅτι μὴ περιεγέγονε τοῦ σκοποῦ. ἰαθεὶς δὲ τὴν πληγὴν ἐφόρει καμαλαύκιον. καὶ ᾐτήσατο τὸν βασιλέα ἐπὶ τὴν ἀνατολὴν ἀπελθεῖν, διὰ τὸ τὸν ἀέρα ἀλλάξαι, ὅτι ἠσθένει ἐκ τῆς πληγῆς. ὁ δὲ βασιλεὺς θέλων αὐτὸν πληροφορῆσαι, ἐποίησεν αὐτὸν στρατηγὸν τῆς B ἑώας πάσης, δοὺς αὐτῷ ἐξουσίαν πᾶσαν, ὥστε καὶ Δοῦκας ποιεῖν. ὁ δὲ παραλαβὼν μεθ' ἑαυτοῦ Πατρίκιον Λεόντιον Σύρον τὸ γένος ἄριστον δὲ καὶ παιδείαν, καὶ πολέμων ἐμπειρίαν, ἡγεμόνα τε τῆς ἐν Θρᾴκῃ στρατιᾶς, καὶ σὺν αὐτῷ Μάρσον, καὶ Παμπρέπιον τὸν συγκλητικὸν, τὸν ἐπὶ μαγγανείᾳ διαβαλλόμενον, καὶ πλείστην ἁπλῶς περιβαλλόμενος δύναμιν, ἐν Ἀντιοχείᾳ ἐλθὼν, τῆς Συρίας, σαφῶς ἔδειξε τὴν τυραννίδα.

	Persarum rex Cabades annis 11.					Ant. Episc. alter Stephanus in fluvium Orontem projectus an. 1.
7	1	12	10	5	4	1

C

	Περσῶν βασιλ. Καβάδης ἔτη ια.					Ἀντ. ἐπίσκ. Στέφ. ἕτερος ὁ ῥιφεὶς εἰς τὸν Ὀρόντην ποταμὸν ἔτ. ἕν.
ζ	α	ιβ	ι	ε	δ	α

Hoc anno Stephano Antiochiæ Episcopo fatis functo, Stephanum alterum Zenonis Imperatoris jussu in ejus locum ordinaverunt: quem fidei perduelles, pro sua in Petrum Fullonem propensione, in amentiæ subsidium furorem armantes, in sancti Martyris Barlaam Baptisterio acutis calamis perfossum & necatum in Orientem fluvium projecerunt. Zeno porro facinus attentatum ulturus Acacio CP. Præsuli, ut Antiochiæ crearet Episcopum mandavit: qui consecravit Calandionem. Antiochenses ordinationis factæ nescii Joannem nomine Codonatum sibi præfecerunt Episcopum, quem Calandion postmodum in Tyri sedem, quæ post Antiochiam prima est, transtulit.

Hoc pariter anno Timotheus Salophaciolus obiit Alexandriæ, in cujus locum Joannes Tabennesiotes vir litterarum gnarus, & rectorum dogmatum strenuus propugnator, Presbyter, & Oeconomus Alexandrinorum Ecclesiæ fuit promotus. Illus autem Patricius Leontio reliquisque comitibus ad Papirii castellum profectus, Verinam Augustam ex custodia, Tarsum Ciliciæ eductam, extra urbis muros ad sanctum Petrum, ut Leontium Patricium Imperatorem coronaret, effecit. Scripsitque Domina Verina sacram ad Antiochenos Syros, ut Leontium Imperatorem susciperent, ac insuper ad omnes Orientis, Ægypti, atque Libyæ Præfectos Sacras etiam dedit, ut Leontium Imperatorem agnoscerent, nec ulla ratione contra obstarent.

pag. 111.

Τούτῳ τῷ ἔτει Στεφάνου τοῦ ἐπισκόπου Ἀντιοχείας κοιμηθέντος, Στέφανον ἕτερον ἀντ' αὐτοῦ ἐχειροτόνησαν κελεύσει τοῦ βασιλέως Ζήνωνος, ὃν οἱ ἐχθροὶ τῆς πίστεως τῇ πρὸς τὸν Γναφέα εὐνοίᾳ ἐν τῇ κολυμβήθρᾳ τοῦ ἁγίου μάρτυρος Βαρλαὰμ καλάμοις ἐξυσμένοις ἀποσφάξαντες, εἰς Ὀρόντην ποταμὸν ἔρριψαν, τῷ θυμῷ τὴν ἄνοιαν καθοπλίσαντες. D Ζήνων δὲ διὰ τὰ τολμηθέντα εἰς Στέφανον, ἐκέλευσε τὸν Ἀκάκιον τὸν ΚΠ. χειροτονῆσαι ἐπίσκοπον Ἀντιοχείας, καὶ ἐχειροτόνησε Καλανδίωνα. ἅπαν δὲ οἱ Ἀντιοχεῖς χειροτονήσαντες διὰ ἄγνοιαν Ἰωάννην τὸν λεγόμενον Κωδωνάτον, ὃν ὁ Καλανδίων εἰς Τύρον πρωτόθρονον Ἀντιοχείας μετενεθρονίασεν.

Τῷ δ' αὐτῷ ἔτει καὶ ἐν Ἀλεξανδρείᾳ Τιμόθεος ὁ Σαλοφακίαλος ἐτελεύτησε, καὶ ἐχειροτονήθη ὁ Ἰωάννας ὁ Ταβεννησιώτης, ἀνὴρ σοφὸς, καὶ τῶν ὀρθῶν δογμάτων ὑπέρμαχος, πρεσβύτερος ὢν, καὶ οἰκονόμος τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας. ὁ δὲ Πατρίκιος E Ἴλλος σὺν Λεοντίῳ, καὶ τοῖς λοιποῖς παραγίνεται εἰς τὸ Παπυρίου καστέλλιν, καὶ ἐξαγαγὼν Βερίναν Αὐγοῦσταν εἰς Ταρσὸν τῆς Κιλικίας, ἐποίησεν αὐτὴν στέψαι ἔξω τῆς πόλεως εἰς τὸν ἅγιον Πέτρον βασιλέα Λεόντιον τὸν Πατρίκιον. καὶ ἔγραψεν ἡ δέσποινα Βερίνα σάκραν τοῖς Ἀντιοχεῦσι Σύροις εἰς τὸ δέξασθαι τὸν Λεόντιον βασιλέα. καὶ πρὸς πάντας δὲ τοὺς τῆς ἀνατολῆς ἄρχοντας, καὶ τῆς Αἰγύπτου, καὶ τῆς Λιβύης ἐποίησε σάκρας, ὥστε δέξασθαι Λεόντιον βασιλέα, καὶ μὴ ἀντιστῆναι.

Τύ-

Τούτῳ τῷ ἔτει καταλαβόντων τῶν σακρῶν τῆς δεσποίνης Βηρίνης καὶ ἀναγνωσθεισῶν, ὧν ἡ περιοχὴ οὕτως. Βηρίνα Αὔγουστα τοῖς ἡμετέροις ἄρχουσι, καὶ φιλοχρίστοις λαοῖς χαίρειν. ἴστε ὅτι τὸ βασίλειον ἡμέτερόν ἐστι, καὶ ὅτι μετὰ τὴν ἀποβίωσιν τοῦ ἐμοῦ ἀνδρὸς Λέοντος προεχειρισάμεθα βασιλέα Τρασκαλισσαῖον, τὸν μετακληθέντα Ζήνωνα, ὥστε ὑπήκοον ἐπιβελτιωθῆναι. ὁρῶντες δὲ νῦν καὶ τὴν πολιτείαν κατόπιν φερομένην ἐκ τῆς αὐτοῦ ἀπληστίας· ἀναγκαῖον ἐλογισάμεθα βασιλέα ὑμῖν στέψαι Χριστιανὸν εὐσεβείᾳ, καὶ δικαιοσύνῃ κεκοσμημένον, ἵνα τά τε τῆς πολιτείας περισώσῃ πράγματα, καὶ τὸ πολεμικὸν ἡσύχως ἔχῃ. ἐστέψαμεν δὲ Λεόντιον τὸν εὐσεβέστατον βασιλέα Ῥωμαίων, ὃς πάντας ὑμᾶς προνοίας ἀξιώσει. οἱ δὲ ἀποδεξάμενοι εὐφήμησαν τὸν Λεόντιον βασιλέα.

Alex. Episc. Ioannes Tabennesiota annis 3.	Ant. Episc. Calandion an. 4
			8	2	13	11	6	1	1

Hoc anno Dominæ Verinæ Sacræ delatæ sunt, & palam lectæ: His autem verbis conceptæ fuerant. Verina Augusta Præfectis nostris, & Christum amantibus populis, Salutem. Imperium nostrum esse novistis, & post Leonis conjugis decessum Trascalissæum, qui postmodum Zeno nuncupatus est, Imperatorem renunciaveramus, Reipublicæ in meliorem statum revocandæ spem habentes: Nunc vero cum eam in deterius inclinare, & ob inexplebilem istius cupiditatem cadere cernamus, vobis Imperatorem Christianum, & pietate æque ac justitia ornatum coronare necessum duximus: ut Rempublicam salvam præstet, bellumque moderate atque prudenter administret. Leontium igitur piissimum Romanorum Imperatorem coronavimus, qui vos omnes cura sua atque providentia dignabitur. Illi Sacris acceptis Leontium Imperatorem faustis acclamationibus excepere.

		ϑʹ	γʹ	ιδʹ	ιβʹ	ζʹ	βʹ	βʹ

Τούτῳ τῷ ἔτει Ἰλλοῦς καὶ Λεόντιος Λογγῖνον ἀδελφὸν Ζήνωνος, καὶ τὴν μητέρα αὐτοῦ ἐκ τοῦ καστελλίου ἀπέλυσαν. Βηρίνη δὲ ἐκεῖ νοσήσασα ἐτελεύτησε, καὶ μετὰ χρόνους ἀνεκομίσθη εἰς τὸ Βυζάντιον ὑπὸ Ἀριάδνης.

		9	3	14	12	7	2	2

Hoc anno Illus & Leontius Longinum Zenonis fratrem, & ejus matrem castelli custodia liberarunt. Verina vero ibidem morbo correpta diem obiit: cujus corpus post aliquos annos Byzantium ab Ariadna delatum est.

Τούτῳ τῷ ἔτει εἰσῆλθεν ὁ Λεόντιος ἐν Ἀντιοχείᾳ ὡς βασιλεὺς μηνὶ Ἰουνίῳ ἰνδικ. ζ. καὶ προεβάλλετο Ὕπαρχον Πραιτωρίων Αἰλιανόν. καὶ ἐξελθὼν ἐπολέμησε Χαλκίδι πόλει αὐτοῦ· ὁ δὲ Ζήνων Ἰωάννην τὸν Σκύθην ἀπέστειλε κατὰ Ἰλλοῦ καὶ Λεοντίου μετὰ πλείστης δυνάμεως, κατά τε γῆν καὶ θάλασσαν. πολέμου δὲ συῤῥαγέντος σφοδροῦ, Ἰλλοῦς τε καὶ Λεόντιος ἡττηθέντες εἰς τὸ Παπούριον καστέλλιν προσέφυγον σὺν Παμπρεπίῳ Μαγίστρῳ γόητι λεγομένῳ εἶναι. τότε τὸν Τρωβουνδὸν τὸν ἀδελφὸν Ἰλλοῦ ἐπὶ συλλογὴν βαρβάρων ἀπιόντα Ἰωάννης συλλαβὼν ἀπέτεμεν. τοῦτο δὲ Ἰλλοῦς καὶ Λεόντιος ἐπὶ τέσσαρα ἔτη φρουρούμενοι ἀνέμενον, ἀπατώμενοι ὑπὸ Παμπρεπίου Μαγίστρου τοῦ γόητος. ὅθεν τὴν τούτου ἀναίρεσιν μαθόντες Παμπρέπιον ὡς ἀπατεῶνα ἀποτεμόντες τοῦ τείχους κατεκρήμνισαν.

Hoc anno Leontius tamquam Imperator Antiochiam ingressus est mense Junio, Indictione septima: & Lilianum Prætoriorum Præfectum instituit. Ex ea digressus Chalcidi patriæ civitati bellum intulit. Zeno vero Joannem Scytham cum ingentibus copiis terra marique Illum & Leontium oppugnaturum misit. *Edit. Paris. pag. 112.* Exin gravi certamine commisso Illus & Leontius cum Pamprempio Magistro, qui Præstigiator audiebat, in Papurium castellum fugam arripuere. Tum etiam Trobundum Illi fratrem Barbarorum copias collecturum abeuntem Joannes apprehendens capite damnavit. Illus & Leontius Pamprempii Magistri Præstigiatoris dolis seducti ad annum quartum obsidione cincti præstolabantur. Comperta tandem ejus cæde Pamprempium, ceu seductorem in frusta dissectum e muris præcipitem egerunt.

Τῷ δ' αὐτῷ ἔτει οἱ τοῦ Πέτρου τοῦ Μογγοῦ σπουδασταὶ διὰ χρημάτων καὶ φενακισμῶν ἔπεισαν Ζήνωνα ἐκβληθῆναι Ἰωάννην ἐπίσκοπον Ἀλεξανδρείας τὸν Ταβεννησιώτην, ὡς παρὰ γνώμην αὐτοῦ χειροτονηθέντα, καὶ Πέτρον τὸν Μογγὸν πάλιν εἰς Ἀλεξάνδρειαν ἀπὸ Εὐχαΐτων ὑποστρέψαι. τότε καὶ ἑνωτικὸν ἐποίησε Ζήνων, καὶ πανταχοῦ ἐξέ-

Theophanis Chron.

Hoc etiam anno partium Petri Mongi studiosi largitionibus atque imposturis Zenoni, ut Joannem Tabennesiotam Episcopum, quasi præter ejus mentem consecratum, expelleret Alexandria, Petrum vero Mongum ab Euchaitarum locis Alexandriam revocaret, suaserunt. Tum vero Henoticon, pacis nimirum sanctionem, ab Acacio CP. prout affirmant nonnulli, dictatum, Zeno tulit.

& per omnes provincias promulgavit. Mongum vero, priusquam rediret Alexandriam, cum Simplicio Romano Pontifice, & Acacio jussit Zeno communionem habere. Hinc, ut Mongum acciperent, ejicerent autem Joannem, Acacius ad Alexandrinos scripsit. Joannes Petri adventu comperto, Clero licet & populo, pro eo animas ponere paratis, ac ne discederet deprecantibus, mala quæ Petrus foret commissurus secum reputans, prudenter & citra tumultum urbe dilapsus est.

Anni mundi 5973.	Divinæ Incarn. 473.	Rom. Imp. Zeno annis 17.	Persarum rex Cabades annis 11.	Romæ Episcopus Felix annis 9.	Constant. Episc. Acacius annis 17.	Hierosol. Episc. Anastasius annis 18	Alexander Episc. Petrus Mongus an. 6.	Antioc. Episc. Calendion an. 4.
		11	6	2	14	9	1	4

Hoc anno Theuderichus Valameris filius, cujus nomen, ceu fortis & prudentis, & a bonis litteris non alieni, tum apud Barbaros, tum apud Romanos celeberrimum (Byzantii enim quandoque fuerat moratus obses, & optimos quosque præceptores frequentaverat, patre nimirum Valamere post Attilæ filios in Gotthicam gentem Leonis temporibus imperium exercente) e Thracia Byzantium accersitus, Consulque renunciatus, & Thraciæ Præfectura donatus, cum Joanne Scytha adversus Illum a Zenone missus est. Illo vero Leontioque stricta obsidione in Papurio Castello pressis, Joanne qui bellum urgeret relicto, ipse rediit ad Zenonem: subindeque in Thraciam digressus, & castrametatus, Byzantium occupare molitur: unde postmodum sola Urbis, ut ajunt, miseratione motus, remeat in Thraciam: & a Zenone compulsus, in Italiam proficiscitur; ubi Odoacro ingenti clade profligato, regis insignia Ravennæ tandem induit. Sed & plerosque alios Barbaros devicit, & armis tantum adversus Vandalos non motis, quietem agere & in multis subjectos effecit. Gizericho vero jam vita functo, priusquam ipse Romam appelleret, Urbe tandem totoque simul Occidente potitus est.

Edit Paris. pag. 113.

								Ant. Episc. Petrus Fullo secundo annis 3.
		12	6	3	15	10	2	1

Hoc anno Orientis Episcopi cum Acacio per litteras conquesti sunt, quod Mongo communionis consortium impertiisset. Ille spretis eorum monitis, Mongum eumdem in communionem admittere impudentissime compulit cunctos. Cives autem urbium Reginæ cunctique simul Orientales Felicem, qui post Simplicii obitum Romanam sedem tenebat, supplices adierunt, & malorum omnium auctorem incusaverunt Acacium. Interea Joannes Alexandriæ Præsul hæc eadem denuncians Romam ingreditur. Felix itaque Synodo in Coryphæi Apostolorum Petri templo coacta, duos Episcopos & una Defensorem Constantinopolim ablegat, Zenonique & Acacio litteris signi-

A πεμψεν, ὑπὸ Ἀκακίου τοῦ ΚΠ. ὑπαγορευθὲν, ὥς φασί τινες. Πέτρῳ δὲ τῷ Μογγῷ πρὸ τῆς εἰς Ἀλεξάνδρειαν ἐπανόδου ἐκέλευσε Ζήνων κοινωνῆσαι Σιμπλικίῳ τῷ Ῥώμης καὶ Ἀκακίῳ. ὅς τις καὶ ἔγραψεν Ἀκάκιος τοῖς ἐν Ἀλεξανδρείᾳ δέξασθαι τὸν Μογγὸν, καὶ Ἰωάννην ἀποβάλλεσθαι. Ἰωάννης δὲ ἀκούσας τὴν Πέτρου παρουσίαν, τοῦ κλήρου σὺν τῷ λαῷ δεομένων αὐτῷ μὴ ἐξελθεῖν, ὡς ἑτοίμως ἐχόντων ὑπεραποθνήσκειν αὐτῷ. ὁ δὲ τὰ μέλλοντα τολμᾶσθαι Πέτρῳ ἐννοούμενος σοφῶς καὶ ἀταράχως ἐξῆλθεν.

B

Κόσμου ἔτη ͵εϡογ'.	Τῆς θείας σαρκ. υογ'.	Ῥωμ. Βασιλ. Ζήνων ἔτη ιζ'.	Περσῶν βασιλ. Καβάδης ἔτ. ια'.	Ῥωμ. ἐπίσκ. Φίληξ ἔτη θ'.	ΚΠ ἐπίσκ. Ἀκάκιος ἔτη ιζ'.	Ἱεροσ. ἐπίσκ. Ἀναστάσιος ἔτη ιη'.	Ἀλεξ. ἐπίσκ. Πέτρος ὁ Μογγὸς ἔτη ϛ'.	Ἀντιοχείας ἐπίσκ. Καλανδίων ἔτ. δ'.
		ια'	ϛ'	β'	ιδ'	θ'	α'	δ'

Τούτῳ τῷ ἔτει Θεοδέριχος ὁ Οὐαλάμερος, οὗ πολὺς ἐν βαρβάροις καὶ Ῥωμαίοις λόγος, ὡς ἀνδρείου τε καὶ συνετοῦ, καὶ οὐδὲ λόγων ἀμοίρου. κατὰ γὰρ Βυζάντιον ὁμηρεύσας ποτὲ τοῖς ἀρίστοις τῶν διδασκάλων ἐφοίτησε, τοῦ πατρὸς αὐτοῦ Οὐαλάμερος μετὰ τοὺς Ἀττιλᾶ παῖδας ἡγησαμένου τῶν Γότθων, C ἐπὶ τῆς Λέοντος βασιλείας. τοῦτον οὖν ὁ Ζήνων ἐκ Θρᾴκης μετακαλεσάμενος εἰς Βυζάντιον, καὶ Ὕπατον ἀναδείξας, καὶ Θρᾴκης ἡγεμόνα, μετὰ Ἰωάννου τοῦ Σκύθου κατὰ τοῦ Ἴλλου ἐξέπεμψεν· ὃς καὶ μετὰ τὸ ἀποκλεισθῆναι Ἴλλον καὶ Λεόντιον εἰς Παπυρίου καστέλλιον, καταλιπὼν Ἰωάννην πολιορκοῦντα αὐτοὺς, αὐτὸς πρὸς Ζήνωνα ἦλθε. καὶ ἐξελθὼν ἐν τῇ Θρᾴκῃ, καὶ στρατοπεδευσάμενος ἐπέρχεται τῷ Βυζαντίῳ καὶ μονηρεύσας τῆς περὶ τὴν πόλιν, ὥς φασι, κρατηθεὶς, ἐπανέρχεται εἰς τὴν Θρᾴκην, καὶ προτραπεὶς ὑπὸ Ζήνωνος κατέρχεται εἰς Ἰταλίαν. καὶ Ὀδοάκρου μάχῃ μεγάλῃ κρατήσας, τοῦ ῥηγὸς ἐν Ῥαβέννῃ περιτί-D θεται σχῆμα· ἐχειρώσατο δὲ καὶ ἄλλους πλείστους τῶν βαρβάρων, μάλιστα δὲ τοὺς Οὐανδήλους ὑπηγάγετο, μηδὲ ὅπλα κατ' αὐτῶν κινήσας. Γιζερίχου δὲ τελευτήσαντος ἤδη, πρὶν ἢ ἐκεῖνον ἐλθεῖν εἰς Ῥώμην, ἐκράτησε καὶ τῆς Ῥώμης, καὶ πάσης τῆς ἑσπερίου.

								Ἀντ. Πέτρος ὁ Γναφεὺς τὸ β' ἔτ. γ'.
		ιβ'	ϛ'.	γ'.	ιε'	ι	β	α'

E Τούτῳ τῷ ἔτει οἱ τῆς ἀνατολῆς ἐπίσκοποι ἔγραψαν Ἀκακίῳ μέμψεις, διὰ τὸ δέξασθαι τὸν Μογγὸν εἰς κοινωνίαν. ὁ δὲ μὴ προσχὼν αὐτοῖς, πάντας ἀναιδῶς κοινωνεῖν τῷ Μογγῷ κατηνάγκαζεν. οἱ δὲ τῆς βασιλείας καὶ τῆς ἑῴας ἐδεήθησαν Φίλικος μετὰ θάνατον Σιμπλικίου τοῦ Ῥώμης ἐπισκόπου, σημαίνοντες Ἀκάκιον εἶναι αἴτιον τῶν κακῶν. ἐν οἷς Ἰωάννης ὁ Ἀλεξανδρείας τὰ αὐτὰ λέγων τὴν Ῥώμην κατέλαβε. Φίληξ δὲ σύνοδον ἐν τῷ ναῷ τοῦ Κορυφαίου Ἀποστόλου Πέτρου ποιήσας, δύο ἐπισκόπους καὶ Ἔκδικον ἔπεμψεν ἐν Κωνσταντινουπόλει γράψας Ζήνωνι καὶ Ἀκα-

κίῳ ἐκβαλεῖν Πέτρον τὸν Μογγὸν, ὡς αἱρετικὸν, τῆς Ἀλεξανδρείας.

A ficat, ut Petrum Mongum, ceu Hæreticum Alexandria ejiciant.

			ιγ'	ζ'	δ'	ις'	ια'	γ'	β'

		13	7	4	16	11	3	2

Τούτῳ τῷ ἔτει τῶν ἀπὸ Ῥώμης πεμφθέντων, ἐν Ἀβύδῳ κρατηθέντων, γνώμῃ Ζήνωνος καὶ Ἀκακίου, καὶ τῶν γραμμάτων ἀφαιρεθέντων, καὶ ἐν φρουρᾷ βληθέντων, ἠπείλησε Ζήνων τούτους ἀνελεῖν, εἰ μὴ κοινωνήσωσιν Ἀκακίῳ, καὶ Πέτρῳ τῷ Μογγῷ.

Hoc anno Legatis Roma profectis, & apud Abydum Zenonis & Acacii consilio detentis, vi quoque ablatis eorum litteris, ipsisque in carcerem conjectis, eos, nisi cum Acacio & Petto Mongo communicent, interfecturum, Zeno comminatur.

Κόσμου ἔτη ͵εϡπ'.	Τῆς θείας σαρκ. υπ'.	Ῥωμ. βασιλ. Ζήνων ἔτη ιζ'.	Περσ. βασιλ. Καβάδης ἔτ. ιά.	Ῥωμ. ἐπίσκ. Φίλιξ ἔτη θ'.	ΚΠ. ἐπίσκ. Ἀκάκιος ἔτ. ιζ'.	Ἱεροσ. ἐπίσκ. Ἀναστάσιος ἔτ. ιή.	Ἀλεξ. ἐπίσκ. Πέτρος ὁ Μογγὸς ἔτ. δ'.	Ἀντ. ἐπίσκ. Πέτρος τ. γ'.
		ιδ'.	ή,	ε'	ιζ'	ιβ'.	δ'.	γ'

B

Anni mundi 5980.	Divinæ incarn. 480.	Rom. Imp. Zeno annis 17.	Persarum rex Cabades annis 12.	Romæ Epis. Felix annis 9.	Constant. Epis. Acacius annis 17.	Hierosol. Epis. Anastasius annis 18.	Alex. Episc. Petrus Mongus annis 4.	Antio. Episc. Petrus Fullo annis 3.
		14	8	5	17	12	4	3

Τούτῳ τῷ ἔτει Ἴλλος καὶ Λεόντιος μετὰ πολλοὺς τοὺς πολέμους ἐπὶ τέσσαρα ἔτη φρουρούμενοι ἐν τῷ Παπυρίῳ καστελλίῳ ἐχειρώθησαν προδοσίᾳ τοῦ ἀδελφοῦ τῆς γαμετῆς Σεκουνδίνου δόλῳ πεμφθέντος ὑπὸ Ζήνωνος. καὶ ἀπεκεφαλίσθησαν τῷ Ζήνωνι, καὶ εἰσηνέχθησαν εἰς κοντοὺς ἐν τῷ ἱππικῷ, κἀκεῖθεν ἐπάγησαν πέραν εἰς Συκαῖς εἰς θρίαμβον. ὁ δὲ Ζήνων τῇ βουλῇ Ἀκακίου τοὺς κατὰ τὴν ἑῴαν ἐπισκόπους ἐβιάζετο γράψαι τῷ ἑνωτικῷ, καὶ κοινωνῆσαι Πέτρῳ τῷ Μογγῷ· τοὺς δὲ Ἀποκρισιαρίους Φίλικος τῆς Ῥώμης μεταχειρισάμενος, καὶ χρήμασι δελεάσας, Ἀκακίῳ κοινωνῆσαι παρὰ τὰ ἐνταλθέντα αὐτοῖς ἔπεισε. καί τοι τῶν ὀρθοδόξων ἐκ τρίτου διαμαρτυρομένων αὐτοῖς· πρῶτον μὲν ἀγκίστρῳ περιθέντων σχοινίον, καὶ ἑνὸς αὐτῶν δημοσίᾳ ἐξαρτησάντων· δεύτερον δὲ τὴν βίβλον ἐνέβαλλον· καὶ τρίτον κοφίνῳ λαχάνων ἐνέθηκαν. Φίλιξ δὲ μαθὼν τὰ ὑπὸ τῶν Ἀποκρισιαρίων αὐτοῦ πραχθέντα, καθῄρει αὐτούς, γράψας Ἀκακίῳ καθαίρεσιν. ὁ δὲ ταύτην ἐπιφερόμενος, ἄνδρας τοὺς ἐν Ἀβύδῳ, κατέλαβε τὴν Δίου μονήν. οἱ δὲ τῆς Δίου μοναχοὶ τῇ κυριακῇ εἰς τὸ ἱερατεῖον ἐπέδωκαν Ἀκακίῳ τὴν ἐπιστολήν. οἱ δὲ περὶ Ἀκάκιον ἀνεῖλον τινὰς τῶν ἐπιδεδωκότων μοναχῶν. ἄλλους δὲ τιμωρήσαντες καθεῖρξαν. Ἀκάκιος δὲ ἀναισθήτως ἔσχε περὶ τὴν καθαίρεσιν, καὶ τὸ ὄνομα αὐτοῦ ἐξῆρε τῶν διπτύχων.

Hoc anno Illus & Leontius plurimis belli laboribus exantlatis, & obsidione perpetua in Papurio castello clausi fratris uxoris Procundi a Zenone in hunc finem missi proditione tandem capti sunt, & decollati: eorum vero capita ad Zenonem translata, contisque in Circo circumacta, atque inde trans portum oppido, cui Sicæ nomen, in ludibrii ostentationem affixa. Porro Zeno Acacii suggestionibus Orientales Episcopos Concor-C diæ sanctioni subscribere, & Petro Mongo communicare cogebat: sed & ipsos Felicis Romani Pontificis Apocrisiarios blanditiis delinitos & pecuniis inescatos præter mandatorum sibi impositorum fas in Petri communionem adduxit, omnibus Catholicarum partium in adversum contestantibus atque reclamantibus: & primo quidem hamum funiculis circumligantes uni ex illis publice appenderunt; secundo, librum immiserunt; tertio etiam olerum cophino imposuerunt. Felix vero cognitis Legatorum suorum gestis, Ecclesiæ dignitate dejecit, & adversus Acacium parem depositionis sententiam scripsit. Qui ipsam perferebat, eos qui D Abydi in insidiis locati fuerant, præterlapsus, ad Dii Monasterium appulit. Dienses autem Monachi Acacio in sactario stanti die Dominica Felicis epistolam tradidere. Acacii fautores quosdam ex Monachis, qui dederunt epistolam, necaverunt, alios suppliciis examinatos in carcerem detruserunt. Acacius absque animi motu depositionem excepit, & Felicis nomen e diptychis expunxit.

Edit. Paris. pag. 114.

		ιε'	θ'	ς'	ΚΠ. ἐπίσκ. Φραβίτας μῆνας γ'. μῆνας γ'.	ιγ'	ε'	γ'

E

		15	9	6	Cp. Episc. Phravitas men. fib. 3 mens. 3.	13	5	3

Τούτῳ τῷ ἔτει Καλανδίων ἐπίσκοπος Ἀντιοχείας ἤγαγεν τὸ λείψανον Εὐσταθίου τοῦ μεγάλου ἀπὸ Φιλίππων, ἔνθα καὶ ἐξόριστος ἐκοιμήθη ὁ ἅγιος. καὶ μετὰ πολλῆς τιμῆς ἀπὸ δώδεκα μιλίων ἡ πόλις Ἀντιοχέων ὑπήντησεν. οἱ δὲ ἀποσχίζοντες τῆς ἐκκλησίας διὰ τὸν ἅγιον ἑνώθησαν μετὰ ἑκατὸν ἔτη τῆς κοιμήσεως αὐτοῦ. Ἀκακίου δὲ τελευτήσαντος Φραυίτας τελειοῖ τῆς ἐπισκοπῆς ἀρατη-

Hoc anno Calandion Antiochenus Episcopus Eustathii magni reliquias Philippis, ubi sanctus exul objerat, transtulit; tota Antiochiæ civitate ad duodecimum milliare in occursum cum plurimo honore effusa: Qui vero sancti causa ab Ecclesia se resciderant, annis ab ejus obitu exactis centum, iterum ei se sociaverunt. Acacio defuncto Phravitas tres menses Episcopatu potitus Felici litteris

significat, se cum illo quidem communionem habere, cum Petro Mongo nullam. In adversum Mongo scribit, se cum illo communione conjungi, a Felice vero se penitus alienum. Felix porro de litteris ad Mongum prius datis ab Orthodoxis cum certior factus fuisset, Phravitæ Legatos cum Synodalibus litteris ad se advenientes minus honorifice tractatos dimisit. Phravita tandem mortuo Euthymius Presbyter, & pauperum in urbe Neapoli Curator CP. Episcopatum assecutus est. Is extemplo Petri Mongi nomen e sacris tabulis erasit manibus propriis, & Felicis Pontificis Romani reposuit: atque ita consedit in throno.

Edit. Paris. pag. 115.

σας, ἔγραψε Φίλικι, ὡς αὐτῷ μὲν κοινωνεῖ, Πέτρῳ δὲ τῷ Μογγῷ οὐ κοινωνεῖ· τῷ δὲ Μογγῷ ἔγραψεν, ὡς αὐτῷ μὲν κοινωνεῖ, Φίλικα δὲ Ῥώμης ἀποστρέφεται. Φίλιξ δὲ τὰ ἴσα τὰ πρὸς τὸν Μογγὸν πεμφθέντα ἐδέξατο παρὰ τῶν ὀρθοδόξων προλαβόντα, καὶ φθασάντων τῶν Ἀποκρισιαρίων Φραυίτα μετὰ τῶν συνοδικῶν ἀτίμως τούτους ὁ Φίλιξ ἀπέπεμψε. τοῦ δὲ Φραυίτα τελευτήσαντος Εὐθύμιος πρεσβύτερος, καὶ πτωχοτρόφος Νεαπόλεως τὴν ἐπισκοπὴν ΚΠ. ἐκράτησε, καὶ εὐθέως ἰδίαις χερσὶ τὸ ὄνομα τοῦ Μογγοῦ τῶν διπτύχων ἀπήλειψε· καὶ οὕτως ἐκάθισεν εἰς τὸν θρόνον, καὶ τὸ τοῦ Φίλικος Ῥώμης ἔταξεν.

Anni mundi 5981.	Divinæ Incarn. 483.	Rom. Imp. Zeno annis 17.	Persarum rex Cabades annis 11.	Romæ Epis. Felix annis 9.	Constant. Epis. Euphemius annis 7.	Hierosol. Epis. Anastasius annis 18.	Alexand. Episc. Petrus Mongus annis 6	Antioc. Epis. Palladius annis 10.
		16	11	7	1	14	6	1

Κόσμου ἔτη ,εϡπα'.	Τῆς θείας σαρκ. ἔτη υπγ'.	Ῥωμ. βασ. Ζήνων ἔτ. ιζ'.	Περσῶν βασ. Καβάδης ἔτ. ια'.	Ῥώμ. ἐπίσκοπος Φίλιξ ἔτη θ'.	Κωνστ. ἐπίσκ. Εὐφήμιος ἔτ. ζ'.	Ἱεροσολ. ἐπίσκ. Ἀναστάσιος ἔτη ιη'.	Ἀλεξ. ἐπίσκ. Πέτρος ὁ Μογγὸς ἔτη ϛ'.	Ἀντ. ἐπίσκ. Παλλάδιος ἔτ. ι'.
		ιϛ'.	ι'	ζ'	α'	ιδ'	ϛ'	α'

Hoc anno Petrus Mongus Alexandriæ decessit e vivis: & Athanasius cognomine Celites, in ejus locum promotus est. Imperator autem Zeno a tyrannis se opprimentibus liber Calandionem Antiochensium Ecclesia expulit, & Oasim relegavit, atque Petrum Fullonem in sedem restituit: Nestorem autem Romanum Chalcedonis, Eusebium Samosatensium, Julianum Mopsuestiæ, Paulum Constantinæ, Manum Hemeriæ, & Andream Theodosiopoleos Præsules, specie quidem collati in tyrannos favoris, sed re vera concordiæ sanctionis ab eis rejectæ causa dignitate moveri jussit. Petrus autem Fullo Antiochiam ingressus, multa nefanda perpetravit, ut puta Synodi execrationes, Episcoporum abrogationes, novorum intrusiones, ordinationes illegitimas, & his similia. In primis autem Ter sancto hymno addidit: Rex Christe qui pro nobis crucifixus es. Reversus idem sustulit verba; Rex Christe. Xenaias porro Satanæ mancipium Domini Sanctorumque imagines proscribendas & amoliendas docebat. Erat is genere Persa, fortuna servus, & a proprio domino sub Calandione profugiens vicos Antiochiæ viciniores, nondum baptismi lavacro expiatus, Clericum se fingens, a vero fidei sensu deturbabat. Et Calandion quidem eatenus exterminaverat: Petrus autem Fullo Hierapoleos Episcopum consecratum, appellaverat Philoxenum: eumdemque demum baptismo nondum initiatum comperiens, ejus Ordinationem baptismum defectum supplere sanxit. Cæterum rectæ fidei propugnator Euthymius Anastasium Silentiarium, qui deinde imperium est adeptus, velut Hæreticum & Eutychis sectatorem, ac plerasque molestias Ecclesiæ inferentem, etiam eversa ejus in Ecclesiæ cœtu Sella, templi liminibus extorrem fecit, minatus insuper, ni quantocyus desisteret, ejus caput se rasurum, & in plebem traducturum. Ille querelas ad Imperatorem detulit: & adversus Patriarcham litem evicit. In his Zeno Marianum litteratissimum Comitem interrogat (erat is quippe secretorum præscius, & futura vaticinabatur) Quis post me imperabit? Respondet ille. Ex Silentiariis unus uxorem & imperium excipiet. Hunc Patricium licet ac doctrina præstantem, virumque

pag. 116.

Τούτῳ τῷ ἔτει Πέτρος ὁ Μογγὸς ἀπέθανεν ἐν Ἀλεξανδρείᾳ, καὶ Ἀθανάσιος ἀντ' αὐτοῦ ἐχειροτονήθη, ὁ ἐπίκλην Κηλίτης. Ζήνων δὲ ὁ βασιλεὺς ἀνεθεὶς τῶν τυράννων, ἐξέβαλε τῆς ἐκκλησίας Ἀντιοχέων Καλανδίωνα, καὶ ἐξώρισεν εἰς Ὄασιν, Πέτρον δὲ τὸν Γναφέα κατέστησε, Νέστορα δὲ Ῥωμανὸν Χαλκηδόνος, Εὐσέβιον Σαμοσάτων, Ἰουλιανὸν Μοψουεστίας, Παῦλον Κωνσταντίνης, Μανὸν Ἡμερίας, καὶ Ἀνδρέαν Θεοδοσιουπόλεως, προφάσει μὲν τῆς πρὸς τοὺς τυράννους εὐνοίας, τῇ δὲ ἀληθείᾳ διὰ τὸ Ἑνωτικὸν Ζήνωνος. Πέτρος δὲ ὁ Γναφεὺς εἰσελθὼν εἰς Ἀντιόχειαν πολλὰ κακὰ πέπραχεν, ἀναθεματισμοὺς τῆς συνόδου, καὶ ἐκβολὰς ἐπισκόπων, ἐπιλήπτων ἀντεισαγωγάς τε, καὶ χειροτονίας ἀθέσμους, καὶ τὰ τούτοις ὅμοια. πρότερον δὲ τῷ Τρισαγίῳ προσέθηκε, Χριστὲ βασιλεῦ, ὁ σταυρωθεὶς δι' ἡμᾶς. Πέτρος δὲ πάλιν ἐλθὼν, περιεῖλε τὸ, Χριστὲ βασιλεῦ. Ξεναΐας δὲ ὁ δοῦλος τοῦ Σατανᾶ τὴν δεσποτικὴν εἰκόνα καὶ τῶν ἁγίων ἐδίδασκε μὴ δέχεσθαι. Πέρσης μὲν γὰρ ἦν τῷ γένει, δοῦλος δὲ τὴν τύχην, φυγὼν τε ἰδίου δεσπότου, ἐπὶ Καλανδίωνος τὰς περὶ Ἀντιόχειαν κώμας ἀνέστατο ἀπὸ τῆς πίστεως, ἀβάπτιστος ὢν, καὶ κληρικὸν αὐτὸν λέγων. τοῦτον Καλανδίων ἀπήλασε. Πέτρος δὲ ὁ Γναφεὺς ἐπίσκοπον Ἱεραπόλεως αὐτὸν χειροτονήσας, Φιλόξενον μετωνόμασε. μαθὼν δὲ ὕστερον ἀβάπτιστον αὐτὸν εἶναι, ἀρκεῖν αὐτῷ τὴν χειροτονίαν ἀντὶ βαπτίσματος ἔφησεν. Εὐθύμιος δὲ ὁ ὀρθοδοξότατος Ἀναστάσιον τὸν Σιλεντιάριον τὸν κακῶς μετὰ ταῦτα βασιλεύσαντα τῆς ἐκκλησίας ἐδίωκεν, ὡς αἱρετικὸν καὶ ὁμόφρονα Εὐτυχοῦς ἐνοχλοποιοῦντα ὁρῶν, τὴν ἐν τῇ ἐκκλησίᾳ καθέδραν αὐτοῦ ἀνέστρεψεν, ἀπειλήσας αὐτῷ, ὡς, εἰ μὴ παύσοιτο, ἀποκεῖραι τὴν κεφαλὴν αὐτοῦ, καὶ τοῖς ὄχλοις αὐτὸν θριαμβεῦσαι. ἐκάλεσε δὲ καὶ Ζήνωνα, καὶ τὴν κατ' αὐτοῦ ἐξουσίαν ἔλαβεν. Ζήνων δὲ ἠρώτησε Μαριανὸν τὸν σοφώτατον Κόμητα (ἦν γὰρ μυστικά τινα προειδὼς, καὶ προέλεγεν αὐτῷ) ὅτι, τίς μετ' ἐμὲ βασιλεύσει; ὁ δὲ εἶπεν αὐτῷ. ὅτι καὶ τὴν βασιλείαν σου, καὶ τὴν γυναῖκά σου διαδέχεταί τις ἀπὸ Σιλεντιαρίων. Πατρίκιον δὲ γενόμενον, ἄνδρα σοφὸν, καὶ

A δὶ εὐσεβῆ, καὶ συνετὸν, καὶ ἐνάρετον, ὃν δημεύσας ἀδίκως, καὶ εἰς φρουρὰν ἐμβαλὼν, ὑπὸ τῶν φυλαττόντων Ἐξκουβιτώρων ἀναιρεθῆναι προσέταξε. τούτου δὲ γενομένου ἀκούσας ὁ Ὕπαρχος Ἀρκάδιος ἐλοιδόρησε τὸν βασιλέα· καὶ ἀκούσας ὁ βασιλεὺς, ἐκέλευσεν αὐτὸν εἰσερχόμενον εἰς τὸ παλάτιον σφαγῆναι· ὁ δὲ Ὕπαρχος μαθὼν τοῦτο, προσέφυγε τῇ ἐκκλησίᾳ, καὶ ἐρρύσθη τοῦ πικροῦ θανάτου. τὸν δὲ οἶκον αὐτοῦ ἐδήμευσεν.

A pietate, prudentia, morumque probitate conspicuum proscripsit injuste, ac demum in custodiam conjectum ab Excubitoribus, qui ipsum asservabant, interfici jussit. Quo percepto, Præfectus Arcadius convitia in Imperatorem misit; quibus ille perceptis, accedentem in Palatium mandavit occidi. Præfectus latam in caput sententiam resciens, & in Ecclesiæ præsidium se recipiens, misera nece liberatus est: domum tamen ejus publicavit Imperator.

Κόσμου ἔτη ,εϡπε'.	Τῆς θείας σαρκ. ἔτη υπε'.	Ῥωμ. Βασιλ. Ζήνων ἔτη ιζ'.	Περσῶν βασιλ. Καβάδης ἔτη ιη'.	Ῥωμ. ἐπίσκ. Φίλιξ ἔτη θ'.	ΚΠ. ἐπίσκ. Εὐθύμιος ἔτη ζ'.	Ἱεροσ. ἐπίσκ. Ἀναστάσιος ἔτη ια'.	Ἀλεξ. ἐπίσ. Ἀθανάσιος ἔτη ζ'.	Ἀντιοχείας ἐπίσκ. Παλλάδιος ἔτη ι'.
		ζ'	ια'	ϛ'	β'	ια	α'	β'

B

Anni mundi 5985.	Divinæ incarn. 485.	Rom. Imp. Zeno annis 17.	Persarum rex Cabades annis 18.	Romæ Epis. Felix annis 9.	Constant. Epis. Euthymius annis 7.	Hierosol. Epis. Anastasius annis 11.	Alex. Episc. Athanasius annis 7.	Antio. Episc. Palladius annis 10.
		17	11	8	2	15	1	2

Τούτῳ τῷ ἔτει τὰ συνοδικὰ Εὐφημίου Φίλιξ ἀπεδέξατο, καὶ ὡς ὀρθοδόξῳ αὐτῷ προσετέθη. ἐπίσκοπον δὲ αὐτὸν οὐκ ἐδέξατο, διὰ τὸ μὴ ἐκβαλεῖν τὸ ὄνομα Ἀκακίου ἐκ τῶν διπτύχων, καὶ τοῦ μετ' αὐτὸν Φραυίτα.

Τούτῳ δ' αὐτῷ ἔτει Πέτρος ὁ Γναφεὺς τέθνηκε, καὶ προεβλήθη ἐπίσκοπος Παλλάδιος πρεσβύτερος τῆς ἐν Σελευκείᾳ ἐκκλησίας τῆς ἁγίας πρωτομάρτυρος Θέκλης. συνεψηφίσθη δὲ Παλλαδίῳ, καὶ Ἰωάννης ὁ Κωνσταντίνου, καὶ Ἀναστάσιος ὁ Σιλεντιάριος ὁ κακῶς βασιλεύσας. ὁ δὲ Ζήνων ἐπαρθεὶς τῇ τῶν τυράννων ἀναιρέσει πρὸς δημεύσεις καὶ φόνους ἀδίκους χωρεῖ, καὶ πάντα ἄνθρωπον αἰτιώμενος, ὡς ἐκείνοις ἢ συμμαχήσαντα, ἢ συμβουλεύσαντα τὴν ἐπίθεσιν. ἀναιρεῖ δὲ καὶ Κότταιν ἀλόγως, τὸν ἅμα Ἰωάννῃ τῷ Σκύθῃ πολιορκίᾳ περιγενόμενον Ἴλλου καὶ Λεοντίου, καὶ τὸν θαυμαστὸν περὶ ποίησιν ἐπῶν ἀξιόλογον Πελάγιον τὸν Πατρίκιον, ὡς φρόνιμον καὶ δίκαιον· καὶ ἐπὶ τούτοις τελευτᾷ Ζήνων ἐπιληψίᾳ κατασχεθεὶς, καὶ ἐπὶ στόματος φέρων ἀπαύστως τὴν Πελαγίου προσηγορίαν τοῦ παρ' αὐτοῦ φονευθέντος ἀδίκως· παῖδα μὲν μὴ καταλιπὼν, Λογγῖνον δὲ τὸν ἀδελφὸν αὐτοῦ δὶς ὑπατεύσαντα, καὶ τῆς συγκλήτου βουλῆς πάσης ἡγούμενον. ἀνόητον δὲ, καὶ βαρὺν, καὶ ἀκόλαστον ὄντα, ὡς καὶ πολλοὺς Ἰσαύρους ἐν Βυζαντίῳ ἔχων, καὶ τὸν Λογγῖνον τὸν Μάγιστρον ὄντα, καὶ φίλον αὐτοῦ, καὶ τούτοις θαρρήσας ἀπονητὶ τὴν βασιλείαν ἔχειν ᾤετο. τῆς δὲ Ἀρεάδνης, καὶ τῆς συγκλήτου βουλῆς, καὶ τοῦ στρατεύματος παντὸς Ἀναστάσιον τὸν Σιλεντιάριον ἀναγορευσάντων βασιλέα, τῆς ἐλπίδος ὁ Λογγῖνος ἠστόχησε. βασιλεύσας οὖν ὁ Ἀναστάσιος ἔγγραφον ἀπῃτήθη ὁμολογίαν παρὰ Εὐφημίου τοῦ Πατριάρχου πρὸς τὸ μὴ σαλεῦσαί τι τῆς ἐκκλησίας, καὶ πίστεως, ἀνάξιον αὐτὸς ἀποκαλῶν τῆς τῶν Χριστιανῶν βασιλείας. βιαζομένη δὲ αὐτὸν τῆς βασιλίδος Ἀρεάδνης, καὶ τῆς συγκλήτου, ἔλαβεν αὐτοῦ τὸ ἰδιόχειρον, πῶς ἀποδέχεται εἰς ὅρον πίστεως τὰ δόγματα τῆς ἐν Χαλκηδόνι συνόδου. καὶ ὑπὸ στεφθεὶς ὑπ' αὐτοῦ, Ἀρεάδνην ἄγεται εἰς γάμον οὔπω πρότερον γαμετῇ συνοικήσας. Μανιχαῖοι δὲ καὶ Ἀρειανοὶ ἔχαιρον ἐπὶ Ἀναστασίῳ. Μανιχαῖοι μὲν ὡς τῆς μητρὸς τοῦ βασιλέως ζηλωτρίας οὔσης καὶ προσφιλοῦς αὐτῶν. Ἀρειανοὶ δὲ ὡς Κλέαρχον τὸν θεῖον αὐτοῦ ἀδελ-

Hoc anno Synodales Euphemii litteras Felix accepit, & ut Catholico communionis impertiit consortium: haud tamen Episcopum agnovit, quod Acacii, quique in Episcopatu successerat, Phravitæ nomen e tabulis Ecclesiasticis non expunxerit.

Hoc eodem anno Petrus Fullo interiit: & Palladius sanctæ Protomartyris Theclæ Ecclesiæ, quæ est in Seleucia, Presbyter promotus est Episcopus. Cum Palladio etiam electi sunt Joannes Constantini & Anastasius Silentiarius, qui postmodum pessime imperavit. Porro

C Zeno tyrannorum prosperis cædibus elatus, ad proscriptiones & injusta homicidia transfertur, & singulos quosque homines, vel quasi prius opitulatos, vel ad imperium invadendum suggessisse consilium criminatur. Cottain etiam Joannis Scythæ armorum socium, & Illi Leontiique ab eis obsessorum victorem, virum in edendis carminibus præcipuum & admiratione dignum, Pelagiumque Patricium prudentia & æquitate celebrem injuste interficit. In his Zeno morbo comitiali correptus, Pelagii contra fas & æquum occisi nomen assidue repetens moritur: Filium quidem nullum, fratrem vero Longinum post se reliquit bis Consulatu functum, Senatus Principem declaratum, amentem sane, cunctis invisum & luxui

D plane deditum: qui cum Isaurorum multitudinem Byzantii sibi adjunctam haberet, & Longinum Magistrum amicitia sibi devinxisset, eorum ope confisus, absque labore imperium consequi posse putabat. Ariadna porro, totoque Senatu & exercitu Anastasium Silentiarium Imperatorem proclamantibus, spe Longinus excidit. Anastasius itaque potitus imperio pactionem scripto firmatam, qua circa fidem & Ecclesiam se nihil innovaturum promitteret, ab Euphemio Patriarcha Christianorum imperio indignum palam publicante exposcitur. Ariadna Imperatrice Senatuque ad exhibenda postulata impellentibus, chartam propria manu subscriptam, qua velut fidei normam Chalcedonensis

E Synodi decreta se acceptare profiteretur, ab eo traditam accepit Euphemius. Exin ab eo coronatus, Ariadnam in uxorem, erat quippe cœlebs, ducit. Sane Manichæi & Ariani de Anastasii promotione sibi gratulabantur: Manichæi quidem, quod Imperatoris mater eorum partibus amice afficeretur; Ariani vero, quod Clearchum ejus avunculum, matrisque prave sentientis fratrem suum, omnino

Edit. Paris. pag. 117.

possiderent. Cæterum annus quo Zeno mortuus est, & Anastasius imperare cœpit ab Adamo 5999. apud Romanos, numeratur, qui juxta diligentiorem & veriorem Alexandrinorum calculum 5983. a Diocletiani imperio 207. a divina Incarnatione 483. Indictione 14. notatur. Coronatus est Anastasius præfata Indictione 14. mensis Aprilis 14. magna Paschalis solemnitatis feria quinta, in Circi sedili.

Anni mundi 5984.	Divinæ Incarn. 484.	Rom. Imp. Anastasius annis 27.	Persarum rex Persa mas-phus annis 4.	Romæ Episc. Felix annis 9.	Constant. Episc. Euphemius annis 7.	Hierosol. Episc. Anastasius annis 18.	Alexand. Episc. Athanasius annis 9	Antioc. Episc. Palladius annis 10.
		1	2	9	3	16	9	1

Hoc anno cum Anastasius Dirrhachiensis Dicorus imperaret, Longini Zenonis fratris seditionem & insidias perpessus est: eumque mox in potestatem accipiens, Alexandriam Ægypti mittit exulem, & Presbyterum jubet ordinari. Ille septennio Alexandriæ superstes mortem obiit. Imperator vero Longinum Magistrum & advenas Isauros habens suspectos, Magisterium Longino abrogavit. Tum autem Petrus Fullo ab exilio Antiochiam propriam sedem revocari deprecabatur, quem ut postliminio rediret, non tamen Antiochiam ingrederetur, Imperator permisit; Palladium etenim Antiochiæ Præsulem ordinari præcepit. Hinc Euphemius CP. Præsul, coactis, qui tum in Urbe versabantur, Episcopis, sanctam Chalcedonensem Synodum confirmavit. Joannes vero Tabennesiota Romæ degens, Anastasium imperare, & Byzantium audiens occupare, gratam beneficiorum vicissitudinem ab eo, quod olim Alexandriæ summam in eum exercuisset humanitatem, quem etiam nudum naufragio exceperat, adeoque benigne foverat, ut miseriarum reddidisset immemorem, ad eum proficisci decrevit. Anastasius virum audiens accedere, ingenti prorsus ingrati animi vitio jussit exulem agi, nec solo conspectu dignatus excipere. Joannes re præscita, Romam fugiens saluti consuluit.

Edit. Paris. pag. 118.

				Romæ Episc. Gelasius annis 5.				
		2	3	1	4	17	3	4

Hoc anno Anastasius Imperator Isauros CP. commorantes ob pleraque fœda ab illis admissa flagitia Urbe ejecit: qui post discessum tyrannidem excitare sunt moliti. Longinus vero Exmagister, istis cum ingenti Barbarorum ac prædonum multitudine ad centum & quinquaginta millia collectis, & armorum atque pecuniarum, quas Zeno in Isauria reposuerat copiis fretus, in Isaurorum provinciam contendit, vel ipso Imperatore profectionem permittente, vel certe invasionem suspicante. Confestim Longinus rebellionem exequitur, & in Phrygiam usque & Cotyæum cuncta occupat loca, civitatesque plurimas devastat, Ducem licet exercitus non se gereret: Ninilingis enim Isauriæ Præfectus a Zenone olim consti-

φὸν τῆς κακόφρονος μητρὸς ὁμόδοξον ἔχοντες. τούτῳ δὲ τῷ ἔτει ἐν ᾧ Ζήνων τέθνηκε, καὶ Ἀναστάσιος ἐβασίλευσεν· ἀπὸ Ἀδὰμ μὲν κατὰ Ῥωμαίους ͵εϡϟθ΄. κατὰ δὲ τὴν ἀκριβῆ, καὶ ἀληθινὴν ψῆφον Ἀλεξανδρέων ͵εϡπγ΄. ἀπὸ δὲ τῆς ἀρχῆς Διοκλητιανοῦ σζ΄. τῆς θείας σαρκώσεως υπγ΄. ἰνδικ. ιδ΄. ἐστέφθη δὲ Ἀναστάσιος τῇ προγεγραμμένῃ ιδ΄. ἰνδικτ. μηνὶ Ἀπριλ. ιδ΄. ἡμέρᾳ πέμπτῃ τῇ μεγάλῃ τοῦ Πάσχα ἐν τῷ καθίσματι τοῦ ἱπποδρομίου.

Κόσμου ἔτη ͵εϡπδ΄.	Τῆς θείας σαρ. υπδ΄.	Ῥωμ. βασ. Ἀναστάσιος ἔτ. κζ΄.	Περσῶν βασ. Πεξαμασφὸς ἔτ. δ΄.	Ῥώμ. ἐπίσκοπος Φήλιξ ἔτη θ΄.	Κωνσ. ἐπίσκ. Εὐφήμιος ἔτ. ζ΄.	Ἱεροσο. ἐπίσκ. Ἀναστάσιος ἔτη ιη΄.	Ἀλεξ. ἐπίσκ. Ἀθανάσιος ἔτη ζ΄.	Ἀντ. ἐπίσκ. Παλλάδιος ἔτ. ι΄.
		α΄.	α΄	θ΄	γ΄	ις΄	β΄	γ΄

Τούτῳ τῷ ἔτει βασιλεύσαντος Ἀναστασίου τοῦ Διῤῥαχιτιανοῦ τοῦ Δικόρου ἐστασίασε κατ᾽ αὐτοῦ ὁ Λογγῖνος ὁ Ζήνωνος ἀδελφὸς, ὃν χειρωσάμενος ἐπ᾽ Αἴγυπτον πέμπει ἐξόριστον ἐν Ἀλεξανδρείᾳ, καὶ ἐκέλευσε χειροτονηθῆναι αὐτὸν πρεσβύτερον. ἑπταετίαν δὲ ἐπιβιοὺς ἐν Ἀλεξανδρείᾳ, ἐτελεύτησεν. ὑποψίαν δὲ ἔχων καὶ περὶ Λογγῖνον τὸν Μάγιστρον ὁ βασιλεὺς, καὶ τοὺς ἐπιδημοῦντας Ἰσαύρους, παύει τὸν Λογγῖνον τοῦ Μαγίστρου. Πέτρου δὲ τοῦ Γναφέως ἐν Ἀντιοχείᾳ ἐκ τῆς ἐξορίας ἐπανελθεῖν εἰς τὸν ἴδιον θρόνον δυσωποῦντος, ὁ βασιλεὺς τῆς ἐξορίας μὲν ἀνεκαλέσατο, εἰς Ἀντιόχειαν δὲ ἀπελθεῖν οὐκ ἀπεδέξατο, Παλλάδιον δὲ χειροτονηθῆναι ἐν Ἀντιοχείᾳ ἐποίησεν. Εὐφήμιος δὲ ὁ ΚΠ. συναγαγὼν τοὺς ἐνδημοῦντας ἐπισκόπους τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἐκύρωσεν. Ἰωάννης δὲ ὁ Ταβεννησιώτης ἐν Ῥώμῃ ὢν, ἀκούσας ὅτι ὁ Ἀναστάσιος ἐβασίλευσε, καὶ ἦλθεν εἰς τὸ Βυζάντιον, ἀγαθὰς ἀμοιβὰς ἐλπίζων παρ᾽ αὐτοῦ, ἀνθ᾽ ὧν ἦν ἐν Ἀλεξανδρείᾳ πεποιηκὼς αὐτῷ οἰκονομίαν, ὃν καὶ γυμνὸν ἀπὸ ναυαγίου δεξάμενος, καὶ συγκροτήσας οὕτως, ὡς ἀναίσθητον αὐτὸν ποιῆσαι τῆς συμφορᾶς. Ἀναστάσιος δὲ ἀκούσας ὅτι παρεγένετο, ἀγνωμοσύνῃ πολλῇ τοῦτον ἐξορισθῆναι προσέταξε, μηδ᾽ ὅλως αὐτὸν δεξάμενος. Ἰωάννης δὲ τοῦτο προγνοὺς, ἐπὶ Ῥώμην φυγὼν διεσώθη.

				Ῥωμ. ἐπίσκ. Γελάσιος ἔτη ε΄				
		β΄	β΄	α	δ΄	ιζ	γ΄.	δ΄

Τούτῳ τῷ ἔτει Ἀναστάσιος ὁ βασιλεὺς τοὺς ἐν ΚΠ. Ἰσαύρους διὰ πολλὰς ἀτοπίας ἐδίωξεν, οἳ ἐξελθόντες τυραννίδα ἐμελέτησαν. Λογγῖνος δὲ ὁ ἀπὸ Μαγίστρων συλλαβὼν τούτους τε, καὶ ἄλλην δύναμιν βαρβάρων, καὶ λῃστῶν, ὡς δεκαπέντε μυριάδας, ὅπλων τε καὶ χρημάτων εὐπορίᾳ θαῤῥῶν ἐν Ἰσαυρίᾳ παρὰ Ζήνωνος τεθειμένων, παραγίνεται εἰς τὴν τῶν Ἰσαύρων χώραν, ἐνδεδωκότος τοῦ βασιλέως τὴν ἔξοδον, καί τοιγε ὑποτοπάζοντος τὴν ἐπίθεσιν. παραχρῆμα δὲ ἐπανίσταται, καὶ μέχρι Φρυγίας, καὶ τοῦ Κοτυαίου χωρεῖ, πόλεις τε πολλὰς λῃιζόμενος, πλὴν οὐκ αὐτὸς ἡγούμενος τοῦ στρατεύματος. Νινίλιγγις γὰρ ἦν ὁ τῆς Ἰσαυρίας ἡγεμὼν ἐπὶ Ζήνωνος κατασὰς ἀνὴρ θρασύτατος, ἐγὼ Ἀθη-

τέσσαρος ἀπλούστατος ἄνθρωπος εἰς τῶν συγκλητικῶν, καὶ Κόνων ὁ τῆς Ἀπαμείας ἐπίσκοπος, καταλιπὼν μὲν τὸν θρόνον, εἰς ὁπλίτην δὲ καὶ στρατηγὸν ἐξ ἱερέως μεταταξάμενος. τούτοις ἀνθίσταται στράτευμα Ῥωμαϊκὸν Ἀναστάσιος ἡγουμένου ὄντος Ἰωάννου τε τοῦ Σκύθου τοῦ τὴν Ἴλλου καὶ Λεοντίου τυραννίδα καθελόντος, καὶ Ἰωάννου τὸ ἐπίκλην Κυρτοῦ, ἀμφοτέρων τοῦ Θρᾳκῴου στρατεύματος ἡγεμόνων, καὶ Διογένους (οὗτοι Κόμητες σχολῶν τυγχάνοντες) καὶ ἑτέρων τινῶν ἐπαινετῶν ἀνδρῶν. μάχης δὲ περὶ τὸ Κοτυάειον γενομένης, Νινίλιγγις μὲν ὁ στρατηγὸς ἀποσφάττεται. μικροῦ δὲ τὸ πλεῖστον Ἰσαυρικῶν ἀπολλυμένων μόλις ἐπὶ τὰ σφέτερα διεσώθη. καὶ εἰ μὴ περὶ τὰ σκῦλλα τοῖς Ῥωμαίοις γέγονε σχολὴ, τελείως ἂν ἐκράτησαν τοῦ πολέμου. ἀλλ' ἐκείνων ἐν τούτοις ἀποσφαλέντων, φρουρίου τινὸς ἐπὶ τῆς ἄκρας τοῦ Ταύρου κρατήσαντες οἱ Ἴσαυροι τρίτον ἔτος ἤρκεσαν πολεμοῦντες ὀχυρωμένοι τῇ θέσει τῶν ὑπὲρ τοῦ Ταύρου πολισμάτων τε καὶ φρουρίων.

tutus vir audacissimus aciem regebat, & Athenodorus vir simplicissimus ea ordine Senatorio, & Conon Apameæ Episcopus, qui relicta sede ab Episcopo in militem armatum mutatus inter copiarum Ductores expeditionem susceperat. Cunctis istis Joanne Scytha, qui Ilii Leontiique tyrannidem dissiparat, & altero Joanne, cui Cyrtus cognomen; utroque Thracicarum copiarum Præfecto, & Diogene, (erant isti Scholarum Comites) & aliis quibuspiam viris egregiis Ducibus institutis, Romanum exercitum opponit Anastasius. Prælio ad Cotyæum conserto, Dux Ninilingis necatur; cætera vero Isaurorum manus majori ex parte ad internecionem cæsa, via locum, quo eruperat, se recepit: ac nisi Romanus exercitus in spoliis colligendis tempus inutiliter expendisset, plenam ex hoc bello victoriam reportabat: sed dum in his incaute detinentur, Isauri munitissimam in Tauri summitate obtinentes arcem, bellum usque in tertium annum protraxerunt, oppidorum atque arcium in Tauro monte constitutarum situ opportuno muniti.

Edit. Paris. pag. 119.

			γ'	γ'	β'	ε'	ιη'	δ'	ε'

			3	3	2	5	18	4	5

Τούτῳ τῷ ἔτει ληφθείσης Κλαυδιουπόλεως ὑπὸ Διογένους τῆς μεταξὺ τῶν δύο Ταύρων, ἐν πεδίῳ κειμένης, οὐκ ἐνέγκοντες Ἴσαυροι καταβαίνουσι τοῦ Ταύρου, καὶ ἐπὶ πολὺ πολιορκοῦσι τὸν Διογένην, ὡς καὶ λιμῷ κινδυνεῦσαι, καὶ φθαρῆναι τὸ στράτευμα. πλὴν Ἰωάννης ὁ Κυρτὸς ὑπερβὰς τὰ στενὰ τοῦ Ταύρου, καὶ τὰς φύλακας ἑλὼν, αἰφνιδίως αὐτοῖς ἐπιστὰς, διέφθειρε τὸ στράτευμα τῶν πολιορκούντων, ὑπεξελθόντος καὶ Διογένους. τότε καὶ Κόνων ἐπίσκοπος πληγεὶς μετὰ βραχὺ τελευτᾷ, καὶ γίνεται Ῥωμαίοις αὕτη δευτέρα καὶ μεγάλη νίκη.

Τῷ δ' αὐτῷ ἔτει Ζαμάσφης ὁ υἱὸς Περόζου βασιλέως Περσῶν ἐξωθήσας Καβάδην, ἐκράτησεν ἔτη δ'. ἐκ τῶν αὐτοῦ τῆς βασιλείας Περσῶν.

Hoc anno Claudiopolim inter utrumque Taurum in planitie positam, a Diogene captam non ferentes Isauri descendunt e Tauro, & Diogenem adeo pertinaciter obsidione vallant, ut totus fame perire, & extrema internecione deleri periclitaretur exercitus. Verum Joannes cognomento Cyrtus, superatis Tauri angustiis, prehensisque excubiis, improvisus adveniens, & una simul Diogenes irruptionem faciens, hostium urbem obsidentium copias omnes prostravit. Ibi vulnere accepto Conon Episcopus brevi postmodum spatio moritur; & fit Romanis secundæ & maximæ accessio victoriæ.

Eodem anno Zamasphes Perozis Persarum regis filius Cabade expulso regnum Persarum obtinuit quatuor annos Cabadis regno debitos.

			δ'	δ'	γ'	ϛ'	Ἱεροσ. ἐπίσκ. Μαρτύριος ἔτ. η'. α'	ι'	ϛ'

			4	4	3	6	Hier. Episc. Martyrius an. 8. 1	5	9

Ταύτῳ τῷ ἔτει Λογγῖνός τις ὁ λεγόμενος Σελινουντίος τὴν Ἀντιόχειαν τῆς Ἰσαυρίας οἰκῶν ἐπί τινος ὄρους κειμένην ὑψηλοῦ κατὰ τὴν μεσημβρινὴν τῆς χώρας θάλασσαν εἰσῆγεν τοῖς Ἰσαύροις ὁλκάσι πολλαῖς ἐμπορευόμενος πανταχόθεν τὰ τρόφιμα, καὶ ἐν ταύταις ταῖς δυσχωρίαις διῆγον Λογγῖνος ὁ Μάγιστρος καὶ Ἀθηνόδωρος. ἀποκαμὼν δὲ ὁ βασιλεὺς ἐν τῷ χρονίζειν τὸν πόλεμον, ἐθάρρησεν Εὐφημίῳ τῷ ἐπισκόπῳ, ὡς εἰρήνης ἐφίεται, καὶ συνάξαι τοὺς ἐνδημοῦντας ἐπισκόπους προσέταξε παρακαλέσαντας δῆθεν περὶ τῶν Ἰσαύρων. Εὐφήμιος δὲ τὸ μυστήριον ἐξήγαγεν πρὸς Ἰωάννην τὸν Πατρίκιον πενθερὸν Ἀθηνοδώρου τοῦ ἐξάρχου τῆς τυραννίδος. ὁ δὲ δραμὼν τῷ βασιλεῖ ἀπήγγειλεν, ὅπερ εἰς ἀδιάλλακτον ἔχθραν κατ' Εὐφημίου τὸν βασιλέα Ἀναστάσιον ἤγειρεν. ὅθεν τὰς τῶν Ἰσαύρων ἐπιβουλὰς Εὐφημίῳ ἐπέγραφεν. Εὐφημίῳ δέ τινες ἐπιβουλεύοντες, ἐπι-

Hoc anno Longinus quidam Selenuntius dictus Antiochiam Isauriæ in præcelso quodam monte ad meridianum regionis mare sitam inhabitans, commeatum undequaque conquisitum navibus onerariis ad Isauros asportavit: in hisce vero locorum angustiis Longinus Magister & Athenodorus agebant. Imperator autem longarum belli morarum pertæsus, Euphemio Episcopo, se pacem exoptare, fidenter retulit: ac peregrinantes in Urbe Episcopos tamquam Isaurorum nomine veniam deprecaturos congregare jussit. Euphemius Joanni Patricio Athenodori, qui tyrannidis excitatæ auctor & princeps extiterat, socero revelavit secretum. Ille cursu concito rem Imperatori renunciat, quæ immortalis odii fomitem in Anastasii Imperatoris animo adversus Euphemium succendit, ex quo Isaurorum insidias & molitiones imputavit Euphemio: structis eapropter

Euphemio insidiis, cuidam, ut ante Martyrium in ejus caput gladium vibraret, suggesserunt. Paulus autem quispiam Ecclesiæ Defensor totis humeris Patriarcham excedens, ictum capite non sine ingenti periculo excepit: insidiatorem vero Sira, gladio sic dicto, interfecit. Cæterum Euphemio in conventu Montis mortem moliti sunt rursum inferre, quam ille privato habitu assumpto effugit, & salutem quæsivit. Demum Anastasius Imperator fidei confessionem olim editam ab Euphemio violenter extorsit.

Edit. Paris. pag. 120.

A Θεντι τινὶ πρὸ τοῦ Μαρτυρίου ξίφος ἐλάσαι κατὰ τῆς κεφαλῆς αὐτοῦ. Παῦλος δὲ ὁ ἔκδικος τῆς ἐκκλησίας ὑπερωμίας ὢν, τὴν πληγὴν κατὰ τῆς κεφαλῆς ἐδέξατο, καὶ ἐκινδύνευσε· τὸν δὲ ἐπίβουλον τῇ λεγομένῃ σείρᾳ ἀνεῖλε. πάλιν ἐν τῇ συνάξει τοῦ ὄρους ἐπιδραμόντες ἀνελεῖν Εὐφήμιον, ὃς ἰδιωτικῷ σχήματι διαφυγὼν ἐσώθη. Ἀναστάσιος δὲ ὁ βασιλεὺς τὴν ὁμολογίαν αὐτοῦ παρὰ Εὐφημίου μετὰ βίας ἀφείλατο.

Anni mundi 5986.	Divinæ Incarn. 486.	Rom. Imp. Anastasius annis 27.	Persarum rex Cabades annis 30.	Romæ Episc. Gelasius ann. 5.	Constant. Episc. Euphemius annis 7.	Hierosol. Episc. Martyrius an. 4.	Alex. Episc. Athanasius annis 7.	Ant. Episc. Palladius annis 10.
		5	1	4	7	1	6	9

B

Κόσμου ἔτη ͵εϡπϛ'.	Τῆς θείας σαρκώσεως ἔτη υπϛ'.	Ῥωμ. βασιλ. Ἀναστάσιος ἔτη κζ'.	Περσῶν Βασ. Καβάδης ἔτη λ'.	Ῥωμ. ἐπίσκ. Γελάσιος ἔτη ε'.	Κωνστ. ἐπίσκ. Εὐφήμιος ἔτη ζ'.	Ἱεροσ. ἐπίσκ. Μαρτύριος ἔτη δ'.	Ἀλεξ. ἐπίσκ. Ἀθανάσιος ἔτη ζ'.	Ἀντ. ἐπίσκ. Παλλάδιος ἔτη ι'.
		ε'	α'	δ'.	ζ	α'.	ϛ'	ζ

Hoc anno Joannes Scytha post diuturnam obsidionem tandem Longinum Exmagistrum, & Longinum Selenuntium, atque Athenodorum, cæterosque tyrannos cepit, & gladio feriit, eorumque capita Byzantium Anastasio Imperatori misit: qui ludum equestrem celebrans, tyrannorum capita, & Isauros, qui missi fuerant, vinctos in triumphi morem circumduxit, ac tandem præfata capita palis affixa publice exposuit in Sycis: Isaurorum autem multitudinem in Thraciam migrare adegit: Joannem Scytham, & alterum Joannem Cyrtum Consulatus dignitate & aliis honoribus auxit, ac tandem Euphemio Episcopo per Eusebium Magistrum significavit: Preces tuæ, o Venerande, amicos tuos infecerunt fuligine. Apud coactos enim Constantinopoli Episcopos de Euphemio conquerebatur Imperator: qui in Imperatoris gratiam ipsius interdictum, & abdicationem tum a communione, tum a munere, suis suffragiis comprobarunt: in cujus locum Macedonium, qui jam sacrorum vasorum Custos erat, Constantinopoli Episcopum designavit Imperator. Populus autem Euphemii causa tumultuabatur, atque in Circum publica supplicatione acta procedebat: at nihil exinde proficere valuit, Imperatore causam hanc evincere impotentius exoptante. Macedonius autem male ab Anastasio persuasus Zenonis Concordiæ subscripsit.

Τούτῳ τῷ ἔτει Ἰωάννης ὁ Σκύθης πολιορκῶν παρέλαβε τόν τε Λογγῖνον τὸν ἀπὸ Μαγίστρων, καὶ Λογγῖνον τὸν Σελινουντίον, καὶ Ἀθηνόδωρον, καὶ τοὺς λοιποὺς τυράννους. καὶ τούτους ἀποτεμὼν, τὰς κεφαλὰς αὐτῶν εἰς τὸ Βυζάντιον ἔπεμψεν Ἀναστασίῳ τῷ βασιλεῖ. Ἀναστάσιος δὲ ἱππικὸν ἐπιτελέσας τὰς κεφαλὰς τῶν τυράννων, καὶ τοὺς πεμφθέντας δεσμίους τῶν Ἰσαύρων ἐθριάμβευσε, καὶ ἐπὶ σκωλόπων ἐν Συκαῖς ταύτας ἀναρτήσας, πᾶσιν ἐδημοσίευσε. τὸ δὲ πλῆθος τῶν Ἰσαύρων ἐν τῇ Θρᾴκῃ C μετῴκισεν. Ἰωάννην δὲ τὸν Σκύθην, καὶ τὸν ἕτερον Ἰωάννην τὸν Κυρτὸν ὑπατείας καὶ τιμῆς μεγάλης ἠξίωσεν· Εὐφημίῳ δὲ τῷ ἐπισκόπῳ ἐδήλωσε διὰ Εὐσεβίου Μαγίστρου· αἱ εὐχαί σου, ὦ μέγα, τοὺς φίλους σου ἠσβόλωσαν. συναγαγὼν δὲ ὁ βασιλεὺς τοὺς ἐνδημοῦντας ἐπισκόπους κατὰ Εὐφημίου ἐνεκάλει. οἱ δὲ χαριζόμενοι τῷ βασιλεῖ ἀκοινωνησίαν, καὶ καθαίρεσιν αὐτοῦ ἐψηφίζοντο. προχειρίζεται δὲ ὁ βασιλεὺς Μακεδόνιον ἐπίσκοπον Κωνσταντινουπόλεως Σκευοφύλακα ὄντα. ὁ μέντοι λαὸς διὰ τὸν Εὐφήμιον ἐστασίαζον, καὶ εἰς τὸ ἱπποδρόμιον ἔδραμον λιτανεύοντες, ἀλλ᾽ οὐδὲν ὀνῆσαι ἴσχυσαν, τοῦ βασιλέως κακῶς νικῆσαι σπεύδοντος. Μακεδόνιος δὲ κακῶς πεισθεὶς Ἀναστασίῳ, ὑπέγραψε τῷ ἑνωτικῷ Ζήνωνος. D

					CP. Episc. Macedonius an. 16.			
		6	2	5	1	2	7	8

					ΚΠ. ἐπίσκ. Μακεδόνιος ἔτ. ις'.			
		ϛ'	β'	ε'	α'	β'	ζ'	η'

1. Hoc anno Anastasius Euphemium Euchaitam exulem misit. Ille fidem sibi dari per Macedonium postulavit, ut insidiarum securus, dum deduceretur, in itinere maneret. Macedonius fidem obstringere permissus, Euphemium in Baptisterio adiit, Archidiacono a suis humeris pallium auferre prius jusso: atque privato Sacerdotis habitu Euphemium conveniens, pecunias mutuo ab aliis acceptas elargitus est illi: adeo ut ex utroque capite non minimam a plerisque laudem reportaret. Virtutem quippe pietatisque jura, tamquam a Gennadio, cujus nepos erat, educatus colebat.

Τούτῳ τῷ ἔτει Εὐφήμιον Ἀναστάσιος εἰς Εὐχάϊτα E ἐξόριστον ἀπέστειλεν. ὁ δὲ λόγον ᾔτησε διὰ Μακεδονίου λαβεῖν, ἀνεπιβούλευτον μεῖναι ἐν τῷ ἀπάγεσθαι· ἐπιτραπεὶς δὲ Μακεδόνιος δοῦναι τὸν λόγον, εἰσερχόμενος ἐν τῷ βαπτιστηρίῳ πρὸς τὸν Εὐφήμιον ἀφελεῖν ἀπ᾽ αὐτοῦ τὸ ὠμόφορον τῷ ἀρχιδιακόνῳ προσέταξε, καὶ οὕτω λιτὸς πρὸς Εὐφήμιον εἰσελθὼν, δανειζόμενός τε χρήματα δέδωκεν Εὐφημίῳ, ὡς παρὰ πολλῶν ἐπαινεθῆναι κατὰ τοὺς δύο τρόπους· ἀσκητικὸς γὰρ ἦν καὶ ἱερὸς, ὡς ἀπὸ Γενναδίου τραφεὶς, οὗ καὶ ἀδελφιδοῦς ὑπῆρχεν.

Τῷ δ᾽

Τῷ δ' αὐτῷ ἔτει Ἀθανασίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας τελευτήσαντος ἐχειροτονήθη Ἰωάννης ὀνομαζόμενος πρεσβύτερος καὶ οἰκόνομος, ὁ ἐπίκλην Ἡμύλα.

				Ῥωμ. ἐπισκ. Ἀναστάσιος ἔτη δ'			Ἀλεξ. ἐπισκ. Ἰωάννης ἔτη θ'.	
		ζ'	γ'.	α'	β'.	γ'	α'	θ'

Τούτῳ τῷ ἔτει ἐπιδρομῆς τῶν λεγομένων Σκηνιτῶν Ἀράβων ἐν Εὐφρατησίᾳ γενομένης ἐν Βιθράψῳ καλουμένῳ χωρίῳ πρώτῳ τῆς Συρίας, Εὐγενίου στρατηγοῦ τῶν ἐκεῖσε κατ' αὐτῶν παραταξαμένου, ἀνδρὸς ἔργῳ καὶ λόγῳ σπουδαίου, ἐκράτησε τῆς μάχης. οἱ δὲ νικηθέντες Περσῶν ὑπόσπονδοι ἦσαν τῆς Νααμάνου τοῦ φυλάρχου φυλῆς· τότε καὶ Ῥωμανὸς τῆς ἐν Παλαιστίνῃ δυνάμεως ἄρχων, ἀνὴρ ἄριστος ἐν βουλῇ καὶ στρατηγίᾳ, χειροῦται εἰς πόλεμον Ἄγαρον τὸν τοῦ Ἀρέθα τοῦ τῆς Θαλαβάνης ὀνομαζομένου παιδὸς σὺν αἰχμαλώτων πλήθει πολλῷ. κατηγωνίσατο δὲ καὶ ἐτροπώσατο πρὸ τῆς μάχης ἐκείνης ὁ Ῥωμανὸς καὶ ἕτερον Σκηνίτην, Γάμαλον ὀνόματι, καταδραμόντα τὴν Παλαιστίνην πρὸ τῆς αὐτοῦ παρουσίας. τότε καὶ Ἰωτάβην τὴν νῆσον κειμένην ἐν τῷ κόλπῳ τῆς ἐρυθρᾶς θαλάσσης, καὶ ὑποτελῆ φόρους οὐκ ὀλίγους ὑπάρχουσαν βασιλεῖ Ῥωμαίων, κατασχεθεῖσαν δὲ μεταξὺ ὑπὸ τῶν Σκηνιτῶν Ἀράβων, μάχαις ἰσχυραῖς ὁ Ῥωμανὸς ἠλευθέρωσεν, αὖθις Ῥωμαίοις πραγματευταῖς δοὺς αὐτονόμως οἰκεῖν τὴν νῆσον, καὶ τὰ ἐξ Ἰνδῶν ἐμπορεύεσθαι φορτία, καὶ τὸν τεταγμένον βασιλεῖ φόρον εἰσάγειν.

		η'	δ'	β'	γ'	δ'	β'	ι'

Τούτῳ τῷ ἔτει Μακεδόνιος γνώμῃ τοῦ βασιλέως ἑνῶσαι τὰ μοναστήρια τῆς βασιλίδος ἐσπούδαζεν ἀποσχίζοντα διὰ τὸ ἑνωτικὸν Ζήνωνος· ἀδυνατῶν δὲ τοῦτο ποιῆσαι συνεβούλευσε τῷ βασιλεῖ τοὺς ἐνδημοῦντας ἐπισκόπους συνελθεῖν, καὶ τὰ ἐν Χαλκηδόνι καλῶς δογματισθέντα ἐγγράφως βεβαιῶσαι, ὅπερ καὶ γέγονε δι' ἐγγράφου πράξεως. καὶ προέτρεπε τὰ μοναστήρια πρὸς ἕνωσιν, μάλιστα δὲ τὴν Δίου μονὴν, καὶ Βασσιανοῦ, καὶ τῶν Ἀκοιμήτων, καὶ Ματρώνης, ἅτινα μᾶλλον καὶ ἀπέσχιζον τῶν δεχομένων τὸ ἑνωτικὸν Ζήνωνος, καὶ ἐξορίας προθύμως ὑπέμενον. ἐνστάντων οὖν αὐτῶν συνῄνει Μακεδόνιος τῇ προαιρέσει αὐτῶν καταλιπεῖν αὐτοὺς, ἢ διωγμὸν ἐγεῖραι κατ' αὐτῶν. Ματρῶνα δὲ ἡ ὁσία ἔτι ζῶσα, καὶ μὴ κοινωνοῦσα σὺν ταῖς σὺν αὐτῇ ἀσκητρίαις διὰ τὸ ἑνωτικὸν Ζήνωνος, παράδοξα πολλὰ ἐνεδείξατο, Χρυσαορίου διακόνου τῆς ἐκκλησίας αὐτὴν ἀναγκάζοντος. καὶ ἄλλη δέ τις Σοφία καλουμένη ἐπίσημος ἐν μοναζούσαις πολλὰ μαθοῦσα, μεγάλην ὑπομονὴν ἐνεδείξατο. Θεοδέριχος δὲ ὁ Ἄφρος διάκονον ἔχων ὀρ-

Hoc eodem anno Athanafio Alexandrino Præfule mortuo, Presbyter & Oeconomus Joannes nomine, cognomento Hermula in ejus locum facræ ordinatione fuffectus eft.

				Romæ Epifc. Anaftafius annis 4.			Alex. Epifc. Joannes annis 9.	
		7	3	1	2	3	1	9

Hoc anno Arabes, Scenitas dictos, crebris excurfionibus Euphratefianos infeftantes, Eugenius regionum illarum Præfectus, vir litteris & fortitudine præftans adverfus eos ad primum Syriæ oppidum, cui Bithrapfus nomen, confertis manibus prælio fuperior remanfit. Qui fuere devicti, prius cum Perfis, tribus nimirum Naamani Phylarchi, fœdus inierant. Tum vero Romanus exercitus per Palæftinam Ductor, vir confilio militari & difciplina præcellens Agarum Arethæ, qui Thalabanes filius audiebat, natum cum magna captivorum multitudine bello vicit, cepitque. Alium porro Scenitam nomine Gamalum ante fufceptam expeditionem hujufmodi totam Palæftinam fuis excurfionibus vaftantem Romanus idem proftraverat, & verterat in fugam. Sed & Jotaben infulam in finu maris rubri fitam, vectigalia magna Romanorum Imperatori quondam pendentem, tum vero ab Arabibus Scenitis occupatam, idem Romanus per acerrima prælia iterum liberam Romanis negotiatoribus præftitit: eifque demum infulam conceffit, in qua liberi fuifque legibus utentes habitarent, & ex mercibus ex India convectis conftitutum Imperatori vectigal folverent.

		8	4	2	3	4	2	10

Hoc anno Macedonius Imperat. confilio Monafteria Urbis a præcipuæ Ecclefiæ communione ob Zenonis Concordiæ fanctionem fe dirimentia ftuduit reconciliare. At cum propofitum non poffet exequi, de convocandis in unum per urbem peregrinantibus Epifcopis, deque fcripto firmandis, quæ Chalcedonenfis Synodus recte decreverat, Imperatori auctor fuit: quod per actum fcripturæ confignatum poftea factum eft. Adhortabatur fubinde ad pacem & concordiam Monafteria, Dii maxime, & Baffiani, & Infomnium, atque Matronæ, quæ ab iis, qui Unionis fanctionem admiferant, cœtus Ecclefiafticos feparatim agere propofuerant, aut potius exilia quæque fponte & alacriter tolerare. Illis igitur in arrepto femel confilio conftanter perfeverantibus, illos potius fuæ concedere voluntati decrevit Macedonius, quam duriorem in eos ciere perfecutionem. Porro Matrona fancta inter vivos adhuc fuperftes, nec tamen cæteris fœminis parem religiofæ vitæ normam obfervantibus, ob Zenonis fanctionem communionis impendens confortium, multa vel fupra humanam fidem fortiter aggreffa eft, & tulit, dum Chryfaorius Ecclefiæ Diaconus illam vi cogere vellet. Altera pariter nomine Sophia inter Moniales fcientiarum cultu infignis multa paffa, eximiam prorfus conftantiam exhibuit. Theudericbus autem Afer cum Diaconum haberet fibi

Edit. Parif. pag. 122.

admodum charum, qui Theuderichum dominum Arianas partes tuentem sibi cuperet promereri, Arii quoque doctrinam fuerat amplexus, gladio caput ejus abscidit, dicens; Si Deo fidem non servasti: nec usque mihi servaveris. Cæterum Palladio Antiochiæ Præsule defuncto, Imperator, Flavianum Presbyterum & ejusdem Ecclesiæ Missum in mortui locum designavit: Flavianum hunc Chalcedonensibus decretis mentem oppositam tenuisse narrant. Olympius vero quidam cum in Helenianorum balneo inter lavandum impias omoino blasphemias evomuisset: in ipso aquæ labro perditam animam miserum in modum efflavit: quod portentum in pictam imaginem relatum fuit. Eutychianus porro quidam Diætasiorum princeps muneribus ab Arianis corruptus, cum appensam Olympii vellet deponere imaginem, toto corpore ab illo die funeste eatabuit, & periit.

A ϑόδοξον πάνυ ἀγαπώμενον ὑπ' αὐτοῦ, μετατιθέμενον δὲ εἰς Ἀρειανισμὸν χαριζόμενον Θευδερίχῳ Ἀρειανίζοντι, ἀπέτεμεν αὐτὸν ξίφει εἰπών. εἰ τῷ Θεῷ πίστιν οὐκ ἐφύλαξας, οὐκ ἐμοὶ φυλάξεις. Παλλαδίου δὲ τοῦ ἐπισκόπου Ἀντιοχείας τελευτήσαντος Φλαβιανὸν πρεσβύτερον καὶ ἀποκρισιάριον τῆς ἐκκλησίας Ἀντιοχέων ὁ βασιλεὺς ἐψηφίσατο. φασὶ δὲ Φλαβιανὸν τοῖς ἐν Χαλκηδόνι δόγμασι ἀντικεῖσθαι. Ὀλύμπιος δέ τις Ἀρειανὸς ἐν τῷ Ἑλενιανῶν βαλανείῳ δεινῶς βλασφημήσας, ἐλεεινῶς ἐν τῇ προφάσει τέθνηκεν· ὅπερ ἐν εἰκόνι ἐγράφη. Εὐτυχιανὸς δέ τις πρῶτος τῶν Διαιταρίων δώροις πεισθεὶς ὑπὸ τῶν Ἀρειανῶν, τὴν ἀνατεθεῖσαν εἰκόνα τοῦ Ὀλυμ- B πίου καθεῖλε· καὶ ἐξετάκη δεινῶς τὸ σῶμα ἀπὸ τῆς ἡμέρας ἐκείνης, καὶ ἀπέθανεν.

Anni mundi 5993.	Divinæ Incarn. 493.	Rom. Imp. Anastasius annis 27.	Persarum rex Cabades annis 30.	Romæ Episcopus Anastasius annis 4.	Constant. Episc. Macedonius annis 16.	Hierosol. Episc. Helias annis 3.	Alexander Episc. Ioannes an. 9.	Antioc. Episc. Flavianus an. 13.
		0	1	3	4	1	3	1

Κόσμου ἔτη ,εϡϟγ'.	Τῆς θείας σαρκ. ,υϟγ'.	Ῥωμ. Βασιλεὺς Ἀναστάσιος ἔτη κζ'.	Περσ. βασιλ. Καβάδης ἔτη λ'.	Ῥωμ. ἐπίσκοπος Ἀναστάσιος ἔτη δ'.	Κωνσ. ἐπίσκ. Μακεδόνιος ἔτη ιϛ'.	Ἱεροσ. ἐπίσκ. Ἡλίας ἔτη γ'.	Ἀλεξ. ἐπίσκ. Ἰωάννης ἔτη θ'.	Ἀντ. ἐπίσκ. Φλαβιανὸς ἔτη ιγ'.
		δ'	ε'	γ'	δ'	α'	γ'	α'

Edit. Paris. pag. 123.

Hoc anno Festus Senat. Rom. ob publica quædam negotia Constantinopolim ad Anastasium Roma missus sanctorum Apostolorum Petri & Pauli memoriam majori frequentia & solemnitate celebrari postulavit: quod in hunc usque diem obtinuit. Macedonius autem Synodicam epistolam per Festi manus ad Anastasium Romanum Episcopum mittere meditatus, ab Imperatore prohibitus est.

Τούτῳ τῷ ἔτει Φῆστος συγκλητικὸς Ῥώμης ἀποσταλεὶς πρὸς Ἀναστάσιον διά τινας χρείας πολιτικὰς τὰς C μνήμας τῶν ἁγίων Ἀποστόλων Πέτρου καὶ Παύλου πανηγυρικώτερον ἐπιτελεῖσθαι ᾐτήσατο. ὃ καὶ κρατεῖ μέχρι νῦν. Μακεδόνιος δὲ πρὸς Ἀναστάσιον ἐπίσκοπον Ῥώμης συνοδικὸν διὰ Φήστου πέμψαι βουληθεὶς, ἐκωλύθη παρὰ τοῦ βασιλέως.

		10	6	4	5	2	4	2

		ι'	ϛ'	δ'	ε'	β'	δ'	β'

Hoc anno Festus Romam abiturus Anastasium Papam, ut Zenonis Concordiam probaret, se verbis effecturum Anastasio Imperatori pollicitus est: eum vero non amplius vivum comperit. Quare plerisque pecuniarum vi corruptis, Laurentium quemdam, præter Romanorum jura, promoveri curavit Episcopum, qui etiam sacra initiatus est ordinatione ab adversantium sibi parte altera. Qui rectiorem tuebantur fidem ab eis divisi Symmachum e Diaconorum grege quemdam in Pontificem consecrant: unde deinceps tumultus, cædes, rapinæ Urbem triennio divexarunt; donec Theuderichus Afer Roma potitus, licet Arianorum infectus labe, Provincialem Synodum coegit, & Symmacho in Episcopum Romanum confirmato, Laurentium Nuceriæ Præsulem instituit. Laurentius quietis impatiens, & ciens tumultus, a Symmacho dignitate movetur, mittiturque in exilium: ex quo tempestas omnis sedata.

Hoc etiam anno Chrysargyrum tributum, & venationes sive pugnas cum bestiis publicas Anastasius abolevit; & magistratus, qui antea vænales erant gratis contulit.

Τούτῳ τῷ ἔτει Φῆστος ἀπερχόμενος ἐν Ῥώμῃ συνέθετο τῷ βασιλεῖ Ἀναστασίῳ πεῖσαι Ἀναστάσιον τὸν Πάππαν δέξασθαι τὸ ἑνωτικὸν Ζήνωνος. τοῦτον δὲ οὐ κατέλαβε ζῶντα. ὑποφθείρας δὲ διὰ χρημάτων D πολλοὺς, ψηφίζεται παρὰ τὸ ἔθος Ῥωμαίων ἐπίσκοπον Λαυρέντιόν τινα, ὃς καὶ ἐχειροτονήθη ὑπὸ τοῦ ἑνὸς μέρους. οἱ δὲ ὀρθοδοξότεροι διαιρεθέντες, χειροτονοῦσι Σύμμαχον ἕνα ὄντα τῶν διακόνων. ἐνθένδε λοιπὸν ἀταξίαι πολλαὶ, καὶ φόνοι, καὶ ἁρπαγαὶ γεγόνασιν ἐπὶ τρία ἔτη, ἕως οὗ Θευδέριχος ὁ Ἄφρος κρατῶν τηνικαῦτα Ῥώμης, καίπερ Ἀρειανὸς ὢν, σύνοδον κροτήσας τοπικὸν, Σύμμαχον μὲν ἐπίσκοπον Ῥώμης ἐκύρωσε, Λαυρέντιον δὲ εἰς Νουκέρειαν τὴν πόλιν ἐπίσκοπον προσέταξεν. ὁ δὲ μὴ ἡσυχάσας, ἀλλὰ στάσεις κινῶν ὑπὸ Συμμάχου καθαιρεῖται, καὶ εἰς ἐξορίαν πέμπεται. καὶ οὕτω κατεπαύθη ἡ στάσις.

E Τῷ δ' αὐτῷ ἔτει Ἀναστάσιος ἀνέστειλε τὸν χρυσάργυρον, καὶ τὰ κυνήγια, καὶ ἀρχιωνίους ὅσας δωρεὰν προεβάλλετο.

A

			Ῥωμ. ἐπίσκ. Σύμμαχος ἔτη ιβ'.				
	κ'	ζ'	α'.	ε'	γ'	ε'	γ'

Τούτῳ τῷ ἔτει γέγονε πάλιν Σαρακηνῶν ἐπιδρομὴ ἐν τῇ Φοινίκῃ καὶ Συρίᾳ μετὰ τὴν Ἀγάρου τελευτὴν, Βαδιχαρίμου τοῦ ἀδελφοῦ αὐτοῦ δίκην θυέλλης ἐπιδραμόντος τοῖς τόποις..... εἴπερ ἐπέδραμεν μετὰ τῆς λείας ἐπιδραμόντος, ὥστε μηδὲ ἐπιδιώξαντα Ῥωμανὸν καταβαλεῖν τοὺς ἐχθρούς.

B Τούτῳ τῷ ἔτει καὶ οἱ καλούμενοι Βούλγαρες τῷ Ἰλλυρικῷ, καὶ Θρᾴκῃ ἐπιτρέχουσι πρὶν γνωσθῆναι αὐτούς.

						Ἱεροσολ. ἐπίσκοπ. Σαλούστιος ἔτη ι'.		
		ιβ'	η'	β'	ζ'	α'	ε'	δ'

C Τούτῳ τῷ ἔτει σπένδεται πρὸς Ἀρέθαν ὁ Ἀναστάσιος, τὸν τοῦ Βαδιχαρίμου, καὶ Ἀγάρου πατέρα, τὸν τῆς Θαλαβάνης λεγόμενον, καὶ λοιπὸν πᾶσα ἡ Παλαιστίνη, καὶ Ἀραβία, καὶ Φοινίκη πολλῆς γαλήνης, καὶ εἰρήνης ἀπήλαυον. ἐν Νεοκαισαρείᾳ δὲ μέλλοντος γίνεσθαι σεισμοῦ στρατιώτης ὁδεύων δύο στρατιώτας ἐπ' αὐτὴν εἶδε, καὶ ὄπισθεν ἄλλον κράζοντα. φυλάξατε τὸν οἶκον, ἐν ᾧ ἡ θήκη Γρηγορίου ἐστί· γενομένου δὲ σεισμοῦ, τὸ πλεῖστον μέρος τῆς πόλεως ἐπτώθη, πλὴν τοῦ ναοῦ τοῦ ἁγίου Γρηγορίου.

Κόσμου ἔτη [illegible]	Τῆς θείας σαρκ. ἔτη [illegible]	Ῥωμ. βασιλεὺς Ἀναστάσιος ἔτη κζ'.	Περσ. βασιλ. Καβάδης ἔτη λ'	Ῥωμ. ἐπίσκοπος Σύμμαχος ἔτη ιβ'.	Κωνστ. ἐπίσκ. Μακεδόνιος ἔτη ιϛ'.	Ἱεροσ. ἐπίσκ. Σαλούστιος ἔτη ιβ'.	Ἀλεξ. ἐπίσκ. Ἰωάννης ἔτη θ'	Ἀντ. ἐπίσκ. Φλαβιανὸς ἔτη ιγ'.
		ιγ'	ε'	γ'	η'	β'	ζ'	ι'

D

Τούτῳ τῷ ἔτει Καβάδης ὁ τῶν Περσῶν βασιλεὺς χρήματα ᾔτησεν Ἀναστάσιον. ὁ δὲ Ἀναστάσιος, εἰ μὲν δανείσασθαι βούλοιτο, ἔγγραφον ὁμολογίαν ἔλεγε ποιῆσαι. εἰ δὲ ἄλλῳ τρόπῳ, μὴ διδόναι. ὅθεν παρασπονδήσας τὴν γενομένην πρὸς Θεοδόσιον τὸν νέον ἔμπροσθεν εἰρήνην, ἐπέρχεται μετὰ πλήθους πολλοῦ Περσικοῦ, καὶ ἐπεισάκτου, πρότερον μὲν εἰς Ἀρμενίαν, καὶ λαμβάνει Θεοδοσιούπολιν, Κωνσταντίνου προδόντος αὐτὴν ἀνδρὸς, συγκλητικοῦ τε καὶ E Ἰλλυρικῶν ἄρξαντος τάγματος. εἶτα εἰς Μεσοποταμίαν ἐλθὼν, Ἄμιδαν ἐπολιόρκει, Ῥωμαϊκοῦ στρατεύματος ἀξιολόγου μήπω τοῖς τόποις ἐνδημοῦντος, Ἀλυπίου δὲ μόνου βοήθειαν ἔχοντος ὀλίγην, ἀνδρὸς πανταχόθεν ἐπαινετοῦ, καὶ φιλοσοφίας ἐραστοῦ, μάλιστα τὴν δεχομένην περί τε τὴν φυλακὴν τῶν πόλεων, καὶ τὰ ἀποθέτα τῶν τροφῶν ἐπιμέλειαν ποιουμένου. ᾤκει δὲ αὐτὸς Κωνσταντίνης σταδίοις νζ'. κατὰ δύσιν ἀφεστώσης Νίσιβις καὶ Ἄμιδα πρὸς Ἄρκτον. ἀλλὰ χρόνου τινὸς μεταξὺ ῥεύσαντος, καὶ τινῶν μερικῶν συμπλοκῶν Πέρσαις τε, καὶ Ῥωμαίοις γενο-

				Romæ Episc. Symmachus annis 12.				
		11	7	1	6	3	5	3

Hoc anno per Phœniciam & Syriam, post Agari mortem novas excursiones fecere Saraceni, Badicharimo ejus fratre turbinis instar incurrente, sed & multo celerius, quam incurrisset, post partam prædam iterum recurrente, adeo ut Romanus, qui eos insequebatur, nusquam assequi valuerit.

B Hoc etiam anno qui vocantur Bulgari excursionem in Illyricum & Thraciam fecerunt, cum nondum eorum natio audiretur de nomine.

Edit. Paris. pag. 124.

						Hierosol. Episc. Salustius annis 12.		
		12	8	2	7	1	6	4

Hoc anno Anastasius cum Aretha, qui Thalabanes filius audiebat, & Badicharimi nec non Agari pater, fœdus percussit, ac ita deinceps Palæstina omnis, Arabia, & Phœnicia profunda tranquillitate & pace fruebantur. Neocæsareæ vero cum terræ motus jam jam esset futurus, miles quidam agens iter, tamquam duos milites civitati videt imminentes, aliumque a tergo clamantem: Servate domum in qua Gregorii loculus. Moxque insequuto terræ motu urbis pars plurima corruit, præter sancti Gregorii templum.

Anni mundi 5997.	Divinæ Incarn. 497.	Rom. Imp. Anastasius annis 27.	Persarum rex Cabades annis 10.	Romæ Episc. Symmachus ann. 12.	Constant. Episc. Macedonius annis 16.	Hierosol. Episc. Salustius annis 12.	Alex. Episc. Joannes annis 9.	Ant. Episc. Flavianus annis 13.
		21	9	3	2	1	7	5

Hoc anno Cabades Persarum rex pecunias exigebat ab Anastasio. Anastasius cautionem scribere jussit, si modo mutuum accipere vellet: alioqui se nullas daturum. Ex quo pacis quondam cum Theodosio juniore firmatæ violatis fœderibus, cum magno Persarum atque auxiliarium exercitu primum quidem in Armeniam irrumpit, & Theodosiopolim, Constantino Senatorii ordinis viro Illyricarum copiarum Ductore eam prodente cepit: tum vero penetrata Mesopotamia, E Amidam obsedit, cum non satis numeroso exercitu locus esset munitus, imo solus Alypius, vir alioqui laudatissimus & Philosophiæ amans, qui ad urbium defensionem annonæ & commeatus curam conferebat omnem, cum exigua admodum præsidii manu eam tutaretur. Habitabat autem Constantinæ, quæ Nisibin ad occasum sex & quinquaginta stadiis, totidemque Amidam Septentrionem versus distantes habet. Verum nonnullo temporis spatio interim lapso, privatisque certaminibus inter Persas Romanosque commissis, quibus nonnumquam inferio-

res, & aliquando Gentilium victores pro varia belli fortuna recesserant Romani: tandem Amida post trimestrem obsidionem a Barbaris bello fatigata, ab turrium una, quam propugnandam susceperant Monachi, cujusdam proditione, noctu, in hostium (scalis autem ad invasionem utebantur) potestatem venit. Hunc in modum illi intra urbem admissi ad prædas & cædium vertuntur, copiosis undequaque congestis sibi manubiis. Tertio vero a proditione die Cabades elephanto insidens urbem ingreditur: & divitias quidem exiguas admodum, Gloeo autem in urbis custodiam relinquit: ipse demum Nisibin regressus est, Persarum castris & exercitibus Amidam inter & Constantiam locatis.

Edit. Paris. pag. 125.

A μένων, καθ᾽ ἃς ποτὲ μὲν ἐλάττους, ποτὲ δὲ ἐπικρατέστεροι τῶν ἐθνῶν ἐν διαφόροις γεγόνασιν οἱ Ῥωμαῖοι. τέλος Ἄμιδαν προδιδοῦσι τοῖς Πέρσαις, πολιορκηθεῖσαν μὲν ὑπὲρ τὰς τρεῖς μῆνας παρ᾽ αὐτῶν βαρβάρων, προδοθεῖσαν δὲ νύκτωρ ἐξ ἑνὸς τῶν πύργων ὑπὸ μοναχῶν φυλαττομένων, κλίμαξιν οἱ πολέμιοι χρησάμενοι, καὶ οὕτως ἔσω τῆς πόλεως γεγονότες, ληΐζονται πᾶσαν, καὶ ἀναιροῦσι, καὶ πλοῦτον λαμβάνουσι πολύν, Καβάδου τοῦ βασιλέως ἐπὶ ἐλέφαντος εἰς αὐτὴν εἰσελθόντος μετὰ τὴν τρίτην ἡμέραν τῆς προδοσίας. καὶ πλοῦτον μὲν οὐ πολύν, Γλώνην δὲ τῇ πόλει καταλιπόντος φύλακα, Καβάδου εἰς Νίσιβιν ἐπαναζεύξαντος πάλιν, καὶ τῆς Περσικῆς δυναστείας μεταξὺ Ἀμίδας, καὶ Κωνσταντίας διατριβούσης.

B

		54	50	4	9	3	8	6

		νδ'	ν'	δ'	θ'	γ'	η'	ς'

Hoc anno Gotthorum, Bessorum, & aliarum Thracicarum nationum exercitus Orientis Duci Præfectoque Areobindo Dalagaiphi filio, qui cum potestate magna dignitateque Consulatum Ordinarium gessit, commendatus ab Anast. Imp. mittitur. Huic ex patre avus fuit Areobindus, qui Theodosii Junioris temporibus in præliis adversus Perses claruit. Porro Areobindus Dalagaipho patri e Dyagesthea Ariabunii filia, & Asparis, cujus nomen supra memoratum, nepti susceptus fuit. Areobindo pariter socii plures dati sunt, & cum eo missi Duces, quorum illustriores fuere Patricius, & Hypatius Secundini & sororis Anastasii Imperatoris filius, & Pharasmanes genere Lazicus Zunæ pater, & supra laudatus Romanus, qui ex Euphratesia exercitui se adjunxerat, nec non Justinus postmodum Imperator renunciatus, & Zemarchus, & alii nonnulli. Copiis omnibus Edessæ Osroenæ provinciæ civitate, & Samosati altera Euphratesiæ urbe coactis, qui comitabantur Hypatium & Patricium circa Amidam Persica custodia liberandam occupabantur. Areobindus autem cum Romano & Asuado Tribunis & quibusdam aliis castra metatus, Cabadem ipsum Nisibi tunc commorantem aggreditur, variis præliis Persicas acies lacessit, Cabadem ipsum Nisibi fugat, & ex ejus agris multorum milium spatio eum secedere coegit: Quin etiam præcipuum Persarum in quodam conflictu occidit Ducem, cujus gladius & armilla a Scytha, qui virum mactaverat, Areobindo primum oblata, deinde quasi spectatissimum victoriæ monumentum ad Imperatorem missa. Imminuto in hunc modum Romanorum Ducum virtute Persarum exercitu, vires ampliores sibi comparatas adversus Romanos immittit, adeo ut Hypatii Patriciique copias adhortaretur Areobindus, relictis circum Amidam locis, ad suppetias sibi ferendas contendere. Qui cum præ invidia dimoveri recusarent, Areobindus ipse de repetendo Byzantio cogitasset, nisi Ægyptius, Appio totius exercitus Præfectus, & annonæ rebusque singulis inspiciendis invigilans, eum locis in illis consistere compulisset. Ita dissidentibus ab invicem Ducibus, Cabades Nisibin ingreditur, habitaque discriminis inter Duces orti notitia, cum alioqui copiosæ adessent illi vires, toto exercitu per turmas & globos diviso, in universam, ita loquar, excurrit Romanam ditionem, & abacta a Syris longe positis præ-

pag. 126.

Τούτῳ τῷ ἔτει στέλλεται παρὰ τοῦ βασιλέως Ἀναστασίου στρατιὰ Γότθων τε, καὶ Βεσσῶν, καὶ ἑτέρων Θρᾳκῶν ἐθνῶν, στρατηγοῦντος τῆς ἑῴας, καὶ ἐξάρχοντος αὐτῆς Ἀρεοβίνδου τοῦ Δαλαγαΐφου παιδὸς Ὑπάτου γεγονότος Ὀρδιναρίου, (τούτου πρὸς πατρὸς ἐγένετο πάππος Ἀρεόβινδος, ὁ κατὰ τὸν Θεοδοσίου τοῦ νέου χρόνον εὐδοκιμήσας κατὰ Περσῶν. ἐτέχθη δὲ Ἀρεόβινδος τῷ Δαλαγαΐφῳ ἀπὸ Διαγησθέας τῆς Ἀρδαβουρίου θυγατρὸς τοῦ παιδὸς Ἄσπαρος, οὗ πρόσθεν ἐμνημονεύσαμεν) ἐπὶ δυναστείᾳ μεγάλῃ. συναπεστάλησαν δὲ τῷ Ἀρεοβίνδῳ καὶ ἕτεροι πλεῖστοι στρατηγοί, ὧν οἱ περιφανέστατοι Πατρίκιος ἦν,

C καὶ Ὑπάτιος, ὁ Σεκουνδίνου καὶ τῆς ἀδελφῆς Ἀναστασίου τοῦ βασιλέως υἱός, καὶ Φαρασμάνης ὁ Ζουνᾶ πατὴρ τὸ γένος Λαζός, καὶ Ῥωμανὸς ὁ προειρημένος ἐξ Εὐφρατησίας συναφθεὶς τῷ στρατεύματι, καὶ Ἰουστῖνος ὁ βασιλεύσας μετὰ ταῦτα, καὶ Ζήμαρχος, καὶ ἕτεροί τινες τῆς δυνάμεως συνελθούσης ἐν Ἐδέσῃ τῇ πόλει τῆς Ὀσροηνῆς, καὶ Σαμοσάτης πόλεων τῆς Εὐφρατησίας. οἱ μὲν περὶ Ὑπάτιον καὶ Πατρίκιον ἠσχολοῦντο τὴν Ἄμιδαν ἐλευθερῶσαι τῆς Περσικῆς φυλακῆς. Ἀρεόβινδος δὲ μετὰ Ῥωμανοῦ, καὶ Ἀσουάδου φυλάρχων, καί τινων στρατοπεδευσάμενος, ὡς πρὸς αὐτὸν Καβάδην τότε εἰς Νί-

D σιβιν διατρίβοντα διαφόροις μάχαις καταγωνίζεται τῶν Περσικῶν, καὶ τῆς Νισίβεως Καβάδην ἀπελαύνει, καὶ πολλοῖς διαστήμασιν ὑποχωρῆσαι τῆς χώρας πεποίηκεν. ἀνεῖλε δὲ καὶ στρατηγὸν μέγιστον τῶν Περσῶν, ἐν μιᾷ συμπλοκῇ, οὗ καὶ τὸ ξίφος καὶ τὸ βραχιόλιον ἠνέχθη Ἀρεοβίνδῳ παρὰ τοῦ ἀνελόντος αὐτὸν Σκύθου, καὶ ἀξιόλογον, ὡς μάλιστα φανέν, σύμβολον τῆς νίκης ἐστάλη τῷ βασιλεῖ. τῆς οὖν Περσικῆς στρατιᾶς ἐλαττωθείσης ὑπὸ τοῖς Ῥωμαϊκοῖς στρατηγοῖς παρασκευασάμενος Καβάδης εἰσπέμπει στράτευμα πλεῖστον κατὰ Ῥωμαίων, ὥστε Ἀρεόβινδον προτρέψαι τοὺς περὶ Ὑπάτιον, καὶ Πατρίκιον, ἀπὸ τῶν περὶ Ἄμιδα τόπων εἰς συμμαχίαν αὐτῷ συνδραμεῖν. ἐκείνων δὲ παραιτησαμένων διὰ φθόνον ὑ-

E ποχωρῆσαι, ἐβουλήθη Ἀρεόβινδος καὶ εἰς Βυζάντιον εἰσελθεῖν, εἰ μὴ μόνος Ἀππίων ὁ Αἰγύπτιος, Ὕπαρχός τε τοῦ στρατεύματος ὤν, καὶ τῆς δαπάνης, καὶ τῆς ἐποψίας πάντων προσεχνικός, ἐπέχειν αὐτὸν ἐν τοῖς τόποις. διαφερομένων δὲ τῶν στρατηγῶν πρὸς ἀλλήλους, Καβάδης εἰς Νίσιβιν εἰσελθών, καὶ τὰ τῆς διχονοίας τῶν στρατηγῶν μαθών, αὐτός τε πολὺς ὢν τῷ πλήθει, καὶ πολλαχοῦ τὴν ἑαυτοῦ στρατιὰν κατακερματίζων, πᾶσαν ὡς εἰπεῖν, τὴν Ῥωμαϊκὴν κατέδραμε γῆν, καὶ ἐδῄωσε μέχρι Συριῶν

αὐτῶν. πολλοὺς μεταξὺ πρὸς Ἀρεόβινδον ὑπὲρ εἰρήνης ἐκπέμψας πρέσβεις, καὶ ἐπὶ χρήμασιν καταλύειν τὸν πόλεμον λέγων. ὅπου τοίνυν καὶ τὰ περὶ τὴν Ἔδεσαν μάλιστα καταδραμὼν, καθ᾽ ἣν Ἀρεόβινδος ἦν· πλὴν οὐ πράξας ἐκεῖ δεξιῶς, ἀλλὰ παρ᾽ ἐλπίδας ἐλαττοῦται τῆς Ἀρεοβίνδου μάχης. γνοὺς δὲ καὶ τὸν Ἀμίδης φύλακα Γλώην τὸν στρατηγὸν αὐτοῦ διαφθαρῆναι μηχανώμενον, ἐπανέρχεται κακωθεὶς δι᾽ ἑτέρας ὁδοῦ, καταφρονήσας τῶν ὁμήρων, ὧν ἐδεδώκει τῷ Ἀρεοβίνδῳ, τοὺς εἰρήνης λόγους· καὶ κατέσχον παρὰ τὰς συνθήκας Ἀλύπιόν τε τὸν χρηστὸν ἐκεῖνον, καὶ Βασίλειον τὸν Ἐδεσηνόν· ὥστε μετὰ τὴν ἀναχώρησιν αὐτοῦ τὴν ἐπὶ τὰ οἰκεῖα, χειμῶνος ἤδη καταλαβόντος, τοὺς μὲν στρατηγοὺς Ῥωμαίους ἐν διαφόροις τῆς Εὐφρατησίας, καὶ Ὀσροηνῆς, καὶ Μεσοποταμίας, καὶ Σύρων, καὶ Ἀρμενίων διαιρεθῆναι πολίσμασι τὸν χειμέριον αὐλισθησομένους καιρόν.

Τῷ δ᾽ αὐτῷ ἔτει ἱππικοῦ γενομένου ἀταξία γέγονε τῶν δύο μερῶν, καὶ πολλοὶ ἀπέθανον ἐξ ἀμφοτέρων, ἐν οἷς καὶ ὁ υἱὸς Ἀναστασίου τοῦ βασιλέως, ὃν εἶχεν ἀπὸ παλλακῆς· καὶ σφόδρα λυπηθεὶς Ἀναστάσιος πολλοὺς ἐτιμωρήσατο, καὶ ἄλλους ἐξορίαις παρέπεμψεν.

Κόσμου ἔτη ͵εϡϟη'.	Τῆς θείας σαρκώσεως ἔτη υϟη'.	Ῥωμ. βασιλ. Ἀναστάσιος ἔτη κζ'.	Περσῶν βασ. Καβάδης ἔτη λ'.	Ῥωμ. ἐπισκ. Σύμμαχος ἔτη ιβ'.	Κωνστ. ἐπισκ. Μακεδόνιος ἔτη ις'.	Ἱεροσ. ἐπισκ. Σαλούστιος ἔτη η'.	Ἀλεξ. ἐπισκ. Ἰωάννης ἔτη θ'.	Ἀντ. ἐπισκ. Φλαβιανὸς ἔτη ιγ'.
		ιε'	ι'	η'	ι'	γ'	θ'	ζ'

Τούτῳ τῷ ἔτει Κέλλερα τὸν Μάγιστρον ὑπὸ τοῦ βασιλέως πεμφθέντα μετὰ τῆς σὺν αὐτῷ πλείστης δυνάμεως, καὶ τὴν ὅλην σχεδὸν ἐξουσίαν παρειληφότα σὺν Θεοδότῳ στρατηγῷ, τούτοις κατεπίστευσεν ὁ βασιλεὺς τὴν τοῦ παντὸς πολέμου διοίκησιν. Ἀππίωνα δὲ καὶ Ὑπάτιον μεταπέμπεται σπουδαίως εἰς τὸ Βυζάντιον, οὐκ ἀναγκαίους ἡγησάμενος εἶναι τῷ στρατοπέδῳ διὰ τὴν πρὸς Ἀρεόβινδον τὸν στρατηγὸν ἔχθραν. Καλλιόπιον δὲ τὸν στρατηγὸν ἐπιστήσας τῇ τοῦ δαπανήματος ἀρχῇ. τοῦ Κέλλερος τοίνυν ἀρίστην πάντα πόλεμον ἅμα τῷ Ἀρεοβίνδῳ, καὶ Πατρικίῳ, καὶ Βορίσῳ, καὶ Τιμοστράτῳ, καὶ Ῥωμανῷ, καὶ τοῖς λοιποῖς κατὰ διαφόρους τόπους οἰκονομήσαντος· ἦν γὰρ ὁ ἀνὴρ μετὰ λόγου καὶ παιδείας πάσης χάριτος Θεοῦ πολλῆς πεπληρωμένος, καὶ ἀνδρεῖος, Ἰλλυριὸς μὲν τῷ γένει, ὅθεν καὶ Ἀναστάσιος ὥρμητο, πολλὰς μὲν τῆς Περσικῆς χώρας καὶ φρούρια ἐπιδραμὼν, τὰ μὲν πυρὶ, τὰ δὲ καὶ ἄλλοις καθῃρέθη τρόποις· ὥστε καὶ αὐτὴν Νίσιν μικροῦ δεῖν ὑπὸ Ῥωμαίων γενέσθαι· ἐκράτει γὰρ καὶ λιμὸς τῶν Περσικῶν τηνικαῦτα. εἶτα καὶ ἐπανάστασις αὐτοῖς ἐπισυμβέβηκεν ἐθνική, τῶν λεγομένων Καδουσίων, καὶ ἑτέρων ἐθνῶν, καὶ οὕτως ἁπλῶς ἐπικρατοῦσι τῶν Περσικῶν πραγμάτων, ὡς ἀποστεῖλαι Καβάδην Ἀσπέτιον στρατηγὸν περὶ εἰρήνης ἐσπουδασμένως διαλεχθῆναι Ῥωμαίοις. καὶ εἰ μηδὲ ὀλίγον τι κομιζόμενον, ἀποδοῦναι καὶ Ἄμιδαν αὐτοῖς ὑπὸ δυνηθεῖσι μετὰ μυρίων καὶ λιμὸν ἤδη ἐπικρατήσαντα τῶν φυλάκων ἀπὸ Περσῶν αὐτὴν ἐξελέσθαι, καὶ διὰ τὴν τοῦ τόπου θέσιν, καὶ διὰ τῶν τειχῶν ἀκατάλυτον.

da, plures interim ad Areobindum de pace componenda Legatos decernit, bellumque pecunia dirimendum denunciat. Loca igitur circa Edessam, in qua Areobindus metabatur, devastans, nil prosperum ibi peregit: quinimmo ex pugna cum Areobindo præter expectationem commissa viribus deterior recessit. Cum vero insuper Gloem Ducem, quem Amidæ præsidio reliquerat, perire paratum rescivit, per aliam viam cum magna clade accepta recessit, fidem, per obsides quos Areobindo dederat, oppignoratam, & de pace collocutionem parvi pendens: Quinetiam Alypium virum illum optimum, & Basilium Edessenum, præter ictas conditiones penes se detinuerunt Persæ: ita ut Cabade in ditionis suæ fines regresso, Romani Duces a se invicem disjuncti in diversa Euphratesiæ, Osthoenæ, Mesopotamiæ, Syriæ, atque Armeniæ oppida hyemantes se contulerint,

Hoc anno equestri agone celebrato, facta est duarum factionum seditio, & ex utraque periere plurimi, inter quos Anastasii filius ex pellice natus numeratus est: cujus morte vehementer afflictus Anastasius plures ultimo supplicio, alios exilio mulctavit.

Anni mundi 5998.	Divinæ Incarn. 498.	Rom. Imp. Anastasius annis 27.	Persarum rex Cabades annis 30.	Romæ Episc. Symmachus ann. 12.	Constant. Episc. Macedonius annis 16.	Hierosol. Episc. Salustius annis 8.	Alex. Episc. Joannes annis 9.	Ant. Episc. Flavianus annis 13.
		15	10	8	10	3	9	7

Hoc anno Cellore * Magistro cum maxima subditarum sibi copiarum vi misso, & cum Theodoto Duce supremam pene in exercitum omnem potestatem adepto universam belli administrandi curam commisit Imperator: Appionem & Hypatium, quorum operam haud amplius in castris desiderari ob exercitas cum Areobindo Duce inimicitias arbitrabatur, Byzantium diligentius revocat: & rei annonariæ summam Calliopio Duci commendat præfecturam. * Cellor porro cum Areobindo, & Patricio, Boruso, & Timostrato, atque Romano, nec non reliquis aliis rationem bellandi optimam per varia quæque loca sempet exercuit. Vir enim fuit præstantis ingenii & magnæ doctrinæ, animi fortitudine Deique gratia ad summum repleres, ex Illyrico, unde & Anastasius ducebat originem, trahens genus; & continuis quidem incursionibus Persarum agros & munita quæque loca vexans, alia quidem igne, alia modis aliis devastabat: adeo ut ipsa Nisibis in Romanorum potestatem tantum non veniret. Fames enim Persicam regionem invaserat. Tum vero per provincias, Cadusiorum maxime dictorum, & aliarum gentium tumultus unus post alium audiebantur exoriri; illisque tantopere Persarum res jactabantur, ut Aspetium Ducem de pace cum Romanis collocuturum propense Cabades destinarit. Et quamvis leve quid fuerit a Romanis reportatum; Amidam certe, quam infinitis laboribus recipere, nec Persarum in præsidio locatorum manibus etiam famis in eos invalescentis vi potuerant eripere, tam ob opportunum loci situm, quam ob indissolubilem murorum firmitatem, nullo negotio restituerunt Persæ. Ingruentes præterea hyemis

* Celere

Edit. Paris. pag. 327.

molestias secum reputantes Duces, ex locorum, in quibus cum Aspetio pacis conferebantur sermones, difficultatibus, & periculosa hyematione Romanorum exercitum paucis talentis redimere satius esse duxerunt. Talentis igitur ad triginta datis Basilium Edessenum apud Persas obsidem adhuc agentem (Alypius enim ille bonus vir morborum diuturnitate penes eos diem suum obierat) receperunt, redditisque pariter, quos tenebant obsidibus, & Amida recuperata, in Ammodiæ & Mardes confiniis convenientes pacis conditiones tandem tulerunt, ipsasque demum scriptis obfirmatas dederunt & acceperunt. Isque fuit exitus belli ab Anastasio adversus Persas gesti, qui circa decimum & quintum imperii illius annum incidit. Cum autem per totum triennium bellum durasset, a quo multo magis quam a cæteris omnibus retro bellis Persarum ditio exhausta fuit, in hanc tamen finem Anastasio decimum & quintum annum imperante deductum est. Cæterum Joanne Alexandriæ Præsule defuncto Joannes Nicæota Ecclesiastica consecratione locum ejus occupat.

Hoc eodem anno plura ex ære opera, ex his, quæ posuit magnus Constantinus, Anastasii jussu conflata sunt. Ipse vero propriam ex illis sibi statuam effinxit, quam in Tauri columna erexit: quæ prius enim magno Theodosio locata fuerat, terræ motu disjecta & comminuta fuit.

Edit. Paris. pag. 128.

Anni mundi 5993.	Divinæ Incarn. 499.	Rom. Imperat. Anastasius annis 27.	Persarum rex Cabades annis 30.	Romæ Episcop. Symmachus annis 12.	Constant. Episc. Macedonius annis 16.	Hierosol. Episc. Salustius annis 8.	Alexan. Episc. Joannes Nicæota annis 11.	Antioc. Episc. Flavianus annis 13.
		16	12	6	14	4	7	8

Hoc anno bellis liberatus Anastasius pervertendo Macedonio Patriarchæ a recto fidei sensu studium omne contulit. Plures autem Episcoporum Anastasii gratiæ sibi promerendæ cupidi, Chalcedonensis Synodi se declaraverunt adversarios: quorum antesignanus Eleusius Asemensis Episcopus extitit. Manichæum vero quemdam Syropersam genere pictoriæ artis peritum Presbyteri vestibus ornatum Cyzico adduxit Anastasius, qui monstruosa quædam, & a sanctis Ecclesiæ imaginibus aliena ad Imperatoris Manichæorum opinionibus assueti mentem in Helenianorum palatio depingere jussus est: ex quo magna populi seditio coorta. Ut Præfectus in conventibus Ecclesiasticis, vel publicis processionibus Imperatorem pone sequeretur, novo commento Anastasius edixit: sibi quippe timebat a Catholicorum tumultibus: & jam res in consuetudinem transiit. Xenajam præterea Manichæorum sectatorem, Philoxenum alias dictum, ut pote qui una secum sentiret, Anastasius Byzantium accersivit. Macedonius autem Clero, Monachis, & populo propter eum tumultuantibus, neque communione, neque alloquii familiaritate dignatus est: quocirca clam eum Urbe subduxit Anastasius. Acholium porro quemdam, ex infensorum sibi suggestione gladium in caput educentem, menstruam annonam jussit reportare Macedonius, tanta in hominem clementia laudatus: quam pariter liberalitatem in egenos quosdam, qui Ecclesiam compilaverant, exercuit.

A Ἀπλεῶ οἱ στρατηγοὶ χειμῶνα πάλιν ὁρῶντες ἐπιόντα, καὶ αἱρετώτερον εἶναι κρίναντες ὀλίγων ταλάντων ἐξωνήσασθαι τὸ Ῥωμαϊκὸν στρατόπεδον ἐκ τῶν χειμερίων τῶν τόπων, ἐν οἷς οἱ πρὸς Ἀσπέτιον ἐγίνοντο λόγοι, τριάκοντα τάλαντα παρασχόντες, καὶ ἀναλαβόντες Βασίλειον τὸν Ἐδεσηνὸν, ὃν ὁμηρεύοντα πρὸς Πέρσας ἔτι. Ἀλύπιος γὰρ ὁ χρηστὸς ἐτεθνήκει νόσῳ καμὼν παρ' ἐκείνοις, καὶ ἀναδόντες οὓς εἶχον ὁμήρους, Ἀμιδάν τε ἀπολαβόντες, καὶ τὰς περὶ τῆς εἰρήνης ποιοῦντες συνθήκας ἐν μεθορίοις γενόμενοι τῆς Ἀμμωδίας, καὶ τοῦ Μαρδῆς χωρίου, καὶ γράμμασι τοῦτο βεβαιώσαντες. καὶ τοῦτο τέλος ἔσχεν Ἀναστασίου ὁ Περσικὸς πόλεμος κατὰ τὸ ιε΄. ἔτος τῆς αὐτοῦ βα-B σιλείας, τριετίαν μὲν κρατήσας, μᾶλλον δὲ τῶν ἔμπροσθεν πολέμων τὴν Περσῶν λυμηνάμενος γῆν εἰς τὸ τέλος τοῦ ιε΄. ἔτους τῆς Ἀναστασίου βασιλείας ἔληξεν. Ἰωάννου δὲ τοῦ ἐπισκόπου Ἀλεξανδρείας τελευτήσαντος, Ἰωάννης ὁ Νικαιώτης χειροτονεῖται ἀντ' αὐτοῦ.

Τῷ δ' αὐτῷ ἔτει ἐκέλευσεν Ἀναστάσιος, καὶ ἐχωνεύθησαν πολλὰ χαλκουργήματα, ἐξ ὧν ὁ μέγας ἔστησε Κωνσταντῖνος. ἐποίησε δὲ ἐξ αὐτῶν στήλην ἰδίαν, καὶ ἔστησεν εἰς τὸν κίονα τοῦ Ταύρου. ἡ γὰρ πρώην ἑστῶσα Θεοδοσίου τοῦ μεγάλου ἔπεσεν ἀπὸ σεισμοῦ, καὶ συνετρίβη.

C

Κόσμου ἔτη ,εϡϟγ΄.	Τῆς θείας σαρκ. ἔτη υϟθ΄.	Ῥωμ. βασιλ. Ἀναστάσιος ἔτη κζ΄.	Περσῶν βασ. Καβάδης ἔτη λ΄.	Ῥωμ. ἐπίσκ. Σύμμαχος ἔτη ιβ΄.	Κωνσ. ἐπίσκ. Μακεδόνιος ἔτη ιϛ΄.	Ἱεροσ. ἐπίσκ. Σαλούστιος ἔτη η΄.	Ἀλεξ. ἐπίσκ. Ἰωάν. ὁ Νικαιώτ. ἔτη ια΄.	Ἀντ. ἐπίσκ. Φλαβιανὸς ἔτη ιγ΄.
		ιϛ΄	ιβ΄	ϛ΄.	ιδ΄	δ΄.	α΄	η΄

Τούτῳ τῷ ἔτει Ἀναστάσιος ἀνεθεὶς τῶν πολέμων Μακεδόνιον τὸν Πατριάρχην διαστρέψαι ἐκ τῆς ὀρ-D θοδόξου πίστεως ἐσπούδαζε. πολλοὶ δὲ τῶν ἐπισκόπων Ἀναστασίῳ χαριζόμενοι τῇ ἐν Χαλκηδόνι συνόδῳ ἀντέπιπτον, ὧν πρῶτος ἦν Ἐλεύσιος ὁ Ἀσήμων. Μανιχαῖον δέ τινα ζωγράφον Συροπέρσην ἀπὸ Κυζίκου Ἀναστάσιος ἤγαγεν ἐν σχήματι πρεσβυτέρου· ὃς ἀλλότρια τῶν ἐκκλησιαστικῶν ἁγίων εἰκόνων ἐτόλμησε γράψαι φασματώδη ἐν τῷ παλατίῳ Ἑλληνιανῶν γνώμῃ τοῦ βασιλέως χαίροντος τοῖς Μανιχαίοις. ὅθεν καὶ στάσις τοῦ λαοῦ γέγονε μεγάλη. τὸν ὕπαρχον ἐν ταῖς συνάξεσι, καὶ ἐν ταῖς λιταῖς τότε ἐπενόησεν ἀκολουθεῖν ὁ βασιλεύς. ἐφοβεῖτο γὰρ τῶν ὀρθοδόξων τὰς ἐπαναστάσεις· καὶ ἐγένετο εἰς ἔθος. Ξεναΐαν τὸν Μανιχαιόφρονα ἤγαγεν Ἀναστάσιος εἰς τὸ Βυζάντιον, τὸν καὶ Φιλόξενον, ὡς ὁμόφρονα. Μακεδόνιος δὲ E οὔτε κοινωνίας, οὔτε λόγου αὐτὸν ἠξίωσε, τοῦ κλήρου, καὶ τῶν μοναχῶν, καὶ τοῦ λαοῦ παραιτουμένου. ὅθεν καὶ λάθρα τῆς πόλεως αὐτὸν ἐξήγαγεν Ἀναστάσιος· Ἀχόλιον δέ τινα Μακεδόνιος σπασάμενον κατ' αὐτοῦ μάχαιραν ἐξ ὑποβολῆς τῶν ἐχθραινόντων αὐτὸν, μηνιαίας ἀννώνας προσέταξεν αὐτὸν λαμβάνειν, ἐπαινεθεὶς τῇ πραότητι. τοῦτο δὲ εἰς ἐνδεεῖς ἱεροσύλους ἔπραξεν.

Τούτῳ δὲ τῷ ἔτει ἀνεφάνη τις ἀνὴρ χωνευτὴς ὑπάρχων, φοβερὸς, Ἰωάννης ὀνόματι, ἐν Ἀντιοχείᾳ ἐπιθέτης, ὃς λάθρα εἰσερχόμενος εἰς τὰ ἀργυροπρατεῖα ὑπεδείκνυε τοῖς ἀργυροπράταις χεῖρας ἀνδριάντων χρυσᾶς, καὶ πόδας, καὶ ἄλλα ζώδια λέγων· ἄρτι θησαυρὸν εὗρον γέμοντα ταῦτα, καὶ ἠπάτησε πολλοὺς, καὶ ἐκόμβωσε πολλούς· ὥστε γνόντα τὸν βασιλέα κρατῆσαι αὐτόν. ὁ δὲ προσήνεγκε τῷ βασιλεῖ χαλινὸν ἵππου ὁλόχρυσον διὰ μαργαριτῶν· καὶ τοῦτον λαβὼν ὁ βασιλεὺς, λέγει αὐτῷ· ὄντως ἐμὲ οὐ κομβώσεις. καὶ ἐξώρισεν αὐτὸν εἰς τὴν Πέτραν τὸ φρούριον τῆς Ἀσίας, καὶ ἐκεῖ ἐτελεύτησε.

Hoc etiam anno vir quidam artis conflatoriæ peritus, ac plane portentum æstimatus, Joannes nomine, veterator insignis Antiochiæ visus est: qui clam argentariorum tabernas obambulans, statuarum manus, pedes, & animalculorum signa auro solido conflata argentariis ostentabat, dicens: Thesaurum hujusmodi rerum plenum inveni. Et his præstigiis multos decepit, atque delusit: adeo ut de illis monitus Imperator hominem teneret. Ille frænum equi auro puro compactum, gemmisque respersum Imperatori obtulit: quo accepto, dixit Imperator. Certe non mihi præstigiis illudes: Eumque relegavit Petram, quod est Asiæ munimentum: atque ibi tandem interiit.

Edit. Parif. pag. 129.

,ϛ	φ	κζ	ιγ'	ζ'	ιβ'	ε'	γ'	β'

6000	500	27	13	7	12	5	3	2

Τούτῳ τῷ ἔτει Ἀναστάσιος ὁ βασιλεὺς ἐτείχισε τὸ Δάρας χωρίον ὂν τῆς Μεσοποταμίας μέγα καὶ ὀχυρὸν μέσον τῶν ὅρων κείμενον Ῥωμαίων τε καὶ Περσῶν, καὶ ἐποίησεν ἐκκλησίας, καὶ ὡρεῖα ἀποθέτην σίτου, καὶ γιστέρνας ὑδάτων, καὶ ἐμβόλους· ὀνομάσας αὐτὴν Ἀναστασιούπολιν. ἔκτισε δὲ καὶ δύο δημόσια λουτρὰ, καὶ ἔδωκεν αὐτῇ δίκαια πόλεως.

Hoc anno Imperator Anastasius Daras castrum Mesopotamiæ magnum atque firmum in Romanæ ac Persicæ ditionis finibus situm mœnibus cinxit: & Ecclesias, horreaque reponendis frumentis, ac cisternas recipiendis aquis, nec non porticus in eo constituit; & nuncupavit Anastasiopolim: sed & publicæ commoditati duo balnea dicavit, & loco civitatis concessit jura.

Κόσμου ἔτ. ,ϛ.	Τῆς θείας σαρκ. φ.	Ῥωμ. βασ. Ἀναστάσιος ἔτ. κζ'	Περσ. βασ. Καβάδης ἔτη λ'.	Ῥωμ. ἐπίσκοπος Σύμμαχος ἔτη ιε'.	Κωνστ. ἐπίσκ. Μακεδόνιος ἔτη ιϛ'.	Ἱεροσ. ἐπίσκ. Σαλούστιος ἔτη η'.	Ἀλεξ. ἐπίσκ. Ἰωάννης ἔτη ιά.	Ἀντ. ἐπίσκ. Φλαβιανὸς ἔτη ι'.
		ιη'	ιδ'	θ'	ιγ'	ϛ'	γ'	ι'

Anni mundi 6000.	Divinæ Incarn. 500.	Rom. Imp. Anastasius annis 27.	Persarum rex Cabades annis 30.	Romæ Episc. Symmachus annis 15.	Constant. Episc. Macedonius annis 16.	Hierosol. Episc. Salustius annis 8.	Alexand. Episc. Joannes annis 11	Antioc. Episc. Flav. annis 10.
		18	14	8	13	6	3	10

Τούτῳ τῷ ἔτει Ἀναστάσιος ὁ βασιλεὺς Φλαβιανὸν τὸν Ἀντιοχείας ἐπίσκοπον ἠνάγκασε τῷ ἑνωτικῷ Ζήνωνος ὑπογράψαι, ὃς ποιήσας σύνοδον τῶν ὑπ' αὐτὸν ἐπισκόπων πολύστιχον ἐπιστολὴν ἔγραψε, τὴν ἐν Νικαίᾳ, καὶ Κωνσταντινουπόλει, καὶ Ἐφέσῳ ὁμολογῶν συνόδους, τὴν ἐν Χαλκηδόνι παρασιωπήσας. ἀπεκήρυξε δὲ Διόδωρον καὶ Θεόδωρον, ὑποτάξας κεφάλαια δι' ὧν μὴ συνᾴδειν τῇ ἐν Χαλκηδόνι φαίνεται συνόδῳ, μάλιστα ἐν τῇ φωνῇ τῇ, ἐν δύο φύσεσι, ἀπομάχονται. φασὶ δέ τινες αὐτὰ Ἀκακίου τοῦ Κωνσταντινουπόλεως εἶναι. ὁ δὲ Φλαβιανὸς ἰδιάζουσαν ἐπιστολὴν ἔγραψεν Ἀναστασίῳ τῷ σκοπῷ αὐτοῦ ἑπόμενος· ὁμοίως δὲ Ξεναΐας ὁ δυσσεβὴς, ὅστις καὶ αὐθαδήσας, προσέθηκε τούτοις τοῖς κεφαλαίοις ἀνάθεμα κατὰ τοῦ θεσπεσίου Λέοντος Ῥώμης, καὶ τῆς συνόδου, καὶ τῶν ὁμοφρόνων αὐτοῦ. Κωνσταντῖνος δ' ἐπίσκοπος Σελευκείας τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἀνεθεμάτισε γράψας τὸ αὐτὸ τῷ Ξεναΐᾳ. Φλαβιανὸς δὲ ὡς διαβάλλων αὐτοὺς ἔγραψε τῷ βασιλεῖ μηνύων ταῦτα. ὁ δὲ βασιλεὺς ἠγανάκτησε κατ' αὐτοῦ, Κωνσταντῖνον δὲ καὶ Ξεναΐαν μᾶλλον ἀποδεξάμενος, Ἠλίᾳ τῷ ἐπισκόπῳ Ἱεροσολύμων ἔγραψεν Ἀναστάσιος κελεύων κατὰ τῆς ἐν Χαλκηδόνι συνόδου ψηφίσασθαι. Ἠλίας δὲ ἀντέγραψε τῷ βασιλεῖ ἀναθεματίσας Νεστόριον καὶ Εὐτυχέα, Διόδωρον καὶ Θεόδωρον, καὶ τὴν ἐν Χαλκηδόνι σύνοδον ἀποδεχόμενος.

Hoc anno Anastasius Imperator Flavianum Antiochiæ Episcopum Concordiæ sanctioni a Zenone editæ subscribere coegit, qui Episcoporum sibi subditorum congregata Synodo, prolixam scripsit epistolam, Nicænam, Constantinopolitanam, & Ephesinam admittens Synodos, Chalcedone vero actam silentio præteriit. Sed & Diodorum & Theodorum subinde damnavit, quatuor subjiciens capita, in quibus cum Chalcedonensi Synodo minime consentire videtur: maxime vero vocibus istis, IN DUABUS NATURIS, opponuntur ista capitula. Nonnulli Acacii Constantinopol. Præsulis ea capita fœtum esse dicunt. Porro Flavianus privatam Anastasio dedit epistolam, qua in mentem ejus omnino concedit, quemadmodum etiam impius Xenajas, qui eo progressus est temeritatis, ut adversus divinissimum Leonem Romæ Episcopum, Synodum ipsam, & utriusque asseclas execrationes immitteret. Quinetiam Constantinus Seleuciæ Episcopus sanctam Chalcedonensem Synodum anathemate percussit, eadem prorsus ac Xenajas scribens. Flavianus autem ac si ipsos eo nomine accusare maluisset, hæc omnia Imperatori per litteras renunciavit. Imperator Flaviano succensuit, Constantinum autem atque Xenajam probavit amplius; tum vero Eliæ Hierosolymorum Episcopo, ut adversus Chalcedonensem Synodum ferret sententiam scripto mandavit. Elias Imperatori rescribens, Nestorium, & Eutychem, Diodorum & Theodorum diris devovit, & actam Chalcedone Synodum se recipere testatus est.

pag. 130.

Τῷ δ' αὐτῷ ἔτει ἐγένετο ἐν Ἀλεξανδρείᾳ τα-

Hoc etiam anno ingens tumultus Ale-

xandriæ eaortus eſt inter Joannem Nicæotam Epiſcopum, & Dagalaiphum Comitem Gennadii Phicopetri gratia: eaque ſeditio plures dies in urbe duravit. Et quidem milites Epiſcopi Joannis domum incenderunt, & Phicopetri ædes a populo pariter combuſtæ. Alexandrini porro ad Cantharum Imperatori ſtatuam poſuerunt.

		89	15	9	14	7	4	11

Hoc anno Monachi quidam Hæretici numero ducenti ab Oriente Byzantium cum impio Severo transfretati inſidias Macedonio, & Synodo damnationem parabant. Iſtos Anaſtaſius cum bonore ſuſcepit, ceu veritatis adverſarios, qui totum conturbarent Orientem, & eadem pariter forent hic molituri. Joannes autem Aleaandriæ Epiſcopus ducentas auri libras Imperatori ſe daturum pollicitus eſt, ſi modo celebratam Chalcedone Synodum funditus abrogaret. Imperator itaque Macedonium cum Joannis Legatis communionem habere cogebat, & Joanni ipſi, qui nec reciperet, nec reſpueret Synodum, pacem dare. In adverſum oppoſuit ſe Macedonius dicens: Nullam ſe communionem iis impertiri, niſi matrem & magiſtram profiterentur Chalcedonenſem Synodum. Deuterius porro Arianorum Epiſcopus quempiam nomine Barbarum baptizare paratus, repugnante licet Dominica traditione, verba iſtiuſmodi proferre auſus eſt: Baptizatur Barbarus in nomine Patris, per Filium, in ſancto Spiritu: & confeſtim exaruit piſcina. Barbarus terrore perculſus fugæ ſe dedit, & omnibus poſtmodum quod contigerat miraculum manifeſtavit. In his Imperator Macedonium Conſtantinopol. Præſulem habitam olim Chalcedone Synodum reprobare, quemadmodum & Hieroſolymorum Epiſcopus Elias, cogebat. Ad hæc Macedonius: Citra univerſalem Synodum cui primus aſſideret Romanus Epiſcopus, id ſe eaequi non poſſe referebat. Quibus Imperator exaſperatus, immunitatis quærendæ cauſa confugientes in Eccleſiam per vim abripi juſſit, & libertatis hujuſmodi Hæreticorum fanis conceſſit jura. Quilibet autem tam e Clero, quam e plebe Byzantii degentes Hæretici Severo atque Hæreticis iſtis Orientis in oppugnando Macedonio præſtabant operas: Ea quo Deiferi Palæſtinæ Monachi divinn moti affectu Severum & ejus aſſeclas Monachos confutaturi Conſtantinopol. convenerunt. Dorotheus interim Alexandrinus Monachus pro Chalcedonenſis Synodi defenſione volumen ingens a ſe conſcriptum Magnæ Anaſtaſii fratris ſponſæ rectum de fide ſenſum illuc uſque ſervanti obtulit: quem ipſa dedit Anaſtaſio, claritate doctrinæ virum a perfidia dimovere ſperans. Ille libro perlecto, cum præter opinionem opus digeſtum animadverteret, Dorotheum in Oaſim ablegat, & flocci fecit librum, quod gereret inſcriptum, Tragœdia, hoc eſt Prophetia præſentis rerum ſtatus: quemadmodum a magno etiam Baſilio adverſus Julianum pronunciatum narrant. Cæterum Macedonius Flavianum Aotiochenſem, & quicumque contra Synodum leviter oblatrarent anathematum fulmine percellebat, Flavianique Legatos, ob quædam negotia ſe convenientes eaecrationibus ſuppoſitus e conſpectu amovit.

Edit. Pariſ. pag. 131.

A ραχὴ μεταξὺ Ἰωάννου τοῦ ἐπισκόπου Νικαιώτου, καὶ Δαγαλαΐφου Κόμητος, περὶ Γενναδίου τοῦ Φικοπέτρου· καὶ ἐγένετο στάσις ἐπὶ τῆς πόλεως ἐπὶ ἡμέρας πολλάς· καὶ ἐνεπύρισαν τὴν οἰκίαν τοῦ ἐπισκόπου Ἰωάννου οἱ στρατιῶται, ὑπὸ δὲ τῶν πολιτῶν ἡ οἰκία τοῦ Φικοπέτρου. καὶ ἔστησαν οἱ Ἀλεξανδρεῖς στήλην τοῦ βασιλέως ἐν τῷ Αντικανθάρῳ.

		θ	ιε	θ	ιδ	ζ	δ	ια

Τούτῳ τῷ ἔτει μοναχοί τινες αἱρετικοὶ διακόσιοι ἐλθόντες ἀπὸ ἀνατολῆς ἐν τῷ Βυζαντίῳ ἅμα Σευήρῳ τῷ δυσσεβεῖ κατὰ Μακεδονίου, καὶ τῆς συνόδου ἐσπούδαζον. τούτους Ἀναστάσιος ἐντίμως ἐδέξατο, ὡς ἐχθροὺς τῆς ἀληθείας, καὶ ταράξαντας τὴν ἀνατολὴν, καὶ ὧδε ταῦτα πράσσοντας. Ἰωάννης δὲ ὁ ἐπίσκοπος Ἀλεξανδρείας δισχιλίας λίτρας χρυσίου διδόναι ὑπέσχετο τῷ βασιλεῖ, εἰ τὴν ἐν Χαλκηδόνι σύνοδον ἐκβάλῃ τελείως. ὁ δὲ βασιλεὺς ἠνάγκαζε Μακεδόνιον κοινωνῆσαι τοῖς Ἀποκρισιαρίοις Ἰωάννου, καὶ Ἰωάννην δέξασθαι μὴ δεχόμενον αὐτὸν, μηδὲ ἐκβάλλοντα τὴν σύνοδον. Μακεδόνιος δὲ ἀντέστη εἰπών· μὴ κοινωνεῖν αὐτοῖς, εἰ μὴ ὁμολογήσωσι μητέρα καὶ διδάσκαλον τὴν ἐν Χαλκηδόνι σύνοδον. Δευτέριος δὲ ὁ ἐπίσκοπος τῶν Ἀρειανῶν βαπτίζων τινὰ Βάρβαρον λεγόμενον παρὰ τὴν ἀποστολικὴν παράδοσιν, ἐτόλμησεν εἰπεῖν. βαπτίζεται Βάρβαρος εἰς τὸ ὄνομα τοῦ πατρὸς, δι' υἱοῦ, ἐν ἁγίῳ πνεύματι. καὶ εὐθέως ἐξηράνθη ἡ κολυμβήθρα. ὁ δὲ Βάρβαρος ἔμφοβος γενόμενος ἔφυγε, καὶ πᾶσιν ἐγνώρισε τὸ θαῦμα. ὁ δὲ βασιλεὺς Μακεδόνιον τὸν ΚΠ. ἠνάγκαζεν ἀναθεματίσαι τὴν ἐν Χαλκηδόνι σύνοδον, καθάπερ καὶ Ἠλίας Ἱεροσολύμων· ὁ δὲ Μακεδόνιος χωρὶς οἰκουμενικῆς συνόδου ἐχούσης πρόεδρον τὸν Ῥώμης ἐπίσκοπον ἀδύνατον ἔλεγεν τοῦτο ποιῆσαι. ὅθεν ἐχθρήνας αὐτῷ ὁ βασιλεὺς, τοὺς προσφεύγοντας τῇ ἐκκλησίᾳ ἀποσπᾶσθαι ἐκέλευσε βιαίως, καὶ ταῖς ἐκκλησίαις αἱρετικῶν ὅρους ἀσυλίας παρέσχετο. ὅσοι δὲ κληρικοὶ καὶ λαϊκοὶ αἱρετικοὶ ἐτύγχανον ἐν τῷ Βυζαντίῳ τῷ Σευήρῳ καὶ τοῖς Μανιχαίοις αἱρετικοῖς ἀνατολικοῖς ἐσχόλαζον κατὰ Μακεδονίου σπουδάζοντες· ὅθεν οἱ κατὰ Παλαιστίνην θεοφόροι μοναχοὶ ζήλῳ θείῳ κινηθέντες ἦλθον εἰς τὸ Βυζάντιον κατὰ Σευήρου καὶ τῶν σὺν αὐτῷ μοναχῶν. Δωρόθεος δὲ μοναχὸς Ἀλεξανδρεὺς πολύστιχον βίβλον ἔγραψεν ὑπὲρ τῆς ἐν Χαλκηδόνι συνόδου, ἣν δέδωκε Μάγνᾳ τῇ νύμφῃ Ἀναστασίου ἐπ' ἀδελφῷ ὀρθοδόξῳ οὔσῃ. αὐτὴ δὲ Ἀναστασίῳ τὴν βίβλον προσήνεγκεν ἐλπίζουσα δι' αὐτῆς μετατίθεσθαι αὐτόν. ὁ δὲ ἐντυχὼν αὐτῇ, παρὰ γνώμην αὐτοῦ εὑρὼν οὖσαν, Δωρόθεον μὲν εἰς Ὄασιν ἐξορίζει, καὶ τὴν βίβλον ἐξουθενεῖ διὰ τὸ ἐπιγράφειν, Τραγῳδία, ἤγουν προφητεία τῆς νῦν καταστάσεως, ὥσπερ τῷ μεγάλῳ Βασιλείῳ φασὶν εἰρῆσθαι κατὰ Ἰουλιανοῦ. ὁ δὲ Μακεδόνιος Φλαβιανὸν τὸν Ἀντιοχείας, καὶ πάντας τοὺς τολμῶντας λέγειν τι κατὰ τῆς συνόδου ἀνεθεμάτιζεν, καὶ τοὺς Ἀποκρισιαρίους Φλαβιανοῦ ἐλθόντας πρὸς αὐτὸν διά τινας χρείας ἀνεθεμάτισεν, καὶ ἐδίωξεν.

Τούτῳ

		κʹ	ιϛʹ	ιʹ	ιεʹ	ιηʹ	εʹ	ιβʹ

Τούτῳ τῷ ἔτει σύνοδον κροτηθῆναι ἐν Σιδωνίᾳ ἐθέσπισε. Σωτήριχος γὰρ ἐπίσκοπος Καισαρείας Καππαδοκίας ὑπὸ Μακεδονίου χειροτονούμενος ἐγγράφως ὡμολόγησε δέχεσθαι τὰ δόγματα τῆς ἐν Χαλκηδόνι συνόδου, ὡς ὅρον πίστεως. μετὰ δὲ ταῦτα πολεμιώτατα γέγονεν αὐτοῖς, ὡς ἀπελθεῖν εἰς ἀνατολὴν, καὶ τῷ δυσσεβεῖ Ξεναΐᾳ κοινολογήσασθαι, καὶ ἄμφω σύνοδον γενέσθαι εἰς Σιδῶνα τὸν βασιλέα αἰτήσασθαι ἐπὶ τῇ τελείᾳ ἐκβολῇ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου· ἥτις συνέστη, καὶ θᾶττον διελύθη τοῦ βασιλέως πέμψαντος εἰς τοῦτο Εὐτρόπιον Τριβοῦνον, ὃς καὶ διαλύσας αὐτὴν, Φλαβιανὸν τὸν Ἀντιοχείας, καὶ Ἠλίαν τὸν Ἱεροσολύμων σὺν τοῖς ἐπισκόποις αὐτῶν τὰ παρὰ Σιδωνίαν γράψαι τῷ βασιλεῖ παρεσκεύασε. Φλαβιανὸς δὲ τὰς τρεῖς μόνας συνόδους, καὶ τὸ τοῦ Ζήνωνος Ἑνωτικὸν δέχεσθαι ἔγραψε, τῆς ἐν Χαλκηδόνι μνήμην μὴ ποιησάμενος. Ἠλίας δὲ ὁ Ἱεροσολύμων καὶ τὴν ἐν Χαλκηδόνι ἔγραψεν ἀποβάλλεσθαι. Σωτήριχος δὲ ὁ Καισαρείας Καππαδοκίας, καὶ Ξεναΐας κατὰ Φλαβιανοῦ, καὶ Ἠλία ἀνήγαγον τῷ βασιλεῖ, ὅτι διὰ τὸ μὴ θέλειν αὐτοὺς τρανῶς κατὰ τῆς συνόδου τῆς ἐν Χαλκηδόνι ἀποφήνασθαι, συνῆλθον ἀλλήλοις. Ἀναστάσιος δὲ ὀργισθεὶς ὑπέθετο μοναχοῖς τισι ψευδωνύμοις συνδιελθεῖν ἐν Ἀντιοχείᾳ, καὶ κατὰ Φλαβιανοῦ στασιάσαι, αἰτοῦντας αὐτὸν ἀναθεματίσαι τὴν ἐν Χαλκηδόνι σύνοδον, καὶ Διόδωρον, καὶ Θεόδωρον καὶ Ἴβαν, καὶ Θεοδώρητον· ὃ καὶ ἐποίησε μικροψυχήσας Φλαβιανὸς, καὶ ἐπ' ἐκκλησίας αὐτοὺς ἀνεθεμάτισε σὺν τῇ συνόδῳ.

Τῷ δ' αὐτῷ ἔτει καὶ κατὰ Μακεδονίου ὁ βασιλεὺς κατεσκεύασε· καὶ οἱ ἀποσχισταὶ μετὰ μισθωτῶν ὄχλων ἐν τῷ Ἀρχαγγέλῳ τοῦ παλατίου καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ψάλλοντες ἐν κυριακῇ τὸ τρισάγιον προσετίθουν τὸ, σταυρωθεὶς δι' ἡμᾶς, ὥστε τοὺς ὀρθοδόξους ἐξ ἀνάγκης μετὰ πληγῶν αὐτοὺς ἐλάσαι. ὁ δὲ βασιλεὺς προφανῶς διὰ τῶν ἀποσχιστῶν μοναχῶν, καὶ κληρικῶν, καὶ Ἰουλιανοῦ τοῦ Καρίας ποτὲ ἐπισκόπου, ἔπειτα δὲ Ἁλικαρνασσοῦ, καὶ Σευήρου τοῦ δυσσεβοῦς ἔτι μοναχοῦ ὄντος ἐπολέμει τὸν Μακεδόνιον ὕβρεσιν αὐτὸν δημοσίαις αἰσχραῖς συμβάλλων. τὰ δὲ πλήθη σὺν γυναιξὶ καὶ τέκνοις, ἡγουμένοις τε τῶν ὀρθοδόξων μοναχῶν ἔκραζον ἀθροισθέντα. καιρὸς μαρτυρίου, μὴ καταλείψωμεν τὸν πατέρα ἡμῶν· ὕβριζόν τε τὸν βασιλέα ὡς Μανιχαῖον, καὶ τοῦ κράτους ἀνάξιον. ὁ δὲ φοβηθεὶς, ἀπέκλεισε τὰς θύρας τοῦ παλατίου, καὶ πλοῖα πρὸς φυγὴν ηὐτρέπιζε. τὸν δὲ Μακεδόνιον, ὀμόσας μηκέτι θεάσασθαι, τότε παρεκάλει ἰδεῖν, φοβηθεὶς τὰ πλήθη. τούτου δὲ ἐρχομένου πρὸς αὐτὸν, ὁ λαὸς τοῖς ἡγουμένοις καὶ μοναχοῖς διεμαρτυρήσατο λέγων. τὸν πατέρα ἡμῶν ἔχομεν. καὶ οἱ τῶν σχολῶν εὐφήμουν αὐτὸν διερχόμενον. εἰσελθὼν δὲ πρὸς Ἀναστάσιον, ἤλεγξεν αὐτὸν, ὡς πολέμιον τῆς ἐκκλησίας. ὁ δὲ ὑπεκρίθη πρὸς τὴν ὥραν ἑνοῦσθαι αὐτῷ.

Theophanis Chron.

		20	16	10	15	18	5	12

Hoc anno Synodum Sidoniæ congregari sanxit. Sotericus enim Cæsareæ Cappadociæ a Macedonio consecratus, Chalcedonensis Synodi decreta, velut fidei regulas se admittere scripto professus est. Ejus autem postmodum factus inimicus adeo ivit in adversum, ut in Orientem profectus, impio Xenajæ rem omnem communicaret, & ad extirpandam funditus sanctam Chalcedonensem Synodum aliam Sidoniæ celebrari ab Imperatore postularet uterque; & hæc convocata dicto citius dissipata est & soluta Eutropii Tribuni ab Imperatore in hunc finem missi opera, qui ea abrogata, Flaviano Antiochiæ, & Eliæ Hierosolymorum subjectisque ipsis Episcopis, ut quæ Sidoniæ fuerant acta litteris ad Imperatorem referrent, auctor fuit. Flavianus porro Synodos tres solummodo & Zenonis Concordiam se recipere scripsit, nulla prorsus de Chalcedonensi facta mentione: Elias autem Hierosolymorum Episcopus Chalcedonensem se proscribere testatus est: Soterichus autem Cæsareæ Cappadociæ & Xenajas Imperatori adversus Flavianum & Eliam rescripserunt, ipsos nimirum dum adversus Chalcedonensem Synodum palam dare sententiam recusarent, quominus in cœtum & unum sensum coirent in causa fuisse. Quare iratus Anastasius falsis quibusdam Monachis, ut Antiochiæ convenirent, ubi tumultu in Flavianum excitato, Chalcedonensem Synodum simulque Diodorum, Theodorum, Ibam, & Theodoretum cum execratione eum ejurare postularent, suggessit: quod ille ex animi dejectione executus est, & in Ecclesiæ publico conventu eos una cum Synodo percussit anathemate.

Edit. Paris. pag. 132.

Hoc etiam anno Imperator Macedonio struxit insidias: Schismatici vero turba mercede conducta in æde ad Palatium Archangelo dicata, & in magna quoque Ecclesia die Dominico Ter sanctum Hymnum canentes, addidere: Qui crucifixus es pro nobis: ex quo ad eos etiam adjunctis verberibus extrudendos impulsi sunt Orthodoxi. Imperator autem Schismaticorum Monachorum, Clerique virorum, & Juliani quondam Cariæ, postmodum vero Halicarnassi Episcopi, & impii Severi Monachum adhuc agentis opera fœdis palam emissis contumeliis Macedonium oppugnabat. Verum Urbis conferta plebs cum mulieribus & pueris, nec non Orthodoxorum Monachorum Præfectis vociferabatur. Adest Martyrii tempus, ne patrem nostrum deseramus. Et convicia in Imperatorem conjiciebat, ipsum Manichæum, & imperio prorsus indignum clamitans. Quibus ille territus, Palatii portas obseravit, & ad fugam naves tenuit paratas: quique prius etiam jurejurando Macedonium ad conspectum nusquam admissurum se obstrinxerat, timore correptus eumdem videre exoptabat fervide: ac tum eo ad Imperatorem proficiscente, plebs cum magnis acclamationibus ad Abbates & Monachos conversa dicebat: Patrem nostrum apud nos habemus. Sed & militares Scolæ pertranseuntem illum faustis vocibus prosequebantur. Denique ad Anastasium introductus, illum ceu Ecclesiæ hostem objurgavit: ille vero pacem & unum cum Episcopo sensum tenere in præsens tempus simulavit.

A

						Hier. Episc. Elias anno 1.		
		21	17	11	16	1	6	13

						Ἱεροσ. ἐπίσκ. Ἠλίας ἔτος α'.		
		κα'	ιζ'	ια'	ιϛ'	α'	ϛ'	ιγ'

Hoc anno commentario per * Cellorem Magistrum misso Macedonium Imperator decepit: ac primam & secundam Synodum se probare fatebatur, Ephesinam vero & Chalcedonensem penitus tacebat: qua magnam sibi invidiam conciliavit Macedonius: per hujusmodi quippe commentarium Concordiæ Sanctionem a Zenone editam probavit, cui jam dum ordinaretur subscripserat. Eapropter Macedonius ad Dalmatæ Monasterium profectus ad Clericos & Monachos ferventiori zelo ductos, & visi facinoris fœditate indignatos declamatorio sermone defensionem instituit, protestatus, se Chalcedonensem Synodum admittere, & qui eam rejicerent Hæreticos habere: quibus auditis una cum eo sacra missarum peregere mysteria. Interea Imperator Clericos atque Monachos una secum sentientes donis impulit, ut alium Episcopum in ejus locum subrogarent, quod Ariadnam & ordinis Senatorii præcipuos affligit: erat quippe cunctis charus Macedonius, tum ob vitæ munditiem, tum ob rectam & sinceram de fide sententiam, quamvis dolum postmodum fuerit passus. Ad hæc Imperator duos nequam & profligatæ vitæ comparavit viros, qui Macedonium præposteræ in pueros libidinis & hæreseos criminarentur, & de istis Præfecto atque Magistro scriptam offerrent accusationem: & aliam parem adversus Catholicos Presbyteros & Diaconos instruxit. Imperavit denique Cellori Magistro Episcopali æde Macedonium summa vi deturbare vociferantem, se non in Prætorio modo, sed etiam in Theatro defensionem suscipere paratum. Hinc e Cleri grege plures in carcerem conjecti: alii fugæ beneficium nacti, per Romanam & Phœniciam provinciam dispersi. Impius autem Imperator authenticas rerum apud Chalcedonem gestarum tabulas Magistri ope a Macedonio recipere & discerpere contendebat: eas vero sigillo notatas in altari Macedonius reposuit: quas demum Calepodius Eunuchus magnæ Ecclesiæ Oeconomus furtim subreptas ad Imperatorem detulit. Postremo Macedonium noctu per vim abductum Chalcedonem primum, inde Euchaitam deportari jussit Imperator, nullam ob plebis metum de ipsi objectis inquisitionem facere ausus. Sequente luce Timotheum quemdam Presbyterum & Ecclesiæ Scevophylacem ex quibusdam gestis nominibus accommodatis cognomento Litrobulem & Celonem, declarat Episcopum: qui primum Ecclesias ingressus, Macedonii deposuit imagines, atque ita demum sacris operam dedit: Joannemque Nicæotam Alexandrinum in Ecclesiæ tabulas recensuit, Synodicasque litteras ad eum scripsit. Perpendens porro Anastasius Macedonium indicta causa, nullave depositionis in eum lata sententia in exilium ejectum, misso Magistro diem ei di-

* Celerem

Edit. Paris. pag. 133.

Τούτῳ τῷ ἔτει Μακεδόνιον ἠπάτησεν ὁ βασιλεὺς διὰ Κέλλωρος Μαγίστρου ὑπομνηστικὸν ποιήσας πρὸς αὐτὸν, ἐν ᾧ τὴν πρώτην καὶ τὴν δευτέραν σύνοδον ὡμολόγει δέχεσθαι, τὴν δὲ ἐν Ἐφέσῳ καὶ Χαλκηδόνι εἴασεν· ὅπερ μέμψιν μεγάλην τῷ Μα- B κεδονίῳ προσήγαγε· διὰ γὰρ τούτου καὶ τὸ ἑνωτικὸν Ζήνωνος ἐδέξατο, ᾧ τινι καὶ χειροτονούμενος ὑπέγραψεν. ὁ δὲ Μακεδόνιος ἀπελθὼν εἰς τὴν Δαλμάτου μονὴν, τοῖς κληρικοῖς καὶ μοναχοῖς ζηλωταῖς σκανδαλισθεῖσιν εἰς αὐτὸν ἀπελογήσατο διὰ προσφωνητικοῦ λόγου, ὅτι δέχεται τὴν ἐν Χαλκηδόνι σύνοδον, καὶ τοὺς μὴ δεχομένους αὐτὴν αἱρετικοὺς ἔχει, καὶ συνελειτούργησαν αὐτῷ. ὁ δὲ βασιλεὺς δώροις ἔπεισε τοὺς ὁμόφρονας αὐτοῦ κληρικοὺς καὶ μοναχοὺς ἄλλον ἐπίσκοπον ψηφίσασθαι, ὅπερ καὶ Ἀριάδνην, καὶ τοὺς τῆς συγκλήτου μεγάλως ἐλύπει· ἠγαπᾶτο γὰρ Μακεδόνιος, καὶ διὰ τὸ καθαρὸν τοῦ βίου, C καὶ διὰ τὸ ὀρθὸν τῶν δογμάτων, εἰ καὶ ἠπατήθη. καὶ παρεσκεύασεν ὁ βασιλεὺς δύο φαύλους τινὰς κατηγορῆσαι Μακεδονίου, ὡς παιδεραστοῦ, καὶ αἱρετικοῦ, ἐπιδοῦναι δὲ ταῦτα ἐγγράφως τῷ Ὑπάρχῳ, καὶ τῷ Μαγίστρῳ· ὁμοίως δὲ καὶ κατὰ πρεσβυτέρων καὶ διακόνων ὀρθοδόξων. ἐκέλευσε δὲ Κέλλωρα τὸν Μάγιστρον καταγαγεῖν αὐτὸν τοῦ ἐπισκοπείου βιαίως, βοῶντος Μακεδονίου, ἑτοίμως ἀπολογεῖσθαι, οὐ μόνον ἐν τῷ Πραιτωρίῳ, ἀλλὰ καὶ ἐν τῷ θεάτρῳ. πολλοὶ δὲ τῶν κληρικῶν εἰς φυλακὰς ἐβλήθησαν· ἄλλοι δὲ φυγεῖν ἰσχύσαντες, ἐν Ῥώμῃ καὶ Φοινίκῃ διεσπάρησαν. ὁ δὲ ἀσεβὴς βασιλεὺς τὸν αὐθεντικὸν χάρτην τῶν D πεπραγμένων ἐν Χαλκηδόνι διὰ τοῦ Μαγίστρου λαβεῖν παρὰ Μακεδονίου, καὶ διαρρῆξαι ἔσπευδε. Μακεδόνιος δὲ σφραγίσας αὐτὸν, ἐν τῷ θυσιαστηρίῳ ἀπέθετο. Καλοπόδιος δὲ ὁ εὐνοῦχος Οἰκονόμος ὢν τῆς μεγάλης ἐκκλησίας, κλέψας αὐτὸν τῷ βασιλεῖ ἀπεκόμισε. τότε Μακεδόνιον νυκτὸς ἐξαγαγὼν ὁ βασιλεὺς, βιαίως εἰς Χαλκηδόνα, κἀκεῖθεν εἰς Εὐχάϊταν ἐξορισθῆναι προσέταξε, μηδὲν τῶν κατ' αὐτοῦ ζητηθῆναι τολμήσας, φοβηθεὶς τὰ πλήθη. τῇ δὲ ἑξῆς προβάλλεται ἐπίσκοπον Τιμόθεόν τινα πρεσβύτερον καὶ Σκευοφύλακα τῆς ἐκκλησίας, τὸ ἐπίκλην Λιτροβούλην, καὶ Κήλωνα, διά τινας πράξεις προσφόρους τοῖς ὀνόμασιν, ὅστις εἰσιὼν ἐν ταῖς ἐκκλησίαις πρότερον τὰς Μακεδονίου εἰκόνας κατέφερε, καὶ E οὕτως ἐλειτούργει· Ἰωάννην δὲ τὸν Ἀλεξανδρείας ἐν τοῖς διπτύχοις ἐνέταξε τὸν Νικαιώτην, καὶ συνοδικὰ πρὸς ἐκεῖνον ἔγραψεν. Ἀναστάσιος δὲ ἐννοηθεὶς, ὅτι χωρὶς καθαιρέσεως τὸν Μακεδόνιον ἀκρίτως ἐξώρισε, πέμψας Μά-

γισρον, ἔπεμψεν αὐτὸν ἐπέκεινα Κλαυδιουπόλεως τῆς Ὀνωριάδος. αὐτοὶ δὲ δικασταὶ, καὶ μάρτυρες, καὶ κατήγοροι ὄντες, ἀπόντα καθαιροῦσι τὸν ἐκβληθέντα πρὸ κρίσεως, καὶ δι' ἐπισκόπων πέμπουσι τὴν καθαίρεσιν καὶ πρεσβυτέρου Κυζικηνοῦ. τούτους ἰδὼν Μακεδόνιος, πρὶν αὐτοὺς λαλῆσαι, ἐρώτα, εἰ δέχονται τὴν ἐν Χαλκηδόνι σύνοδον; τῶν δὲ εἰπόντων. τί γὰρ εἶ; τότε αὐτὸς ἔφη. Σαββατιανοὶ, ἢ Μακεδονιανοὶ, εἰ ἔφερόν μοι καθαίρεσιν, ἔδει με δέξασθαι. καὶ οὕτως ὑπέστρεψαν ἄπρακτοι· καὶ αὐτὸς κατέλαβε τὴν Εὐχαΐταν. τότε καὶ Φλαβιανὸν ἐσπούδασε τοῦ θρόνου Ἀντιοχείας ἐκβαλεῖν ὁ παράνομος βασιλεὺς, καὶ Σεβῆρον τὸν προφανῆ τῆς ἀληθείας ἐχθρὸν ἀντεισάγειν. ἐπέθεντο δὲ κατηγοροῦντες αὐτὸν ὅτι στόματι μόνον τὴν σύνοδον ἀνεθεμάτισε, καὶ οὐ καρδίᾳ. λοιπὸν καὶ συνεβουλεύοντο οἱ πεμφθέντες ἄρχοντες παρὰ τοῦ βασιλέως τοῦ ἐξῶσαι αὐτὸν, καὶ ὀλίγον ὑποχωρῆσαι διὰ τὸν τάραχον. τούτου δὲ εἰς Πλατάνους ἐξελθόντος, εὐθέως τὸν δυσσεβῆ Σεβῆρον ἐχειροτόνησαν προμονάσαντα ἐν τῇ μονῇ τῶν ἀποσχιστῶν πλησίον τοῦ Μαϊουμᾶ Γάζης. Φλαβιανὸν δὲ ἐν Πέτραις ἐξώρισαν, καὶ ἄλλους πολλοὺς ἐπισκόπους σιδηρωμένους, καὶ κληρικοὺς, καὶ μοναχούς. Ἠλίας δὲ ὁ Ἱεροσολύμων ἀναγκαζόμενος ὑπὸ τοῦ βασιλέως Σεβήρῳ κοινωνῆσαι, ἢ τῆς ἐπισκοπῆς ἐκβληθῆναι, τῶν μοναχῶν ὀχυρωσάντων αὐτὸν, τῆς ἐπισκοπῆς μᾶλλον ᾑρετίσατο ἐκβληθῆναι, καὶ ἐχειροτονήθη Ἰωάννης ἀπὸ σταυροφυλάκων, συνθέμενος ποιεῖν ὅσα θέλουσι. χειροτονηθεὶς δὲ οὐδ' ἕτερον ἐποίησεν.

ait ultra Claudiopolim Honoriadis provinciæ. In eum vero judices testes & accusatores instituti deportatum jam ante judicium & absentem muneris abrogatione damnant, & per Episcopos & Presbyterum Cyzicenum depositionis sententiam mittunt. Quos ubi conspexit Macedonius etiam ante sermonis exordium interrogat, num Chalcedonensem Synodum admittunt? Respondentibus illis: Tu quis es? Dixit ipse. Sabbatiani aut Macedoniani, si mihi depositionis deferrent, sententiam me admittere oporteret. Et ita re infecta reversi sunt: ipse vero Euchaitam profectus est. Eadem quoque tempestate Flavianum Antiochiæ throno dejicere tentarit iniquus Imperator, & in ejus locum Severum apertum veritatis hostem intrudere. Hoc unum insimulabant accusatores, quod ore solo, non cordis sensu anathema in Synodum pronunciasset. Consilium subinde dabant qui ad eum expellendum ab Imperatore missi fuerant Magistratus, ut ob enatos tumultus ad breve tempus secederet. Illo itaque ad Platanos profecto, impium Severum in Schismaticorum Monasterio ad Gazæ Majumam prius Monachum agentem confestim ordinaverunt Episcopum: Flavianum vero Petras simul cum aliis pluribus Episcopis, Clericis, & Monachis ferro onustis relegaverunt. Elias demum Hierosolymitanus aut cum Severo communionem gerere, aut abdicati Episcopatus mulctam sustinere per vim ab Imperatore compulsus; Monachis ejus animum obfirmantibus, Episcopatu potius depelli elegit: in cujus locum suffectus est quidam Joannes e sanctæ crucis custodibus unus, qui omnia ad illorum arbitrium se facturum pollicitus est: quod certe occupata post ordinationem sede nusquam præstitit.

Edit. Paris. pag. 134.

Κόσμου ἔτη ͵ϛε'.	Τῆς θείας σαρκ. φε'.	Ῥωμ. βασιλ. Ἀναστάσιος ἔτη κζ'.	Περσῶν βασ. Καβάδης ἔτη λ'.	Ῥωμ. ἐπισκ. Σύμμαχος ἔτη ιε'.	Κωνσ. ἐπισκ. Τιμόθεος ἔτη ϛ'.	Ἱεροσ. ἐπίσκ. Ἰωάννης ἔτη κγ'.	Ἀλεξ. ἐπισκ. Ἰωάννης ἔτη ια'.	Ἀντ. ἐπισκ. Σέβηρος ἔτη ζ'.
		κβ'	ιη'	ιβ'.	α'	α'.	ζ'	α'

Anni mundi 6005.	Divinæ Incarn. 505.	Rom. Imp. Anastasius annis 27.	Persarum rex Cobades annis 30.	Romæ Epis. Symmachus ann. 15.	Constant. Epis. Timotheus annis 6.	Hierosol. Epis. Joannes annis 23.	Alex. Epis. Joannes annis 11.	Ant. Epis. Severus annis 7.
		22	18	12	1	1	7	1

Τούτῳ τῷ ἔτει Βιταλιανὸν τὸν υἱὸν Πατρικιόλου Κόμητος Φοιδεράτων οἱ ἐν Σκυθίᾳ, καὶ Μυσίᾳ, καὶ λοιπαῖς χώραις ὀρθόδοξοι παρεκάλουν κινηθῆναι κατὰ Ἀναστασίου τοῦ δυσσεβοῦς. ὁ δὲ κινηθεὶς, πολλὰς μυριάδας ἀνεῖλε στρατοῦ τῶν ὑπὲρ Ἀναστασίου μαχομένων, χρυσόν τε εἰς ῥόγας αὐτῶν πεμπόμενον πλεῖστον, καὶ ὅπλα εἰς συμμαχίαν, καὶ δαπάνας, καὶ ὅσα ἄλλα ἐχειρώσατο. φασὶ δὲ ὅτι ἐν μιᾷ συμβολῇ ἑξήκοντα πέντε χιλιάδας στρατοῦ βασιλικοῦ ἐκρήμνισε σὺν Ὑπατίῳ στρατηγοῦντι αὐτῶν, υἱῷ δὲ ἐξαδέλφης Ἀναστασίου, καὶ Σεκουνδίνου Πατρικίου, ὃν καὶ πιάσας ζῶντα εἶχεν ἐν φρουρᾷ. Ἀναστάσιος δὲ ὁ παράνομος βασιλεὺς, καὶ Τιμόθεος ὁ ἀνίερος ἐπίσκοπος Κωνσταντινουπόλεως πολλὰ κακὰ τοῖς ὑπὲρ Μακεδονίου καὶ τῆς συνόδου μοναχοῖς τε, καὶ λαϊκοῖς, καὶ κληρικοῖς ἐπεδείξαντο· ὥστε καὶ εἰς Ὄασιν τῆς Θηβαΐδος ἐξώρισαν πολλούς. Τιμόθεος δὲ τὰ συνοδικὰ, καὶ Μακεδονίου τὴν καθαίρεσιν τοῖς κατὰ πόλιν ἐπισκόποις ὑπογράψαι ἔπεμψεν. ὧν οἱ μὲν ἀνδρειότεροι πρὸς ἄμφω ἀντέστησαν· οἱ δὲ παράφοροι φόβῳ τοῦ βασιλέως ἀμφοτέροις ὑπέγραψαν· οἱ δὲ μέσοι τῇ καθαιρέσει Μακεδονίου οὐχ ὑπέγραψαν,

Theophanis Chron.

Hoc anno Vitalianum Patricioli Fœderatorum Comitis filium Scythlæ, Mysiæque, cæterarumque regionum incolæ ad arma adversus impium Anastasium sumenda concitabant. Is ita provocatus infinitam prorsus exercituum, qui sub Anastasio merebantur, multitudinem concidit, & auri copiam immensam ad elargienda stipendia missam, arma in subsidium, commeatum, cæteraque omnia deprædatus est. Uno conflictu solo sexaginta quinque hominum millia ex Imperatoris exercitu cum Hypatio Anastasii consobrinæ & Secundini Patricii filio eorum Duce prostravit, vivumque acceptum sub custodia tenuit. Anastasius autem iniquus Imperator, & Timotheus sacrilegus Episcopus CP. Monachis, Laicis, & Clericis Macedonii Synodique causa plurima mala intulit: adeo ut Oasim Thebaidos ex eis plures in exilium egerit: Synodales vero litteras, & Macedonii depositionem cunctis passim per urbes Episcopis ad subscribendum misit Timotheus: ex quibus qui fortitudine præcelluerunt, utrique iverunt in oppositum: qui animo faciliores Imperatoris metu subscripserunt utrique: qui medium tenuere, Macedonii,

pag. 135.

depositioni nusquam, verum solis Timothei Synodicis, quod tamen idem prorsus fuit, quamvis ipsi discrimen venditarent, nomen & subscriptionem apposuerunt. Timotheus autem Severi nomen diptychis volens inserere, & Flaviani rescindere, a populo prohibitus est. Severi quippe communionem aversabantur Orthodoxi omnes, & maxime Monachi, in quos collecta rusticorum turba crudeliter animadvertit, & altaribus eversis, sacrisque Orthodoxorum vasis igne conflatis, sacrilegus plures eorum interfecit. Juliana vero Illustrissima fœmina, quæ templum Deiparæ Virgini posuit in Honoratis, pro viribus Chalcedonensem adeo tuebatur Synodum, ut Imperator ipse adinventis etiam multarum fallaciarum technis, ut Timothei communionem subiret, persuadere non valuerit: sed nec ipsemet Timotheus, cum eam sæpius convenisset, non persuasit. Pompejum insuper consobrinum suum, ejusque conjugem ornatissimam fœminam, & bonis operibus assuetam, ceu Synodo bene affectos, & quæ ad vitæ necessitatem conducunt Macedonio in exilio subministrantes multis calamitatibus oppressit Imperator. Porro qui ad Joannem Nicæotam a Timotheo missi fuerunt Alexandriam, illi ex Ecclesiæ suggestu sanctam Chalcedonensem Synodum anathemate damnaverunt. Cæterum Dii Monasterii Præfecto e vivis sublato, Timotheus superiorem alium substituturus accessit. At qui promovendus erat dixit: a viro qui Chalcedonensem Synodum reprobaverit, benedictionem se nolle accipere. Respondit Timotheus. Anathemate feriatur quisquis Chalcedonensem non admiserit Synodum: atque ita demum se ab eo confirmari permisit Præfectus. Joannes autem Timothei Archidiaconus cum esset Manichæus, conjectis in Timotheum conviciis, rem ad Imperatorem detulit. Sed cum Imperator ipsum ignominiose & dure corripuisset, Timotheus ante Imperatoris conspectum rem negavit omnem, & qui Synodum Chalcedone celebratam reciperent, anathemate perstrinxit. Joannes autem impius Alexandriæ Præsul Ægyptios Hierosolymam ascendere prohibuit, ne in sanctæ Crucis Exaltationis festo Chalcedonensis Synodi Patribus communicarent. Tum vero res prorsus horrendæ ab iis qui dæmonibus correpti erant Hierosolymis editæ. Anastasius autem Palæstinæ Dux fieri cum ambiret, nisi Joannem, qui post Eliam Hierosolymorum Episcopum agebat, cum Severo communionem habere suaderet, 300. auri libras Imperatori se pensurum promisit. Mox dignitate arrepta, venit Hierosolymam, & Joannem sibi reluctantem conjecit in custodiam. Zacharias autem quidam Palæstinæ Præfectus, vir religiosus, divino zelo motus, Episcopo suggessit, Duci quæ placita forent executurum polliceretur, si modo propriam sibi sedem reciperet. Quo illum dimittente ac throno restituente, mox ille Monasteria quæque in S. Stephani templum collegit, & sanctis quatuor Oecumenicis Conciliis publice proclamatis in Nestorium, Eutychem, Severum, & Soterichum Cæsareæ Præsulem anathema ex ambone pronunciavit. His interfuit Hypatius Imperatoris ex fratre nepos a Severi communione penitus alienus. Hic cum Joanni communicaret, Theodosio sancto Monasteriorum Præposito centum auri libras tunc donavit, quas

Edit. Paris. pag. 136.

εἰ μὴ μόνον τοῖς συνοδικοῖς Τιμοθέου, ὅπερ ταυτὸν ἦν, εἴπερ διάφορον αὐτοῖς ἐδόκει. Τιμόθεος δὲ τὸ ὄνομα Σευήρου βουληθεὶς ἐντάξαι τοῖς διπτύχοις καὶ τὸ Φλαβιανοῦ ἐκβαλεῖν ὑπὸ τοῦ λαοῦ ἐκωλύθη. Σευήρου γὰρ τὴν κοινωνίαν πάντες οἱ ὀρθόδοξοι ἔφυγον, μάλιστα οἱ μοναχοὶ, οὓς μετὰ πλήθους ἀγροίκων τιμωρῶν πολλοὺς ἐφόνευσε, τὰ θυσιαστήρια ἀνατρέπων, καὶ τὰ ἱερὰ σκεύη τῶν ὀρθοδόξων χωνεύων ὁ ἱερόσυλος. Ἰουλιάνα δὲ ἡ περιφανεστάτη ἡ κτίσασα τὸν ναὸν τῆς Θεοτόκου ἐν τοῖς Ονωράτοις ἀντεποιεῖτο σφόδρα τῆς ἐν τοῖς Ονωράτοις ἀντεποιεῖτο σφόδρα τῆς ἐν Χαλκηδόνι συνόδου, ὡς καὶ τὸν βασιλέα πολλὰς αὐτῇ διαστροφὰς ἐφευρόντα μὴ πεῖσαι κοινωνῆσαι Τιμοθέῳ· καὶ αὐτὸς δὲ Τιμόθεος πολλάκις εἰς αὐτὴν ἀπελθὼν οὐκ ἔπεισεν αὐτήν. Πομπήϊον δὲ ἀνεψιὸν αὐτοῦ ὁ βασιλεὺς, καὶ τὴν τούτου γαμετὴν κοσμίαν οὖσαν, καὶ ἀρεταῖς σχολάζουσαν, πολλαῖς περιστάσεσιν ἐνέπειρε, ὡς ζηλωτὰς τῆς συνόδου, καὶ ὡς χορηγοῦντας Μακεδονίῳ ἐν τῇ ἐξορίᾳ τὰ πρὸς τὴν χρείαν. οἱ δὲ σταλέντες παρὰ Τιμοθέου ἐν Ἀλεξανδρείᾳ πρὸς Ἰωάννην τὸν Νικαιώτην ἐπ' ἄμβωνος τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἀνεθεμάτισαν. τοῦ δὲ ἡγουμένου τῆς Δίου μονῆς τελευτήσαντος, ἦλθε Τιμόθεος προβαλέσθαι ἡγούμενον. ὁ δὲ μέλλων προβιβάζεσθαι ἔφη, μὴ δέχεσθαι εὐλογίαν παρὰ ἀνδρὸς ἀθετοῦντος τὴν ἐν Χαλκηδόνι σύνοδον. Τιμόθεος δὲ ἔφη ἀνάθεμα παντὶ ἀνθρώπῳ τῷ μὴ δεχομένῳ τὴν ἐν Χαλκηδόνι σύνοδον· καὶ οὕτω προχειρισθῆναι ὑπ' αὐτοῦ κατεδέξατο ὁ ἡγούμενος. Ἰωάννης δὲ ὁ ἀρχιδιάκονος Τιμοθέου Μανιχαῖος ὢν, ὑβρίσας Τιμόθεον, τῷ βασιλεῖ ἐμήνυσεν. ὁ δὲ βασιλεὺς ἀτιμάσας Τιμόθεον χαλεπῶς κατὰ πρόσωπον ἀρνούμενον εὗρε καὶ πάλιν ἀναθεματίζοντα τοὺς δεχομένους τὴν ἐν Χαλκηδόνι σύνοδον. Ἰωάννης δὲ ὁ Ἀλεξανδρείας ὁ δυσσεβὴς ἐκώλυσε τοὺς Αἰγυπτίους ἀνέρχεσθαι εἰς τὰ Ἱεροσόλυμα διὰ τὸ μὴ κοινωνεῖν ἐν τῇ ὑψώσει τῇ ἐν Χαλκηδόνι συνόδῳ. φοβερὰ δέ τινα ὑπὸ δαιμονιώντων ἐγένετο εἰς Ἱεροσόλυμα τότε. Ἀναστάσιος δὲ ἐπιθυμῶν γενέσθαι Δοὺξ Παλαιστίνης ὑπέσχετο τῷ βασιλεῖ, εἰ μὴ πείσει Ἰωάννην τὸν μετὰ Ἠλίαν ἐπίσκοπον Ἱεροσολύμων κοινωνῆσαι Σευήρῳ διδόναι τριακοσίας λίτρας χρυσίου. λαβὼν δὲ τὴν ἀρχὴν ἦλθεν εἰς τὰ Ἱεροσόλυμα, καὶ Ἰωάννην μὴ πειθόμενον εἰς φρουρὰν ἐνέβαλε. Ζαχαρίας δέ τις ἄρχων Παλαιστίνης θεοφιλὴς ἀνὴρ ὑπέθετο τῷ ἐπισκόπῳ ζήλῳ θείῳ φερόμενος ὑποσχέσθαι τῷ Δουκὶ ποιεῖν τὰ δοκοῦντα αὐτῷ, εἰ ἀποκατασταθῇ εἰς τὸν θρόνον αὐτοῦ. τοῦ δὲ ἀπολύσαντος αὐτὸν, καὶ ἀποκαταστήσαντος, συναγαγὼν τὰ μοναστήρια εἰς τὸν ναὸν τοῦ ἁγίου Στεφάνου, καὶ ἀνελθὼν ἐπ' ἄμβωνος, ἀνεθεμάτισε Νεστόριον, καὶ Εὐτυχέα, καὶ Σευῆρον, καὶ Σωτήριχον τὸν Καισαρείας, ἀναγορεύσας τὰς ἁγίας καὶ οἰκουμενικὰς τέσσαρας συνόδους· παρῆν δὲ καὶ Ὑπάτιος ὁ ἀδελφιδοῦς τοῦ βασιλέως μὴ κοινωνῶν τῷ Σευήρῳ τὸ σύνολον. οὗτος κοινωνήσας τῷ Ἰωάννῃ τότε χρυσίου λίτρας ἑκατὸν Θεοδοσίῳ τῷ

ὁσίῳ ἐξάρχῳ ὄντι τῶν μοναστηρίων εἰς διανομὴν τῶν ὑπὲρ τῆς ὀρθῆς πίστεως, καὶ τῆς ἐν Χαλκηδόνι ζηλούντων μοναχῶν δέδωκεν. ὁ δὲ βασιλεὺς τινὰς τῶν ἀρχόντων προσέταξεν εἰς τὸν ναὸν τοῦ ἁγίου Θεοδώρου τῶν Σφωρακίου ἐπ᾽ ἄμβωνος τὴν προσθήκην τοῦ τρισαγίου ὑποβάλλειν, ὥστε τὰ πλήθη ἀγανακτοῦντα ἐξελθεῖν κατὰ τὴν ἡμέραν τῆς λιτῆς γενομένης ἐν τῷ Τρικόγχῳ διὰ τὴν κόνιν· ἡνίκα καὶ Τιμόθεος δι᾽ ἐγγράφου ὑπομνηστικοῦ πάσαις ταῖς ἐκκλησίαις προσέταξε τὸ τρισάγιον ἐν ταῖς λιταῖς μετὰ τῆς προσθήκης εἰπεῖν. ὅπερ πολλοὶ φοβούμενοι ἐποίησαν. οἱ δὲ μοναχοὶ ἄλλον ψαλμὸν ἦλθον ψάλλοντες. τότε δὴ ἰδὼν ὁ λαὸς ἔκραξε· καλῶς ἦλθον οἱ ὀρθόδοξοι. στάσις τε πολλὴ γέγονε, καὶ ἐμπρησμὸς οἴκων πολλῶν, καὶ φόνοι μυρίοι, τοῦ ὄχλου καταβοῶντος Ἀναστασίῳ, καὶ ἄλλον βασιλέα αἰτουμένων, Βιταλιανὸν δὴ πάντων εὐφημούντων, ὡς αὐτοκράτορα, ὥστε φυγεῖν Ἀναστάσιον, καὶ κρυβῆναι ἐν προαστείῳ ἐγγὺς Βλαχερνῶν, ὑπ᾽ αὐτῆς δὲ Ἀριάδνης ὑβρισθῆναι, ὡς πολλῶν κακῶν αἴτιον Χριστιανοῖς. Ἀλαμουνδάρου δὲ τοῦ φυλάρχου τῶν Σαρακηνῶν βαπτισθέντος, Σευῆρος ὁ δυσσεβὴς δύο ἐπισκόπους ἔπεμψε τῆς λώβης αὐτοῦ μεταδοῦναι αὐτῷ. Θεοῦ δὲ προνοίᾳ ὑπὸ τῶν ὀρθοδόξων ὁ ἀνὴρ ἐβαπτίσθη τῶν δεχομένων τὴν σύνοδον. τῶν δὲ ἐπισκόπων τοῦ Σευήρου διαστρέφειν τὸν φύλαρχον τοῦ ἀληθοῦς δόγματος σπουδαζόντων, θαυμαστῶς αὐτοὺς ἤλεγξεν Ἀλαμούνδαρος δραματουργίᾳ τοιαύτῃ. ἔφη πρὸς αὐτοὺς γράμματα, φησίν, ἐδεξάμην σήμερον, ὅτι Μιχαὴλ ὁ Ἀρχάγγελος τέθνηκε σήμερον. τῶν δὲ εἰπόντων. ἀδύνατον εἶναι τοῦτο. ἔφη πρὸς αὐτοὺς ὁ φύλαρχος. καὶ πῶς Θεὸς γυμνὸς ἐσταυρώθη καθ᾽ ὑμᾶς, εἰ μὴ δύο φύσεων ἦν ὁ Χριστός, εἴπερ μηδὲ ἄγγελος ἀποθνήσκει; καὶ οὕτω μετ᾽ αἰσχύνης ἀνεχώρησαν οἱ τοῦ Σευήρου ἐπίσκοποι. Καβάδης δέ τινας τῶν ἐν Περσίδι Χριστιανῶν ἠγκυλοκόπησεν, οἳ μετὰ ταῦτα περιεπάτησαν.

in Monachos, qui rectam fidem & Chalcedone Synodum actam tuerentur, distribueret. Imperator porro Magistratuum nonnullis, et in sancti Theodori Sphoraciorum templo ex ambone hymni Ter sancti subjicerent additamentum præcepit: ex quo populus indignatus, ex processionis precibus ad Triconchum eo die propter pulverem igneum habitis, se subduxit: cum etiam Timotheus omnibus Ecclesiis per libellum scriptum edixit, ut Ter sanctum hymnum, non omisso additamento, in publicis processionibus decantarent: quod plerique præ metu fecere. Cæterum Monachi Canticum aliud procedebant psallentes. Iis conspectis exclamavit populus. Bene venerint Orthodoxi: Eo quo tumultus vehemens exortus est, multarum domorum visa incendia, & innumeræ cædes perpetratæ, populi confusa plebe contumeliosis vocibus Anastasium impetente, & alium ad imperium advocante, & uno consensu, ceu jam declaratum Imperatorem, acclamante Vitalianum: adeo ut fugerit Anastasius, & Blachernis proxime in suburbio delituerit, eum vero, velut multorum auctorem malorum conviciis usa Ariadna corripuerit. Porro Alamundaro Saracenicarum tribuum Principe baptizato duos Episcopos, eadem, qua ipse tabe infectos, ut ipsi tabem in eum spargerent, ad eum destinavit. Ab Orthodoxis vero Synodo bene affectis, Dei providentia baptizatus, Severianis Episcopis a vero fidei sensu eum divertere studiose machinantibus, ipse Alamundarus arte mira commento hocce proposito eos coarguit. Hodie, inquit ad eos, accepi litteras, quibus Archangelum Michaelem obiisse hoc eodem die nunciatur. Respondentibus illis, rem esse quæ fieri nequiret: ad eos Tribuum Princeps convertit sermonem. Et quomodo, ait, purus merusque Deus juxta mentem vestram fuit cruci suffixus, nisi duabus ex naturis constiterit Christus: quandoquidem neque Angelus letho potest extingui? Atque ita cum dedecore Severiani Episcopi discessere. Cabades porro quibusdam per Persidem Christianis poplitum succidit nervos, qui nihilo secius postmodum recta processerunt.

Edit. Paris. pag. 137.

Κόσμου ἔτη ,ϛε'.	Τῆς θείας σαρκ. φε'.	Ῥωμ. Βασιλ. Ἀναστάσιος ἔτη κζ'.	Περσῶν βασιλ. Καβάδης ἔτ. λ'.	Ῥωμ. ἐπίσ. Ὁρμίσδας ἔτη ι'.	ΚΠ. ἐπίσκ. Τιμόθεος ἔτη ϛ'.	Ἱεροσ. ἐπίσκ. Ἰωάννης ἔτη ιγ'.	Ἀλεξ. ἐπισ. Ἰωάννης ἔτη ια'.	Ἀντιοχείας ἐπίσκ. Σευῆρος ἔτ. ζ'.
		κγ'	ιθ'	α'	ϛ'	ϛ'	η'	β'

Anni mundi 6005.	Divinæ Incarn. 505.	Rom. Imperat. Anastasius annis 27.	Persarum rex Cabades annis 30.	Romæ Episcop. Hormisdas annis 10.	Constant. Episc. Timotheus annis 6.	Hierosol. Episc. Joannes annis 13.	Alexan. Episc. Joan nes annis 11.	Antioc. Episc. Severus annis 7.
		23	19	2	18	8	8	3

Τούτῳ τῷ ἔτει Βιταλιανὸς παραλαβὼν πᾶσαν τὴν Θρᾴκην, καὶ Σκυθίαν, καὶ Μυσίαν, ἔχων μεθ᾽ ἑαυτοῦ πλήθη Οὔννων καὶ Βουλγάρων, παρέλαβε τὴν Ἀγχίαλον, καὶ τὴν Ὀδυσσόπολιν, πιάσας καὶ τὸν Κύριλλον τὸν στρατηλάτην Θρᾴκης, καὶ ἦλθε πραιδεύων ἕως τοῦ Βυζαντίου. φειδόμενος δὲ τῆς πόλεως ἐν Σωσθενίῳ ἐστρατοπέδευσεν. Ἀναστάσιος δὲ ἀπογνοὺς πέμπει τινὰς τῆς συγκλήτου παρακαλῶν εἰρηνεῦσαι αὐτόν. καὶ ὤμοσε σὺν τῇ συγκλήτῳ, καὶ τοὺς ἐξορισθέντας ἐπισκόπους ἀνακαλεῖσθαι ἐν Ἡρακλείᾳ τῆς Θρᾴκης. ὁ δὲ Βιταλιανὸς προσέθηκεν, ἵνα καὶ οἱ πρίγκιπες ἑκάστης σχολῆς ὀμόσωσι τοῦτο· καὶ Μακεδόνιος καὶ Φλαβιανὸς οἱ ἀδίκως ἐκβληθέντες ἀπολάβωσι τοὺς ἰδίους θρόνους,

Hoc anno Vitalianus occupata universa Thracia, Scythia, & Mysia, ducens secum ingentem Unnorum & Bulgarorum numerum cepit Anchialum & Odyssopolim, ipsumque Thracicæ militiæ Magistrum Cyrillum, prædis quaqua versus ad Byzantium usque abactis, comprehendit. At cum Urbi parceret, ad Sosthenium castra metatus est. Anastasius rebus jam disperatis Senatorii ordinis nonnullos qui de pace agenda eum rogarent, misit: juravitque una cum universo Senatu Episcopos exules Heracleam Thraciæ se revocaturum. His additum voluit Vitalianus, ut uniuscujusque Scholæ Principes idem jurejurando assererent: atque ut Macedonius & Flavianus propriis thronis injuste expulsi, eos reciperent, ac re-

liqui pariter Episcopi suos: & ita demum convocaretur Synodus, ad quam Pontifica Romanus, & cuncti accederent Episcopi: ut hoc pacto quæ adversus Orthodoxos perperam decreta fuissent, communis judicii subjicereotur examini. Imperatore vere, & universo Senatu, & Magistratuum populique reliquis jusjurandum interponentibus, & data fide res ordine exposito gerendas affirmantibus, pax conciliata, & ipse domum repetiit. Porro Secundianus Patricius Anastasii ea sorore gener, & Hypatii pater, ad Vitaliani pedes procidens, multis lachrymis Hypatium proprium filium ea vinculis quibus tenebatur in Mysia, liberum & salvum recepit. Cæterum Hormisdas Romanus Episcopus a Theudericho sollicitatus, & Vitaliano vices redditurus, Evodium Episcopum, & Vitalianom Archidiaconum indicto Heracleæ Concilio, Legatos misit. Accesserunt etiamnum ex diversis locis Episcopi circiter ducenti; qui tam a scelesto Imperatore, quam a Timotheo Constantinopol. Episcopo delusi, re infecta recessere. Impius siquidem Imperator, pactis violatis, ad Papam Romæ ne venirent clam significavit: alınde vero Vitaliano Sacram Romæ mittendam dederat, qua Papam ad Concilium Heracleæ celebrandum ut accederet dolose invitabat. Plebs autem omnis & Senatus universus Anastasium, ceu perjurum cooviciis impetebat. Ad quæ nefarius ille impudentissime dicebat: haberi legem, quæ Imperatorem in necessitate constitutum pejerare ac mentiri jubeat. Hæc ille scelestus Manichæorum discipulus.

Edit. Paris. pag. 138.

A ὁμοίως καὶ πάντες οἱ λοιποὶ ἐπίσκοποι. καὶ ὑπὸ συγκροτηθῇ ἡ σύνοδος, ἐρχομένου τοῦ τῆς Ῥώμης, καὶ πάντων ἐπισκόπων, καὶ ὑπὸ κοινῇ κρίσει δοκιμασθῇ τὰ κατὰ τῶν ὀρθοδόξων τολμηθέντα. τοῦ δὲ βασιλέως καὶ τῆς συγκλήτου, καὶ τῶν λοιπῶν ἀρχόντων τε καὶ λαῶν ὁμοσάντων, καὶ βεβαιωσάντων ταῦτα οὕτω γίνεσθαι, εἰρήνη γέγονε, καὶ ἐπανέζευξεν ἐπὶ τὰ ἴδια. Σεκουνδιανὸς δὲ ὁ Πατρίκιος ὁ γαμβρὸς Ἀναστασίου ἐπ᾽ ἀδελφῇ, πατὴρ δὲ Ὑπατίου, εἰς τοὺς πόδας Βιταλιανοῦ προσπεσὼν πολλοῖς δάκρυσιν, Ὑπάτιον τὸν ἴδιον υἱὸν ἐκ τῶν ἐν Μυσίᾳ δεσμῶν ζῶντα ἀπέλαβεν. Ὁρμίσδας δὲ ὁ ἐπίσκοπος Ῥώμης ὀχλούμενος ὑπὸ Θευδερίχου χαριζόμενος Βιταλιανῷ, Εὐόδιον τὸν ἐπί- B σκοπον ἔπεμψε καὶ τὸν Βιταλιανὸν ἀρχιδιάκονον ἐν τῇ κροτηθείσῃ ἐν Ἡρακλείᾳ συνόδῳ. ἦλθον δὲ καὶ ἐπίσκοποι ὡς διακόσιοι ἐκ διαφόρων τόπων· οἵτινες ἐμπαιχθέντες ὑπὸ τοῦ παρανόμου βασιλέως καὶ Τιμοθέου ἐπισκόπου ΚΠ. ἀνεχώρησαν ἄπρακτοι. ὁ γὰρ ἀσεβὴς βασιλεὺς παραβὰς τὰς συνθήκας, λάθρα ἐδήλωσε τῷ Πάππᾳ Ῥώμης μὴ παραγίνεσθαι. τῷ γὰρ Βιταλιανῷ σάκραν ἦν πέμψας αὐτὴν εἰς Ῥώμην πρὸς τὸ παραγίνεσθαι τὸν Πάππαν ἐπὶ τὸ κροτηθῆναι σύνοδον ἐν Ἡρακλείᾳ. πᾶς δὲ ὁ λαὸς καὶ ἡ σύγκλητος παῤῥησίᾳ ἐλοιδόρουν Ἀναστάσιον ὡς ἐπίορκον. ὁ δὲ παράνομος ἀναιδῶς ἔλεγε νόμον εἶναι κελεύοντα βασιλέα κατ᾽ ἀνάγκην ἐπιορκεῖν καὶ ψεύδεσθαι. ταῦτα ὁ παρανομώτατος Μανιχαίφρων. C

			24	20	2	3	3	9	3

Hoc anno Anastasii perjuriis irritatus Vitalianus in ejus exercitus & reliquam omnem Rempublicam multa mala exercuit: cædibus enim, rapinis, & militum exauctorationibus eos vexans, ad irrogandam demum majorem contumeliam, singulis obolis singulos milites divendebat.

			κδ'	κ'	β'	γ'	γ'	θ'	γ'

Τούτῳ τῷ ἔτει Βιταλιανὸς ἀγανακτήσας κατὰ Ἀναστασίου διὰ τὴν ἐπιορκίαν πολλὰ κακὰ τοῖς ὑπὸ Ἀναστάσιον στρατοπέδοις, καὶ τῇ λοιπῇ πολιτείᾳ ἐπεδείκνυτο· ἀναιρῶν καὶ ἁρπάζων, καὶ ἀφοπλίζων, καὶ τέλος πρὸς ὕβριν ἕκαστον στρατιώτην μιᾶς φόλεως ἐπίπρασκεν.

Anni mundi 6006.	Divinæ incarn. 506.	Rom. Imperat. Anastasius annis 27.	Persarum rex Cabades annis 30.	Romæ Episcop. Hormisdas annis 10.	Constanti. Episc. Timotheus annis 6.	Hierosol. Episc. Joannes annis 23.	Alexan. Episc. Joannes annis 11.	Antioc. Episc. Severus annis 7.
		25	21	3	6	6	10	4

D

Κόσμου ἔτη ,ςϛ.	Τῆς θείας σαρκ. ἔτη ,φϛ.	Ῥωμ. Βασιλ. Ἀναστάσιος ἔτη κζ'.	Περσῶν βασιλ. Καβάδης ἔτ. λ'.	Ῥωμ. ἐπισ. Ὁρμίσδας ἔτη ι'.	ΚΠ. ἐπισκ. Τιμόθεος ἔτη ϛ'.	Ἱεροσ. ἐπισκ. Ἰωάννης ἔτη κγ'.	Ἀλεξ. ἐπισ. Ἰωάννης ἔτη ιά.	Ἀντιοχείας ἐπισκ. Σευῆρος ἔτ. ζ'.
		κε'	κα'	γ'	ϛ'	ϛ'	ι'	δ'

Hoc anno Unni, quibus Samen appellatio Caspiarum portarum limitibus emensis, Armeniam suis incursionibus infestarunt; Cappadociamque, & Galatiam, & Pootum depopulati, ad Euchaita usque, quæ tantum haud subegerunt, progressi sunt: a quibus fugiens sacer Macedonius, & de vita ubique per viam periclitans, salvus tandem Gangram se recepit. Viri salutem ægre audivit Anastasius, & sub custodia teneri jussit, misso etiam, ut ferunt, qui eum tolleret e medio. Ita consummatus, Gangræ in templo sancti Martyris Callinici, ad ejus reliquias proximus, ubi morborum sanationes præstat, est reconditus. Macedonium mortuum ac jacentem narraot manu crucis sibi signum expressisse. Theodorus autem quidam ex ejus familiaribus vidit eum per somnium sibi dicentem: Excipe ista: & abiens lege coram Aoastasio, & dic ei: Ego quidem ad patres meos, quorum servavi fi-

Τούτῳ τῷ ἔτει Οὖννοι λεγόμενοι Σαβὶρ περάσαντες τὰς Κασπίας πύλας τὴν Ἀρμενίαν ἐξέδραμον, Καππαδοκίαν τε, καὶ Γαλατίαν, καὶ Πόντον ληιζόμενοι, ὡς καὶ Εὐχάιτα μικροῦ δεῖν παραστήσασθαι. ὅθεν καὶ φυγὼν ὁ ἱερὸς Μακεδόνιος κινδυνεύων σχεδὸν εἰς Γάγγραν διεσώθη. ὅπερ μαθὼν Ἀναστάσιος πικρῶς, προσέταξεν ἐκεῖ φυλάττεσθαι, πέμψας, ὥς φασι, καὶ τὸν ἀναιροῦντα αὐτόν. E τελειωθεὶς δὲ ἐν Γάγγραις κατετέθη ἐν τῷ σορῷ τοῦ ἁγίου μάρτυρος Καλλινίκου ἔγγιστα τῶν λειψάνων αὐτοῦ πολλὰς ἰάσεις ἐπιτελῶν. Μακεδονίου νεκροῦ κειμένου φασὶ τῇ χειρὶ κατασφραγίσασθαι τῷ σταυρῷ. Θεόδωρος δέ τις τῶν συνόντων αὐτῷ εἶδεν εἰς ὄναρ λέγοντα αὐτῷ. ἔκλαβε, καὶ ἀπελθὼν ἐπανάγνωθι Ἀναστασίῳ, καὶ εἰπέ. ἐγὼ μὲν ἀπέρχομαι πρὸς τοὺς πατέρας μου, ὧν τὴν πί-

σιν πεπόρικα. οὐ παύσομαι δὲ ὀχλῶν τῷ δεσπότῃ ἄχει σὺ ἔλθῃς, καὶ εἰς τὴν δίκην εἰσέλθωμεν.

Τῷ δ' αὐτῷ ἔτει ἐν Αλεξανδρείᾳ πλεῖστοι ἄνδρες καὶ γυναῖκες καὶ παιδία δεινῶς πληγέντες ὑπὸ δαιμόνων ἀθρόως ὠλόλυζον· καθ' ὕπνους δέ τις εἶδε τινὰ φοβερὸν λέγοντα, ὅτι διὰ τοὺς ἀναθεματισμοὺς τῆς συνόδου ταῦτα πάσχουσι.

Τῷ δ' αὐτῷ ἔτει καὶ Αρεάδνη ἡ βασίλισσα ἐτελεύτησεν. οἱ δὲ μοναχοὶ τῆς ἐρήμου θείῳ ζήλῳ κινούμενοι τέσσαρας διαμαρτυρίας συντάξαντες, δύο μὲν ἔπεμψαν τῷ βασιλεῖ, μίαν δὲ τοῖς ἄρχουσι τῆς χώρας, καὶ μίαν τῷ ἐπισκόπῳ Ιεροσολύμων, διαμαρτυράμενοι, μήτε τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου παρεξελθεῖν, μήτε τῷ δυσσεβεῖ Σευήρῳ κοινωνῆσαι· ἐπεὶ πρὸς θάνατον ἑτοίμως ἔχουσιν, ἐμπυρίζοντες, καὶ τοὺς ἁγίους τόπους. τοῦ δὲ ἐπισκόπου Θεσσαλονίκης διὰ φόβον τοῦ βασιλέως κοινωνήσαντος Τιμοθέῳ τῷ Κωνσταντινουπόλεως ἐπισκόπῳ, τεσσαράκοντα ἐπίσκοποι τοῦ Ιλλυρικοῦ καὶ τῆς Ελλάδος συνελθόντες εἰς ἓν, δι' ἐγγράφου ὁμολογίας, ὡς ἀπὸ ἰδίου μητροπολίτου, ἀπέστησαν ἀπ' αὐτοῦ, καὶ εἰς Ρώμην πέμψαντες, τῷ Ρώμης κοινωνεῖν ἐγγράφως συνέθεντο. τὸν Θεσσαλονίκης ἐπίσκοπον Θεόδωρος ἱστορικὸς Πατριάρχην ὀνομάζει ἀλόγως, μὴ εἰδὼς τὸ διατί.

dem, vado: Dominum autem interpellare non desinam, donec tu quoque veneris, & ad judicium subeundum una sistamus.

Hoc etiam anno virorum, mulierum, ac puerorum quamplurimi graviter a dæmonibus vexati Alexandriæ frequentius ululabant. Per somnum autem quispiam vidit alium horrendæ speciei virum dicentem: execrationum in Synodum conjectarum causa hæc patiuntur.

Edit. Paris. pag. 139.

Hoc eodem anno Imperatrix Ariadna etiam mortua est. Porro Monachi deserta Palæstinæ loca inhabitantes divino fervore accensi quatuor fidei scriptas ediderunt obtestationes; quarum duas quidem ad Imperatorem, ad Provinciæ Præfectos unam, & alteram ad Hierosolymorum Episcopum miserunt, palam professi, a sancta Chalcedonensi Synodo nullatenus se discessuros, neque cum impio Severo communionem habituros, quandoquidem vel ipsis sacris locis incendio consumptis mortem subire parati forent. Episcopo vero Thessalonicensi ob Imperatoris metum cum Timotheo Constantinopol. Episcopo communionem tenente, quadraginta Illyrici Græciæque Episcopi una convenientes, tabulis etiam testibus professi sunt, ab eo, velut a proprio Metropolita, se discedere, missisque Romam tabulis Romani Pontificis communionem observare polliciti sunt. Theodorus Historicus Thessalonicæ Episcopum appellat Patriarcham: sed nulla prorsus ratione: nec cur ita scripserit, satis ipse novit.

		κϛ'	κβ'	δ'	ε'	ε'	ιά	ε'

Τούτῳ τῷ ἔτει Ιωάννου τοῦ Νικαιώτου ἐπισκόπου Αλεξανδρείας αἱρετικοῦ ἀποθανόντος, Διόσκορος ὁ μικρὸς Τιμοθέου τοῦ Αἰλούρου ἀνεψιὸς προεβλήθη ἐπίσκοπος Αλεξανδρείας. ἐλθὼν δὲ ἐν Βυζαντίῳ ὑπὲρ Αλεξανδρέων πρὸς τὸν βασιλέα πρεσβεύσασθαι διὰ τὸν φόνον τοῦ υἱοῦ Καλλιοπίου τοῦ Αὐγουσταλίου, ὑπὸ τῶν ὀρθοδόξων δημοσίως ὑβρίζετο κατὰ πρόοδον νομιζόντων αὐτὸν κατὰ τῶν ὀρθῶν δογμάτων ἐληλυθέναι. πρεσβεύσας οὖν διὰ τὸν φόνον, μετὰ σπουδῆς ἀνεχώρησεν. ἡ δὲ φόνου αἰτία γέγονεν αὕτη. χειροτονηθέντος Διοσκόρου ἀνεχώρησαν τὰ πλήθη τῶν χωρικῶν λέγοντες· ὅτι εἰ μὴ καθὼς περιέχουσιν οἱ κανόνες τῶν ἁγίων Αποστόλων καθέζεται ἐπίσκοπος. ἦσαν γὰρ οἱ ἄρχοντες οἱ ἐνθρονίσαντες αὐτόν. ὁ δὲ Διόσκορος ἦλθεν εἰς τὸν ἅγιον Μάρκον. καὶ ἐλθόντες οἱ κληρικοὶ ἐνέδυσαν αὐτὸν ἐκ δευτέρου, καὶ πάλιν ἐχειροτόνησαν. καὶ οὕτως ἐλθὼν εἰς τὸν ἅγιον Ιωάννην ἐπετέλεσε τὴν σύναξιν. ὄντος δὲ ἐκεῖ Θεοδοσίου τοῦ υἱοῦ Καλλιοπίου τοῦ Αὐγουσταλίου, καὶ Ακακίου τοῦ στρατηλάτου, ἀτακτήσαντες οἱ ὄχλοι ἤρξαντο ὑβρίζειν τὸν Αὐγουστάλιον, διὰ τὸ ἐπαινεῖν τὸν βασιλέα Αναστάσιον. ἀδείας δὲ γενομένης εἰσπηδήσαντές τινες ἀπὸ τοῦ θρόνου κατεῖλον τὸν υἱὸν τοῦ Αὐγουσταλίου, καὶ ἀνεῖλον αὐτόν. ὁ δὲ στρατηλάτης Ακάκιος ὅσους ἠδυνήθη πιάσαι, ἀνεῖλε. καὶ ἀκούσας ὁ βασιλεὺς, ὠργίσθη κατ' αὐτῶν. ὁ δὲ Διόσκορος πρεσβεύσας, κατεπράϋνεν αὐτόν. μεταξὺ δὲ Ινδῶν καὶ Περσῶν κάστρον ἐστὶν ὀνόματι Τζουβδαδεσὶρ ἔνθα πολλὰ χρήματα, καὶ λίθους τιμίους εἶναι πολλοὺς Κα-

		26	22	4	5	5	11	5

Hoc anno Joanne Nicæota Alexandriæ Episcopo Hæretico vita functo, Dioscorus minor Timothei Æluri nepos Alexandrinus Præsul est institutus. Pro Alexandrinis vero civibus apud Imperatorem ob filii Calliopii Augustalis necem Legatione fungens, & Byzantium profectus, ab Orthodoxis, qui adversus recta fidei sancita profectionem eum suscepisse arbitrabantur, publice per viam iter agens conviciis excipiebatur. Ob cædem itaque memoratam officio Legati perfunctus, confestim discessit. Hæc vero fuit perpetratæ cædis causa. Dioscoro Episcopo creato oppidanorum multitudo a reliquo Ecclesiæ cœtu segregavit se, dicens: Non sedet Episcopus, nisi qui, prout sancti Canones Apostolici præscribunt, fuerit institutus. Principis enim Magistratus ad thronum eum subvexerant. Igitur ad sancti Marci Dioscoro profecto, convenientes Clerici vestibus iterum induerunt, & ordinationis ritum circa eum iterato perfecerunt: atque ita ad sancti Joannis progressus sacram Synaxim obivit. Cum vero filius Calliopii Augustalis Theodosius, & Acacius militiæ Magister isthic adessent, turbæ tumultuantes Augustalem, quod Anastasium Imperatorem laudasset, conviciis lacessere cœperunt: & deposito metu quidam impetu facto Augustalis filium throno deturbatum interfecerunt. Magister autem militiæ Acacius quos apprehendere valuit, morte mulctavit. Eo nuncio accepto, in Alexandrinos ira motus est Imperator. Dioscorus itaque ad eum Legatione suscepta, animum emollivit. Cæterum Indos inter & Persas castrum est nomine Tzubladeser, quo ingentium pecuniarum & pretiosi lapidis quamplurimi congeriem repositam audiens Ca-

pag. 140.

bades, occupare contendebat. Dæmones autem circa locum excubantes, ne in hominum potestatem cederet, impedimento erant. Admota itaque Magorum & subinde Judæorum, quos penes se habebat, arte universa, nec proposito potitus, fusis ad Deum Christianorum precibus, locum se posse consequi persuasus, Christianorum, qui Persidem incolunt Episcopum quemdam præcepit adduci, qui Synaxi peracta, divinorum particeps factus mysteriorum, & ad locum progressus, præsidiarios dæmones ex eo expulit, & nullo labore Cabadi castrum tradidit. Miraculo stupefactus Cabades, prima consessus sede Episcopum voluit honoratum, Manichæis & Judæis illuc usque primos honores obtinentibus. Liberam quoque fecit potestatem, ut qui vellent, ad baptismum accederent.

βάδης μαθὼν, ἐπεζήτει τοῦτο λαβεῖν. δαίμονες δὲ τῷ τόπῳ παρεδρεύοντες, ἐκώλυον αὐτὸ χειρωθῆναι. πᾶσαν οὖν κινήσας τὴν παρ' αὐτῷ μάγων ἐπίνοιαν, ἔπειτα δὲ καὶ Ἰουδαίων, καὶ τοῦ σκοποῦ μὴ ἐπιτυχὼν, πεισθεὶς διὰ τῆς πρὸς Θεὸν εὐχῆς τῶν Χριστιανῶν τοῦτο κυριεῦσαι, ἐπίσκοπόν τινα Χριστιανὸν τῶν ἐν Περσίδι περὶ τοῦτο παρεσκεύασεν, ὃς σύναξιν ἐπιτελέσας, καὶ τῶν θείων μυστηρίων μεταλαβὼν, προσελθὼν τῷ τόπῳ, τοὺς ἐκεῖσε δαίμονας ἐξεδίωξε· καὶ τῷ Καβάδῃ τὸ κάστρον ἀπόνως παρέδωκε· τούτῳ Καβάδης καταπλαγεὶς τῷ σημείῳ, πρωτοκαθεδρείαν τὸν ἐπίσκοπον ἐτίμησεν, ἕως τότε Μανιχαίων καὶ Ἰουδαίων προκαθεζομένων, ἄδειαν παρέχει καὶ τοῖς βουλομένοις βαπτίζεσθαι.

							Alex. Episc. Dioscorus ann. 1.	
		27	23	5	6	6	1	6

							Ἀλεξ. ἐπισκ. Διόσκορος ἔτος α'	
		κζ'	κγ'	ε'	ϛ'	ϛ'		ϛ'

Hoc anno Anastasius Imperator virum terribilem in visione conspexit, codicem manu gestantem; quem cum aperuisset, & comperisset Imperatoris nomen, dixit ei. Ecce ob fidei tuæ perversitatem annos quatuordecim deleo: Totidemque delevit. Experrectus Amantium Præpositum vocat, & narrat visionem. Dicit ille. Ego quoque cernebam hac nocte astare me Majestati tuæ, porcumque magnum irruentem chlamidemque meam prehendentem in terram me prostravisse, ac devorasse penitus. Advocato itaque Proclo somniorum conjectori res visas enarrant. Refert ille. Brevi spatio uterque vestrum consummatur. Timotheo vero Constantinopol. Episcopo fatis functo, Joannem Cappadocem Presbyterum & Syncellum CP. instituerunt Episcopum. Hic ordinatus tertio Paschatis die Apostolicum induit amictum. Populus autem multa importunitate contendebat a Joanne, ut Severum anathemate perstringeret.

Τούτῳ τῷ ἔτει Ἀναστάσιος ὁ βασιλεὺς εἶδεν ἐν ὁράματι ἄνδρα φοβερὸν βαστάζοντα κώδικα· καὶ τοῦτον ἀναπτύξας, καὶ εὑρὼν τὸ ὄνομα τοῦ βασιλέως, εἶπεν αὐτῷ. ἰδοὺ διὰ τὴν κακοπιστίαν σου ἀπαλείφω δεκατέσσαρα ἔτη, καὶ ἀπήλειψεν αὐτά. ἐξυπνισθεὶς δὲ καὶ προσκαλεσάμενος Ἀμάντιον τὸν Πραιπόσιτον, εἶπεν αὐτῷ τὸ ὅραμα. ὁ δὲ εἶπεν κἀγὼ ἐθεασάμην ταύτῃ τῇ νυκτὶ, ὅτι Παρισταμένου μου τῷ κράτει σου, χοῖρος μέγας ἐλθὼν, καὶ δραξάμενός μου τῆς χλαίνης, κατέρραξέ με εἰς γῆν. καὶ ἀνάλωσε. προσκαλεσάμενος δὲ Πρόκλον τὸν ὀνειροκρίτην ἐξεῖπεν αὐτῷ τὰ ὁραθέντα. ὁ δὲ εἶπεν αὐτοῖς. ὅτι ἀμφότεροι οὐ μετὰ πολὺ τελευτᾶτε· τοῦ δὲ ἐπισκόπου ΚΠ. Τιμοθέου ἀποθανόντος Ἰωάννην τὸν Καππαδόκην πρεσβύτερον καὶ Σύγκελλον ΚΠ. ἐπίσκοπον προεχειρίσαντο. οὗτος χειροτονηθεὶς τῇ τρίτῃ ἡμέρᾳ τοῦ Πάσχα τὴν Ἀποστολικὴν ἐνεδύσατο στολήν. ὁ δὲ λαὸς στάσιν πολλὴν ἐποίησε τῷ Ἰωάννῃ τοῦ ἀναθεματίσαι Σευῆρον.

Edit. Paris. pag. 141.

Hoc eodem anno, indictione undecima, mensis Aprilis nono, Anastasius impius Imperator occubuit; exegit in imperio annos septem & viginti, mensesque septem, trigesimo quarto supra ducentesimum anno a Diocletiani imperio; in cujus locum Justinus pius Imperator, vir ætatis provectæ, & expertus rerum, a militiæ cingulo exorsus, & ad Senatus usque ordinem promotus, Illyricus genere suffectus est. Quidam autem autumant Anastasium fulmine de cælo tactum mentis stupore e vivis excessisse.

Τῷ δ' αὐτῷ ἔτει ἰνδικτιῶνι ια. μηνὶ Ἀπριλλίῳ θ. τέθνηκεν Ἀναστάσιος ὁ δυσσεβὴς βασιλεὺς, βασιλεύσας ἔτη κζ'. καὶ μῆνας ζ'. τῷ σλδ'. ἔτει ἀπὸ Διοκλητιανοῦ καὶ ἐβασίλευσεν Ἰουστῖνος ὁ εὐσεβὴς ἀντ' αὐτοῦ, ἀνὴρ πρεσβύτης, καὶ πολύπειρος, ἀπὸ στρατιωτῶν ἀρξάμενος, καὶ ἕως τῆς συγκλήτου προκόψας, Ἰλλυριὸς τῷ γένει. τινὲς δὲ φασιν ὅτι θείῳ σκηπτῷ κεραυνωθεὶς Ἀναστάσιος ἐμβρόντητος γέγονεν.

Anni mundi 6011	Divinæ Incarn. 511	Rom. Imp. Justinus annis 9	Persarum rex Cabades annis 30.	Romæ Episc. Hormisdas annis 10	Constant. Episc. Joannes annis 2.	Hierosol. Episc. Joannes annis 17.	Alex. Episc. Dioscorus annis 1.	Ant. Episc. Severus annis 7
		1	24	6	2	7	2.	7

Κόσμου ἔτη ϛια'	Τῆς θείας σαρκ. φια'	Ῥωμ. βασιλ. Ἰουστῖνος ἔτη θ'.	Περσ. βασιλ. Καβάδης ἔτη λ'.	Ῥωμ. ἐπισκ. Ὁρμίσδας ἔτη ι'.	ΚΠ. ἐπίσκ. Ἰωάννης ἔτη β'.	Ἱεροσ. ἐπισκ. Ἰωάννης ἔτ. κγ'.	Ἀλεξ. ἐπισκ. Διόσκορος ἔτ. γ'.	Ἀντ. ἐπισκ. Σευῆρος ἔτ. ζ'.
		α'.	κδ'	ϛ'.	α'.	ζ'.	β'.	ζ'.

Hoc anno Justinus imperii summam adeptus optimum se omnibus exhibuit. Fuit rectæ fidei studiosus, rerum experientia præstans, & belli gloria præclarus. Uxori vero nomine Lupiciæ conjunctus, eidem imperii coronam impertiit,

Τούτῳ τῷ ἔτει Ἰουστῖνος βασιλεύσας πᾶσιν ἄριστος ἀπεδείχθη, ζηλωτὴς ὀρθοδόξου πίστεως, ἔμπειρος, καὶ ἐν πολέμοις εὐδοκιμῶν· σύμβιον δὲ ἔχων ὀνόματι Λουπικίαν, ἔστεψεν Αὐγοῦσταν.

γούσαν· ἣν οἱ Δῆμοι ἐκάλεσαν Εὐφημίαν εἰς τὸ στέψαι αὐτήν. Βιταλιανὸς δὲ ὁ προῤῥηθεὶς μετὰ θάνατον Ἀναστασίου Ἰουστίνῳ τῷ μεγάλῳ σφόδρα ᾠκειώθη, ὥστε στρατηλάτου ἀξίαν παρ' αὐτοῦ δέξασθαι, καὶ ὑπατεῦσαι ἐλθόντα ἐν Βυζαντίῳ, καὶ Ὕπατον ἀναγορευθῆναι, καὶ Κόμητα Πρεσέντου, παῤῥησίαν τε ἔχειν τοσαύτην πρὸς τὸν βασιλέα, ὥστε καὶ Σεβῆρον προστάξαι ἐκβληθῆναι, καὶ ἀναιρεθῆναι. λίαν γὰρ ἦν ὀρθόδοξος Βιταλιανός. ὁ δὲ Σεβῆρος ἀκούσας ἔφυγεν, καὶ Ἰουλιανὸς Ἁλικαρνασσοῦ ἐπίσκοπος, καὶ εἰς Αἴγυπτον ἀπελθόντες, ταύτην ἐτάραξαν, τὸν περὶ φθαρτοῦ καὶ ἀφθάρτου λόγον κινήσαντες, Διοσκόρου ἐπισκοπεύοντος Ἀλεξανδρείας. ἐπίσκοποι δὲ καὶ κληρικοὶ ἀπὸ Ῥώμης ἦλθον λαβόντες αὐθεντίαν ὑπὸ Ὁρμίσδου ἐπισκόπου Ῥώμης, ὑπὸ Βιταλιανοῦ ἔτι ζῶντος, Ἰωάννου τοῦ Καππάδοκος ἔτι ζῶντος ἐπισκόπου ΚΠ καὶ τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον συνετάξαντο τοῖς διπτύχοις πρὸς ταῖς ἄλλαις ἱεραῖς τρισὶ συνόδοις. Σεβήρου δὲ τοῦ δυσσεβοῦς ἐκ ποδῶν γεγονότος, Παῦλος ἐχειροτονήθη ἐπίσκοπος Ἀντιοχείας ὁ Ξενοδόχος τῶν Εὐβούλου. καὶ ἐδωρήσατο ὁ βασιλεὺς τῇ πόλει Ἀντιοχείας χιλίας λίτρας χρυσίου· καὶ ταῖς ἄλλαις δὲ πόλεσι πολλὴν εὐνομίαν παρέχει, κωλύσας καὶ τὰς δημώδεις ταραχάς. Ξεναίαν δὲ τὸν Φιλόξενον ἐπίσκοπον Ἱεραπόλεως Μανιχαιόφρονα ὄντα, καὶ Πέτρον Ἀπαμείας ἐξώρισεν ὁ εὐσεβὴς βασιλεὺς Ἰουστῖνος σὺν πᾶσι τοῖς μετέχουσι τῆς λώβης αὐτῶν. Ἀμάντιόν τε τὸν Πραιπόσιτον, καὶ Ἀνδρέαν τὸν Κουβικουλάριον, καὶ Θεόκριτον τὸν Κόμητα Ἀμαντίου, ὃν ἐβούλετο ποιῆσαι βασιλέα, ὡς τυραννίδα μελετήσαντας, ἀνεῖλεν. ὁ γὰρ Πραιπόσιτος δέδωκε Ἰουστίνῳ χρήματα ῥογεῦσαι, ὅπως Θεόκριτον βασιλεύσῃ. ὁ δὲ στρατὸς καὶ οἱ Δῆμοι οὐχ εἵλοντο τὸν Θεόκριτον βασιλεῦσαι, ἀλλ' Ἰουστῖνον ἀνεκήρυξαν. αὐτοὶ δὲ δυσφορήσαντες τυραννίδα ἐμελέτησαν, καὶ ἀνῃρέθησαν. ἀνεκαλέσατο δὲ ὁ βασιλεὺς πάντας τοὺς ἀδίκως ἐξορισθέντας ὑπὸ Ἀναστασίου, καὶ Ἀππίωνα τὸν Πατρίκιον, ὃν ἐν Νικαίᾳ βίᾳ ἐχειροτόνησεν· ὃν ὁ βασιλεὺς ὡς ἔχέφρονα ἐποίησεν Ὕπαρχον τοῦ Πραιτωρίου, καὶ Διογενιανὸν τῆς ἀνατολῆς στρατηλάτην.

Τῷ δ' αὐτῷ ἔτει ἐφάνη ἀστὴρ ἐν τῇ ἀνατολῇ φοβερὸς κομήτης, ὃς εἶχεν ἀκτῖνα πέμπουσαν ἐπὶ τὰ κάτω, ὃν ἔλεγον ἀστρονόμοι πωγωνίαν εἶναι, καὶ ἐφοβοῦντο.

A quam, dum redimiretur, Euphemiam populares Tribus vocaverunt. Memoratus autem supra Vitalianus post Anastasii mortem Justino magno devinctissimus evasit, adeo ut Magistri militiæ dignitatem ab eo consequeretur, & Byzantium profectus Consulatum gereret. & Consul declararetur, & Præsenti Comes, tantaque apud Imperatorem auctoritate polleret, ut Severum capelli juberet, & occidi. Fuit enim Vitalianus rectæ fidei bene affectus. Eo nuncio accepto, fugit Severus, ac pariter Julianus Halicarnassi Episcopus, &, Dioscoro Alexandrinum adhuc Episcopatum administrante, in Ægyptum profecti de corruptibili & incorrupto motis quæstionibus magnos in ea tumultus excitarunt. Cæterum Episcopi & Clerici B Roma venerunt, qui Hormisdæ Romani Pontificis auctoritate muniti, freti quoque Vitaliani adhuc viventis potentia, & Joannis Cappadocis Constantinopol. Episcopi etiam superstitis diligentia, sanctam Chalcedonensem Synodum aliis tribus factis Synodis annumeraverunt, & una cum eis in sacras tabulas retulerunt. Cæterum impio Severo de medio sublato, Paulus recipiendis peregrinis in Eubulorum domo Præpositus, Antiochiæ Præsul ordinatus est: Mille vero auri libras Antiochenæ civitati largitus Imperator, in reliquas urbes multa passim æquitate est usus, & populares tumultus ubique compescuit. Xenajam quoque, Philoxenum nomine, Hierapoleos Episcopum cum Manichæis sentientem, Petrumque Apameæ, cum omnibus eodem contagio afflatis in exilium pius Imperator expulit: & C Amantium Præpositum, & Andream Cubicularium, & Theocritum Amantii Comitem, quem Imperatorem declarare proponebat, ceu tyrannidem meditatos interfecit. Præpositus enim pecunias Justino donaverat in milites distribuendas, ea conditione, ut Theocritum Imperatorem salutaret: exercitus vero populique Tribus Theocritum imperare non sunt passi, sed Justinum Principem renunciaverunt: quod illi graviter ferentes, & tyrannidem excitare aggressi, interfecti sunt. Cunctos demum ab Anastasio inique relegatos ab exilio revocavit Imperator, Appionem in primis Patricium, quem invitum Nicææ jusserat ille ordinari: hunc vero Justinus velut prudentem & cordaD tum virum Prætorio Præfectum, & Diogenianum militiæ Magistrum in Oriente creavit

Edit. Paris. pag. 142.

Hoc etiam anno stella apparuit in Oriente, terribilis nimirum cometa, e quo radii inferius demissi protendebantur: Barbatum dicebant Astronomi, & ab eo cunctis metuebant.

Κόσμου ἔτη ͵εκιβ'.	Τῆς θείας σαρκώσεως ἔτη φιβ'.	Ῥωμ. βασιλ. Ἰουστῖνος ἔτη θ'.	Περσ. βασιλ. Καβάδης ἔτη λ'.	Ῥωμ. ἐπισκ. Ὁρμίσδας ἔτη ι'.	ΚΠ. ἐπισκ. Ἰωάννης ἔτη β'.	Ἱεροσ. ἐπισκ. Ἰωάννης ἔτη κγ'.	Ἀλεξ. ἐπισκ. Διόσκορος ἔτη γ'.	Ἀντ. ἐπισκ. Παῦλος ἔτη γ'.
		β'.	κε'	ζ.	β.	δ'	γ'.	α'.

Anni mundi 6012.	Divinæ Incarn. 512.	Roman. Imperat. Justinus annis 9.	Persarum rex Cabades annis 30.	Romæ Episcop. Hormisdas annis 10.	Constant. Episc. Joannes annis 2.	Hierosol. Episc. Joannes annis 23.	Alexan. Episc. Dioscorus annis 3.	Antioc. Episc. Paulus annis 3.
		2	25	7	2	8	3	5

E

Τούτῳ τῷ ἔτει Βιταλιανὸς ἐδολοφονήθη ὑπὸ τῶν Βυζαντίων μηνιάντων αὐτῷ διὰ τὸ πολλοὺς ἀναιρεθῆναι τῷ καιρῷ τῆς ἐπαναστάσεως αὐτοῦ κατὰ Ἀναστασίου. Ἰωάννου δὲ τοῦ Καππάδοκος

Hoc anno Vitalianus a Byzantinis dolo interfectus est: quod enim rebellionis ejus in Anastasium tempore plurimæ cædes fuissent editæ, graviter ei succensebant. Joanne porro Cappadoce CP. E-

piscopo defuncto, Epiphanius ejusdem Ecclesiæ Presbyter & Syncellus mensis Februarii die vigesimo quinto fuit ordinatus: & Hormisda pariter letho quiescente, Joannes Romæ Episcopatum excepit.

Hoc etiam anno Veneta factio variis per omnes civitates tumultibus excitatis, plurima saxis facta lapidatione, multisque cædibus editis per civitates omnes reliquum sibi populum subegit, & in Magistratus ipsos temere se se extulit. Antiochiæ vero seditionis malum primo natum, in reliquas deinde civitates derivatum est, & per annos quinque invaluit: gladiis vero Prasinos obviam sibi factos, ac etiam per domos se se occulentes, ipsi intro se immittentes obtruncabant, Magistratibus de tot cædibus pœnas sumere non audentibus. Hæc autem ad sextam usque pii Justini annum facinorose gerebantur.

ἐπισκόπου ΚΠ. τελευτήσαντος, Ἐπιφάνιος πρεσβύτερος τῆς αὐτῆς ἐκκλησίας καὶ Σύγκελλος ἐχειροτονήθη μηνὶ Φεβρουαρίῳ κε'. ὁμοίως δὲ Ὁρμίσδα τῆς Ῥώμης κοιμηθέντος Ἰωάννης τὴν ἐπισκοπὴν διεδέξατο.

Τῷ δ' αὐτῷ ἔτει ἐδημοκράτησε τὸ Βένετον μέρος ἐν πάσαις ταῖς πόλεσι ταραχὰς ἐγείραντες, καὶ λιθασμοὺς, καὶ φόνους πολλοὺς ἀπεργαζόμενοι. ἐπήρχοντο δὲ καὶ τοῖς ἄρχουσιν. ἀπὸ δὲ Ἀντιοχείας ἤχθη τὸ κακὸν τῆς ἀταξίας, καὶ οὕτω διεδόθη ἐν πάσαις ταῖς πόλεσι, καὶ ἐπεκράτησεν ἐπὶ χρόνους πέντε, καὶ ἔσφαζον τοῖς ξίφεσι τοὺς ἀπαντῶντας Πρασίνους, καὶ τοὺς κατ' οἶκον κρυπτομένους· ἀνιόντες δὲ ἐφόνευον, μὴ τολμώντων τῶν ἀρχόντων ἐκδίκησιν τῶν φόνων ποιῆσαι. ταῦτα δὲ ἐπράττοντο ἕως ἔτους ἕκτου Ἰουστίνου τοῦ εὐσεβοῦς.

Edit. Paris. pag. 143.

			CP. Episc. Epiphanius annis 16.		Alexand. Episc. Timotheus annis 27.	
3	26	8	1	9	5	2

			ΚΠ. ἐπίσκ. Ἐπιφάνιος ἔτη ιϛ'.		Ἀλεξ. ἐπίσκ. Τιμόθεος ἔτη ζ'.	
γ'	κϛ'	η'	α'	θ'	ε'	β'

Hoc anno Persas inter & Romanos bello revocato Justinus Legatos & munera ad Ziligdem Unnorum regem destinavit: Ille interpositis ex patrio more juramentis, adversum Persas Imperatori suppetias ferre promisit. Aliis porro a Cabade una cum missa legatione acceptis, cum eo pariter præliari spopondit. Nuncio accepto graviter offensus est Justinus. Ad bellum itaque contra Romanos movendum misit Ziligdes hominum viginti millia: Justinus novo de pace tractatu per Legatos instaurato, datisque quasi super alia re litteris, Cabadi Persarum regi de Ziligde, ut Romanis auxilia daturum etiam cum juramento pactus fuerit, significat: in eum finem dona plurima accepisse, Persas Romanis prodere meditari: Nos itaque velut fratres, inquit, in amicitiam redire, & a canibus istis hoc pacto minime deludi oportet. Cabades igitur Ziligdem seorsim interrogat, num ita deludentibus Persis, accepisset a Romanis munera? Ita est: respondet ille. His exarsit Cabades, & ipsum interfecit: missisque per noctem Persarum agminibus copias ejus delevit, eum dolo ductum ad se accessisse suspicatus. Ii demum quibus fuga permissa est domum redierunt.

Euphrasius autem Antiochenus Chalcedonensis Synodi Patrum, & ipsius Papæ Romani nomina diptychis expunxit. Postmodum vero metu pœnitens redditus, quatuor Synodos publice promulgavit.

Cæterum Cabades Persarum res Romanorum Imperatorem domus suæ Curatorem instituere proposuit: majorem quippe natu filium, quem Persarum leges ad regnum vocabant, vel ab eo secundum, quod oculus ei foret effossus, regnare noluit: Chosroem autem ex Aspede sorore susceptum diligebat pater. Quare cum Romanis pacem habere decrevit, & Chosroem Imperatoris filium instituere meditatus, Byzantium Legatos ad Justinum mittit. Imperator adoptivum ex Senatus consilio eum fieri non admisit: mecum enim dolum Romanorumque perniciem, Proclo Quæstore viro prudente ac sagaci præclare id suadente, ejusmodi arte parari persenserunt.

Τούτῳ τῷ ἔτει πολέμου κινηθέντος μεταξὺ Ῥωμαίων καὶ Περσῶν Ἰουστῖνος ἀπέστειλε πρέσβεις καὶ δῶρα πρὸς Ζιλίγδην τὸν ῥῆγα τῶν Οὔννων, καὶ συνέθετο μεθ' ὅρκων πατρίων συμμαχῆσαι τῷ βασιλεῖ κατὰ Περσῶν. ἀποστείλας δὲ καὶ Καβάδης πρὸς αὐτὸν, συνέθετο καὶ αὐτῷ. τοῦτο δὲ μαθὼν ὁ Ἰουστῖνος, ἐλυπήθη σφόδρα. ἀπέστειλε δὲ πρὸς τοὺς Πέρσας ὁ Ζιλίγδης μετὰ χιλιάδων εἴκοσι τοῦ πολεμῆσαι Ῥωμαίους. ὁ δὲ Ἰουστῖνος ἐδήλωσε Καβάδῃ τῷ βασιλεῖ Περσῶν πρεσβεύων περὶ εἰρήνης, καὶ ὡς ἐπ' ἄλλῳ τινὶ γράψας, καὶ περὶ Ζιλίγδη, ὅτι συμμαχίας ὅρκους ἔχει μετὰ Ῥωμαίων, καὶ ὅτι δῶρα ἔλαβε πολλὰ, καὶ βούλεται προδότης γενέσθαι τῶν Περσῶν, καὶ ὅτι δεῖ ἡμᾶς ἀδελφοὺς ὄντας εἰς φιλίαν ἐλθεῖν, καὶ μὴ ὑπὸ τῶν κυνῶν τούτων ὑπο παίζεσθαι. ὁ δὲ Καβάδης ἐπηρώτησε κατ' ἰδίαν τὸν Ζιλίγδην, εἰ ἔλαβε παρὰ Ῥωμαίων δῶρα, προτραπεὶς κατὰ Περσῶν; ὁ δὲ εἶπε· ναί. καὶ ὀργισθεὶς ὁ Καβάδης ἐφόνευσεν αὐτὸν, καὶ διὰ νυκτὸς πέμψας πλήθη Περσῶν, ἀνεῖλε τὸν λαὸν αὐτοῦ, ὑπονοήσας, ὅτι δόλῳ ἦλθε πρὸς αὐτόν. ὅσοι δὲ ἠδυνήθησαν φυγεῖν ἀνέζευξαν εἰς τὰ ἴδια.

Εὐφράσιος δὲ Ἀντιοχείας τὴν ἐν Χαλκηδόνι σύνοδον ἐξέβαλε τῶν διπτύχων, καὶ τὸ ὄνομα τοῦ Πάπα Ῥώμης. μετὰ δὲ ταῦτα φοβηθεὶς, τὰς τέσσαρας συνόδους ἐκήρυττεν.

Καβάδης δὲ ὁ τῶν Περσῶν βασιλεὺς τὸν τῶν Ῥωμαίων βασιλέα ἐπίτροπον τοῦ ἑαυτοῦ οἴκου καταλιπεῖν ἠθέλησεν· οὐ γὰρ ἐβούλετο τὸν πρεσβύτερον αὐτοῦ υἱὸν, ὃν καὶ ὁ νόμος Περσῶν ἐκάλει τοῦ ἄρξαι, ἀλλ' οὐ τὸν δεύτερον, διότι τὸν ὀφθαλμὸν ἐκκέκοπτο, Χοσρόην δὲ ὡς ἐκ τῆς Ἀσπέδη ἀδελφῆς γεννηθέντα ἠγάπα ὁ πατήρ. ἔδοξεν οὖν αὐτῷ εἰς Ῥωμαίους εἰρηνεῦσαι· καὶ Χοσρόην ἐποιεῖτο παῖδα τοῦ βασιλέως γενέσθαι· ἐπὶ τούτοις πρέσβεις εἰς τὸ Βυζάντιον πρὸς Ἰουστῖνον ἔπεμψεν· ὁ δὲ βασιλεὺς τὴν σύγκλητον εἰς βουλὴν καλέσας οὐ κατεδέξατο τοῦτο γενέσθαι, δόλον καὶ προδοσίαν Ῥωμαίων τοῦτο καλοῦντες, Πρόκλου Κοιαίστωρος ἀνδρὸς συνετοῦ καὶ ἀγχίνου τοῦτο καλῶς βουλευσαμένου.

A

		δ'	κζ'	θ'	β'	ι'	β'	γ'

Τούτῳ τῷ ἔτει ἔπαθεν ὑπὸ θεομηνίας τὸ Δυρράχιον πόλις τῆς νέας Ἠπείρου τοῦ Ἰλλυρικοῦ. ὁ δὲ βασιλεὺς πολλὰ χρήματα παρέσχεν εἰς ἀνανέωσιν τῆς πόλεως. ὁμοίως δὲ καὶ ἡ Κόρινθος μητρόπολις τῆς Ἑλλάδος, καὶ αὐτὴν μεγάλως ἐφιλοτιμήσατο.

			ε'	κη'	ι'	γ'	ια'	γ'	Ἀντ. ἐπίσκ. Εὐφράσιος ἔτη ε'. α'

B

Τούτῳ τῷ ἔτει Τζάθος ὁ τῶν Λαζῶν βασιλεὺς ἀποστατήσας τῆς τῶν Περσῶν βασιλείας, Καβάδου βασιλεύοντος, καὶ φιλοῦντος τὸν Τζάθον, ὡς καὶ προβαλλόμενον αὐτὸν βασιλέα τῶν Λαζῶν, ἦλθε πρὸς Ἰουστῖνον εἰς τὸ Βυζάντιον, καὶ παρεκάλεσε τὸν βασιλέα Χριστιανὸν αὐτὸν γενέσθαι, καὶ ὑπ' αὐτοῦ ἀναγορευθῆναι βασιλέα τῶν Λαζῶν. ὁ δὲ βασιλεὺς αὐτὸν μετὰ χαρᾶς δεξάμενος ἐφώτισεν αὐτόν, καὶ υἱὸν ἀνηγόρευσεν. ἔγημε δὲ καὶ γυναῖκα Ῥωμαίαν, τὴν ἔγγονον Ὀμοῦ τοῦ πατρικίου καὶ Ἀποκουροπαλάτου Οὐαλεριανήν τινα, καὶ εἰς τὴν ἰδίαν χώραν ἔλαβε, προχειρισθεὶς παρὰ Ἰουστίνου βασιλεὺς τῶν Λαζῶν, φορέσας στέφανον καὶ χλαμύδα βασιλικὴν ἄσπρην ἔχουσαν ταυλίον χρυσοῦν, ἐν ᾧ ἐκ κεντητοῦ ἐγκεχάρακτο ἡ εἰκὼν τοῦ βασιλέως Ἰουστίνου, καὶ στιχάριν ἄσπρον ἔχον πλουμία χρυσᾶ, καὶ εἰκόνα τοῦ βασιλέως· τὰ δὲ τζαγγία αὐτοῦ ῥούσια ἦσαν ἔχοντα μαργαρίτας Περσικῷ σχήματι· ὁμοίως ἡ ζώνη αὐτοῦ ἦν χρυσῆ διὰ μαργαριτῶν. ἔλαβεν δὲ παρὰ βασιλέως δῶρα πολλά, καὶ μετὰ χαρᾶς ἀπῆλθεν εἰς τὰ ἴδια. γνοὺς δὲ τοῦτο Καβάδης ὁ τῶν Περσῶν βασιλεὺς ἐδήλωσεν τῷ βασιλεῖ Ἰουστίνῳ, ὅτι φιλίας καὶ εἰρήνης μεταξὺ ἡμῶν οὔσης τὰ ἐχθρῶν πράττεις, καὶ τοὺς ὑπὸ τὴν ἐξουσίαν τῶν Περσῶν ὄντας ἀπ' αἰῶνος προσελάβου. ὁ δὲ βασιλεὺς ἀντεδήλου αὐτῷ. ἡμεῖς τινὰ τῶν ὑποκειμένων τῇ βασιλείᾳ σου οὐ προσελαβόμεθα, οὔτε προετρεψάμεθα. ἀνελθὼν Τζάθος εἰς τὰ ἡμέτερα βασίλεια ἐδεήθη προσπίπτων ἡμῖν ῥυσθῆναι μυσαροῦ καὶ ἑλληνικοῦ δόγματος καὶ ἀσεβῶν θυσιῶν καὶ πλάνης δαιμόνων, καὶ προσελθεῖν τῷ δημιουργῷ τῶν ὅλων Θεῷ, καὶ γενέσθαι Χριστιανός. τοῦτον ἡμεῖς βαπτίσαντες ἀπελύσαμεν εἰς τὴν ἰδίαν χώραν. ἐκ τότε λοιπὸν ἐγένετο ἔχθρα μεταξὺ Ῥωμαίων καὶ Περσῶν.

C

D

Τῷ δ' αὐτῷ ἔτει καὶ τὰ κατὰ τὸν ἅγιον Ἀρέθαν καὶ τοὺς ἐν Νεγρᾷ τῇ πόλει ἐπράχθη ὑπὸ τῶν Ὁμηριτῶν, καὶ πόλεμος Ἐλεσβαὰ τοῦ βασιλέως τῶν Αἰθιόπων πρὸς τοὺς Ὁμηρίτας, καὶ ἡ νίκη αὐτοῦ.

E

			ς'	κθ'	Ῥώμης ἐπίσκ. Ἰωάννης ἔτη γ'. α'	δ'	ιβ'	δ'	β'

			4	27	9	2	10	2	3

Edit. Parif. pag. 144.

Hoc anno Dyrrhachium novæ Epiri in Illyrico civitas plagam cælitus immissam accepit. Imperator vero vim pecuniarum ingentem ad civitatis instaurationem erogavit. Parem cladem passa est Corinthus Græciæ Metropolis; & in eam magna quoque liberalitate usus est.

			5	18	10	3	21	3	Ant. Episc. Euphrasius annis 5.	1

δάτωρ· οὐκ ἔχει πρᾶγμα Καλοπόδιος. οἱ Πράσινοι. εἴ τις ποτέ ἐστι, τὸν μόρον ποιήσει τοῦ Ἰούδα, ὁ Θεὸς ἀνταποδώσει αὐτῷ ἀδικοῦντι μετὰ τάχους. Μανδάτωρ· ὑμεῖς οὐκ ἀνέρχεσθε εἰς τὸ θεωρῆσαι, εἰ μὴ εἰς τὸ ὑβρίζειν τοὺς ἄρχοντας; οἱ Πράσινοι· οὗτις δήποτε ἀδικεῖ με τὸν μόρον ποιήσει τοῦ Ἰούδα. Μανδάτωρ· ἡσυχάσατε, Ἰουδαῖοι, Μανιχαῖοι, καὶ Σαμαρεῖται. οἱ Πράσινοι. Ἰουδαίους καὶ Σαμαρείτας ἀποκαλεῖς; ἡ Θεοτόκος μετὰ ὅλων. Μανδάτωρ· ἕως πότε ἑαυτοὺς καταρᾶσθε; οἱ Πράσινοι· εἴ τις οὐ λέγει, ὅτι ὀρθῶς πιστεύει ὁ δεσπότης ἀνάθεμα αὐτῷ, ὡς τῷ Ἰούδα. Μανδάτωρ· ἐγὼ ὑμῖν λέγω εἰς ἕνα βαπτίζεσθαι. οἱ δὲ Πράσινοι ἀνεβόησαν ἐπάνω ἀλλήλων, καὶ ἔκραζον. ὡς ἐκέλευσεν, ἄντλας, εἰς ἕνα βαπτίζομαι. Μανδάτωρ· ὄντως εἰ μὴ ἡσυχάσητε, ἀποκεφαλίζω ὑμᾶς. οἱ Πράσινοι· ἕκαστος σπουδάζει ἀρχὴν κρατῆσαι, ἵνα σωθῇ· καὶ εἴ τι ἂν εἴπωμεν θλιβόμενοι, μὴ ἀγανακτήσῃ τὸ κράτος σου· τὸ γὰρ θεῖον πάντων ἀνέχεται. οἱ Πράσινοι· ἡμεῖς λόγον ἔχοντες, ὀνομάζομεν ἄρτι πάντα, ποῦ ἐστιν, ἡμεῖς οὐκ οἴδαμεν, οὐδὲ τὸ παλάτιον, Τρισαύγουστε, οὐδὲ πολιτείας κατάστασις, μίαν εἰς τὴν πόλιν προέρχομαι, ὅτ' ἂν εἰς βορδόνην καθέζομαι· εἴθε μηδὲ τότε, Τρισαύγουστε. Μανδάτωρ· ἕκαστος ἐλεύθερος ὅπου θέλει ἀκινδύνως δημοσιεύει. οἱ Πράσινοι· καὶ θαρρῶ ἐλευθερίας, καὶ ἐμφανίσαι οὐ συγχωροῦμαι· καὶ ἐὰν ἐστιν ἐλεύθερος, ἔχει δὲ Πρασίνων ὑπόληψιν, πάντως εἰς φανερὸν κολάζεται. Μανδάτωρ· ἑτοιμοθάνατοι οὐδὲ τῶν ψυχῶν ὑμῶν φείδεσθε; οἱ Πράσινοι· ἐπαρθῇ τὸ χρῶμα τοῦτο, καὶ ἡ δίκη οὐ χρηματίζει, ἄνες τὸ φονεύεσθαι· καὶ ἄφες, κολαζόμεθα. ἴδε πηγὰ βρύουσα, καὶ ὅσους θέλεις κόλαζε. ἀληθῶς τὰ δύο ταῦτα οὐ φέρει ἀνθρωπίνη φύσις. εἴθε Σαββάτιος μὴ ἐγεννήθη, ἵνα μηδὲ υἱὸν ἔσχε φονέα. εἰκοστὸν ἔτος φόνος ἐστὶν ὁ γενόμενος εἰς τὸ Ζεῦγμα τὸ πρωΐ, ἂς ἐθεώρησε, καὶ τῇ δείλῃ ἐσφάγη, δέσποτα πάντων. οἱ Βένετοι· τοὺς φονεῖς ὅλου τοῦ σταδίου ὑμεῖς μόνοι ἔχετε. οἱ Πράσινοι· πότε σφάζεις, καὶ ἀποδημεῖς; οἱ Βένετοι. σὺ δὲ σφάζεις, καὶ διακινεῖς. τοὺς φονεῖς γὰρ τοῦ σταδίου ὑμεῖς μόνοι ἔχετε· οἱ Πράσινοι. δέσποτα Ἰουστινιανέ, αὐτοὶ παρακαλοῦσι, καὶ οὐδεὶς αὐτοὺς φονεύει. νοήσῃ, ὁ μὴ θέλων. τὸν ξυλοπώλην, τὸν εἰς τὸ Ζεῦγμα, τίς ἐφόνευσεν, αὐτοκράτωρ; Μανδάτωρ. ὑμεῖς αὐτὸν ἐφονεύσατε. οἱ Πράσινοι. τὸν υἱὸν τοῦ Ἐπαγάθου τίς ἐφόνευσεν, αὐτοκράτωρ; Μανδάτωρ· καὶ αὐτὸν ὑμεῖς ἐφονεύσατε· καὶ τοὺς Βενέτους πλέκετε. οἱ Πράσινοι· ἄρτι καὶ ἄρτι· Κύριε ἐλέησον. τυραννεῖται ἡ ἀλήθεια. ἤθελον ἀντιβαλεῖν τοῖς λέγουσιν ἐκ Θεοῦ διοικεῖσθαι τὰ πράγματα. πόθεν αὕτη ἡ δυστυχία; Μανδάτωρ. ὁ Θεὸς κακῶν ἀπείραστος. οἱ Πράσινοι. Θεὸς κακῶν ἀπείραστος; καὶ τίς ἐστιν ὁ ἀδικῶν με, εἰ φιλόσοφός ἐστιν, ἢ ἐρημίτης, τὴν διαίρεσιν εἴπῃ τῶν ἑκατέρων. Μανδάτωρ· βλάσφημοι, καὶ θεοχόλωτοι, ἕως πότε οὐχ ἡσυχάζετε; οἱ Πράσινοι· ἂν θεραπεύεται τὸ κράτος σου, στέγω· καὶ μὴ θέλων, Τρισαύγουστε, ὅλα, ὅλα οἶδα· ἀλλὰ σιωπῶ· σώζου δίκη, οὐκ ἔτι χρηματίζεις. μεταβαίνω, καὶ τότε Ἰουδαΐζω.

μᾶλλον δὲ ἐλλιμνίσαι συμφέρει, καὶ μὴ Βενετίσαι, ὁ Θεὸς οἶδεν. οἱ Βένετοι· τὸ μισῶ, οὐ θέλω βλέπειν· καὶ ὁ φθόνος παρενοχλεῖ μοι. οἱ Πράσινοι· ἀνασκαφῇ τὰ ὀστέα τῶν θεωρούντων. καὶ κατῆλθον οὗτοι, καὶ ἔασαν τὸν βασιλέα, καὶ τοὺς Βενέτους θεωροῦντας. καὶ εὐθὺς συνέβη γενέσθαι ὑπό τινων Μαγιστόρων πρόφασιν δημοτικῆς ταραχῆς τρόπῳ τοιῷδε· κρατήσας ὁ Ὕπαρχος τρεῖς δημότας τῶν ἀτακτούντων, ἐφούρκισεν αὐτούς· καὶ ὁ μὲν εἷς παραυτὰ ἀπέθανεν· οἱ δὲ δύο ἔπεσαν ἐκ τῆς φούρκας. πάλιν ἐκρεμάσθησαν, καὶ πάλιν ἔπεσαν. τούτους οὖν ἑωρακὼς ὁ ἑστὼς ὄχλος ἔκραξε. τούτους τῇ ἐκκλησίᾳ. ἀκηκοότες οὖν οἱ μοναχοὶ τοῦ ἁγίου Κόνωνος ἥρπασαν αὐτοὺς ἐν ἀκατίῳ, καὶ ἐπέρασαν αὐτοὺς εἰς τὸν ἅγιον Λαυρέντιον, διότι προνόμια εἶχε τοῦ μηδένα ἐκβληθῆναι τοῦ ναοῦ, ἕως οὗ πάθῃ τὸ ἱκανόν. ἀκούσας οὖν ὁ Ὕπαρχος ἔπεμψε στρατιώτας, καὶ γνόντες οἱ Δῆμοι ἀπῆλθον εἰς τὸ Πραιτώριον αἰτοῦντες τὸν Ὕπαρχον ἀποστῆναι τοῦ ἁγίου Λαυρεντίου τοὺς φυλάσσοντας στρατιώτας, καὶ ἀπόκρισιν οὐκ ἔτυχον παρ' αὐτοῦ· καὶ θυμωθέντες ἔβαλον πῦρ εἰς τὸ Πραιτώριον, καὶ ἐκάησαν οἱ ἔμβολοι ἀπὸ τῆς καμάρας τοῦ φόρου ἕως τῆς Χαλκῆς, καὶ τὰ ἀργυροπρατεῖα, καὶ τὰ Λαύσου πάντα πυρὶ ἀνηλώθησαν, καὶ τοὺς ἐμπίπτοντας αὐτοῖς στρατιώτας κατέσφαξαν ἀφειδῶς. καὶ εἰσερχόμενοι ἐν τοῖς οἴκοις διήρπαζον τὰς ὑποστάσεις, καὶ ἐνέπρησαν τὴν εἴσοδον τοῦ παλατίου τὴν χαλκόστεγον, καὶ Πρωτοτικτόρων, καὶ τὸ ἔννατον τοῦ Αὐγουστέως. καὶ κατῆλθεν ὁ Δῆμος εἰς τὸν Ἰουλιανοῦ τῆς Σοφίας λεγόμενον λιμένα εἰς τὸν οἶκον Πρόβου ζητοῦντες ὅπλα, καὶ κράζοντες ἄλλον βασιλέα τῇ πόλει, καὶ ἔβαλον πῦρ εἰς τὰ Πρόβου· καὶ κατεῤῥίφθη ὁ οἶκος· καὶ ἦλθον, καὶ ἔκαυσαν τὸ βαλανεῖον τοῦ Ἀλεξάνδρου, καὶ τὸν ξενῶνα τοῦ Σαμψὼν τὸν μέγαν, καὶ ἀπώλοντο οἱ ἄῤῥωστοι, καὶ τὴν μεγάλην ἐκκλησίαν σὺν τοῖς ἀμφοτέροις κίοσι· καὶ πᾶσα ἡ τετραέντης κατεῤῥίφθη. ὁ δὲ βασιλεὺς φοβηθεὶς ἠθέλησε βαλεῖν εἰς δρόμωνα τὰ χρήματα, καὶ ἐξελθεῖν ἐπὶ τὴν Θρᾴκην, ἕως Ἡρακλείας, καταλείψας φυλάττειν τὸ παλάτιον τὸν στρατηλάτην Μοῦνδον μετὰ τοῦ υἱοῦ αὐτοῦ, καὶ τρισχιλίων ἀνδρῶν, καὶ Κωνσταντιόλου, καὶ τοὺς Κουβικουλαρίους. οἱ δὲ Δῆμοι τοὺς νεκροὺς σύραντες ἔβαλον εἰς τὴν θάλασσαν, φονεύσαντες καὶ γυναῖκας πολλάς· φήμης δὲ γενομένης, ὅτι ὁ βασιλεὺς λαβὼν τὴν Αὐγοῦσταν ἐξῆλθεν ἐν τῇ Θρᾴκῃ, καὶ ἀνηγόρευσαν βασιλέα Ὑπάτιον τὸν Πατρίκιον, καὶ καθεζόμενος ἐν τῷ ἱππικῷ εὐφημεῖτο ὑπὸ τῶν Δήμων. καὶ ἤκουσε τὰς ὑβριστικὰς φωνὰς τὰς πρὸς Ἰουστινιανὸν τὸν βασιλέα. ἦλθον δὲ καὶ ἀπὸ Φλαβιανῶν νεώτεροι Πράσινοι διακόσιοι λωρικάτοι, ὑπολαμβάνοντες καὶ ἀνοῖξαι τὸ παλάτιον, καὶ εἰσαγαγεῖν τὸν Ὑπάτιον. ὁ δὲ βασιλεὺς ἀκούσας τὰ παρὰ τοῦ Δήμου καὶ Ὑπατίου τολμηθέντα, εἰσῆλθεν ἐν τῷ παλατίῳ, καὶ ἀνῆλθεν εἰς τὰ λεγόμενα Πούλπιτα, ὄπισθεν τοῦ καθίσματος τοῦ ἱπποδρομίου, εἰς τὸν τρίκλινον τὸν ἔχοντα τὰς χαλκᾶς θύρας, ἔχων μεθ' ἑαυτοῦ Μοῦνδον, καὶ Κωνσταντίολον, καὶ Βελισάριον, καὶ ἄλλους συγκλητικούς, καὶ ἔνοπλον στρατιωτῶν βοήθειαν, καὶ Κουβικουλαρίους, καὶ Σπαθαρίους. ἐξελθὼν δὲ Ναρσῆς ὁ Κουβικουλάριος,

tius fieri, quam a Venetis stare conducit: norit Deus. Veneti. Quod exhorreo, etiam conspicere fugio: en tamen ut invidia mihi molestiam exhibet ingentem. Prasini. Effodiantur spectatorum ossa. Quo semel dicto Prasini discesserunt, Imperatore, ac Venetis in circo spectantibus relictis. Confestim vero popularis tumultus prætextum a quibusdam Magistris dari in hunc modum contigit. Apprehensos ea aurigantium factionibus tres seditiosos suspendio Præfectus damnavit. Eorum quidem unus vitam amisit extemplo: alii duo e patibulo ceciderunt. Iterum suspensi, ceciderunt iterum. His conspectis, populus astans exclamavit. Ad Ecclesiam ducite. Audito clamore, sancti Cononis Monachi pœnarios lembo sustulerunt, & ad sancti Laurentii trajectos deportaverunt, quod eo gauderet privilegio Ecclesia, nullum ex ea ejiciendum, donec factum fuisset satis. Ea re accepta, misit Præfectus milites; eos vero missos cum rescivissent populares factiones, ad Prætorium convenerunt milites ad custodiam destinatos a sancti Laurentii templo amoveri a Præfecto postulaturæ: responsum vero nullum ab eo acceperunt. Inde furore succensæ factiones ignem Prætorio submiserunt; a fori camera, adusque Chalces terminos incenderunt cuncta, Argentariorum officinas, Lausique ædificia omnia flammis consumpserunt, & obvios quosque milites, nulli venia concessa, occiderunt: domos quoque penetrantes bona diripuerunt cuncta, Palatii aditum ære tectum, Protectorum stationem, & Augustei Ennatum omne igne depopulati sunt. Exinde dilapsa populi factio ad Juliani ædes (Sophiæ portus is dicitur) convenit, tum ad Probi, arma, ajebat, repertura contendit: & in Urbe Imperatorem alium inclamans Probi domum incendit, quæ mox in ruinam acta. Pergens vero ulterius in Alexandri balneum flammas ultrices intulit, magnum Samponis hospitium, ægris etiam misere consumptis, devastavit, magnam quoque Ecclesiam cum utriusque partis columnis: tota vero quadripartito in ruinam concidit. His Imperator territus, pecuniam omnem in dromonem congerere, & Mundo militiæ Magistro, & ejus filio, & millibus hominum tribus, nec non Constantiolo, & Cubiculariis, ad Palatii custodiam relictis, in Thraciam, Heracleam usque secedere meditabatur. Factiones porro cadavera (erant etiam illa plurimarum ab eis occisarum mulierum) per Urbem raptantes in mare projecerunt. At cum rumor sparsus esset Imperatorem abducta secum Augusta in Thraciam profugisse, Hypatium Patricium Imperatorem salutaverunt: mox sedens in Circo populi factionum faustas voces excepit, & contumeliarum in Justinianum conjectarum extitit auditor. Convolarunt insuper a Flavianis juniores Prasini ducenti loricati, qui Palatium reserare, & Hypatium introducere in animo habebant. Imperator, intellectis factionis & Hypatii temerariis conatibus, ingressus Palatium Mundo, Constantiolo, Belissario, aliisque Senatorii ordinis viris, nec non armatorum militum præsidio, Cubiculariisque, & Spathariis secum ductis, locum Pulpita dictum pone Circi thronum ad Triclinium portis æneis insigne, occupat. Egressus vero Narses Cubicularius, pecuniarum largitione quos-

Edit. Paris. pag. 157.

dam ex Veneta factione ad partes suas traxit, qui vociferari cœperunt. Justiniane Auguste: Tu Vincas. Domine, serva Justinianum Imperatorem, & Theodoram Augustam. Tum factiones in discordiam adductæ, in invicem fecerunt impetum: at qui Palatium tenebant cum præsidiariis erumpentes, factionis desertores ad se nonnullos adjunxerunt, & una simul irruerunt in Circum. Et Narses quidem ostiis anterioribus, Mundi filius iis quæ ad metam, alii per semitam, qua tendit Imperator ad proprium sedile in arenæ solum delati, factiosos hi quidem sagittis, alii gladiis confodere, & concidere cœperunt: adeo ut nullus ex Venetis aut Prasinis civis, qui tunc in Circo repertus, incolumis evaserit. Belissarius ad Imperat. sedile una cum Spathariis evolans raptum Hypatium duxit ad Imperatorem, qui illico custodiæ traditus. Cæsorum ea die numerata sunt ad triginta quinque millia: nec ullus qui factioni cuipiam esset addictus occurrit ullibi: quinimmo cuncta summa tranquillitate sunt composita. Sequenti luce Hypatius & Pompejus ejus frater necati, & eorum cadavera in mare projecta, ædesque illorum publicatæ, una cum aliorum Patriciorum 18. & Illustrium, & Consulasium, quorum facultates Imperatoris ærasio addictæ, quod se Hypatii fautores & auxiliarios præbuissent. Magnus exinde terror animos omnium incussit, Urbs tumultuari destitit, nec non nisi longo post spatio Circenses editi sunt ludi.

Edit. Paris. pag. 158.

Hoc eodem anno a vespere ad crepusculum matutinum astrorum concursus ingens visus est, adeo ut omnes metu exanimati exclamarent. Cadunt e cælo stellæ: nec unquam rem monstro tam proximam conspeximus.

ἐπέσυρέ τινας ἐκ τοῦ Βενέτου μέρους, ῥογεύσας χρήματα· καὶ ἤρξαντο κράζειν· Ἰουστινιανὲ Αὔγουστε, τοῦ βίνκας. Κύριε σῶσον Ἰουστινιανὸν τὸν βασιλέα, καὶ Θεοδώραν τὴν Αὐγοῦσταν. τότε διχονοήσαν τὸ πλῆθος, ὥρμησαν κατ' ἀλλήλων. καὶ ἐξελθόντες οἱ τοῦ παλατίου μετὰ τῆς αὐτῆς βοηθείας, ἀπέσχισάν τινας αὐτῶν ἀπὸ τοῦ Δήμου, καὶ ὥρμησαν εἰς τὸ ἱπποδρόμιον. καὶ ὁ μὲν Ναρσῆς διὰ τῶν θυρῶν, ὁ δὲ υἱὸς Μουνδοῦ διὰ τῆς σφενδόνης, ἄλλοι δὲ διὰ τοῦ μονοπατίου τοῦ καθίσματος εἰς τὸ πέλμα, καὶ ἤρξαντο κόπτειν τοὺς Δήμους, οἱ μὲν τοξεύοντες, οἱ δὲ κατασφάζοντες, ὥστε μηδένα τῶν πολιτῶν, ἢ τῶν Βενέτων, ἢ Πρασίνων εὑρεθέντων ἐν τῷ ἱππικῷ σωθῆναι. ὁ δὲ Βελισάριος εἰσδραμὼν ἐπὶ τὸ κάθισμα τοῦ βασιλέως μετὰ Σπαθαρίων συλλαβόμενος Ὑπάτιον προσήγαγε τῷ βασιλεῖ, καὶ ἀπέθεντο αὐτὸν ἐν τῇ φυλακῇ. ἀπέθανον δὲ τῇ ἡμέρᾳ ἐκείνῃ χιλιάδες τριάκοντα πέντε ἀνδρῶν. καὶ οὐκ ἔτι ἐφαίνετο Δημότης πώποτε. ἀλλ' ἐγένετο ἡσυχία τῇ ἡμέρᾳ ἐκείνῃ· τῇ δὲ ἐπαύριον ἐσφάγησαν Ὑπάτιος καὶ Πομπήιος ὁ ἀδελφὸς αὐτοῦ· καὶ ἐρρίφη τὰ σώματα αὐτῶν ἐν τῇ θαλάσσῃ· καὶ ἐδημεύθησαν οἱ οἶκοι αὐτῶν, μετὰ καὶ ἄλλων ιη'. Πατρικίων, καὶ Ἰλλουστρίων, καὶ Ὑπατικῶν δημευθέντων, ὡς συνδρόμων Ὑπατίου. καὶ ἐγένετο φόβος μέγας, καὶ ἡσύχασεν ἡ πόλις, καὶ οὐκ ἤχθη ἱππικὸν ἐπὶ ἱκανὸν χρόνον.

Τῷ δ' αὐτῷ ἔτει καὶ ἀστέρων γέγονε δρόμος πολὺς ἀπὸ ἑσπέρας ἕως αὐγῆς· ὥστε πάντας ἐκπλήττεσθαι, καὶ λέγειν, ὅτι οἱ ἀστέρες πίπτουσι, καὶ οὐκ οἴδαμεν ποτὲ τοιοῦτο πρᾶγμα.

				Romæ Episc. Joannes annis 13.				
		6	8	2	11	32	11	6

				Ῥώμης ἐπίσκ. Ἰωάννης ἔτη ιγ'.				
		ς'	η'	α'	ιγ'	κβ'	ιγ'	ς'

Hoc anno Theodora piissima Augusta ad calidas Pythiorum aquas, quibus corpus foveret ac reficeret, profecta est: Viæ socios dederunt se Patricius Menas Præfectus, Patricius Elias Largitionum Comes, & alii Patricii, nec non Cubicularii, & Optimates ad quatuor millia. Ingentem porro pecuniarum vim in Ecclesias, pauperum hospitia, & Monasteria distribuit.

Τούτῳ τῷ ἔτει Θεοδώρα ἡ εὐσεβεστάτη Αὐγοῦστα ἐξῆλθεν εἰς τὰ θερμὰ τῶν Πυθίων τοῦ θερμίσαι· καὶ συνῆλθον αὐτῇ, ὅ τε Πατρίκιος Μηνᾶς ὁ Ἔπαρχος, καὶ ὁ Πατρίκιος Ἠλίας ὁ Κόμης τῶν λαργιτιώνων, καὶ ἄλλοι Πατρίκιοι, καὶ οἱ Κουβικουλάριοι, καὶ σατράπαι, χιλιάδες τέσσαρες· καὶ πολλὰ ἐχαρίσατο ταῖς ἐκκλησίαις, καὶ πτωχείοις, καὶ τοῖς μοναστηρίοις.

		7	9	2	14	23	14	7

		ζ'	θ'	β'	ιδ'	κγ'	ιδ'	ζ'

Hoc anno Priscus ex Imperatoris Notario Consul designatus, mota per eum Imperatricis indignatione, bonis omnibus mulctatus est, & Imperatoris jussu Cyzicenæ Ecclesiæ Diaconus ordinatus.

Hoc etiam anno Vandalicæ expeditiones susceptæ, & Africa demum a Belissario recepta. Vandali quippe, prout annis superioribus manifestatum, Hispania sub Arcadio & Honorio Imperatoribus occupata, ex ea postmodum una cum Gondiciscio rege in Libyam trajicientes, eam tenuere provinciam. Gondiciscio autem defuncto Gogdaris & Gezerichus ejus filii in principatu successerunt. Gogdari au-

pag. 159.

Τούτῳ τῷ ἔτει Πρίσκος ὁ Ὕπατος ἀπὸ Νοταρίων τοῦ βασιλέως ἀγανακτηθεὶς ἀπὸ Θεοδώρας τῆς βασιλίσσης ἐδημεύθη, καὶ διάκονος Κυζίκου ἐχειροτονήθη, κελεύσαντος τοῦ βασιλέως.

Τῷ δ' αὐτῷ ἔτει γεγόνασιν Οὐανδαλικοὶ πόλεμοι, καὶ παρέλαβε Βελισάριος τὴν Ἀφρικήν. οἱ γὰρ Οὐανδῆλοι, καθὼς ἐν τοῖς ἄνω χρόνοις εἴρηται, ἐπὶ Ἀρκαδίου βασιλέως καὶ Ὀνωρίου τὴν Σπανίαν καταλαβόντες μετὰ Γογδισίσκλου τοῦ ῥηγὸς αὐτῶν ἐκ ταύτης ἐπὶ Λιβύην περάσαντες, ταύτην κατέσχον. τοῦ δὲ Γογδισίσκλου τελευτήσαντος Γόγδαρις

καὶ Γιζέριχος οἱ τούτου υἱοὶ τὴν ἀρχὴν αὐτοῦ διεδέξαντο. Γόνθαρις δὲ ἐξ ἀνθρώπων γενόμενος, Γιζέριχος βασιλεὺς Οὐανδήλων ἀναδείκνυται, καὶ πόλιν Καρθάγενναν βασιλεύσας ἔτη λθ΄. παραλαβὼν καὶ Ῥώμην. τούτου δὲ τελευτήσαντος Ὀνώριχος ὁ υἱὸς αὐτοῦ τὴν βασιλείαν διεδέξατο, πολλὰ κακὰ τοῖς ἐν Λιβύῃ Χριστιανοῖς ἐνδειξάμενος, καὶ ἀρειανίζειν βιασάμενος· καὶ πολλοὺς ἐφόνευσε, καὶ ἐγλωσσοτόμησεν ἀπὸ τῆς φάρυγγος· οἱ δὲ τῇ Θεοῦ χάριτι ὕστερον ἐλάλουν. τούτων καταφρονήσαντες ἐπολέμησαν οἱ Μαυρούσιοι, πολλὰ κακὰ εἰς Οὐανδήλους εἰργάσαντο. ὀκτὼ δὲ ἔτη βασιλεύσας τελευτᾷ ἀπολέσας Νουμιδίαν, καὶ Αὐράσιον ὄρος, οἳ οὐκ ἔτι ὑπὸ Οὐανδήλους ἐγένοντο. Γουνδαβοὺν δὲ ὁ Γένσωνος υἱὸς υἱοῦ Γιζερίχου τὴν ἀρχὴν διεδέξατο, μείζονα κακὰ τοῖς Χριστιανοῖς ἐνδειξάμενος· ἐτελεύτησε βασιλεύσας ἔτη ιβ΄. τότε τὴν ἀρχὴν διεδέξατο Τρασαμούνδος ἀνὴρ εὐειδὴς, καὶ συνετὸς, καὶ μεγαλόψυχος. οὗτος τοὺς Χριστιανοὺς ἐβιάζετο μεταβαλέσθαι τὴν πατρῴαν δόξαν, οὐκ αἰκιζόμενος, τοὺς δὲ ἀπειθοῦντας ἀποστρεφόμενος. τελευτησάσης δὲ τῆς γυναικὸς αὐτοῦ ἀπαίδου βουλεύεται ἄριστα καὶ πέμψας πρὸς Θευδέριχον βασιλέα Γότθων εἰς Σπανίαν, ᾔτει τὴν τούτου ἀδελφὴν λαβεῖν πρὸς γάμον Μαλαφρείδαν χήραν οὖσαν. ὁ δὲ τὴν ἀδελφὴν δίδωσιν εἰς γυναῖκα, καὶ Γότθων δοκίμων δισχιλίους ἐν τάξει δορυφόρων σὺν ἄλλαις πέντε χιλιάσιν ἀνδρῶν μαχίμων πρὸς ὑπουργίαν τούτων. ἐδωρήσατο δὲ τῇ ἀδελφῇ Θευδέριχος καὶ τῶν ἐν Σικελίᾳ ἀκρωτηρίων ἓν τὸ καλούμενον Λύσιον· καὶ ἀπ᾽ αὐτοῦ ἔδοξεν ὁ Τρασαμούνδος πάντων τῶν ἐν Λιβύῃ βασιλευσάντων κρείσσων τε, καὶ δυνατώτατος· ἐγένετο δὲ καὶ φίλος τοῦ βασιλέως Ἀναστασίου. ἐκράτησε δὲ τῆς βασιλείας ἔτη κζ΄. τούτου δὲ τελευτήσαντος, Ἰλδέριχος ὁ Ὀνωρίχου τοῦ Γιζερίχου παιδὸς ἐβασίλευσεν, ἀνὴρ πρᾶος καὶ ἀγαθὸς, καὶ οὐδὲ Χριστιανοῖς χαλεπὸς ἐγεγόνει· τὰ δὲ εἰς πόλεμον μαλακός τε λίαν, καὶ οὐδὲ ἀκοῦσαι ἤθελε τοῦτο τὸ πρᾶγμα. Ἀμεργὴς δὲ ὁ τούτου ἀδελφιδοῦς ἀνὴρ ἀγαθὸς τὰ πολέμια ἐστρατήγει Οὐανδήλων, ὃν δὴ Ἀχιλλέα ἐκάλουν. Ἰλδέριχος δὲ φίλος ἦν τοῦ Ἰουστινιανοῦ πρὸ τοῦ βασιλεῦσαι αὐτὸν ἐπὶ Ἰουστίνου τοῦ θείου αὐτοῦ, καὶ πολλὰ χρήματα πρὸς αὐτὸν ἔπεμπέ τε, καὶ ἐδέχετο παρ᾽ αὐτοῦ φιλίαν κρατύνων· ἦν δέ τις τούτου συγγενὴς ἐκ τοῦ γένους Γιζερίχου, Γελίμερ ὀνόματι, ἀνὴρ κακὸς, καὶ κακοήθης, καὶ πράγμασι νεωτέροις καὶ χρήμασιν ἀλλοτρίοις ἐπιτίθεσθαι ἐπιστάμενος. οὗτος τυραννήσας κατὰ τοῦ ἰδίου δεσπότου Ἰλδερίχου ἑπταετίαν βασιλεύσαντα τοῦτον κρατήσας, εἰς φυλακὴν ἀπέθετο σὺν τῇ γυναικὶ Μαλαφρείδῃ, καὶ τοὺς Γότθους διέφθειρεν ἅπαντας, καὶ Ἀμέρα, καὶ τὸν αὐτοῦ ἀδελφὸν Εὐγέϊν ἐν φυλακῇ εἶχεν. ἐπαρθεὶς δὲ τῇ τυραννίδι, οὐκ ἠδύνατο ἐν τῷ καθεστῶτι βιοτεύειν. γράφει τοίνυν πρὸς βασιλέα Ἰουστινιανὸν ἀπολογούμενος, πῶς αὐτῷ ἡ βασιλεία ἐννόμως προσῆκεν, Ἰλ-

tem sublato, Vandalorum rex Gizerichus declaratur, & Carthagine civitate sub jugum missa, Romaque pariter capta, triginta & novem annis regnavit. Eum fatis raptum Honorichus filius excepit in regno, multaque deinceps mala, Christianis ab eos in Arianas partes per Libyam transire coactis, intulit, plurimosque tum cædibus, tum linguis ex imo gutture abscissis, vexavit, qui divina tamen opitulante gratia loquendi facultatem postea receperunt. Maurusii porro Vandalorum despecta potentia, susceptoque adversus eos bello, plurimarum cladium illis extiterunt auctores. Honorichus amissa Numidia, & Aburusio monte, quorum dominium penes Vandalos nondum adhuc erat, exactis in regno annis octo, diem extremum obiit. Gondabunus autem Geesonis filius, Gizerichi nepos avitum regnum adiit, & ingentioribus in Christianos exercitis suppliciis vita functus est post annum regni duodecimum. Imperii factus est hæres Trasimundus, vir forma, prudentia, & animi magnitudine præstans. Hic Christianos paternam religionem deserere & immutare cogebat; verum non irrogatis in eos pœnis: at eos tantummodo aversatus, quos dictis non obsequentes comperiisset. Conjuge vero, nulla edita prole, ex hac vita migrante, optimum init consilium: & ad Theudericum Gotthorum regem in Hispaniam missa Legatione, sororem ejus Malaphridam viduam in conjugium sibi locari postulat. Ille sororem nuptum tradit, & bis mille insuper Gotthos lectissimos, qui satellitum ordinem apud ipsum implerent, cum aliis hominum bellicosorum millibus quinque, qui priorum adjutores atque ministri forent. Ad hæc sororis nomine ex Siciliæ promontoriis unum, cui Lysium nomen dono contulit: ex quo Trasimundus omnium, qui hactenus Libyæ regnum tenuerant ditissimus & potentissimus evasit. Hic Anastasio Imperatori fœderibus & amicitia conjunctus fuit, & regnum annis viginti septem administravit. Eo deinde mortuo, Ildericus filius Honorichi, & Gizerichi nepos regni suscepit munus, vir supra reliquos mansuetudine & clementia conspicuus, qui nec in Christianos carnificinam, aut animi severitatem ullam ostendit; at circa res bellicas mollis admodum & dejectus, adeo ut nec belli vocem audire sustineret. Amergus autem ejus consobrinus, vir bonus ac præstans res bellicas omnes apud Vandalos administrabat, quem ea de causa nuncupabant Achillem. Porro Ildericus amicus fuit Justiniano, cum privatus adhuc sub Justino avunculo mereretur, & amicitiæ ad invicem confirmandæ missis & acceptis muneribus plurimi se se frequentius provocabant. Fuit autem ex Gizerichi genere quidam originem ducens, cui Gelimer nomen, vir nequam, & pravis moribus instructus, rerum innovandarum studiosus, & facultatibus alienis inhiare solitus. Hic adversus Ildericum septennio jam regno potitum, ac proprium suum dominum tyrannide excitata, rege capto, & in carcerem cum uxore Malaphrida conjecto, Gotthos omnes interfecit, & Amercin, & fratrem ejus Eugeem sub custodia servavit. Cæterum nova tyrannide elatus non potuit præsenti rerum statu contentus diutius vivere. Quamobrem defensionem pro se ad Imperatorem Justinianum scripsit, nimirum

Edit. Paris. pag. 160.

ad se regnum jure pertinere, cum Ildérichus ipsum administrare minime posset. Ea de re certior factus Justinianus Gilimero rescripsit se istam ejus tyrannidem nullatenus probare. At ille neglectis hisce responsis, Amerem excæcavit, Ildérichum vero & Eugeem diligentius custoditos in carcerem inclusit. Quod ubi rescivit Justinianus continuo expeditionem in Libyam decrevit, bello, quod in Media tum gerebat, dirempto, & revocato ex Oriente Belissario, Senatum ea de re consuluit. Senatus rem difficilem & periculosam censuit, revocans in memoriam infelicissimam Leonis Imperatoris adversus Vandalos navalem expeditionem: quantusque in ea Basilisco Duce militum numerus periisset, & quanta pecuniarum vis in ea frustra insumpta. Quare perpensa periculi magnitudine, ne ipsum Belissarium navalis istiusmodi exercitus Ducem eligeret Imperator, metuebant. Joannes autem Patricius in medium descendens orationem hujusmodi habuit. Nos quidem, o Domine, jussis tuis parebimus, neque ipsis obsistere consilium umquam fuit: æquum tamen est immensam viæ longitudinem, quanta nimirum maris spatia, & quam magnum terrestris itineris intervallum, quod per centum & quadraginta dies vix confici possit: præterea quam sit incerta belli ineundi victoria, vinci autem quam miserum sit & luctuosum, & quam sera ac vana pœnitentia tunc fuerit, diligentius perpendere. Imperator probata Joannis sententia, ferventem illum ac propensum ad expeditionem suscipiendam animum sedavit. Sed quidam Orientis Episcopus alas & animos iterum addidit Imperatori, somnium sibi a Deo immissum asserens, quo se ad Imperatorem accedere, eumque ut Christianos, qui in Libya a tyrannis opprimuntur liberaret, exorare juberetur: cum ipso enim militabo, & Libyæ dominum constituam. His auditis proprium animi sensum continere non valuit Imperator, quinimmo exercitum navesque armis instruxit, & amplum commeatum paravit: Belissarium vero, ceu Ducis munere in Libya functurum quantocyus dispositum esse jussit. Porro Pudentius tum rebellans, Tripolim per tyrannidem occupavit, ac Justiniano rescripsit, ut ad eam recipiendam exercitum mitteret. Pariter Gogdas Gotthus tyrannide adversus Gelimerem dominum mota, Sardiniam insulam occupavit, deditque litteras ad Justinianum, ut armato milite & Duce missis, insulam recuperaret: Imperator vero Cyrillum cum trecentis milibus, qui viro suppetias ferrent, summisit. Verum Gelimer fratrem præmittens cum instructissima classe, & lectissimo Vandalorum exercitu, insulam cepit, ipsumque Gogdam occidit. Cæterum Belissarius exercitum, classemque accepit cum Præfectis, Solomone Duce, Dorotheo, cui commissa erat Armenia, Cypriano, Valeriano, Martino, Alphia, Joanne, Marcello, & Cyrillo, cujus nuper mentionem habui, multisque aliis, qui Thraciam inhabitabant. Ipsum vero mille Æhuri, Phara Duce, sequuti sunt; & Massagetæ equites sagittarii, quibus Sisinnius & Balas præfuere. Naves autem fuerunt omnino quingentæ, cunctæ vero modiorum quinquaginta millia capiebant: Nautæ vero triginta millia numerati sunt Ægyptii, Jones, & Cilices: unusque demum nautis per naves istas Præfectus Calonymus Alexandrinus: & dro-

Edit. Paris. pag. 161.

διεῖχου μὴ ἰσχύοντος ταύτην διοικῆσαι. ταῦτα δὲ Ἰουστινιανὸς μαθὼν, ἔγραψε πρὸς αὐτόν· ὡς οὐ καταδέξεται ταύτην τὴν τυραννίδα. αὐτὸς δὲ μὴ προσχὼν τοῖς γεγραμμένοις, τόν τε Ἀμηρᾶ ἐξετύφλωσε, τόν τε Ἰλδέριχον σὺν Εὐγέει ἐν μείζονι φυλακῇ ἀπέκλεισε. ταῦτα μαθὼν Ἰουστινιανὸς κατὰ Λιβύης ἐστράτευσε, καταλύσας τὸν Μηδικὸν πόλεμον, καὶ μεταπεμψάμενος Βελισάριον ἐκ τῆς ἑῴας, ἐβουλεύετο περὶ τούτου. ἡ δὲ σύγκλητος ἐδυσχέραινεν ἀναμιμνήσκουσα τοῦ τε Λέοντος τοῦ βασιλέως στόλον τὸν κατὰ Οὐανδάλων στρατεύσαντα σὺν τῷ Βασιλίσκῳ, καὶ ἀπολωλότα, ὅσοι τε στρατιῶται ἀπέθανον, καὶ ὅσα χρήματα ἀνηλώθησαν. δεδιότες δὲ τοῦ κινδύνου τὸ μέγεθος μὴ αὐτὸν στρατηγὸν ταύτης τῆς στρατιᾶς ἐξελέξατο ὁ βασιλεύς. παρελθὼν δὲ Ἰωάννης Πατρίκιος εἰς τὸ μέσον ἔλεξε τάδε. Ἡμεῖς μὲν, ὦ δέσποτα, τοῖς σοῖς προστάγμασι πειθόμεθα, καὶ οὐκ ἀντιτείνομεν. ἀλλὰ δίκαιόν ἐστι λογίσασθαί σε τότε τῆς ὁδοῦ μῆκος, καὶ τὰ τῆς θαλάσσης πελάγη, καὶ τὸ διὰ ξηρᾶς ἑκατὸν τεσσαράκοντα ἡμερῶν ὁδοῦ διάστημα ἔχον, καὶ τῆς νίκης τὸ ἄδηλον, καὶ τῆς ἥττης τὸ ἐπώδυνον, καὶ τῆς μεταμελείας τὸ ἀνόνητον. Ἀποδεξάμενος δὲ ὁ βασιλεὺς τὸν λόγον, τὴν εἰς τὸν πόλεμον προθυμίαν κατέπαυσεν. Ἐπίσκοπος δέ τις τῆς ἑῴας τὸν βασιλέα ἀνεπτέρωσε, λέγων ἐκ Θεοῦ ἐπισκῆψαι αὐτῷ ὄναρ κελεῦον αὐτὸν πρὸς τὸν βασιλέα γενέσθαι, καὶ αἰτήσασθαι αὐτὸν τοὺς ἐν Λιβύῃ Χριστιανοὺς ῥύσασθαι ἐκ τῶν τυράννων. κἀγὼ αὐτῷ συλλήψομαι, καὶ Λιβύης κύριον θήσομαι. ταῦτα ὁ βασιλεὺς ἀκούσας κατέχειν τὴν διάνοιαν οὐκ ἔτι ἠδύνατο, ἀλλὰ τήν τε στρατιὰν καὶ τὰς ναῦς ἐξώπλιζεν, ὅπλα τε καὶ σιτία ἡτοίμαζε. καὶ Βελισάριον ἐμπαράσκευον ἐκέλευσεν εἶναι, ὡς ἐν Λιβύῃ στρατηγήσοντα. Πουδέντιος δὲ εὐθὺς τυραννήσας, Τρίπολιν ἐκράτησε, καὶ τῷ Ἰουστινιανῷ ἔγραψε, πέμψας στρατὸν, καὶ ταύτην παραλαβεῖν. ὁμοίως καὶ Γωδᾶς ὁ Γότθος τυραννήσας κατὰ τοῦ ἰδίου δεσπότου Γελίμερος, Σαρδινίαν τὴν νῆσον ἐκράτησε, καὶ πρὸς Ἰουστινιανὸν ἔγραψεν, ὅπως πέμψῃ στρατὸν καὶ στρατηγὸν, καὶ παραλάβῃ τὴν νῆσον· ὃς καὶ ἀπέστειλε Κύριλλον μετὰ τριακοσίων ἀνδρῶν πρὸς βοήθειαν αὐτοῦ. ὁ δὲ Γελίμερ ἀποστείλας τὸν ἀδελφὸν αὐτοῦ μετὰ στόλου πολλοῦ, καὶ ἐπιλογῆς, καὶ στρατοῦ τῶν Οὐανδάλων, ταύτην παρέλαβε, καὶ τὸν Γωδᾶν ἀνεῖλε. Βελισάριος δὲ παρέλαβε τὴν στρατείαν, καὶ τὸν στόλον, καὶ τοὺς ἄρχοντας, Σολομῶντα τὸν στρατηγὸν, καὶ Δωρόθεον τὸν τῆς Ἀρμενίας, καὶ Κυπριανὸν, καὶ Βαλεριανὸν, καὶ Μαρτῖνον, καὶ Ἀλφίαν, καὶ Ἰωάννην, καὶ Μάρκελλον, καὶ Κύριλλον, οὗ πρόσθεν ἐμνήσθην, καὶ ἑτέρους πολλοὺς τοὺς τὴν Θρᾴκην οἰκοῦντας. εἵποντο δὲ αὐτοῖς Ἔλουροι, ὧν Φαρᾶς ἦρχε, χίλιοι, καὶ Μασσαγέται ἱπποτοξόται, ὧν ἡγοῦντο Σισίννιός τε καὶ Βαλᾶς. ναῦς δὲ ὑπῆρχον φ΄. ἀνὰ μυριάδων πέντε μεδίμνων χωροῦσαι. ναῦται δὲ τρισμύριοι Αἰγύπτιοί τε, καὶ Ἴωνες, καὶ Κίλικες. Ἀρχηγὸς δὲ εἷς ἐπὶ ταῖς ναυσὶ Καλώνυμος Ἀλεξανδρεύς. ἦσαν δὲ καὶ

δὲ καὶ δρόμωνες διὰ ναυμαχίαν ἐνενήκοντα. στρατηγὸν δὲ μονοκράτορα ἐφ' ἅπασι Βελισάριον ὁ βασιλεὺς ἔστησεν. ὥρμητο δὲ ὁ Βελισάριος ἐκ Γερμανίας, ἣ Θρᾳκῶν τε καὶ Ἰλλυριῶν μεταξὺ κεῖται. συνεπεφέρετο δὲ μετ' αὐτοῦ τὴν Ἀντωνίναν τὴν ἑαυτοῦ γαμετήν. ὁ δὲ Γελίμερ τὸν ἑαυτοῦ ἀδελφὸν Τζάτζωνα σὺν ἑκατὸν εἴκοσι ναυσὶ, καὶ στρατὸν ἐκλελεγμένον ἐν Σαρδοῖ τῇ νήσῳ κατὰ Γωδᾶ ἀπέστειλεν. ἕβδομον δὲ ἦν ἔτος Ἰουστινιανοῦ ὅτε ὁ Βελισάριος ἐν τῇ νήσῳ ἐστάλη. συνῆν δὲ αὐτῷ ὁ Προκόπιος ὁ συγγραφεύς. ἀπάραντες δὲ τῆς βασιλίδος πόλεως, ἦλθον ἐν Ἀβύδῳ. Βελισάριος δὲ ἐφρόντιζεν ὅπως ὁ σύμπας στόλος ἅμα πλέοι, καὶ εἰς χωρίον τὸ αὐτὸ προσορμίζοιτο. καταλαβὼν δὲ τὴν Σικελίαν, ἀπέστειλε Προκόπιον τὸν συγγραφέα εἰς Συρακούσας, εἴπως εὕροι τινὰς ὁδηγήσοντας αὐτὸν εἰς Λιβύην ἐκ τοῦ αἰφνιδίου προσορμίσασθαι τῇ γῇ, καὶ τὸν λαὸν ἐξαγαγεῖν δεδιότα τὴν συμμαχίαν. αὐτὸς δὲ τὸν στόλον ἀράμενος εἰς Καύχανα τὸ χωρίον προσώρμισε, διακοσίοις σταδίοις τῆς Συρακούσης ἀπέχον. Προκόπιος δὲ ἐν Συρακούσῃ εἰσελθὼν, τροφάς τε ὠνήσατο παρὰ Ἀμαλασουύνθης τῆς γυναικὸς Θευδερίχου, μητρὸς δὲ Ἀταλαρίχου βασιλέως Ἰταλίας, φιλίαν πρὸς Ἰουστινιανὸν ἐχόντων. ἐπέτυχέ τε παραδόξως τοῦ ἀνδρὸς, φίλου μὲν αὐτοῦ ὑπάρχοντος ἐκ παιδὸς, πεπειραμένου δὲ τὸν Λιβύης τόπον, καὶ τῆς θαλάσσης, τρίτην ἔχοντος ἡμέραν ἐκ Καρχηδόνος ἀφικόμενον, καὶ διεβεβαιοῦτο πᾶσαν ἀμεριμνίαν ἔχειν αὐτοὺς, καὶ μὴ ὑποπτεύειν τινὰ κατ' αὐτῶν στρατεύεσθαι, ὥστε ἀπὸ τεσσάρων μονῶν τῆς θαλάσσης τὸν Γελίμερα αὐλίζεσθαι. τοῦτον οὖν λαβὼν Προκόπιος εἰς Καύχανα πρὸς Βελισάριον ἀπήγαγε. καὶ ταῦτα μαθὼν ὁ Βελισάριος τῇ τῆς Λιβύης ἀκτῇ τριταῖος προσώρμισεν εἰς χωρίον, ὃ κεφαλὴν βραχὺς καλοῦσιν. ἀποβάντες δὲ τῶν νηῶν, χάρακά τε καὶ τάφρον βαθεῖαν ποιήσαντες, ἐστρατοπεδεύσαντο ἐν ἡμέρᾳ μιᾷ, ἔνθα καὶ ὕδατος πολύ τι χάσμα τῆς τάφρου ὀρυττομένου ἡ γῆ ἀνῆκε, τοῦ τόπου ἀνύδρου ὄντος, καὶ εἰς πᾶσαν χρείαν τοῖς τε ζώοις καὶ τῷ στρατῷ γέγονε. τῇ δὲ ἐπιούσῃ ὁ λαὸς πρὸς πραίδαν ἐχώρει. ὁ δὲ στρατηγὸς τούτους ᾐκίσατο, λέγων πρὸς αὐτοὺς, τάδε· Τὸ μὲν βιάζεσθαι, καὶ τοῖς ἀλλοτρίοις σιτίζεσθαι, ἄδικόν ἐστιν ἐν παντὶ καιρῷ, καὶ μάλιστα ἐν τοῖς κινδύνοις. ἐγὼ γὰρ ἐκείνῳ μόνον τὸ θαρρεῖν ἔχων εἰς τὴν γῆν ταύτην ὑμᾶς ἀπεβίβασα, ὅπως τῇ δικαιοσύνῃ καὶ ἀγαθοεργίᾳ τόν τε Θεὸν θεραπεύσωμεν, καὶ τοὺς Λίβυας πρὸς ἡμᾶς ἐπισπασώμεθα. αὕτη δὲ ὑμῶν ἡ ἀκράτεια εἰς τοὐναντίον ἡμῖν μεταβήσεται, καὶ τοὺς Λίβυας συμμαχεῖν τοῖς Οὐανδήλοις παρασκευάσει. ἀλλὰ πειθόμενοι τῷ ἐμῷ λόγῳ, ὠνούμενοι τὰς τροφὰς κομίζεσθε, καὶ μήτε ἄδικοι δόξητε εἶναι, μήτε τὴν φιλίαν τῶν Λιβύων εἰς ἔχθραν μεταβάλλητε, καὶ τὸν Θεὸν θεραπεύσητε. παύσασθε τοῖς ἀλλοτρίοις ἐπιπηδῶντες, καὶ κέρδος ἀποσείσασθε κινδύνων μεστόν. ἀποστείλας τε Βελισάριος ἐπὶ Σύλλεκτον τὴν πόλιν στρατὸν, ταύτην ἀπονητὶ παρέλαβεν. ἐν νυκτὶ γὰρ πρὸς αὐτὴν ἀφικόμενοι σὺν ταῖς εἰσιούσαις ἁμάξαις τῶν ἀγροίκων εἰσελθόντες, ταύτην ἔσχον. καὶ ἐπειδὰν ἡμέρα ἐγένετο, τόν τε ἱερέα καὶ τοὺς ταύτης πρώ-

mones ad prælia navalia nonaginta. Belissarium Ducem omnium supremaque in alios omnes potestate instructum Imperator constituit. Belissarius iste ex Germania regione Thraciam inter & Illyricos media traxit originem: & Antoninam conjugem secum duxit. Porro Gelimer fratrem suum Tzatzonem cum navibus centum & viginti, & milite lectissimo ad Sardiniam insulam contra Gogdam misit. Septimus autem imperii Justiniani erat annus, cum Belissarius ad insulam missus est. Procopius vero Scriptor Historiarum in ipsius comitatu tum erat. Ab Urbe igitur reliquarum regina solventes, Abydum appulerunt. Porro curæ maxime erat Belissario, ut classis tota simul vela faceret, & ad unum pariter portum accederent. Cum ad Siciliam applicasset, Procopium Scriptorem Syracusaa destinavit quæsitum, si qua sorte viæ ductores comperiret, qui classem ex improviso ad Libycæ terræ oras admoverent, quo militares suas copias (regionis enim incolas hostibus auxilio fore verebatur) facilius ad solum educeret. Interim ipse Cauchana, pagus is fuit ducentis stadiis a Syracusis remotus, tota classe mari delata appulit. Procopius Syracusas ingressus, ab Amalasunthe Theuderichi conjuge, Athalarichi vero Italiæ regis matre (erant hi duo cum Justiniano fœdere conjuncti) cibos emit; & inopinato in virum a pueris amicitia sibi devinctum incidit, qui Libyæ marisque loca cuncta frequentioribus experimentis habebat nota, qui tribus non amplius diebus Chartagine discesserat. In profundam tranquillitatem Vandalos agere, nullam aciem adversus se instructam suspicari, ipsum Gelimerem quatuor a mari stationibus moram in præsenti facere asserebat, Eum secum assumptum Cauchana ad Belissarium adduxit. Belissarius his auditis post tertium diem ad Libyæ oraa applicuit, ad locum, cui Caput breve, nomen. Descensu e navibus facto, mox fossa profunde ducta, valloque circum excitato, uno solo die castra metati sunt. Illic, dum agger effoditur magnam aquæ scaturiginem sponte tellus emisit (cum alioquin totus aquarum penuria locus laboraret) quæ ad necessarioa jumentorum totiusque exercitus usus suffecit. Sequenti luce populus populatum processit. Præfectus exercitus severius in eos animadvertens, verba demum hujusmodi habuit. Violentia quidem uti, & alienis furto raptis vivere omni tempore nefas, quam maxime periculo imminente. Ego vero hoc solo confisus ad terram istam vos exposui, ut justitia & beneficentia divinum numen nobis demereamur, & Libyes ad nos alliciamus. Hæc autem vestra petulantia & vivendi licentia res in contrarium vertet, & Libyes Vandalis opem ferre compellet. Verum consiliis præbete morem, pretio cibos comparate, ut neque fas & jus violare, neque Libyum affectum in hostiles animos convertere vel inflectere videamini. Opem itaque Dei vobis ipsis conciliaturi, in aliena involare desistite, & lucrum scatens undequaque periculis lubentes amovete. Tum Belissarius ad Syllectum urbem exercitu misso eam nullo labore comparavit. Sub noctem enim ad eam profecti, rusticanorum curribus in eam ingredientibus admixti, occupaverunt. Illucescente sole Sacerdotem & cæteros civitatis primores captos ad Præfectum

Edit. Paris. pag. 162.

miserunt. Eodem die qui cursus publici curandi sustinebat provinciam, equis publicis traditis in partes Romanas transiit, & qui regia responsa ferebat Veredarius, tum etiam captus est. Tunc Belissarius copiis in ordinem dispositis, Carthaginem versus iter direxit. Joanni vero Armenio trecentos lectissimos viros commendans, pone sequi, nec a se divertere, aut ab exercitu longius discedere præcepit: Syllectumque urbem profectus, innata sibi lenitate & suaviloquentia civium animos & aliorum pariter sibi devinxit, ut in castris velut in propria regione iter haberent, neque a militibus se subducendos aut occultandos putarent, quinimmo commeatum præberent, cæteraque omnia vitæ necessaria subministrarent. Stadia vero octoginta per singulos dies, quoad Chartaginem pervenerint, conficiebant: atque ita demum per Leptem & Adramutum civitates ad Chrasim pagum tercentum & octo stadiis Carthagine dissitum accesserunt. Illic Vandalorum regia erat; hortique pulcherrimi, & limpidissimi fontes, & fructuum omnis generis immensa copia: adeo ut unusquisque militum casulam inter arbores fructiferas fixerit; cumque fructuum species ad colligendum invitaret, & usus in omnes communis, nulla tamen eorum in arboribus imminutio, nullum detrimentum poterat oculus advertere. Ubi Gelimer Romanos accedere rescivit, Carthaginem ad Amatam fratrem scripsit, ut Ildérichum, & quotquot alios sub custodia detentos ejus affines neci traderet, Vandalos autem, & si quos alios militiæ idoneos haberet urbs, armis ad bellum instrueret: quæ Amatas, prout erant jussa, fideliter exequutus est. Tum Belissarius Archelao Præfecto & Calonymo navarcho mandavit, ut ad Chartaginem propius classem admoverent, nec tamen impressionem in urbem facerent, donec ipse juberet: Ipse vero Decimum stadiis septuaginta Carthagine distans secessit. Gelimer autem Cibamundum nepotem cum millibus hominum duobus sinistra iter habere jussit, ut Amata Carthaginem versus recta tendente, ipse pone sequeretur, & cum Cibamundo ex locis ad lævam positis adveniente, per circum hostilem exercitum obsideret, quem una simul omnes concluderent. Cæterum Belissarius, ut præmisi, Joannem præcedere imperavit, & Massagetas aciei sinistram tenere. Amatas autem opportuno tempore non est progressus, verum copiis Vandalorum Carthagine relictis, paucis comitatus, sed neque bene junctis ad invicem Decimum quantocyus contendit. Joanni vero factus obviam, manibus cum eo consertis occiditur, comitesque fusi, & in fugam præcipites versi, immensam insequentium hostium aciem esse rati, decimum convolare, & urbem tutari commonebant. Ioannes autem, & qui una pugnabant, tam magnum hostium numerum usque ad ipsas Carthaginis portas occiderunt, ut quisquis tantam stragem vidisset, eam nonnisi a viginti hominum millibus edi posse facile existimaret. Cibamundus & qui comitabantur milites bis mille, dum suppetias sociis afferunt, in Unnos incidentes omnes deleti sunt. Belissarius cum ad Decimum substitisset, nihil horum rescivit: sed vallo circumducto castra metatus est, in quibus uxorem & pedestres copias reliquit. Ipse e-

Edit. Paris. pag. 163.

pag. 164.

A τες λαβόντες, πρὸς τὸν στρατηγὸν ἔπεμψαν· τῇ δὲ αὐτῇ ἡμέρᾳ, καὶ ὁ τοῦ δημοσίου δρόμου ἐπιμελούμενος, αὐτομολήσας παραδοὺς τοὺς δημοσίους ἵππους. συνελήφθη δὲ καὶ ὁ τὰς βασιλικὰς ἀποκρίσεις ποιῶν Βερεδάριος. Βελισάριος δὲ διακοσμήσας τὸ στράτευμα ἐπὶ Καρχηδόνα ἐβάδιζεν. Ἰωάννῃ δὲ τῷ Ἀρμενίῳ τριακοσίους ἐπιλέκτους παραδοὺς παρήγγειλε παρακολουθεῖν τε ἀεὶ, καὶ τοῦ στρατεύματος μὴ πολὺ διΐστασθαι. εἰς δὲ Σύλλεκτον τὴν πόλιν ἀφικνούμενος, ἀγαθότητι καὶ γλυκολογίᾳ τούτους ἀνεκτήσατο, ὥστε τοὺς λοιποὺς καθάπερ ἐν χώρᾳ ἰδίᾳ τὴν πορείαν ποιουμένους οὔτε ὑποχωρούντων, οὔτε κρυπτομένων, ἀλλὰ καὶ ἀγορὰν παρεχομένων, καὶ B τὰ ἄλλα τοῖς στρατιώταις ὑπηρετούντων. ὀγδοήκοντα δὲ σταδίους ἀνύοντες ἡμέραν ἑκάστην, ἄχρι Καρχηδόνος διετέλεσαν. αὐτοὶ δὲ διὰ τῆς Λέπτης πόλεως καὶ Ἀδραμούτου εἰς Χράσιν τὸ χωρίον ἀφίκοντο, ὀκτὼ καὶ τριακοσίους σταδίους Καρχηδόνος ἀπέχον, ἔνθα ἦν καὶ ἡ βασιλεία τοῦ Οὐανδήλου, καὶ παράδεισοι κάλλιστοι, καὶ κρῆναι διειδέσταται, καὶ ὀπωρῶν παντοδαπῶν πλῆθος ἄπειρον. ὥστε τῶν στρατιωτῶν ἕκαστος τὴν καλύβην ἐν δένδροις ὀπωροφόροις ἐπήξατο, καὶ τῶν καρπῶν ὡραίων ὄντων, καὶ πάντων ἀπολαυόντων, αἴσθησις οὐ γέγονεν ἐλαττουμένης ταύτης. ὁ δὲ Γελίμερ ἀκούσας παρεῖναι τοὺς Ῥωμαίους, γράφει εἰς Καρχηδόνα πρὸς C τὸν ἀδελφὸν Ἀματᾶν, Ἰλδέριχον μὲν καὶ ἄλλους, ὅσους εἰς φυλακὴν ἔχει συγγενεῖς αὐτοῦ ἀποκτεῖναι αὐτὸν, καὶ τοὺς Οὐανδήλους; καὶ εἴ τι ἄλλο μάχιμον ἐν τῇ πόλει ἦν ἐξοπλίσαι πρὸς πόλεμον. ὁ δὲ Ἀματᾶς τὰ κελευσθέντα αὐτῷ ἐποίησεν. Βελισάριος δὲ Ἀρχελάῳ τῷ Ὑπάρχῳ καὶ Καλωνύμῳ τῷ ναυάρχῳ ἀπέστειλε πλησιάσαι τῇ Καρχηδόνι, καὶ μὴ εἰσβαλεῖν πρὸς αὐτὴν ἄχρις ἂν αὐτὸν κελεύσῃ. αὐτὸς δὲ εἰς Δέκιμον ἀφίκετο ἀπέχοντα Καρχηδόνος σταδίους ἑβδομήκοντα. ὁ δὲ Γελίμερ τὸν ἀνεψιὸν Κιβαμούνδον ἐκέλευσεν ἅμα δισχιλίοις κατὰ τὸ εὐώνυμον μέρος ἰέναι, ὅπως Ἀματᾶς μὲν ἐκ Καρχηδόνος, Γελίμερ δὲ ὄπισθεν, Κιβαμούνδος δὲ ἐκ τῶν ἀρι- D στερᾶ χωρίων εἰς ταυτὸ τὴν κύκλωσιν τῶν πολεμίων ποιήσωνται. Βελισάριος δὲ τὸν μὲν Ἰωάννην, ὡς προέφην, προάγειν ἐκέλευσε, Μασσαγέτας δὲ ἐν ἀριστερᾷ τῆς στρατιᾶς ἰέναι. Ἀματᾶς δὲ οὐκ ἐν δέοντι ἀφίκετο χρόνῳ, ἀλλὰ καὶ τὸ πλῆθος τῶν Οὐανδήλων ἐν Καρχηδόνι ἀπέλιπε, καὶ ὡς τάχιστα εἰς τὸ Δέκιμον ἀφίκετο σὺν ὀλίγοις, καὶ οὐδ' αὐτοῖς συνειλεγμένοις. συναντήσας δὲ τῷ Ἰωάννῃ εἰς χεῖρας ἦλθε, καὶ κτείνεται ὑπὸ Ἰωάννου, καὶ τρέπονται οἱ σὺν αὐτῷ φεύγοντες ἀκρατῶς, καὶ ἀνασοβοῦσι πάντας τοὺς ἐν Καρχηδόνι εἰς Δέκιμον ἰόντας, οἰόμενοι τοὺς διώκοντας παμπληθεῖς εἶ- E ναι. Ἰωάννης δὲ καὶ οἱ σὺν αὐτῷ οὓς ἔσφαζον ἕως τῶν πυλῶν Καρχηδόνος τοσούτους, ὥστε εἰκάζειν τοὺς ὁρῶντας δισμυρίων πολεμίων τὸ ἔργον εἶναι. Κιβαμούνδος δὲ καὶ οἱ σὺν αὐτῷ δισχίλιοι περιπεπτωκότες ἐν τῇ ἀλκῇ τοῖς Οὔννοις, ἀπώλοντο πάντες. Βελισάριος δὲ εἰς Δέκιμον ὢν, οὐδὲν τούτων ἔμαθεν· ἀλλὰ χαράκωμα περιβαλὼν, ἐστρατοπέδευσε, καταλιπὼν αὐτόθι τὴν γυναῖκα αὐτοῦ, καὶ τοὺς πεζούς. αὐτὸς δὲ λα-

βὼν τοὺς ἵππους, καὶ τοὺς ἡγεμόνας, εἰς Καρχηδόνα ἐχώρει. εὑρὼν δὲ τοὺς πεπτωκότας νεκροὺς, τόν τε Ἀματᾶν, καὶ Οὐανδήλους, καὶ μαθὼν τὰ γεγονότα, εἰς λόφον τινὰ ἀνελθὼν, ὁρᾷ κονιορτὸν ἐκ μεσημβρίας, καὶ Οὐανδήλων ἱππέων πλῆθος πολὺ, ἡγουμένου αὐτοῖς Γελίμερος, μὴ γνώσαντος μήτε τὸ Κιβαμουύδου πάθος, μήτε τὸ τοῦ Ἀματᾶ. ἐπεὶ δὲ ἐγγὺς ἀλλήλων γεγόνασι προτερήσαντες Οὐανδῆλοι τὸν λόφον καταλαμβάνουσι, καὶ φοβεροὶ τοῖς ἐναντίοις ἐδείχθησαν. οἱ δὲ Ῥωμαῖοι τραπέντες εἰς χωρίον ἀφικνοῦνται σταδίους ἑπτὰ τοῦ Δεκίμου ἀπέχον. Θεὸς δὲ τούτους παραδόξως ἀλλοίως εἰς δειλίαν κατέστησεν. εἰ γὰρ τὴν δίωξιν εὐθὺς ἐποιήσαντο, ἄρδην ἅπαντας σὺν Βελισαρίῳ διέφθειραν. τοσοῦτον ἦν τὸ πλῆθος τῶν Οὐανδήλων, καὶ τὸν Ἰωάννην ὑποστρέφοντα ἐκ Καρχηδόνος, καὶ σκυλεύοντα τοὺς τεθνεῶτας ἀπονητὶ κρατῆσαι ἔμελλον. Κατιὼν δὲ ἐκ τοῦ λόφου Γελίμερ, καὶ εὑρὼν τὸν ἀδελφὸν νεκρὸν εἰς τε ὀλοφύρσεις ἐτράπη, καὶ τὰς νίκας τὴν ἀκμὴν ἤμβλυνε. Βελισάριος δὲ καὶ τοὺς φεύγοντας στῆναι κελεύσας, καὶ κοσμίως πάντα διατάξας, καὶ ὀνειδίσας τῆς δειλίας, καὶ τὸ πάθος τῶν ἐναντίων, ἅμα τε καὶ Ἰωάννου νίκην μαθὼν, δρόμῳ καὶ ἀνδρείᾳ ἐπὶ Γελίμερα χωρεῖ. οἱ δὲ βάρβαροι ἀπαρασκεύαστοι εὑρεθέντες, εἰς φυγὴν ἐτράπησαν κραταιὰν, καὶ πολλοὺς ἀποβαλόντες εἰς Μήδειαν ἐχώρησαν καταλιπόντες Καρχηδόνα. νυκτὸς δὲ καταλαβούσης, ὅ, τε Βελισάριος, καὶ Ἰωάννης, καὶ οἱ Μασσαγέται εἰς Δέκιμον ἀφικόμενοι, ἅπαντα τὰ συμβεβηκότα μαθόντες, ἔχαιρον. τῇ δὲ ἐπαύριον ἅμα τῷ πεζῷ καὶ τῇ Βελισαρίου γυναικὶ ἅπαντες ἐπὶ Καρχηδόνα ἐπορεύοντο. οἱ δὲ Καρχηδόνιοι τὰς πύλας ἀναπετάσαντες, καὶ λύχνα ἅψαντες, πανδημεὶ πρὸς ὑπάντησιν Βελισαρίου ἐξῆλθον. οἱ δὲ ἐν αὐτῇ Οὐανδῆλοι ἐν τοῖς ἱεροῖς προσέφυγον. καταλαβόντος δὲ τοῦ στόλου τὴν ἅλυσιν ἄραντες ἐν τῷ λιμένι τούτους ἐδέξαντο. καὶ ὁ μὲν πλεῖστος στόλος τὴν ἐντολὴν τοῦ Βελισαρίου φυλάξαντες οὐκ εἰσῆλθον ἐν τῷ λιμένι, ἀλλ' ἔξω προσώρμισαν. Καλώνυμος δὲ τὴν παρακοὴν ἐνδυσάμενος εἰσῆλθε, καὶ τὰ πλοῖα λῃσάμενος πολλὰ χρήματα ἀφήρπαξε, καὶ τοῖς ἐργαστηρίοις καὶ οἴκοις τοῖς πλησίον τοῦ λιμένος εἰσῆλθε, καὶ πολλοὺς ᾐχμαλώτευσεν. ἀπονητὶ δὲ Βελισάριος τῆς Καρχηδόνος κρατήσας παρῄνει τοῖς στρατιώταις λέγων. ὁρᾶτε ἡλίκα εὐτυχήματα γεγόνασιν ἡμῖν; ἐπειδὰν σωφροσύνην εἰς τοὺς Λίβυας ἐπεδειξάμεθα. βλέπετε, τὴν εὐκοσμίαν ἐν Καρχηδόνι διασώσασθε. καὶ μήτις ἀδικήσῃ τινὰ, ἢ ἀφαρπάσῃ τί αὐτοῦ. πολλὰ γὰρ κακὰ παθόντας ὑπὸ Οὐανδήλων ἀνδρῶν βαρβάρων, βασιλεὺς ὁ ἡμέτερος βοηθῆσαι τούτοις, ἡμᾶς ἀπέστειλε, καὶ τὴν ἐλευθερίαν χαρίσασθαι. ταῦτα παραινῶν εἰς Καρχηδόνα εἰσῆλθε. καὶ ἀναβὰς ἐν τῷ παλατίῳ, ἐν τῷ Γελίμερος θρόνῳ ἐκάθισε. τούτῳ δὲ προσῆλθον οἵ τε ἔμποροι Καρχηδόνος, καὶ ὅσοι πλησίον τῆς θαλάσσης ἔμενον, ὀλοφυρόμενοι ἁρπαγὴν πεπονθέναι ὑπὸ τοῦ στόλου. ὁ δὲ Βελισάριος Καλώνυμον τὸν ναύαρχον ὁρκίσας, ὅπως ἀ-

quitibus stipatus, & Ducibus secum sumptis, Carthaginem contendit. Cum autem mortuos in via jacentes ipsumque Amatam una cum Vandalis occisum, omniaque, prout gesta fuerant, percepisset, tumulum ascendens, pulverem meridiem versus excitatum magnumque Vandalorum equitum agmen a Gelimere ductum prospexit: Cibamundi quippe cladem & Amatæ cædem ignorabat adhuc Gelimer. Cum vero utrique ad invicem propius accessissent, pervertentes Vandali tumulum occupant, & de se terrorem maximum hostibus incutiunt: quare Romani in fugam versi secedunt in vicum stadiis septem a Decimo remotum. Deus autem præter omnem opinionem Vandalos in metum conjecit: si enim fugientes continuo insequuti essent, omnes penitus cum ipso Belissario ad internecionem delevissent. Adeo quippe numerosa erat Vandalorum multitudo, ut Joannem Carthagine revertentem, & in spoliis mortuorum diripiendis occupatum, nullo negotio potuissent comprehendere. Gelimer relicto tumulo ubi mortuum fratrem offendit, ad planctus & ejulatum conversus est totus, ex quo victoriæ acies ei remansit omnino obtusa. Belissarius fugientibus sistere jussis, mox cuncta disponit ornate, formidinem exprobrat, cognitaque quam sustinuerant hostes, strage, & a Joanne parta victoria, contento corporis cursu & animi ardore in Gelimerem impetum facit. Barbari subeundo certamini penitus imparati, in validam fugam se conjiciunt, & multis suorum amissis desertaque Carthagine, Mediam se recipiunt. Ubi nox ingruit, Belissarius, Joannes, & Massagetæ Decimum repetentes, cunctis, quæ acciderant auditis, summopere gavisi sunt. Postero die copiis pedestribus accitis, conjuge quoque Belissarii secum sumpta, cuncti Carthaginem versus arripuerunt iter. Carthaginenses reseratis portis & accensis focis cum totius populi frequentia Belissarium excepturi obviam processerunt: Vandali in civitate relicti fugientes in templa consuluerunt saluti. Adventante classe, sublata quæ portum claudebat catena, & naves in civitatem admissæ. Et plurima quidem exercitus pars jussa Belissarii observatura portum non est ingressa, sed foras appulit. Calonymus vero contumacia fretus intro subiit, & exhaustis prædonis in morem navigiis, immensam divitiarum molem ex eis asportavit, officinas etiam & domos portui proximas ingressus, plurimos ex eis abduxit captivos. Belissarius porro Carthagine sine labore potitus, milites his verbis hortabatur. Quam prospere vobis cuncta cedunt, cum nimirum moderate & temperanter erga Libyæ populos nos gessimus, vos videtis: Nunc ut eadem moderatio in urbe Carthagine servetur, efficite: Nullus injuste civem excipiat, nullus alterius rem per nefas tractet aut rapiat. Plurima quippe a Vandalis barbaris viris passos istos cives Imperator noster liberaturos nos misit, opem laturos, ac denique reddituros libertatem. Hæc colloquutus Carthaginem ingressus est: inde ad Palatium ascendens, in Gelimeris throno sedit: ad quem statim urbis mercatores, cæterique qui ad mare habitabant accessere, se ab exercitu navali funditus compilari quiritantes. Quare Belissarius, Dei nomine religiosius interposito, Calonymum classis Præfectum

Edit. Paris. pag. 165.

adjuravit, ut quæ diripuerat, deponeret in medium, & cuncta propriis dominis restitueret. Is cum quæpiam furtim retinuisset, & jusjurandum violasset, non diu postmodum persolvit pœnas: a mente siquidem alienatus, lingua sibi dentibus corrosa, misere periit: Porro Belissarius populum regali prorsus epulo accepit, in quo ipsa Gelimeris familia cibos apposuit, ipsa vinum miscuit, cæteraque ministeria obivit. Ita Dux ille nullo pene belli tumultu urbem obtinuit: adeo ut nulli hominum illata fuerit injuria, nullus in foro propriam obserare domum fuerit coactus: quin potius necessariis pretio comparatis milites epulabantur, & genium fovebant. Ad templa vero profugis Vandalis fidem dedit Belissarius, & e sacris locis eduxit: & urbis mœnium pridem neglectorum curam egit. Cæterum antiqui cujusdam dicti submurmurans rumor adhuc Carthagine ferebatur. Gamma expellet Beta: Et id quidem impletum est. Prius enim Gizerichus Bonifacium ejecit: nunc vero Belissarius Gelimerem. Gelimer porro multis in Libyum agricolas profusis pecuniis eos ad se pellexit: eosque jussit, ut Romanos, qui remanserant in pagis, occiderent. Agricolarum facinoris nuncio accepto, Diogenem e satellitibus unum, qui de crimine expostularet, & ulcisceretur agricolas misit. Diogenes una cum comitibus domum quampiam ingressus, nihil hostile veritus dormiebat. Eo cognito trecentos electos viros in eum Gelimer emittit. Illi profecti domum qua jacebat per ambitum obsederunt: noctu namque in eam irrumpere metuebant. Romani soli viginti numero periculo præviso exurgunt, armantur, in equos insiliunt, & reseratis de repente portis, clypeis obtecti, lanceisque fortiter pugnantes, adversarios in fugam vertunt. Porro Gelimer in Numidiam profectus, Vandalos omnes, & ex Maurusiis quos habuit amicos collegit, & ad bellum renovandum instruxit. Litteras insuper in Sardiniam ad Tzatzonem fratrem dedit, quibus, quæ sibi contigerant, significaret. Ille confestim e Sardinia cum universo sibi subjecto exercitu ad Libycas oras tertio itineris die applicuit, & mox occurrit Gelimeri. Illi colla sibi brachiis circumplectentes nullum invicem dedere colloquium, sed, Salve, tantum effati, & constrictos se tenentes collacrymabantur, omnisque pariter exercitus communem cladem deplorabat. Gelimer utroque exercitu in unum collecto, Carthaginem petit, & urbem obsidione cingere molitur, secum reputans urbem Romanorumque exercitum, a Carthaginensibus quibus Arii sententia colebatur, extemplo prodendum. Ad Unnorum quoque præcipuos mittens, multa bona eis se donaturum pollicebatur, si Romanos in manus suas proditione traderent. Hæc a Gelimeris partium desertoribus cognoscens, Laurentiumque quemdam Carthagine morantem reperiens Belissarius, colle quondam penes civitatem sito patibulo affixit; ex quo in magnum terrorem adducti sunt, qui proditiones machinabantur, adeo ut quæ ipsis Gelimer clam indicasset Massagetæ palam edicerent. Cunctis autem in exercitu blandis ejus verbis ac etiam jusjurandis amice sibi conciliatis, Joanni Armenio, ut equitibus, præter quingentos, universis secum assumptis, in Vandalos egressus, velita-

Edit. Paris. pag. 166.

πάντα τὰ διαρπαγέντα ἐνέγκῃ, καὶ ἀποδώσῃ τοῖς οἰκείοις δεσπόταις. ὁ δὲ σφετερισάμενος ἐξ αὐτῶν, καὶ ἐπιορκήσας, καὶ οὐ μετὰ πολὺ τὴν δίκην ἐτίσεν. ἔξω γὰρ φρενῶν γενόμενος τὴν ἑαυτοῦ γλῶσσαν φαγὼν ἀπέθανε. Βελισάριος δὲ τὸν λαὸν εἱστία βασιλικῶς, καὶ ἡ τοῦ Γελίμερ θεραπεία παρετίθετο, καὶ ᾠνοχόει, καὶ τὰ ἄλλα πάντα ὑπούργει· οὕτω δὲ ὁ στρατηγὸς ἀθορύβως τὴν πόλιν ἔσχεν. ὥστε οὐδὲ ὕβριν τινὰ ἐπάγειν ἀνθρώπῳ, οὐδὲ ἐπὶ τῆς ἀγορᾶς τινὰς συνέβη τὴν οἰκίαν σφαλίσαι. ἀλλ' ἀγοράζοντες οἱ στρατιῶται ἤσθιον, καὶ εὐφραίνοντο. τοὺς δὲ εἰς τὰ ἱερὰ φυγόντας Οὐανδήλους πιστὰ δοὺς ἐξήγαγε. τῶν δὲ τειχῶν τῆς πόλεως ἐπεμελεῖτο ἠμελημένων πρότερον ὄντων. ἔλεγον δὲ καὶ πάλαι λόγον ἐν Καρχηδόνι εἰρῆσθαι. ὡς τὸ Γ διώξει τὸ Β, νῦν δὲ τετέλεσται. πρότερον γὰρ Γιζέριχος Βονιφάτιον ἐξεδίωξε· νῦν δὲ Βελισάριος Γελίμερα. Γελίμερ δὲ χρήματα πολλὰ τοῖς γεωργοῖς Λιβύων προϊέμενος πρὸς ἑαυτὸν ὑπηγάγετο, καὶ ἐκέλευσεν αὐτοὺς Ῥωμαίων τοὺς εἰς τὰ χωρία περιιόντας ἀναιρεῖν. τοῦτο δὲ ποιησάντων τῶν γεωργῶν μαθὼν ὁ Βελισάριος, ἀποστέλλει Διογένην ἕνα τῶν αὐτοῦ δορυφόρων αἰτιάσασθαι. ὁ δὲ Διογένης ἅμα τοῖς σὺν αὐτῷ εἰς οἰκίαν εἰσελθὼν, ἐκάθευδε μηδὲν πολέμιον ἐννοούμενος· τοῦτο μαθὼν ὁ Γελίμερ τριακοσίους ἐπιλεξάμενος ἀποστέλλει κατ' αὐτοῦ. ἐλθόντες δὲ περιεκύκλωσαν τὴν οἰκίαν, δεδιότες εἰσελθεῖν τὴν νύκτα. οἱ δὲ Ῥωμαῖοι αἰσθόμενοι, ἀναστάντες, καὶ ὁπλισάμενοι, τοῖς ἵπποις τε ἐπιβάντες, εἴκοσι τὸν ἀριθμὸν ὄντες ἀνοίγουσιν ἐξαπίνης τὰς θύρας, καὶ ταῖς ἀσπίσι περιφραξάμενοι, καὶ τοῖς δόρασιν ἀμυνόμενοι, τοὺς ἐναντίους ἔτρεψαν. Γελίμερ δὲ ἐν Νουμιδίᾳ γενόμενος Οὐανδήλους πάντας συνήγαγε, καὶ ὅσους προσφιλεῖς εἶχε τῶν Μαυρουσίων, καὶ πρὸς πόλεμον ηὐτρεπίζετο. ἀπέστειλε δὲ καὶ γράμματα ἐν Σαρδηνίᾳ πρὸς Τζάτζωνα τὸν ἴδιον ἀδελφὸν, τὰ συμβάντα αὐτῷ δηλοποιῶν. ὃς ἀπάρας εὐθὺς μετὰ παντὸς τοῦ λαοῦ ἀπὸ Σαρδηνίας εἰς τὴν Λιβύης ἀκτὴν τριταῖος κατέλαβε, καὶ εὗρε τὸν Γελίμερα. οἳ περιπλακέντες ἀλλήλων τῷ τραχήλῳ οὐδὲν μέντοι εἰς ἀλλήλους ἐφθέγγοντο· ἀλλὰ τὸ, Χαῖρε, σφίγγοντες ἔκλαιον· ὁμοίως καὶ ὁ στρατὸς τὴν συμφορὰν ἐπωδύροντο. ὁ δὲ Γελίμερ παραλαβὼν ἀμφοτέρους ἐπὶ Καρχηδόνα χωρεῖ, καὶ ταύτην πολιορκεῖν ἐπειρᾶτο, οἰόμενος τοὺς ἐν Καρχηδόνι προδιδόναι αὐτῷ τὴν πόλιν, καὶ τὸν Ῥωμαίων στρατὸν, οἷς ἡ τοῦ Ἀρείου δόξα ἠσκεῖτο. πέμψας δὲ εἰς τοὺς ἄρχοντας τῶν Οὔννων πολλὰ αὐτοῖς ἀγαθὰ ὑπισχνεῖτο διδόναι, εἰ καταπροδώσουσιν αὐτῷ Ῥωμαίους. ταῦτα δὲ Βελισάριος μαθὼν παρὰ τῶν αὐτομόλων, καὶ Λαυρέντιόν τινα ἐν Καρχηδόνι ὄντα προδότην εὑρὼν ἀνεσκολόπισεν ἐπὶ λόφῳ πρὸ τῆς πόλεως, καὶ ἀπὸ τούτου εἰς δέος μέγα ἐνέπεσαν οἱ προδοσίαν μελετήσαντες, ὥστε τοὺς Μασσαγέτας ὁμολογῆσαι τὰ ὑπὸ Γελίμερος αὐτοῖς δηλωθέντα. τοῦ δὲ Βελισαρίου πάντας λόγῳ ἠθικῷ, καὶ ὅρκοις πρὸς φιλίαν αὐτοῦ μεταβαλόντος, αὐτὸς ἐκέλευσεν εὐθὺς Ἰωάννην τὸν Ἀρμένιον παραλαβεῖν πάντας τοὺς ἱππεῖς πάρεξ πεντακοσίων καὶ ἐξελθόντα πρὸς τοὺς Οὐανδήλους ἀκροβολίσασθαι. αὐτὸς δὲ τῇ ὑστέρᾳ ἅμα τῷ πεζῷ στρατῷ καὶ τοῖς πεντακοσίοις ἱππεῦσιν εἵπετο. καταλαβόντα δὲ τοὺς

Οὐανδήλους ἐν τῇ Τρικαμμάρῳ στρατοπεδευσαμένους, ἔμειναν τὴν νύκτα πλησίον ἀλλήλων. συνέβη δὲ τέρας γενέσθαι ἐν τῷ Ῥωμαϊκῷ στρατῷ. τῶν γὰρ δοράτων τὰ ἄκρα πυρὶ πολλῷ κατελάμπετο. τοῦτο θεασάμενοι κατεπλάγησαν· φραξάμενοι δὲ ἅμα πρωῒ ἀμφότεροι πρὸς τὸν πόλεμον ὥρμησαν. Ἰωάννης δὲ τῶν ἀμφ' αὐτὸν ὀλίγους ἐπιλεξάμενος τόν τε ποταμὸν διέβη καὶ τοῖς Οὐανδήλοις εἰσέβαλεν. ὁ δὲ Τζάτζων ὠθισμῷ χρησάμενος ἐδίωξεν αὐτόν. οἱ δὲ Οὐανδῆλοι διώκοντες ἄχρι εἰς τὸν ποταμὸν ἦλθον. αὖθις δὲ Ἰωάννης πλείους τῶν ὑπασπιστῶν Βελισαρίου λαβὼν κατὰ τοῦ Τζάτζωνος εἰσεπήδησε σὺν βοῇ τε καὶ πατάγῳ πολλῷ. γίνεται οὖν καρτερὰ ἡ μάχη, καὶ πίπτει Τζάτζων ὁ τοῦ Γελίμερος ἀδελφός. τότε δὲ πᾶν τὸ στράτευμα Ῥωμαίων τὸν ποταμὸν διαβάντες ἐπὶ τοὺς πολεμίους ἐχώρησαν, καὶ τούτους ἐξωσάμενοι, μέχρι τοῦ στρατοπέδου ἐδίωξαν. καὶ ὑποστρέψαντες τοὺς νεκροὺς ἀπέδυον ὅσοι μάλιστα ἐχρυσοφόρουν, καὶ εἰς τὸ ἑαυτῶν στρατόπεδον ὑπεχώρησαν. ἀπέθανον δὲ ἐν ταύτῃ τῇ μάχῃ Ῥωμαίων πεντήκοντα, Οὐανδήλων δὲ ὀκτακόσιοι. καταλαβὼν Βελισάριος σὺν τοῖς πεζοῖς τῇ δείλῃ πρὸς ὀψίαν, ἄρας ὡς εἶχε τάχους σὺν παντὶ τῷ στρατοπέδῳ ἐπὶ τὸ τῶν Οὐανδήλων στρατόπεδον ᾤχετο. Γελίμερ δὲ γνοὺς Βελισάριον παρόντα σὺν τοῖς πεζοῖς, καὶ παντὶ τῷ στρατῷ ἐπιβὰς τῷ ἵππῳ μηδὲν διαταξάμενος ἀκρατῶς Νουμιδίαν ἔφυγε μετ' ὀλίγων συγγενῶν καὶ οἰκετῶν αὐτοῦ καταπεπληγμένος. ἐπεὶ δὲ αὐτὸν φυγόντα ᾔσθοντο οἱ Οὐανδῆλοι καὶ οἱ πολέμιοι ἤδη ἑωρῶντο, τότε δὴ οἵ τε ἄνδρες καὶ γυναῖκες, καὶ τὰ παιδία ἐθορύβουν τε καὶ ἐκώκυον, καὶ οὔτε χρημάτων μετεποιοῦντο, οὐδὲ τῶν φιλτάτων ὀδυρομένων. ἀλλ' ἕκαστος ἔφυγεν ὅσον ἠδύνατο. ἐπελθόντες δὲ οἱ Ῥωμαῖοι τὸ στρατόπεδον αἱροῦσι, καὶ ἐπιδιώξαντες τὴν νύκτα ὅλην, ἄνδρας μὲν ὅσους ἔτυχον ἔκτεινον, παῖδας δὲ καὶ γυναῖκας ἐν ἀνδραπόδων λόγῳ ἐποιοῦντο. χρήματα δὲ τοσαῦτα τὸ πλῆθος εὗρον, ὅσα οὐδέποτε ἐν ἑνὶ χωρίῳ ἔτυχεν εἶναι. τὴν γὰρ Ῥωμαίων ἀρχὴν ληισάμενοι, χρήματα εἰς Λιβύην πολλὰ μετήνεγκαν· καὶ τῆς χώρας αὐτῆς ἀγαθῆς οὔσης καὶ εὐκάρπου, χρημάτων πρόσοδοι πολλαὶ αὐτοῖς γεγόνασιν. ἐνενήκοντα πέντε γὰρ ἔτη Λιβύης Οὐανδῆλοι ἐκράτησαν, καὶ πολὺν πλοῦτον συναγαγόντες ἐκείνῃ τῇ ἡμέρᾳ εἰς τὰς τῶν Ῥωμαίων χεῖρας ὁ πᾶς πλοῦτος ἐπανῆκεν. ἐν τρισὶ γὰρ μησὶ πολεμήσας Βελισάριος ἀπὸ τοῦ Ὀκτωβρίου μηνὸς εἰς τὸ τέλος τοῦ Δεκεμβρίου πᾶσαν τὴν Λιβύην ὑπέταξεν. ἀπέστειλε δὲ Ἰωάννην τὸν Ἀρμένιον σὺν διακοσίοις ἐπιλέκτοις διώκειν τὸν Γελίμερα ἕως αὐτὸν ζῶντα, ἢ νεκρὸν λαβεῖν. ὃς φθάσας τὸν Γελίμερα ἤμελλε λαμβάνειν, εἰ μὴ συνηνέχθη πρᾶγμα τοιόνδε. Οὐλιάριός τις τῶν Βελισαρίου δορυφόρων συνὼν τῷ Ἰωάννῃ, ὃς οἴνῳ μεθυσμένος ἰδὼν ὄρνιν ἐπὶ δένδρου καθήμενον, ἐκτείνας τὸ τόξον κατ' αὐτοῦ ἔβαλε, καὶ τοῦ

tionibus pugnam lacesseret, confestim imperavit. Ipse postera luce cum pedestrium copiis & equitum illis quingentis pone sequebatur. Cum autem Vandalos ad Tricammarum castrametatos invenisset, juxta se invicem nocte illa in castris utrique steterunt. In Romano vero exercitu portentum videri contigit. Hastarum enim cuspides ignitis emissis radiis collucere: quo viso, cuncti terrore stupefacti. Primo crepusculo armis utrinque muniti ad conserendam pugnam utrique cum impetu irruerunt. Joannes ex suorum copiis non multis admodum selectis, flumen trajecit, & in Vandalos impressionem fecit: Tzatzon fortiter sustinens, & in eum ex adverso irruens, in fugam vertit: atque ita insequentes Vandali ad flumen usque pervenerunt. Rursus vero Joannes pluribus ex Belissarii satellitio acceptis in Tzatzonem cum clamore & strepitu insiliit: acrisque pugna inde conflata est, qua Tzatzon Gelimeris frater cecidit. Tum vero universa Romanorum acies flumen trajiciens in hostes irrupit, & in fugam actos ad castra usque cæsos insectata est: atque inde versa facie pedem referens, mortuis, maxime qui auro erant ornatiores, exutis, ad castra remigravit. Cæsi sunt in ea pugna Romanorum quinquaginta, ex Vandalis octingenti. Sub vesperam autem inclinata jam die, Belissarius cum peditibus reversus, qua cursus contentione potuit, cum universo exercitu in Vandalorum castra perrexit. Gelimer Belissarium cum peditibus & agminum reliquis adesse persentiens, relicto exercitu incomposito, effuso cursu, ipsoque metu urgente compulsus, cum paucis consanguineis & familiaribus in Numidiam aufugit. Comperta a Vandalis ejus fuga, ipsisque hostibus jam in conspectu positis, tunc virorum, mulierum, & puerorum promiscua turba sublato ejulatu terrore confundi & turbari, abjectaque facultatum & charissimorum cura, qua quisque potuit, in fugam se conjecit. Romani dato aditu irrumpentes castris potiuntur, & fugientes per totam noctem insequuti, viros quidem obviam factos peremerunt, pueros autem & mulieres captivas in servorum numerum recensuerunt. Porro pecuniarum & divitiarum eam ibi vim repererunt, quam in unum locum usquam congerere liceat. Quondam enim Vandali Romanorum imperium totum in direptionem sibi concessum deprædati, divitias & facultates in Libyam transportaverunt immensas: ac regionem insuper optimam & fertilissimam nacti, fortunarum & opum omnium collegerunt proventus. Nonaginta quippe annis Libya potiti Vandali, & variorum bonorum copia circumfluentes, uno diei momento in Romanorum manus delapsi, omnibus ad Romanos redeuntibus cesserunt. Trimestri siquidem bello, ab Octobris exordio ad Decembris exitum Libyam universam Belissarius subegit. Misit autem Joannem Armenium cum ducentis militibus selectis, qui Gilimerem insequeretur, & eum, seu vivum, seu vita functum comprehenderet. Is Gilimerem assequutus, jam manibus tenebat, nisi quid negotii hujusmodi capiendum impedivisset. Uliarius quidam Belissarii satelles in Joannis comitatu tum fuit, qui cum vino madidus avem arbori vidisset insidentem, directo in eam arcu telum emittens, a ferienda quidem aberravit ave,

Edit. Paris. pag. 167.

at Joannem in cervicem percussit retro. Is itaque lethali plaga saucius, sui desiderio, multoque luctu Imperatori Justiniano, Belissario, Romanis omnibus, & Carthaginensibus relicto, interiit. Gelimer itaque ea die fuga arrepta, ad Maurusios se recepit: Belissarius autem fugientem insequutus in monte Papua ad extrema Numidiæ inclusum obsedit. Per hyemem vero posita obsidione, rerum necessariarum penuria, & in angustum premi cœpere, nec enim panis, vinum, aut oleum apud Maurusios enascitur, sed olyra sola & hordea, animalium ratione carentium more, eaque nondum subacta comedunt: In eam calamitatem adductus Gelimer a Pharano, quem Belissarius ad obsidionem continuandam reliquit, cytharam, panem unum, & spongiam sibi mitti per litteras petiit. Pharano hæsitanti, nec quid hæc sibi vellent, assequuto, qui tulerat epistolam tabellarius addidit. Nondum viso pane, ex quo montem ascendit Gelimer, panem videre desiderat; oculis ab eo tempore illotis, & jam sorde oppletis ac dolentibus, nunc leniendis & abstergendis spongiam expetit: cytharam denique, ipse pulsandæ cytharæ mire peritus, exoptat, qua præsentis infortunii calamitatem deflere & luctu possit prosequi. His auditis Pharanus indoluit, & sortem humanam deplorans, quod per litteras petierat Gelimer concessit, atque omnia, quæ opus erant, transmisit. Exacta jam hyeme, veritus Gelimer ne magis stricta Romanorum obsidione premeretur, filiorum maxime sui generis, qui verminibus scatebant & laborabant, misertus, animo emollitus & omnino fractus, ad Pharanum rescripsit, ut data securitatis fide, ipse cum suis ad Belissarium transire posset. Pharanus interposito jusjurando cum Gelimeri fecisset satis, cunctos in potestatem receptos Carthaginem deduxit: eumque Belissarius gratanter omnem in modum excepit. Gelimer porro ridens ad Belisarium accessit: ex quo calamitatis & doloris vehementia eum naturali mentis statu alienatum & insaniam actum nonnulli suspicabantur; amici prudentem prædicabant & sagacem, qui cum regia stirpe procreatus regnum prius teneret, locorum & hominum firmo potiretur præsidio, & immensis divitiis abundaret, uno temporis momento fugam & omnis generis molestias Papuæ subire coactus, nunc demum captivi specie oppressus, nullius alterius, quam copiosi risus dignas res humanas omnes existimabat. Eum porro cum Optimatibus Vandalorum omnibus a dedecore longe & contemptu, sub tuta licet custodia tenuit Belissarius, ut eum ad Imperatorem Justinianum Byzantium deduceret. Continuo vero Cyrillum cum capite Tzatzonis in Sardiniam insulam, Cyrnum olim dictam misit; quam ille postmodum in Romanorum potestatem recepit. Joannem autem alterum Cæsaream, quæ Mauritaniæ est, distatque a Carthagine triginta dierum itinere ad Gades & solis occasum sita, & insuper alterum Joannem unum ex satellitibus ad fretum Gaditanum, atque alteram Herculis columnam misit, qui castrum quod Septum vocant, occuparet: Apollinarium vero virum bello egregium ad insulas quæ propius absunt ab Oceani in Mediterraneum influxu, Majoricam nimirum atque Minoricam destinavit, & in Siciliam nonnullos milites ex Libya,

Edit. Paris. pag. 168.

pag. 169.

A μὲν ὄρνιθος ἀπέτυχε, τὸν δὲ Ἰωάννην ὄπισθεν εἰς τὸν αὐχένα ἔβαλε. ὁ δὲ καιρίαν πληγεὶς τέθνηκε, πολὺ πένθος βασιλεῖ τε Ἰουστινιανῷ, καὶ Βελισαρίῳ, καὶ πᾶσι Ῥωμαίοις, καὶ Καρχηδονίοις καταλιπών. ὑπὸ Γελίμερ διαφυγὼν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἐπὶ Μαυρουσίους ἐχώρει. Βελισάριος δὲ τοῦτον διώξας εἰς Παπούαν τὸ ὄρος ἀπέκλεισεν εἰς τὰ ἔσχατα Νουμιδίας. τοῦτο δὲ παρακαθίσας διὰ τοῦ χειμῶνος λειψάντων αὐτοῦ πάντων τῶν ἐπιτηδείων, ἄρτος γὰρ παρὰ Μαυρουσίοις οὐ γίνεται, οὔτε οἶνος, οὔτε ἔλαιον, ἀλλὰ τὰ ὄλυρα, καὶ τὰς κριθὰς, ὡς ἄλογα ζῶα, ἄνεψα ἐσθίουσι.
B τοιούτοις Γελίμερ περιπεσὼν, γράφει πρὸς Φαρᾶν, ὃν Βελισάριος κατέλιπε φυλάσσειν αὐτὸν, πεμφθῆναι αὐτῷ κιθάραν, καὶ ἄρτον ἕνα, καὶ σπόγγον. ὁ δὲ Φαρᾶς διηπόρει, τί ἂν εἴη τοῦτο, ἕως ἂν ὁ τὴν ἐπιστολὴν κομίσας, εἶπεν· ὡς ἄρτον ἂν ἐπιθυμεῖ θεάσασθαι Γελίμερ, μὴ ἰδὼν ἄρτον, ἀφ' οὗ ἀναβέβηκε. σπόγγον δὲ διὰ τὸ τοὺς ὀφθαλμοὺς ἐκ τῆς ἀλουσίας κακοῦσθαι, ὅπως σπόγγῳ τούτους παραμυθήσῃ· κιθαριστῇ δὲ ἀγαθῷ ὄντι, ὅπως τὴν συμφορὰν τὴν παροῦσαν τῇ κιθάρᾳ θρηνήσῃ, καὶ ἀποκλαύσηται. ταῦτα ἀκούσας Φαρᾶς, περιαλγήσας τε, καὶ τύχην τὴν ἀνθρωπίνην ἀπολοφυρόμενος, καὶ τὰ γεγραμμένα ἐποίει, καὶ πάντα ἔπεμψεν ὅσα ἐχρῄζε τῷ Γελίμερι. τοῦ δὲ χειμῶνος παρελθόντος,
C δεδιὼς ὁ Γελίμερ τὴν πολιορκίαν Ῥωμαίων, καὶ ἐλεήσας τὰ τῶν συγγενῶν τέκνα σκώληκας ἐν αὐτῇ τῇ ταλαιπωρίᾳ πεποιηκότα, ἐθηλύνθη τε τὴν διάνοιαν, καὶ πρὸς Φαρᾶν ἔγραψεν, ὅπως τὰ πιστὰ λαβὼν, αὐτός τε, καὶ οἱ σὺν αὐτῷ πρὸς Βελισάριον παραγένωνται. ὁ δὲ ὅρκῳ τοῦτο πληροφορήσας, λαβὼν ἅπαντας εἰς Καρχηδόνα ἥκει. Βελισάριος δὲ τοῦτον περιχαρῶς ἐδέξατο· ὁ δὲ Γελίμερ γελῶν πρὸς Βελισάριον ἦλθεν· ὃν οἱ μὲν τῇ ὑπερβολῇ τοῦ πάθους ἐκστάντα τῶν κατὰ φύσιν φρενῶν ὑπώπτευον, καὶ παραπαίοντα· οἱ δὲ φίλοι τοῦτο ἀγχίνοιαν τε τὸν ἄνθρωπον λογίζεσθαι, ὅτι
D βασιλέα ὄντα, καὶ βασιλικοῦ γένους, καὶ δύναμιν ὀχυρὰν ἔχοντα, καὶ χρήματα μεγάλα, ἀθρόον φυγήν τε, καὶ κακοπάθειαν τὴν ἐν Παπούᾳ ὑποστάντα, καὶ νῦν ἐν αἰχμαλώτου λόγῳ ἥκοντα, οὐδενὸς ἄξια τὰ ἀνθρώπινα, ἢ γέλωτος πολλοῦ οἴεσθαι εἶναι. Βελισάριος δὲ τοῦτον σὺν ἄρχουσι πᾶσι τῶν Οὐανδήλων οὐκ ἐν ἀτιμίᾳ ἐφύλαττεν, ὅπως πρὸς βασιλέα Ἰουστινιανὸν τοῦτον ἀπαγάγῃ εἰς τὸ Βυζάντιον. Κύριλλον δὲ εὐθὺς Βελισάριος σὺν τῇ κεφαλῇ τοῦ Τζάτζωνος ἐπὶ Σαρδὼ τὴν νῆσον, ἣ Κυρνὴ ἐκαλεῖτο πρότερον πᾶσαν Ῥωμαίοις ὑπέταξεν. εἰς δὲ Καισάρειαν τὴν ἐν Μαυριτανίᾳ Ἰωάννην ἕτερον ἀπέστειλεν, ἥ-
E τις τριάκοντα ἡμερῶν ὁδὸν ἀπέχει Καρχηδόνος, εἰς τὰ Γάδειρά τε, καὶ τὰς ἡλίου δυσμὰς κεῖται. ἄλλον τε Ἰωάννην τῶν ὑπασπιστῶν ἕνα εἰς τὸν ἐν Γαδείροις πορθμὸν, καὶ τὴν ἑτέραν τῶν Ἡρακλείων στηλῶν ἔπεμψε, τὸ ἐκεῖ φρούριον ὃ Σέπτον καλοῦσι καθέξοντα. εἰς δὲ τὰς νήσους, αἵπερ ἐγγύς εἰσι τῆς Ὠκεανοῦ εἰσβολῆς, Μαιόρικά τε καὶ Μινόρικα, Ἀπολλινάριον στέλλει ἄνδρα ἀγαθὸν τὰ πολέμια. ἀπέστειλε δὲ καὶ

ἐν Σικελίᾳ τινὰς τῶν Λιβυαίων, καὶ τῶν Οὐανδήλων τὸ φρούριον λαβεῖν ἐκέλευσεν. οἱ δὲ φυλάττοντες τοῦτο Γότθοι τὴν μητέρα Αταλαρίχου ταῦτα δῆλα ἐποίησαν. ἡ δὲ γράφει πρὸς Βελισάριον μὴ τοῦτο τυραννίδι λαβεῖν τὸ φρούριον, ἕως ἂν βασιλεὺς Ἰουστινιανὸς γνῷ, καὶ τὰ δοκοῦντα αὐτῷ ποιήσῃ. ἐν τούτῳ δὲ ὁ Οὐανδαλικὸς πόλεμος ἐτελεύτα. ὁ δὲ φθόνος, οἷα ἐν μεγάλῃ εὐδαιμονίᾳ φιλεῖ γενέσθαι, ὤδινε καὶ εἰς Βελισάριον. τινὲς γὰρ διέβαλλον αὐτὸν εἰς τὸν βασιλέα τυραννίδα μελετᾶν. ὁ δὲ βασιλεὺς πέμψας Σολομῶνα ἀποπειρᾶται τὴν Βελισαρίου γνώμην, πότερον σὺν Γελίμερί τε καὶ Οὐανδήλοις εἰς Βυζάντιον ἥκοι, ἢ αὐτοῦ μένοντος, ἐκείνους στεῖλαι ὧδε· οὐ γὰρ ἔλαθον αὐτὸν οἱ ἄρχοντες οἱ τὴν τυραννίδα ἐπενεγκόντες. ὁ δὲ Βελισάριος εἰς Βυζάντιον ἀφίκετο Σολομῶνα στρατηγὸν Λιβύας καταλιπών· καταλαβὼν δὲ Βελισάριος τὸ Βυζάντιον ἅμα Γελίμερι καὶ τοῖς Οὐανδήλοις γερῶν ἠξιώθη μεγάλων, οἵων ἐν τοῖς ἄνω χρόνοις οἱ Ῥωμαίων στρατηγοὶ ἐν μεγίσταις νίκαις ἀνεδήσαντο. ἑξακοσίων τε χρόνων παρῳχηκότων οὐδεὶς ἐληλύθει εἰς τιμὴν τοιαύτην, εἰ μὴ Τίτος, καὶ Τραϊανὸς, καὶ ἄλλοι αὐτοκράτορες στρατηγήσαντες ἐπὶ τὸ βαρβαρικὸν ἔθνος ἐνίκησαν. τά τε γὰρ λάφυρα ἐνδεικνύμενος, καὶ τὰ τοῦ πολέμου ἀνδράποδα ἐν μέσῳ τῇ πόλει ἐπόμπευσεν, ὃν θρίαμβον καλοῦσι Ῥωμαῖοι. οὐ τῷ παλαιῷ μέντοι τρόπῳ, ἀλλὰ πεζῇ βαδίζων ἐκ τῆς οἰκίας τῆς ἑαυτοῦ ἄχρις εἰς τὸ ἱπποδρόμιον. ἦν δὲ τὰ λάφυρα ὅσα δὴ ὑπουργικὰ τῇ βασιλέως τάξει ἀνεῖσθαι εἰώθασι, θρόνοι χρυσοῖ, καὶ ὀχήματα οἷς τῶν βασιλέων αἱ γυναῖκες ὀχοῦνται, κόσμος τε πολὺς ἐκ λίθων ἐντίμων συγκείμενος, ἐκπώματα χρυσᾶ, καὶ ἄλλα σύμπαντα ὅσα εἰς τὴν βασιλέως θοίνην χρήσιμα. ἦν δὲ καὶ ἄργυρος ἕλκων μυριάδας πολλὰς ταλάντων καὶ παντοδαπῶν βασιλικῶν κειμηλίων, ἅπερ Γιζέριχος ἐν Ῥώμῃ συλήσας, τὸ παλάτιον ἔλαβεν· ἐν οἷς καὶ τὰ Ἰουδαίων κειμήλια ἦν, ἅπερ Οὐεσπασιανὸς Τίτος μετὰ τὴν τῶν Ἱεροσολύμων ἅλωσιν ἐν Ῥώμῃ εἰσήνεγκεν. ἀνδράποδα δὲ ἦν τοῦ θριάμβου Γελίμερ τε αὐτὸς ἐσθῆτά τινα ἐπὶ τὸν ὦμον ἀμπεχόμενος πορφυρᾶν, καὶ τὸ συγγενὲς ἅπαν, Οὐανδήλων τε ὅσοι εὐμήκεις ἄγαν καὶ καλοὶ τῷ σώματι ἦσαν. ὡς δὲ ἐν τῷ ἱπποδρομίῳ Γελίμερ ἐγένετο, τόν τε βασιλέα ἐπὶ βήματος καθήμενον, καὶ τὸν δῆμον ἑστῶτα ἐφ' ἑκάτερα μέρη εἶδεν, ἐπιλέγων οὐκ ἐπαύσατο λέγων. ματαιότης ματαιοτήτων τὰ πάντα ματαιότης. ἀφικόμενον δὲ αὐτὸν κατὰ τὸ τοῦ βασιλέως βῆμα τὴν πορφύραν περιελόντες πρηνῆ πεσόντα προσκυνῆσαι τὸν βασιλέα ἠνάγκασαν. ὁ δὲ βασιλεύς τε καὶ ἡ Αὐγοῦστα τοὺς Ἰλδερίχου παῖδας, καὶ ἐγγόνους, πάντας τε τοὺς ἐκ τοῦ Οὐαλεντινιανοῦ βασιλέως συγγενείας χρήματα καλὰ ἐδωρήσατο, καὶ Γελίμερι χωρία ἐν Γαλατίᾳ, μεγάλα τε καὶ πρηνὰ μετὰ πάντων τῶν συγγενῶν αὐτοῦ ἐν τούτοις οἰκεῖν συγχωρήσας. εἰς Πατρικίων τάξιν τοῦτον οὐκ ἀνεβίβασε, διὰ τὸ μὴ δέχεσθαι αὐτὸν τῆς Ἀρείου δόξης μεταστῆναι· ὁ δὲ Βελισάριος μετὰ τὸν θρίαμβον ὑπάτευσε, καὶ πάμπολλα χρήματα ἐκ τῆς αὐτοῦ νίκης ὁ δῆμος τοῦ Βυζαντίου ἀπήλαυσεν, ὅσα οὐδέποτε. τοῦ δὲ Σολομῶνος τὴν Λιβύην διέποντος, Μαυρούσιοι

qui Vandalorum arcem sub præsidio tenerent. Castri vero custodes Gotthi istud Atalarichi matri litteris manifestaverunt. Illa Belissario, ne castrum tyrannice expugnaretur, priusquam Imperator Justinianus certior fieret, suumque super ea re consilium explicuisset, significat. Ita demum Vandalica bella finem habuere. Cæterum invidia, quemadmodum in magna felicitate fieri amat, etiam Belissario calamitatem peperit. Quidam enim ipsum affectatæ tyrannidis apud Imperatorem criminari sunt. Imperator autem per Salomonem Belissarii sententiam experitur, utrum ipse cum Gelimere & Vandalis Byzantium proficisci, aut certe ipso in Libya diuturniorem moram trahente, ipsos illuc mittere statueret? Porro Belissarius Salomone Libyæ Duce relicto (ab Optimatibus enim se tyrannidis insimulatum non erat nescius) Byzantium versus iter arripit. Subinde cum Gelimere & Vandalis Byzantium profectus, ea honorum amplitudine, qua prioribus sæculis Romanorum Duces post magis insignes victorias donabantur, cumulatus est: sexcentos enim annos si numeraveris, nullus, nisi forte Titus, Trajanus, aut alii Imperatores & exercituum ductores, qui barbaras nationes devicerunt, parem honoris gradum qui attigerit, facile occurret. Spolia namque & exuvias, victos quoque bello captivos per mediam civitatem circumduxit, quod Triumphum Romani nuncupavere. Ita quidem antiquo more ex domo sibi propria ad Circum usque pedes incessit. Fuere vero ea spolia, quæ regiæ majestatis ministerio & regum usibus concedi consueverunt. Throni aurei, & lecticæ quibus regum uxores amant vehi, mundus infinitus ex pretiosis lapillis, aurea pocula, cæteraque omnia, quæ regiis conviviis inferuntur. Censitum est præterea argenti pondus plurium myriadum talentorum, & regia generis omnis supellex, quam Gizerichus Romam depopulatus ex Imperatorum Palatio secum asportaverat: in his extiterunt ornamenta Judæorum omnia, quæ captis Hierosolymis Titus Vespasianus Romam intulit. Captivi in triumphum ducti fuerunt, Gelimer ipse purpurea chlamyde in humerum rejecta vestitus, omnes ejus consanguinei, & ex Vandalis proceriores quique corpore & vultus forma venustiores. Ut ad Circum Gelimer pervenit, & Imperatorem solio sedentem, & populum hinc & inde circumstantem conspexit, in has voces frequentius repetitas erupit: Vanitas vanitatum; & omnia vanitas. Versus Imperatoris autem solium procedentem exuerunt purpura, prius etiam quam pronus in terram Imperatorem venerari cogeretur. Post hæc Ilderichi filios & nepotes, eosque cunctos qui a Valentiniano Imperatore genus ducere reperti sunt, Imperator & Augusta magna divitiarum liberalitate excepit: Gelimeri vero vicos & oppida per Galatiam ampla & amœna, in quibus ipse cum affinibus habitare permitteretur assignavit: in Patriciorum tamen ordinem quod Arianorum opinionem deserere detrectaret, non erexit. Acto triumpho Belissarius subinde Consulatum gessit, & ex ejus victoria id nummorum munus, quale nusquam auditum populus Byzantinus accepit. Porro Salomone Libyam administrante, Maurusii adversus Libyas arma movêrunt. Isti Mau-

Edit. Parif. pag. 170.

rusii ex Gentibus, quas Jesus Nave Phœnicum regionem a Sidone ad Ægyptum usque habitantes expulit, originem traxerunt: qui primum in Ægyptum appellentes, nec ab incolis admissi, perrexerunt in Libyam, & eam incoluerunt: (eam sequutis temporibus Romanorum Imperatores sibi subactam Tingitanam dixerunt) ac demum duabus columnis ad magni fontis latera ex albo lapide erectis Phœnicio charactere Phœnicumque dialecto nonnulla insculpserunt in hanc sententiam. Nos sumus, qui a facie Jesu prædonis filii Nave fugimus. Extiterant etiam per Libyam aliæ gentes indigenæ, quibus Æsculapius rex, Telluris, ut ajebant, filius præfuit, quæ prima Carthagiois fundamenta posuerunt. Salomon autem copiis Carthagine eductis, adversus Maurusios profectionem suscepit. Byzacium cum pervenisset ad Rames oppidum, quo Maurusii, vallo circulari ex camelorum gregibus composito, mulieres, pueros, nec noo se ipsos in eum impressionem facturos incluserant; equo desiliens quingentos milites selectissimos ad unam circumvallantis ambitus partem collocatos hostes aggredi, & camelos telis jubet confodere. Duceotis circiter interfectis, contento cursu medium ambitus, quo mulieres consederant, occupat. Barbari autem prostrati, in montem nullo servato ordine fugam arripiunt. Ea die ad decies mille Maurusii cæsi fuerunt: mulieres cum natis omnes in captivitatem actæ: iisque demum una cum camelorum gregibus & omnis ætatis hominibus abductis, victores Carthaginem ingressi dies festos ob partam victoriam egerunt. Verum barbari nullo ex suis relicto, una cum uxoribus & liberis in unum collecti, bellum adversus Romanos redintegrarunt, & pagos circa Byzacium depopulati sunt. Salomoo ex adverso copiis exercitus omnibus convocatis, contra profectus est: jamque Bulgarionem, qui locus hostilium castrorum erat, cum attigisset, exercitum omnem quasi pugnam initurus disposuit. Maurusii in planitiem descendere veriti, in Bulgarionum monte diutius substiterunt. Salomon una cum peditibus mille Theodorum, & ex signiferis quemdam, de nocte summisit, qui tenebris tecti, monte retro adversarios conscenso, cum exoriente primum sole ex superiore loco signa tollerent in altum, ac simul omnes in adversarios irrumperent. Ipse profunda adhuc nocte sub auroram una cum illis ascendens in hostes iter dirigit. Barbari Romanis circumquaque se vallatos & inclusos comperientes, per prærupta loca in fugam se dederunt, invicem se perturbato ordine prementes, & mutuam sibi cædem inferentes. Hoc in certamine Maurusiorum myriades quinque perierunt, Romanorum ne ullus quidem defuit, aut aliquam omnino plagam accepit, quinimmo sanis & salvis omnibus integram victoriam retulerunt. Maurusiorum autem primores non pauci Romanis se adjunxeruot. Mulierum vero & puerorum is fuit numerus a Romanis captus, ut ovis pretio puerum Maurusium sibi comparare volenti æstimarent, & divenderent. Ita demum vatis fœminæ vetus oraculum exitum habuisse deprehensum, quo plebem eorum ab imberbi viro penitus delendam prænunciatum. Salomon enim generationis administris partibus morbo amissis, invitus olim

Edit. Paris. pag. 171.

πόλεμον κατὰ Λιβύαν ἐκίνησαν· οἱ δὲ Μαυρούσιοι ἐκ τῶν ἐθνῶν κατάγονται, ὧν ὁ Ἰησοῦς ὁ τοῦ Ναυὴ ἐκ τῆς Φοινίκων χώρας ἀπὸ Σιδῶνος μέχρις Αἰγύπτου κατοικοῦντας ἀπήλασεν. οἵ τινες καταλαβόντες τὴν Αἴγυπτον, καὶ μὴ δεχθέντες ὑπ᾽ αὐτῶν, καταλαμβάνουσι τὴν Λιβύην, καὶ ταύτην παροικήσαντες (ἣν ὑστέρῳ καιρῷ οἱ παρὰ Ῥωμαίοις βασιλεῖς κρατήσαντες, Τιγγίτην ταύτην ὠνόμασαν) στήσαντες δύο στήλας ἐπὶ τῆς μεγάλης κρήνης ἐκ λίθων λευκῶν ἐγκεκολαμμένων ἐχούσας γράμματα Φοινικικὰ λέγοντα τάδε· ἡμεῖς ἐσμὲν οἱ φυγόντες ἀπὸ προσώπου Ἰησοῦ τοῦ λῃστοῦ υἱοῦ Ναυῆ. ἦσαν δὲ καὶ ἄλλα ἔθνη ἐν Λιβύῃ πρότερον αὐτόχθονες, ἔχοντες βασιλέα Ἀσκληπιόν, τῆς γῆς υἱὸν ἔφασκον εἶναι, οἵ τινες Καρχηδόνα ἔκτισαν. Σολομὼν δὲ λαβὼν ἐκ Καρχηδόνος τὰ στρατεύματα, κατὰ Μαυρουσίων ἐχώρει. ἐλθὼν δὲ εἰς Βυζάκιον εἰς Ῥαμᾶς τὸ χωρίον, ἔνθα οἱ Μαυρούσιοι ἐστρατοπέδευσαν κύκλον ἐκ τῶν καμήλων ποιησάμενοι, τάς τε γυναῖκας καὶ τὰ τέκνα ἐντὸς τοῦ κύκλου ἐνθέμενοι, καὶ τοὺς Μαυρουσίους κατ᾽ αὐτοῦ ἐξερχομένους, ἀποβὰς τοῦ ἵππου πεντακοσίους ἐπιλέκτους ἐπαγόμενος εἰς ἕνα τοῦ κύκλου ἐπισκῆψαι μέρος, καὶ τὰς καμήλους κτείνειν ἐκέλευσε. φονεύσας δὲ ἀμφὶ διακοσίων, δρόμῳ εἰς τὸ τοῦ κύκλου μέσον ἐχώρησεν, ἔνθα αἱ γυναῖκες ἐκάθηντο. οἱ δὲ βάρβαροι ἐκπλαγέντες ἐπὶ τὸ ὄρος ἔφυγον σὺν πάσῃ ἀκοσμίᾳ. κτείνονται δὲ τῶν Μαυρουσίων ἐν αὐτῇ τῇ ἡμέρᾳ μύριοι. αἱ δὲ γυναῖκες πᾶσαι σὺν τοῖς παιδίοις ἐν ἀνδραπόδων λόγῳ ἐγένοντο. καὶ τούτους λαβόντες σὺν ταῖς καμήλοις καὶ πάσῃ τῇ ἡλικίᾳ εἰς Καρχηδόνα εἰσῆλθον τὴν ἐπινίκιον ἑορτὴν ἄγοντες· οἱ δὲ βάρβαροι πάλιν συναθροισθέντες πανδημεὶ σὺν γυναιξὶ καὶ τέκνοις, μηδένα καταλιπόντες, ἐστράτευσαν κατὰ Ῥωμαίων, καὶ τὰ ἐν Βυζακίῳ χωρία ἐληΐζοντο. Σολομὼν δὲ ἄρας κατὰ τὸ τάχος πᾶν τὸ στράτευμα, ἐπ᾽ αὐτοὺς ᾔει. γενόμενος δὲ ἐν Βουλγαρίωνι, ἔνθα οἱ πολέμιοι ἐστρατοπεδεύσαντο, διεκόσμησε τὸ στράτευμα, ὡς εἰς μάχην. οἱ δὲ Μαυρούσιοι ἐν τῷ ὄρει τῶν Βουλγαρίων ἐπὶ πλεῖον ἔμενον, εἰς τὸ πεδίον κατελθεῖν μὴ βουλόμενοι. Σολομὼν δὲ ἀποστέλλει Θεόδωρον διὰ τῆς νυκτὸς σὺν χιλίοις πεζοῖς, καὶ τῶν σημειοφόρων τινά, ὅπως εἰς τὸ ὄρος ἐκ τῶν ὄπισθεν αὐτῶν διὰ τῆς νυκτὸς ἀνέλθωσι, καὶ ἅμα τῷ ἡλίῳ ἀνίσχοντι τὰ σημεῖα ὕπερθεν ἄραντες, κατὰ τῶν πολεμίων χωρήσωσιν. ὁμοίως δὲ καὶ αὐτὸς ὄρθρου βαθέος ἀνελθὼν, ἅμα κατὰ τῶν πολεμίων ἐχώρησεν. ἰδόντες δὲ οἱ βάρβαροι ὅτι ἐν μέσῳ τῶν Ῥωμαίων γεγόνασιν, εἰς φυγὴν ὥρμησαν κατὰ κρημνῶν ὠθίζοντες αὐτοὺς, καὶ ἀναιροῦντες. ἀπέθανον δὲ ἐν τῷ πολέμῳ Μαυρουσίων μυριάδες ε. τῶν δὲ Ῥωμαίων τὸ παράπαν οὐδὲ εἷς, οὐ μὴν οὐδὲ πληγήν τινα ἔλαβεν, ἀλλὰ πάντες ὑγιεῖς τὴν νίκην ἤραντο. οἱ δὲ πλεῖστοι τῶν ἀρχόντων αὐτῶν τοῖς Ῥωμαίοις προσερρύησαν. γυναικῶν μέντοι καὶ παίδων τοσοῦτον πλῆθος οἱ Ῥωμαῖοι ἔλαβον, ὥστε προβάτου τιμῆς παῖδα Μαυρούσιον ὠνεῖσθαι βουλομένῳ ἀπεδίδοντο. καὶ τότε αὐτοῖς τὸ παλαιὸν λόγιον γυναικὸς μάντιδος ἀπέβη, ὡς ἄρα τὸ πλῆθος αὐτῶν παρὰ ἀνδρὸς ἀγενείου ὄλλυται. ὁ γὰρ Σολομὼν εὐνοῦχος

ἐκ πα-

ἐκ παίδων παρὰ γνώμην καθέστηκεν ἀπὸ πάθους τὰ γεννητικὰ μόρια ἀποβαλών. λαβὼν δὲ τὴν λείαν πᾶσαν εἰς Καρχηδόνα ὑπέστρεψεν.

Ἐν τούτῳ δὲ τῷ χρόνῳ τέρας ἐν τῷ οὐρανῷ συνέβη γενέσθαι. ὁ γὰρ ἥλιος ἀκτίνων χωρὶς, τὴν αἴγλην ὥσπερ ἡ σελήνη ἐτίναξεν ἅπαντα τὸν ἐνιαυτόν· ἐπὶ πλεῖστον δὲ ἐκλείποντι ἐῴκει, οὐ καθαρῶς φαίνων, ὥσπερ εἰώθει. χρόνος δὲ ἦν δέκατος βασιλείας Ἰουστινιανοῦ. ἐν τούτῳ δὲ τῷ χρόνῳ οὔτε πόλεμος οὔτε θάνατος ἐπιφερόμενος τοῖς ἀνθρώποις ἐπέλιπεν. ἔαρι γὰρ ἀρχομένῳ Βελισάριος ἐστάλη παρὰ τοῦ Ἰουστινιανοῦ τὴν Σικελίαν ὑπόφορον ποιῆσαι Ῥωμαίοις. χειμάσαντος δὲ αὐτοῦ ἐν Σικελίᾳ, τῆς ἑορτῆς τοῦ Πάσχα καταλαβούσης, ἐστασίασαν οἱ ἐν Λιβύῃ Ῥωμαῖοι κατὰ Σολομῶντος τρόπῳ τοιῷδε· λαβόντες γὰρ τῶν ἀναιρεθέντων Οὐανδήλων γυναῖκας κατεῖχον τοὺς ἀγροὺς αὐτῶν ὡς ἰδίους, καὶ πλεῖον τῷ βασιλεῖ τὰ ὑπὲρ αὐτῶν τέλη οὐκ ἤθελον. ὁ δὲ Σολομῶν παρῄνει αὐτοῖς μὴ ἀντερεῖν κατὰ τοῦ βασιλέως, ἀλλὰ τὰ ὁρῶντα τούτῳ ἀποδιδόναι. μετέπεσον δέ τινες αὐτῶν, καὶ μάλιστα τῶν Γότθων πρὸς τὴν Ἀρείου δόξαν, οὓς οἱ ἱερεῖς τῆς ἐκκλησίας ἀφώριζον, καὶ οὐδὲ τὰ τέκνα αὐτῶν βαπτίζειν ἤθελον. ὅθεν ἐν τῇ ἑορτῇ γέγονεν ἡ στάσις· ἐπεβουλεύσαντο δὲ οἱ στρατιῶται Σολομῶντα ἐν τῷ ἱερῷ κτεῖναι. ἐξελθόντες δὲ τῆς πόλεως ἐληΐζοντο τὰ ἐκείνης χωρία, καὶ τοὺς Λίβυας, ὡς πολεμίοις ἐχρῶντο. Σολομῶν δὲ ἀκούσας ταῦτα εἰς θόρυβον πολὺν ἐμπεσὼν, πιθανολογίαις πείθειν τὸν στρατὸν ἐπειρᾶτο παύσασθαι τῆς στάσεως. συλλεγέντες δὲ τόν τε Σολομῶντα, καὶ τοὺς ἄρχοντας ἀναιδῶς ὕβριζον. Θεόδωρον δὲ τὸν Καππάδοκα εἰς τὸ παλάτιον ἐλθόντες στρατηγὸν τούτων ἐψηφίσαντο, καὶ σιδηροφοροῦντες ἅπαντα τὸν προστυγχάνοντα ἔκτεινον, εἴτε Λίβυν, εἴτε Ῥωμαῖον Σολομῶντι γνώριμον, τούτου χρήματα ἐλῄσαντο, καὶ εἰς τὰς οἰκίας εἰσερχόμενοι ἅπαντα τὰ τίμια ἥρπαζον. Σολομῶν δὲ εἰς τὸ ἱερὸν τοῦ παλατίου προσφυγὼν, ἔλαθε. νυκτὸς δὲ ἐπιγενομένης ἐξελθὼν τοῦ παλατίου σὺν τῷ Προκοπίῳ τῷ συγγραφεῖ καὶ Μαρτίνῳ, καὶ εἰς ναῦν εἰσελθόντες πρὸς Βελισάριον ἐν Συρακούσῃ τῆς Σικελίας ἀφίκετο, γράψας Θεοδώρῳ φροντίζειν τῆς Καρχηδόνος, καὶ τῶν βασιλικῶν πραγμάτων. οἱ δὲ στρατιῶται συλλεγέντες εἰς τὸ Βουλᾶς πεδίον Τζότζαν τὸν Μαρτίνου δορυφόρον τύραννον εἵλαντο, ἄνδρα θυμοειδῆ καὶ δραστήριον, ὑφ' οὗ τοὺς βασιλέως ἄρχοντας ἐξελάσαντες, Λιβύας κρατήσωσι. Τζότζας δὲ ἐλθὼν πλησίον Καρχηδόνος, ἔπεμψε κελεύων τάχιστα παραδοῦναι αὐτῷ Θεόδωρον τὴν πόλιν, ὅπως κακῶν ἀπαθεῖς μείνωσιν. οἱ δὲ Καρχηδόνιοι καὶ Θεόδωρος τῷ βασιλεῖ ὡμολόγουν τὴν πόλιν φυλάττειν. Τζότζας δὲ ὁ ταῦτα ἀκούσας εἰς πολιορκίαν τῆς πόλεως καθίστατο. Βελισάριος δὲ ἀπολεξάμενος ἄνδρας ἑκατὸν τῶν αὐτοῦ δορυφόρων τε καὶ ὑπασπιστῶν, οὓς ὁ Σολομῶν ἐπαγόμενος μιᾷ νηῒ εἰς Καρχηδόνα ἀπέπλευσε περὶ λύχνων ἁφάς. ἐπεὶ δὲ ἡμέρα ἐγεγόνει, μαθὼν ὁ τύραννος, καὶ οἱ στρατιῶται τὸν Βελισάριον ἐλθεῖν, αἰσχρῶς τε

a puero præter sententiam Eunuchus evaserat. Spoliis tandem onustus Carthaginem remeavit.

Hoc etiam anno portentum in cælo apparere contigit. Sol etenim radiis penitus orbatus lucem omnino lunæ similem per totum annum ejaculabatur: quam frequenter autem non plene, prout solebat, visus, deficienti par extabat: Erat is annus imperii Justiniani decimus. Eodem pariter anno neque bellum, neque lues lethifera miseris mortalibus inferri destitit. Ineunte quippe vere Siciliam Romanis tributis subacturus a Justiniano Belisarius missus est. Cum vero in ea insula hyemasset, imminente jam solemnitate Paschali, Romani, qui in Libya morabantur, in Salomonem tumultuati sunt, hac occasione. Mortuorum in bello Vandalorum uxores viduas ducentes illi agros eorum ceu proprios possederunt, eorum tamen rati ne Imperatori tributa pendere noluerunt. Salomon autem ne Imperatoris sententiæ adversum irent, quin potius quæ decerneret ipse, ut redderent, exhortari. Ex ipsis vero, & ex Gotthis maxime nonnulli in Arianam hæresim defecerunt, quos Ecclesiæ Sacerdotes ab Ecclesiæ communione tenuere extorres, nec eorum liberos baptismo initiare ferebant: quare solemni peragendo baptismo die seditio exorta, initumque a militibus de Salomone in Ecclesia interficiendo consilium. Egressi siquidem civitate villas & adjacentes agros depopulati, Libyas in morem hostium hostiliter exceperunt. Nuncio de his accepto, magna animi perturbatione jactatus Salomon, ut a seditione abstinerent, blandioribus verbis militibus persuadere tentavit. Illi in adversum collecti Salomonem & Optimates quosque contumeliis impudenter respergere. Tum vero in Palatium profecti Theodorum Cappadocem communibus suffragiis Ducem constituerunt, & ferro accincti obvium quemque sive Libym, sive Romanum, si modo Salomoni familiaris, mactare, facultates deprædari, & in domos ingressi pretiosa quæque diripere. Salomon in sacram Palatii ædem profugiens, delituit. Succedentis noctis silentio Palatio cum Procopio Scriptore & Martino egressus, conscensa navi, Syracusas, quæ urbs est Siciliæ, ad Belisarium perrexit, & Theodoro Carthaginis curam assumere, remque omnem Imperatoris nomine administrare, litteris commendavit. Porro milites ad Bules (consilii) campum conventu habitu Tzotzam e Martini satellitibus quempiam, virum alioquin ad iram præcipitem, & ad omne facinus promptum, tyrannum, elegerunt, sub quo depulsis Imperatoris Magistratibus ipsi Libyam obtinerent. Tzotzas itaque ad urbem Carthaginem propius accedens, Theodorum civitatem quamprimum sibi tradere per internuncium jussit, si modo se suosque a malis immunes vellet superesse. At Carthaginenses & una Theodorus urbem Imperatoris nomine se servaturos professi sunt palam. His auditis Tzotzas ad urbis obsidionem se accinxit. Cæterum Belisarius ex suis satellitibus his hasta, illis clypeo instructis centum selectos viros, quos Salomon secum abduxit, ipse unicam navim assumens, cum eis Carthaginem trajecit, & circa lucernæ accendendæ horam, sub vesperam, appulit. Postera vero luce de Belisarii adven-

Edit. Paris. pag. 172.

pag. 173.

tu tyrannus & milites facti certiores, cum ingenti ordinum perturbatione in turpem fugam se conjecere. Accitis autem ab exercitu millibus hominum circiter duobus in fugientes impressionem facit, quos ad Membrasam civitatem assequitur. Ubi conspexit ordines deserere, & neglecta militiæ lege palantes vagari, in eos vires & copias exerit. Confestim illi vertuntur in fugam, & in Numidiam recepti, rursum colliguntur ad invicem. Pauci certamine inito perierunt, quorum plures agniti sunt Vandali: Romanis enim Belissarius parcebat. Direptis eorum castris, divitias comperit in illis maximas, & eas mulieres quarum causa bellum motum est. His actis Belissarius Carthaginem contendit. Tunc adveniens e Sicilia nuncius quidam seditionem in castris exortam res omnes turbare paratam, nisi quantocyus advolet, significat. Dispositis itaque, qua valuit arte, rebus Libycis, & Carthagine Ildegerdi ac Theodoro commendata, in Siciliam revertitur. His autem cognitis, Germanum nepotem suum virum Patricium cum Domnico & Symmacho viris scientia præstantibus, & aliis paucis in Libyam transmitteit Justinianus. Posteaquam vero Carthaginem appulit Germanus, militum numerum recensuit, perlectisque Scribarum libellis, in quibus militum nomina adscripta erant, tertiam tantum partem, tam Carthagine quam cæteris in urbibus remansisse, quæ pro Imperatore staret, reliquos vero omnes tyranni signa sequutos comperit. Eapropter in prælium minime progressus est, sed peculiarem exercitus curam habuit. Cæterum ad milites injuria quadam affectos vindicandos, injuriarumque auctores puniendos, ab Imperatore se missum esse palam divulgavit. Eum sermonem ubi percepere milites, sensim ad eum cuncti confluxerunt. Germanus humanissime acceptos, fide data, in pretio habuit, & stipendia eorum solvit. Istorum tandem rumore ad omnium aures perlato, tyranno derelicto, Carthaginem redierunt. Tzotzas vero malum imminens subodoratus, sociis, qui remanserant, animatis, Carthaginem se confert. Germanus instructa adversus eum acie progreditur; exercitusque sub eo militans magnam animi alacritatem testatus, suam erga Imperatorem benevolentiam Duci commendabat, atque persuadebat. Hos conspicati qui Tzotzam sequebantur, subito timore correpti, in Numidiam secesserunt: Nec Germanus cum universo exercitu multum progressus erat, cum ipsos assequutus est, multas vero Maurusiorum barbarorum myriadas, Ducibus Juda & Artaja, iis se adjunxisse reperit. Igitur congressi, & acri certamine inito, equum, cui Germanus insidebat, quispiam interfecit. Germanus in terram præceps actus ultimum periculum subiisset, nisi satellites armis undequaque vallantes, equo quantocyus adducto, eum rursus sustulissent. Vertuntur itaque in fugam adversi milites, vixque Tzotzas in tanto tumultu cum paucis se fuga surripere valuit. Porro Germanus iis qui a se propius aberant, ut recta in hostium castra irruerent, præcepit, eaque post reparatam pugnam obtinuit. Tum vero milites repertas obviam absque delectu vel ratione divitias diripientes, nullam Ducis curam gerere, nullam in eum observantiam retinere. Veritus igitur ne resumptis animis hostes adori-

Edit. Paris. pag. 174.

καὶ κόσμῳ οὐδενὶ εἰς φυγὴν ὥρμησαν. Βελισάριος δὲ τοῦ στρατοῦ ἀμφὶ δισχιλίους ἐγείρας, τὴν δίωξιν ἐπὶ τοὺς φεύγοντας ἐποιήσατο, καὶ τούτους καταλαβὼν εἰς Μεμβρασὰν τὴν πόλιν. ἰδὼν δὲ αὐτοὺς τὴν τάξιν λιπόντας, καὶ κόσμῳ οὐδενὶ περιιόντας, κατ' αὐτῶν ὁμοίως ἐχώρει. οἱ δὲ εἰς φυγὴν ὥρμηντο, εἰς Νουμιδίαν τε ἀφικόμενοι συνελέγοντο. ὀλίγοι δὲ ἐν τῷ πολέμῳ τούτῳ ἀπέθανον, καὶ αὐτῶν οἱ πλεῖστοι Οὐάνδαλοι ἦσαν. ἐφείδετο δὲ τῶν Ῥωμαίων ὁ Βελισάριος. ληϊσάμενος δὲ καὶ τὸ στρατόπεδον αὐτῶν, εὗρέ τε χρήματα πολλὰ, καὶ γυναῖκας, δι' ἃς καὶ ὁ πόλεμος κατέστη. ταῦτα Βελισάριος διαπραξάμενος, εἰς Καρχηδόνα ἀπήλαυνεν. ἐλθὼν δέ τις ἐκ Σικελίας ἀπήγγειλεν, ὡς στάσις ἐν τῷ στρατοπέδῳ ἐπιπεσοῦσα τὰ πράγματα ἀνασοβεῖν μέλλει, εἰ μὴ αὐτὸς διὰ τάχους καταλάβοι· διαθέμενος δὲ τὰ ἐν Λιβύῃ, ὡς ἐδύνατο, Ἰλδιγέρδῃ τε καὶ Θεοδώρῳ παραδοὺς τὴν Καρχηδόνα εἰς Σικελίαν ᾔει. ταῦτα ἀκούσας ὁ Ἰουστινιανὸς, Γερμανὸν τὸν ἀνεψιὸν αὐτοῦ ἄνδρα Πατρίκιον εἰς Λιβύην σὺν ὀλίγοις τισὶν ἔπεμψε σὺν Δομνίκῳ καὶ Συμμάχῳ ἀνδράσι σοφοῖς. γενόμενος δὲ ἐν Καρχαδόνι τούς τε στρατιώτας ὁ Γερμανὸς ἀρίθμει, καὶ τῶν γραμματέων τὰ βιβλία ἐν οἷς τῶν στρατιωτῶν τὰ ὀνόματα ἐνεγέγραπτο ἀναλεξάμενος, εὗρε τὸ μὲν τρίτον μέρος τοῦ στρατοῦ ἔν τε Καρχηδόνι, καὶ ταῖς ἄλλαις πόλεσιν ὑπὲρ τοῦ βασιλέως εἶναι, τοὺς δὲ ἄλλους ἅπαντας τῷ τυράννῳ συντεταγμένους. διὰ τοῦτο μὲν πρὸς μάχην οὐχ ὑπεξέβα· τοῦ δὲ στρατοῦ ἐπεμελεῖτο. ἐφθέγγετο δὲ παρὰ τοῦ βασιλέως σταλῆναι, ὅπως τοὺς ἀδικουμένους στρατιώτας ἐπαμύνῃ, κολάσει δὲ τοὺς ἀδικίαν εἰς αὐτοὺς ἄρξαντας. τοῦτον οἱ στρατιῶται ἀκούσαντες τὸν λόγον, κατ' ὀλίγον αὐτῷ προσεχώρουν. ὁ δὲ Γερμανὸς αὐτοὺς σὺν πολλῇ φιλοφροσύνῃ ἐδέχετο, καὶ τὰ πιστὰ διδοὺς, ἐν τιμῇ εἶχε, καὶ τὰς ῥόγας αὐτῶν παρεῖχεν. ἐπεὶ δὲ ὁ τούτων λόγος περιφερόμενος εἰς πάντας ἦλθεν, ἀποταξάμενοι τὸν τύραννον, ἦλθον εἰς Καρχηδόνα. ὁ δὲ Τζότζας τοῦ κακοῦ ἤδη αἰσθόμενος, τοὺς ἀπομείναντας ἐπιρρώσας, ἐπὶ Καρχαδόνα ἤλαυνεν. ὁ δὲ Γερμανὸς ἐξοπλίσας τὸ στράτευμα, κατ' αὐτοῦ ἐχώρει. ὁ δὲ σὺν αὐτῷ στρατὸς προθυμίαν πολλὴν ἐπιδειξάμενος, εὔνοιαν τῷ βασιλεῖ τὸν στρατηγὸν ἔπειθον. τούτους ἑωρακότες οἱ μετὰ Τζότζα, καὶ δειλίᾳ κατασχεθέντες, ἀνεχώρησαν ἐπὶ Νουμιδίαν. ὁ δὲ Γερμανὸς παντὶ τῷ στρατῷ οὐκ εἰς μακρὰν ἦλθε, καὶ τούτους καταλαβὼν, εὗρεν ὅτι συνέμιξαν αὐτοῖς Μαυρουσίων βαρβάρων μυριάδες πολλαὶ, ὧν Ἰούδας τε, καὶ Ἀρταίας ἦρχον. συμβάλλοντες δὲ πόλεμον, καὶ τῆς μάχης κραταιᾶς γενομένης, τὸν Γερμανοῦ ἵππον τις τῶν πολεμίων ἔκτεινε. πεσὼν δὲ ἐπὶ γῆς Γερμανὸς εἰς κίνδυνον ἦλθεν, εἰ μὴ τὸ τάχος οἱ δορυφόροι φραξάμενοι ἔφερον ἵππον, καὶ τοῦτον ἀνεβίβασαν. τρέπονται τοίνυν οἱ στρατιῶται, καὶ ὁ Τζότζας ἐν τῷ θορύβῳ σὺν ὀλίγοις διαφυγεῖν ἴσχυσε. ὁ δὲ Γερμανὸς τοῖς ἀμφ' αὐτὸν ἐγκελευσάμενος, εὐθὺς ἐπὶ τὸ στρατόπεδον τῶν πολεμίων ὥρμησε, καὶ τοῦτο παρέλαβε πολέμῳ. ἐνταῦθα δὲ τὰ χρήματα οἱ στρατιῶται οὐδενὶ λόγῳ ἁρπάζοντες, τοῦ στρατηγοῦ λόγον οὐκ ἐποιοῦντο. νοήσας δὲ ὁ Γερμανὸς, μὴ συμφρονήσαντες οἱ πο-

λόμενοι ἐπ' αὐτὸν ἤεσαν, ἵστατο ὀδυρόμενος, καὶ πρὸς εὐκοσμίαν τούτους παρακαλῶν. οἱ δὲ Μαυρούσιοι τὴν τροπὴν θεασάμενοι κατὰ τῶν στρατιωτῶν ὥρμησαν καὶ τούτους ἐδίωκον σὺν τῷ τοῦ βασιλέως στρατῷ. Τζότζας δὲ τὸ θάρσος εἰς αὐτοὺς ἔχων ἑωρακὼς τὰ ὑπ' αὐτῶν γενόμενα μετὰ ἑκατὸν εἰς φυγὴν ἐτράπη, καὶ εἰς Μαυριτανίαν τὴν ἐνδοτέραν ἐχώρησε, καὶ ἡ στάσις ἐν τούτοις ἐτελεύτα. Γερμανὸν δὲ σὺν Δομνίκῳ, καὶ Συμμάχῳ μεταπεμψάμενος ὁ βασιλεὺς εἰς Βυζάντιον, Σολομῶνι πάλιν τὰ τῆς Λιβύης πράγματα ἐνεχείρισε. τρισκαιδέκατον ἔτος ἦν τοῦτο τῆς Ἰουστινιανοῦ βασιλείας παρερχόμενος αὐτὸς ἄρχοντάς τε ἄλλους, καὶ Ῥουφῖνον, καὶ Λεόντιον, καὶ Ἰωάννην τὸν Σισιννίου υἱόν. Σολομὼν δὲ καταπλεύσας εἰς Καρχηδόνα μετρίως τὸν λαὸν ἐξηγεῖτο, καὶ Λιβύην ἀσφαλῶς διεφύλαττε, διακοσμῶν τε τὸν στρατόν, καὶ εἴ τινα ὕποπτον ἐν αὐτῷ εὕρισκεν, εἰς Βυζάντιον ἀπέπεμπε. Βελισάριος δὲ τήν τε Σικελίαν, καὶ Ῥώμην ὑπὸ Ἰουτγίου κατεχομένην, καὶ τὰς πέριξ πόλεις παραλαβών, Ἰούτγιον εἰς Βυζάντιον πρὸς Ἰουστινιανὸν ἤγαγε μετὰ τῆς γυναικός, καὶ τῶν τέκνων αὐτοῦ. καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ναρσῆν τὸν Κουβικουλάριον μετὰ στόλου ἐν τῇ Ῥώμῃ πρὸς τὸ διακρατῆσαι τὰ ἐκεῖσε. Σολομὼν δὲ τὰ ἐν Καρχηδόνι καὶ Λιβύῃ καλῶς διοικήσας, μετὰ Μαυρουσίων ἐστράτευσε. καὶ πρῶτον μὲν Γογδάριον τὸν αὐτοῦ δορυφόρον ἄνδρα ἀγαθὸν εἰς τὰ πολέμια σὺν στρατεύματι ἔπεμψεν, ὅς τις εἰς Βίγαν ποταμὸν ἀφικόμενος, εἰς Βαυγαῒ πόλιν ἔρημον ἐστρατοπεδεύσατο. ἐνταῦθα δὲ μάχης γενομένης, ἡττηθείς, καὶ εἰς τὸ χαράκωμα ἀναχωρήσας, ὑπὸ τῆς τῶν Μαυρουσίων προσεδρείας ἐπιέζετο. Σολομὼν δὲ πλησίον γενόμενος, καὶ ταῦτα μαθὼν, κατὰ τάχος ᾔει. οἱ βάρβαροι δείσαντες ἀναχωροῦσι, καὶ εἰς τὸ Ἀβράσιον ὄρος πρόποδα στρατοπεδεύουσιν. ὁ δὲ Σολομὼν τούτοις συμβαλὼν, εἰς φυγὴν ἔτρεψεν. οἱ δὲ Μαυρούσιοι ἐπὶ τὴν δυσχωρίαν τοῦ ὄρους ἔφυγον, καὶ ἐπὶ Μαυριτανοὺς ᾤχοντο. Σολομὼν δὲ τὰς ἐν Μουγάδῃ πεδιάδας λῃσάμενος, καὶ πᾶσαν τὴν γῆν αὐτῶν πυρπολήσας, σῖτόν τε πολὺν κομισάμενος, εἰς Ζερβούλην τὸ φρούριον ἀνέστρεψεν· ἔνθα ὁ Ἰαύδας σὺν δισμυρίοις Μαυρουσίοις προσέφυγεν. Ἰαύδας δὲ καταλιπὼν τὸ φρούριον, εἰς τὸ τοῦ Ἀβρουσίου ὄρος εἰς ὕψος ἀναβὰς ἡσύχαζε. Σολομὼν δὲ Ζερβούλην τὸ φρούριον εἰς τρεῖς ἐπολιόρκησεν ἡμέρας, καὶ πάντα τὰ ἐν αὐτῷ λῃσάμενος, φύλακάς τε ἐν αὐτῷ καταστήσας, ἐπὶ τὰ πρόσω ἐχώρει. καὶ διεσκοπεῖτο ὅθεν εἰς τὴν κορυφὴν τοῦ ὄρους δυνηθείη γενέσθαι ἀποτόμου τε ὄντος, καὶ πολλῇ δυσχωρίᾳ κατεχομένου. ὁ δὲ Θεὸς πόρον ἐν τῇ ἀπορίᾳ ἐποίησεν οὕτως. εἷς τῶν στρατιωτῶν τοῦ πεζικοῦ στρατοῦ Ὀπτιόνων ὢν Γένζων ὀνόματι, εἴτε θυμῷ χρώμενος, εἴτε τί θεῖον αὐτὸν ἐκίνησεν, ἐπὶ τοὺς πολεμίους ἀνέβαινε μόνος. ὀπίσω δὲ τούτου τινὲς συστρατιῶται ἠκολούθουν ἐν θαύματι μεγάλῳ ποιοῦντες τὸ γινόμενον, τρεῖς δὲ τῶν Μαυρουσίων οἱ εἰς τὸ φυλάσσειν τὴν εἴσοδον τεταγμένοι ἰδόντες τὸν ἄνθρωπον ὑπήντων δρόμῳ νομίσαντες πρὸς αὐτοὺς ἀνιέναι. ὁ δὲ καθ' ἕνα τούτους ἐρχομένους διὰ τὴν στενοχωρίαν τοῦ τόπου τόν τε πρῶτον ἀνεῖλεν, ὁμοίως καὶ τὸν ἄλλον σὺν τῷ τρίτῳ. τοῦτο κατιδόντες οἱ ὄπισθεν ἰόντες, πολλῷ θορύβῳ τε καὶ

Theophanis Chron.

rentur, substitit de tam indigno facinore conquestus, ipsos in ordinem subinde revocans. Maurusii vero ubi fugam istam conspexere, facto in ipsomet milites perduelles impetu, una cum Imperatoris acie eos insequuti sunt. Quamobrem Tzotzas, qui fiduciam omnem in eis reposuerat, cum istam illorum adversum se conversionem animadvertit, se cum centum aliis in fugam conjecit, & in Mauritaniam interiorem recessit: atque ita demum seditio cessavit. Imperator autem Germanum una cum Domnico & Symmacho Byzantium revocans, Libyam iterum administrandam Salomoni commisit. Tertius tunc supra decimum imperii Justiniani numerabatur annus: aliosque Libyæ rectores Rufinum, Leontium, & Jnannem Sisinnii filium addidit. Porro Salomon Carthaginem trajiciens levi moderatoque imperio populum rexit, & Libyam sedulo tutatus, exercitum eo ordine composuit, ut si quem ex militibus suspectum habuit, Byzantium statim transmiserit. Belissarius autem Sicilia, Roma, vicinisque civitatibus a Jutgio detentis in Romanam potestatem receptis, Jutgium cum uxore & liberis ad Justinianum Byzantium adduxit. Imperator vero Narsem Cubicularium rebus illic administrandis cum classe valida Romam transmisit. Salomon etiam quum Carthagine, tum in Libya regenda summa moderatione usus, adversus Maurusios prælium instruxit: & primo quidem Gogdarium e satellitibus unum virum probitate & militari peritia commendatum cum exercitu præmisit: qui ad Bigam fluvium descendens ad Baugaem civitatem desolatam castra metatus est. Ibi commisso certamine superatus, in vallum se recepit, in quo continua Maurusiorum obsidione premebatur. His e vicino loco auditis, Salomon quantocyus advolavit. Barbari metu compulsi cedunt loco, & ad Abrasii montis radices castra ponunt. Salomon conserto prælio eos in fugam vertit. Maurusii difficilia & prærupta montis loca fugientes occupant, & moa ad Mauritanos deflectunt iter. Salomon vero planitiem omnem Mugadæ circumpositam depopulatus, & omni eorum regione incendio devastata, commeatu immenso inde deportato rediit in Zerbuleo castrum, quo Eaudas cum Maurusiorum viginti millibus fuga se recepit. Eaudas autem relicto castro, & Abrasii montis conscenso cacumine quietem agere statuit. Salomon Zerbulen castrum triduana pressit obsidione, direptisque in eo omnibus, & posita custodia ultra procedendum ratus, qua via montis præruptis undique saxis obsiti, & locorum difficultatibus pene inaccessi verticem superare posset attentius considerabat: Cum Deus per animi anxietatem in loco invio viam in hunc modum fecit. Inter pedestres copias Optionum numeri Genson quidam nomine, sive animi proprii impetu, sive divino motus instinctu in adversarios conscendit solus. Pone sequebantur commilitones nonnulli miraculo quod fiebat ponentes. Maurusiorum vero tres ad custodiendum aditum destinati, virum eminus conspicati, & ad se accedere existimantes, ei obviam velocius occurrerunt: qui cum propter loci angustias singuli ac soli procederent, unum quidem occidit primo, tum pariter secundum, & ultimo tandem confodit tertium. Hæc qui pone sequebantur conspicientes præcipites, & ex

Edit. Paris. pag. 175.

impetu processerunt in adversos: quæ palam facta ut audivit & animadvertit Romanus exercitus, nullo Duce, vel tubarum expectato signo, quin nec ordine servato, sed confusis tantum vocibus excitati, & invicem adhortati, in hostium castra convolarunt. Hinc sane Rufinus atque Leontius facinora adversus hostes insigni virtute digna edidere: ac barbari se continuo quo quisque potuit in fugam conjicere: Eaudas autem jaculi vulnere in femore accepto, fuga saluti consulens in Mauritanorum partes secessit. At Romani castris hostilibus direptis, Abrasium montem non amplius deseruere, sed constructis castris deinceps custodiendum decreverunt. Porro petra istic fuit omnino prærupta, in qua turrim posuerunt Maurusii, quod tutissimum sibi, munitumque, atque inexpugnabile esset refugium: in eam se se recipiebat Eaudas, opes cunctas, & uxores in ea collocarat, custode quodam sene facultatum in ea reconditarum constituto: ad eam enim turrim nusquam accessuros hostes, aut eam vi capere posse in animum induxerat. Romani vero difficultates & angustias Abrasii montis forte perscrutati, in locum inciderunt: & ad turrim conscensum facere cum risu non nemo tentavit, quem risu pariter & ludibriis mulierculæ & vetulus exceperunt. Romanus autem ilia miles manibus pedibusque adrepens, ubi propius accessit, educto e vagina gladio exiliit, & percussi in cervicem senis caput amputavit. Tum vero milites sumptis animis audacius irrumpentes, manibus ad invicem datis se se erigentes in turrim conscenderunt, mulierculasque, & maximas opes illic congestas abripientes ad Salomonem detulerunt. Exinde Salomon Libyæ civitates mœnibus cinxit & munivit: & posteaquam Maurusii ex Numidia victi recessere, Zaben provinciam, Mauritaniam, cum Etephe ejus Metropoli fecit Romanis vectigalem. Alterius enim Mauritaniæ prima Metropolis est Cæsarea, quam prius subegit Belissarius. Quare Libyes omnes Romanum jugum subjerunt, & secura pace potiti sunt: quadrienniaque in ejusmodi pace transacto, decimo septimo Justiniani anno Cyrus & Sergius Bacchi Salomonis fratris liberi ad regendum Libyam ab Imperatore missi fuere: & Cyrus quidem Pentapolim, Tripolim Sergius administravit. Porro Maurusii seniores ex suis Leptim magnam, quæ civitas est, munera oblaturos, & firmaturos pacem ad Sergium miserunt. Sergius Pudentii viri Tripolitæ consilium sequutus, barbarorum quidem præstantiores ad octoginta in urbem admisit, & postulata adimpleturum cuncta pollicitus, adhibita jusjurandi fide pacem obfirmavit: reliquos autem foras in suburbium emisit, & ad epulum convocatos cunctos trucidavit. Solus unus clam exiliens & periculo ereptus, quæ fuerant attentata contribulibus significavit. Iis auditis, cursu concito redierunt in castra sibi propria, & reliquis omnibus adjuncti, in Romanos arma sumpserunt. Sergius vero cum Pudentio eis obviam occurrit, initoque certamine, multis suorum desideratis, Pudentius interemptus est: Pudentius væsano timore correptus, ad Salomonem patruum Carthaginem navigavit. Cuncta Tripolitana regione a Maurusiis derelicta, Barbari universa circumquaque loca deprædati, abducta Romanorum captivorum innume-

Edit. Paris. pag. 176.

A παραχρῆμα ἐπὶ τοὺς πολεμίους ἐχώρουν. ὡς δὲ τὸ γενόμενον ἤκουσεν καὶ εἶδεν ἡ τῶν Ῥωμαίων στρατιὰ οὐδὲ τὸν στρατηγὸν ἀναμείναντες, οὐδὲ τὰς σάλπιγγας, οὐδὲ τὴν τάξιν φυλάξαντες· ἀλλὰ παταγῳ τε πολλῷ χρώμενοι, καὶ ἀλλήλους ἐγκελευόμενοι, ἔθεον ἐπὶ τὸ τῶν πολεμίων στρατόπεδον. ἐνταῦθα Ῥουφῖνός τε καὶ Λεόντιος ἔργα ἐπεδείξαντο εἰς τοὺς πολεμίους ἀρετῆς ἄξια. αὐτίκα οἱ βάρβαροι εἰς φυγὴν ὅπη ἕκαστος ἠδύνατο ᾔεσαν. Ἰαβδᾶς δὲ πληγεὶς ἀκοντίῳ τὸν μηρὸν διέφυγέ τε καὶ εἰς Μαυριτανοὺς ὑπεχώρησεν. οἱ δὲ Ῥωμαῖοι διαρπάσαντες τὸ τῶν πολεμίων στρατόπεδον, οὐκ ἔτι τὸ Ἀβράσιον ὄρος κατέλιπον, ἀλλὰ φρούρια οἰκοδομησάμενοι τοῦτο φυλάττουσιν. ἦν δέ τις πέτρα ἀπότομος B πάνυ, ἐν ᾗ πύργον οἰκοδομήσαντες οἱ Μαυρούσιοι ὀχυρὰν ταύτην ἐποίησαν καταφυγὴν, ἰσχυράν τε, καὶ ἀμαχώτατον. ἐνταῦθα ἐτύγχανεν Ἰαβδᾶς τά τε χρήματα αὐτοῦ καὶ τὰς γυναῖκας ἀποθέμενος, καὶ ἕνα φύλακα γέροντα τῶν χρημάτων καταστησάμενος. οὐ γὰρ ἄν ποτε ὑπετόπησε τοὺς πολεμίους εἰς τόνδε τὸν πύργον ἀφίξεσθαι, οὐδὲ βίᾳ τοῦτον ἑλεῖν δυνάσθαι. οἱ δὲ Ῥωμαῖοι τὰς τοῦ Ἀβρασίου δυσχωρίας διερευνώμενοι, ἐνταῦθα ἧκον· καὶ αὐτῶν τις ἀναβαίνειν εἰς τὸν πύργον σὺν γέλωτι ἐνεχείρισεν. αἱ δὲ γυναῖκες τοῦτον κατεγέλων σὺν τῷ πρεσβύτῃ. ὁ δὲ Ῥωμαῖος ἐπειδὴ χερσὶ καὶ ποσὶν ἀναβαίνων ἐγγύς που ἐγεγόνει, σπασάμενος τὸ ξίφος ἐξήλατο, καὶ τοῦ γέροντος εἰς τὸν αὐχένα ἐπιτυχὼν, C τοῦτο τὴν κεφαλὴν ἐξέτεμεν. οἱ δὲ στρατιῶται θαρροῦντες ἤδη, καὶ ἀλλήλων ἐχόμενοι, εἰς τὸν πύργον ἀνέβαινον, καὶ τὰς γυναῖκας καὶ τὰ χρήματα μεγάλα ὄντα λαβόντες πρὸς Σολομῶντα ἤγαγον. ὁ δὲ Σολομὼν τείχη ἐν Λιβύῃ πόλεσι περιέβαλλε. καὶ ἐπεὶ Μαυρούσιοι ἀνεχώρησαν ἐκ Νουμιδίας νικηθέντες, Ζάβην τὴν χώραν, καὶ Μαυριτανίαν, καὶ Ητιφὴ τὴν μητρόπολιν ὑπόφορον Ῥωμαίοις πεποίηκε. τῆς γὰρ ἑτέρας Μαυριτανίας Καισάρεια ἡ πρώτη μητρόπολις ὑπάρχει. ταύτην δὲ Βελισάριος τὸ πρότερον καθυπέταξε. διὰ τοῦτο Λιβύες ἅπαντες ὑπήκοοι Ῥωμαίων γεγόνασιν, εἰρήνης ἀσφαλοῦς τυχόντες. τετραετίαν δὲ ποιήσαντες ταύτῃ τῇ εἰρήνῃ ἐν τῷ ιζ΄. ἔτει Ἰουστινιανοῦ Κῦρός τε, καὶ Σέργιος, οἱ Βάκχου τοῦ Σολο- D μῶντος ἀδελφοῦ παῖδες ὑπὸ τοῦ βασιλέως ἀπεστάλησαν ἄρχειν Λιβύης. Πενταπόλεως μὲν Κῦρος Τριπόλεως Σέργιος. οἱ δὲ Μαυρούσιοι τοὺς ἑαυτῶν πρεσβυτέρους εἰς Λεπτιμάγναν τὴν πόλιν ἔπεμψαν πρὸς Σέργιον, ὅπως δῶρά τε αὐτῷ προσαγάγωσι, καὶ τὴν εἰρήνην κρατύνωσι. Σέργιος δὲ Πουδεντίῳ πεισθεὶς ἀνδρὶ Τριπολίτῃ, ὀγδοήκοντα μὲν τῶν βαρβάρων τοὺς δοκιμωτέρους ἐν τῇ πόλει ἐδέξατο, πάντα ἐπιτελεῖν τὰ αἰτούμενα ὑπισχνούμενος, καὶ ὅρκοις τὴν εἰρήνην ἐκράτυνε· τοὺς δὲ λοιποὺς ἔξω ἐν προαστείοις ἤλασε. τούτους δὲ ἐπ' ἄριστον καλέσας ἅπαντας ἔκτεινεν. εἷς δὲ τούτων λάθρα ἐκπηδήσας, τοῖς ὁμοφύλοις τὰ γενόμενα ἐμήνυσεν. οἱ δὲ τοῦτο ἀκούσαντες, δρόμῳ εἰς E τὸ οἰκεῖον στρατόπεδον ᾔεσαν· καὶ σὺν πᾶσι τοῖς ἄλλοις ἄραντες ἐπὶ Ῥωμαίους ἐγένοντο. ὁ δὲ Σέργιος σὺν τῷ Πουδεντίῳ τούτοις ἀπήντησε, καὶ μάχης κροτηθείσης, Πουδέντιος μὲν πολλοὺς ἀποβαλὼν θνήσκει. Σέργιος δὲ εἰς ἄφατον φόβον ἐμπεπτωκὼς, ἐπὶ Καρχηδόνα ἔπλευσε πρὸς Σολομῶντα τὸν αὐτοῦ θεῖον. πᾶσαν δὲ τὴν Τρίπολιν Μαυρούσιοι ἀπέλιπον, οἱ δὲ βάρβαροι ἅπαντα ληισάμενοι τὰ ἐ-

καὶ χωρία, ἐξανδραποδίσαντες πλῆθος Ῥωμαίων ἐπὶ Πεντάπολιν ἵεσαν. ὁ δὲ Κῦρος γνοὺς φυγὰς εἰς Καρχηδόνα κατέπλει. οἱ δὲ βάρβαροι μηδενὸς ἀντιστάντος αὐτοῖς Βερονίκην τὴν πόλιν ἑλόντες, ἐπὶ Καρχηδόνα ἐστράτευσαν, καὶ εἰς τὸ Βυζάκιον ἀφικόμενοι, πλεῖστα ἐξ ἐπιδρομῆς τῶν ἐκεῖ ἐλῄσαντο χωρία. Ἀντάλας δὲ ἔχθραν ἔχων πρὸς Σολομῶντα, διὰ τὸ τὸν αὐτοῦ ἀδελφὸν ἔκτεινε τοῖς βαρβάροις ἑνοῦται, καὶ κατὰ Καρχηδόνος καὶ Σολομῶντος τούτοις ὡδήγησεν. Σολομὼν ταῦτα ἀκούσας παραλαβὼν τὸ στράτευμα κατ' αὐτῶν ὥρμησεν. ἐλθὼν δὲ εἰς Βέστην τὴν πόλιν ἓξ ἡμερῶν Καρχηδόνος ὁδὸν ἀπέχουσαν, ἐν αὐτῇ ἐστράτευσεν. ἦσαν δὲ σὺν αὐτῷ Κῦρος καὶ Σέργιος καὶ Σολομὼν ὁ νέος οἱ τοῦ Βάκχου παῖδες. ἰδὼν δὲ τὸ πλῆθος τῶν βαρβάρων καὶ δειλιάσας, ἔπεμψε πρὸς τοὺς ἄρχοντας αὐτῶν μεμφόμενος αὐτῶν, ὅτι ἔνσπονδοι Ῥωμαίων ὄντες, ὅπλα κατ' αὐτῶν ἐκίνησαν· ἀξιῶν δὲ τὴν εἰρήνην κρατυνθῆναι, καὶ ὅρκοις βεβαιοῦσθαι. οἱ δὲ βάρβαροι χλευάσαντες τὰ εἰρημένα, ἔφησαν. ἐπειδὴ Σέργιος εἰς τὰ Εὐαγγέλια ὀμόσας καλῶς ἐφύλαξε τοὺς ὅρκους ἀποκτείνας τοὺς ὀγδοήκοντα, πῶς νῦν ἡμῶν πιστωσόμεθα τοὺς ὅρκους; πολέμου δὲ κροτηθέντος, τρέπονται οἱ Ῥωμαῖοι. τοῦ δὲ ἵππου ὀκλάσαντος κτείνεται Σολομών, καὶ οἱ τούτου δορυφόροι. Σέργιος δὲ ὁ τούτου ἀνεψιὸς τὴν τῆς Λιβύης ἀρχὴν ὑπὸ τοῦ βασιλέως ἐνεχειρίσθη. Ἰωάννης δὲ ὁ Σισινιόλου, καὶ οἱ λοιποὶ ἄρχοντες μῖσος πρὸς τὸν Σέργιον μέγαν ἐκίνησαν, ὥστε μήτε ὅπλα κατὰ τῶν ἐχθρῶν αἴρειν βούλεσθαι. καὶ οἱ βάρβαροι πάντα ἀδεῶς ἐληΐζοντο. Ἀντάλας δὲ ἔγραψε τῷ βασιλεῖ Ἰουστινιανῷ, ὅτι πάντες Μαυρούσιοι τὴν σὴν δουλείαν καὶ φιλίαν αἱροῦνται, ἀλλὰ τὴν Σολομῶντος, καὶ τῶν τούτου ἀνεψιῶν βιαίαν ὑπαγωγὴν οὐχ ὑποφέροντες, ἐτυράννησαν. τούτους παράστειλον, καὶ εἰρήνη Ῥωμαίοις καὶ Μαυρουσίοις συνίσταται. ὁ δὲ βασιλεὺς τοῦτο ποιῆσαι οὐ κατεδέξατο. Ἀντάλας δὲ καὶ ὁ τῶν Μαυρουσίων στρατὸς συναχθέντες αὖθις ἐν Βυζακίῳ, καὶ σὺν αὐτοῖς Τζότζας στρατιώτας ὀλίγους καὶ Οὐανδήλους ἔχων. Οἱ δὲ Λίβυες παρεκάλουν Ἰωάννην τὸν Σισινιόλου στράτευμα ἐγεῖραι καὶ κατὰ τῶν πολεμίων χωρῆσαι σὺν Ἱμερίῳ τῷ ἄρχοντι τῶν ἐν Βυζακίῳ καταλόγων. ὁ δὲ λαβὼν τὸν στρατὸν ἐπὶ τοὺς πολεμίους ᾔει, Ἱμερίῳ προάγειν κελεύσας. συμβολῆς δὲ γενομένης ἡττῶνται οἱ Ῥωμαῖοι, καὶ συλλαμβάνονται οἱ βάρβαροι τὸν Ἱμέριον ζῶντα σὺν τῷ στρατῷ αὐτοῦ· καὶ τοῦτον εἰς φυλακὴν ἀποθέμενοι τοὺς στρατιώτας Τζότζᾳ παρέδωκαν ὁμολογοῦντας κατὰ Ῥωμαίων στρατεύεσθαι, παραλαμβάνουσι δὲ δόλῳ διὰ τοῦ Ἱμερίου Ἀδράμυτον τὴν πόλιν· καὶ οἱ μὲν τῶν Λιβύων εἰς Σικελίαν κατέφυγον. ἄλλοι δὲ εἰς ἄλλας νήσους, καὶ καὶ εἰς Βυζάντιον. Μαυρούσιοι δὲ καὶ Τζότζας ἐν ἀδείᾳ πολλῇ τὴν Λιβύην πᾶσαν ἐληΐζοντο. οἱ δὲ ἐν Βυζαντίῳ εἰσελθόντες Λίβυες ἐδέοντο τῷ βασιλεῖ ὅπως στράτευμα καὶ στρατηγὸν ἄριστον εἰς Λιβύην ἀποστείλῃ. ὁ δὲ βασιλεὺς Ἀρεόβινδον σὺν τοῖς στρατεύμασιν ὀλίγοις ἄνδρα εὐγενῆ καὶ εὔβουλον, ρίγων δὲ πολεμίων οὐδαμῶς ἔμπειρον, καὶ σὺν αὐτῷ Α-

ra multitudine, versus Pentapolim contenderunt. Cyrus nuncio accepto fugæ se dedit, & Carthaginem transfretavit. Barbari nullo resistente Beronicem ceperunt, moxque in Carthaginem arma moverunt; deinde Byzacium profecti, multos ejus regionis agros suis excursionibus devastaverunt. Attalas autem inimicitias cum Salomone, quod fratrem interfecisset, exercens, barbaris adjungitur, & adversus Carthaginem & Salomonem ductorem eis se præbet. His auditis Salomon in eos educit exercitum: & jam Bestem sex dierum itinere a Carthagine dissitam profectus, ea in castra composuit. Comitabantur Cyrus, & Sergius, & Junior Salomon Bacchi liberi. Conspecta vero barbarorum multitudine deterritus, ad eorum primores misit, qui nomine sun expostularent, quod Romanis prius fœdere conjuncti, bellum eis inferre non fuissent veriti. Rogabat perinde renovatis juramentis firmatam deinceps ad invicem servarent pacem. Barbari sannis & ironicis cavillis dicta excipientes, responderunt. Quandoquidem Sergius in Evangelia iuratus sancte servavit jusjurandum, ut octoginta e nostris interficeret, quonam modo nunc jusjurando fidem iterum præstabimus? Mox prælio conserto Romani fugati: Salomon equo cespitante occisus, & ejus satellites una pariter occubuerunt. Sergius autem ejus nepos demandatam sibi ab Imperatore Libyæ provinciam administravit. Cæterum Joannes Sisinnioli filius, cæterique Duces in Sergium vehemens adeo conceperunt odium, ut sub eo neque in ipsos hostes arma manibus contrectare proponerent; ac interim ubique barbari cuncta summa cum libertate deprædarentur. Antalas itaque Imperatori Justiniano scripsit in hanc mentem. Maurusii cuncti tibi servire, te amare desiderant: Verum Salomonis & nepotum ejus jugum omnino violentum non ferentes, tyrannidem excitaverunt: Hos si revocaveris, Romani cum Maurusiis in unum fœdus coibunt. Imperator istud exequi non admisit. Quare Antalas & universus Maurusiorum exercitus ad Byzacium iterum convenit; quo Tzotzas Vandalos milites haud secum multos habens eum convenit. Porro Libyes Joannem Sisinnioli filium instanter rogaverunt, ut collecto instructoque exercitu adversus hostes progrederetur, una cum Himerio, qui Byzacii tyronum catalogis Præfectus erat. Ille educto exercitu, & Himerio præcedere jusso, in hostes adversus perrexit. Commissa demum pugna superantur Romani, Himeriumque una cum omnibus ejus copiis barbari vivum comprehendere, & eum quidem in custodiam conjecere, ejus vero milites se contra Romanos arma ferre juratos Tzotzæ permisere. Mox Adramytum civitatem confìcto per Himerii præsentiam dolo cepere. Libyum autem nonnulli in Siciliam; in insulas alii, & Byzantium usque fugere. Cæterum Maurusii & Tzotzas nullo obsistente Lybiam universam depopulati sunt. Porro qui ex Libyæ Byzantium trajecerant ab Imperatore postulabant frequentius, ut exercitum cum optimo Duce Byzantium decerneret. Imperator autem Areobindum cum militibus numero exiguis virum alioqui nobilem & prudentem, sed rei militaris rudem & inexpertum milit, atque una cum ipso Athanasium, Armeniosque quam paucos, quibus Artaba-

Edit. Paris. pag. 177.

pag. 178.

nes, & Joannes, Arsacidæ præfuerunt. Sergium tamen minime revocavit, imo ipsum atque Areobindum una ambos Libyæ Duces esse jussit: ita ut Sergius adversus barbaros, qui in Numidia erant, Areobindus vero contra Maurusios, qui Byzacium tenebant, expeditionem susciperet. Areobindus ubi in Libyam venit, dimidiumque exercitus accepit, Joannem Constantioli filium in Tzotzam & reliquos barbaros præliatum misit. Joannes adeo numeroso hostium exercitu conspecto, manus cum illis conserendas se cogi intellexit. Graves autem cum Tzotza inimicitias gerebat, ita ut alter alterum conficere, atque ita demum perire exoptaret. Certamine igitur inito, uterque de medio exercitu progressus, in se invicem irruerunt. Ac Joannes quidem arcum intendens, telum in dextrum Tzotzæ inguen direxit, ex quo paucis abhinc diebus extinctus est: Barbari vero hostem cum magno impetu adorti, cum ad numerum prope infinitum accederent, ipsum Joannem, omnesque Romanos ad unum occiderunt. Hunc certe inter moriendum dixisse ajunt: Jucunda morte pereo, votis meis jam circa Tzotzam completis. Ex adverso comperta Joannis morte lætatus Tzotzas animum reddidit. Joannes etiam Armenius in eo bello perit. His auditis tristatus Imperator, Sergium dignitate abrogatum ad se revocat: Areobindo vero soli universam Libyæ confert administrationem. Cæterum vix duo menses transierunt cum Gotharius quidam tyronum catalogis Præfectus dolo in Areobindum composito, clam Maurusios movet, ut in Carthaginenses expeditionem suscipiant. Confestim itaque ex Numidiæ & Byzacii partibus hostium copiæ in condictum locum collectæ, summo bellandi desiderio Carthaginem versus proficiscuntur. Cutzinas & Eaudas Numidiis, Byzaciis Antalas præficitur. Adfuit cum ipsis in Tzotzæ locum Joannes tyrannus cum militibus. His cognitis, Gotthari velut amico confisus Areobindus exercitum omnem commendat, & adjuncto Artabane, & Armeniis cum hostibus dimicaturum mittit. Gottharis ex famulitio coquum Maurusium genere ad Antalam & barbaros destinat, qui referret: Gotthari in animo esse suæ in Libyam potestatis collegam eum assumere. Antalas nuncium excepit lætus: respondit autem, haud tuto coqui manibus hujusmodi negotium tractari. His acceptis Ulistheum e satellitum numero fidissimum ad Antalam Gottharis remittit, precibus hoc urgens, ut Carthagini vicinior factus, Areobindum e medio tollere conaretur. Ulistheus subinde cum Antala lateoter congressus una paciscitur, ut Antalas Byzacii principatu occupato, facultatum Areobindi medium sumeret partem, ac insuper ex Romanis militibus mille quingentos secum haberet: Gottharis autem Imperatoris assumptis insignibus, Carthagine solium imperii locaret. Pactis hujusmodi firmatis, ad Gottharim Ulistheus revertitur. Hinc barbari accelerata expeditione, in Carthaginem irrunt: & primo quidem Decimum profecti, castra metati sunt, postridie ad ipsam Carthaginem applicant. A Romanorum autem exercitu obviam facto excepti, ad inexpectatum descendunt prælium, quo plurimi Maurusiorum cæsi. Romanos demum probris contumeliisque af-

Edit Paris. pag. 179.

A Θαυκίσιον, καὶ Ἀρμενίους ὀλίγους, ὧν Ἀρταβάνης τε, καὶ Ἰωάννης ἦρχον, οἱ Ἀρσακίδαι. οὐ μὴν οὐδὲ Σέργιον ἀπεπέμπετο, ἀλλὰ καὶ αὐτὸν σὺν Ἀρεοβίνδῳ Λιβύης στρατηγοὺς εἶναι ἐκέλευσε. Σέργιον μὲν τὸν πόλεμον διενεγκεῖν πρὸς τοὺς ἐν Νουμιδίᾳ βαρβάρους, Ἀρεόβινδον δὲ πρὸς τοὺς ἐν Βυζακίῳ Μαυρουσίους διαμάχεσθαι. Ἀρεόβινδος δὲ τὴν Λιβύην καταλαβών, καὶ τὸ ἥμισυ τοῦ στρατοῦ παραλαβών, Ἰωάννην τὸν Κωνσταντιόλου κατὰ Τζότζα καὶ τῶν βαρβάρων ἀπέστειλεν. Ἰωάννης δὲ τὰ πλήθη τῶν πολεμίων θεασάμενος, ἠναγκάσθη χεῖρα αὐτοῖς ἐπιβαλεῖν· ἦν δὲ ἐν ἔχθρᾳ μεγάλῃ μετὰ Τζότζα ὥστε ἑκάτερος ηὔχετο φονεὺς τοῦ ἑτέρου B γενέσθαι, καὶ οὕτως ἀποθανεῖν. τῆς δὲ μάχης γενομένης ἑκάτεροι τῶν στρατοπέδων ἐξελθόντες ἐπ᾽ ἀλλήλους ἦλθον. ὁ μὲν οὖν Ἰωάννης τείνας τὸ τόξον κατὰ τὸν δεξιὸν βουβῶνα τοῦ Τζότζα ἐπέτυχεν, ὃς μετ᾽ ὀλίγας ἡμέρας τέθνηκεν. οἱ δὲ βάρβαροι πολλῷ θυμῷ ἐπὶ τοὺς πολεμίους χωρήσαντες, πλῆθος ἄπειρον ὄντες, τόν τε Ἰωάννην, καὶ Ῥωμαίους ἅπαντας ἀπέκτειναν. τοῦτον δέ φασιν εἰρηκέναι. ἡδεῖάν τινα θάνατον θνήσκω, τῆς εὐχῆς μου εἰς Τζότζαν πληρωθείσης· καὶ ὁ Τζότζας μαθὼν τὸν Ἰωάννου θάνατον, ἐν χαρᾷ ἐτελεύτησε. θνήσκει δὲ καὶ Ἰωάννης ὁ Ἀρμένιος. ὁ δὲ βασιλεὺς ταῦτα ἀκούσας περίλυπος γέγονε· καὶ τὸν Σέργιον τῆς ἀρχῆς παραλύσας, μετεπέμψατο. Ἀρεοβίν- C δῳ δὲ μόνῳ τήν τε Λιβύης ἀρχὴν ἐνεχείρισε. μετὰ δὲ δύο μῆνας Γοτθάριός τις τῶν ἐν Νουμιδίᾳ καταλόγων ἡγούμενος δόλον μελετήσας κατὰ Ἀρεοβίνδου, λάθρα τοῖς Μαυρουσίοις ἐδήλου, ὅπως κατὰ Καρχηδόνος χωρήσωσιν. αὐτίκα γοῦν ἔκ τε Νουμιδίας καὶ Βυζακίου πολεμίων στρατὸς εἰς τὸ αὐτὸ ἐγηγερμένος ἐπὶ Καρχηδόνα σπουδῇ ᾔεσαν. ἡγεῖτο δὲ Νουμιδῶν Κουτζίνας καὶ Ἰαβδᾶς, Βυζακίων δὲ Ἀνταλᾶς. συνῆν δὲ αὐτοῖς καὶ Ἰωάννης ὁ τύραννος σὺν τοῖς στρατιώταις ἀντὶ Τζότζα. ταῦτα γνοὺς Ἀρεόβινδος Γοτθαρίῳ ὡς φίλῳ θαρρῶν τὸ στράτευμα παραδοὺς σὺν Ἀρταβάνῃ καὶ Ἀρμενίοις κατὰ τῶν πολεμίων ἔστελλεν. ὁ δὲ Γότθαρις τὸν ἑαυτοῦ μάγειρον ἐκ Μαυρουσίων ὄντα πρὸς τοὺς βαρβάρους ἀπέστειλε πρὸς Ἀντα- D λᾶν εἰπεῖν, ὡς αὐτὸς Γότθαρις βούλεται τῆς Λιβύης ἀρχῆς κοινωνὸν λαβεῖν. ὁ δὲ Ἀνταλᾶς τὸν λόγον ἀσμένως ἤκουσεν· ἀπεκρίθη δέ, ὡς οὐκ ἀσφαλῶς διὰ μαγείρου τὰ τοιαῦτα διοικεῖσθαι. ταῦτα Γότθαρις ἀκούσας, Οὐλίθεον τὸν αὐτοῦ δορυφόρον, ὡς πιστόν, πρὸς Ἀνταλᾶν ἔπεμψε, παρακαλῶν αὐτὸν πλησιάσαι τῇ Καρχηδόνι, ὅπως αὐτὸς τὸν Ἀρεόβινδον ἀνέλῃ. Οὐλίθεος δὲ τῷ Ἀνταλᾷ κρυφῇ συνέτυχε, καὶ συνεφώνησαν, ἵνα ὁ μὲν Ἀνταλᾶς τοῦ Βυζακίου ἀρχῇ, καὶ τὸ ἥμισυ τῶν Ἀρεοβίνδου χρημάτων λάβοι, καὶ χιλίους πεντακοσίους στρατιώτας Ῥωμαίους σὺν αὐτῷ· Γότθαρις δὲ τὸ βασιλέως ἀξίωμα λάβοι, καὶ Καρχηδόνος τὸ κράτος. E ταῦτα διαπραξάμενος Οὐλίθεος, ἐπανῆκε πρὸς Γότθαριν. οἱ δὲ βάρβαροι κατὰ Καρχηδόνος σπουδῇ πολλῇ ᾔεσαν. καταλαβόντες δὲ τὸ Δέκιμον καὶ στρατοπεδευσάμενοι ἐν αὐτῷ τῇ ὑστεραίᾳ ἐπὶ Καρχηδόνος ἐχώρουν. ὑπαντήσαντες δὲ τοῦ Ῥωμαίων στρατεύματος, ἀπροσδοκήτως αὐτοῖς συνέβαλλον, καὶ πολλοὺς τῶν Μαυρουσίων ἔκτειναν, οὓς δὴ ὁ Γότθαρις κακίζων ἐπέσκοπτεν, ὡς θρασυνόμενος, καὶ τὰ τῶν Ῥωμαίων πράγματα εἰς κίνδυνον φέρειν.

ὁ δὲ Αρεόβινδος πέμψας πρὸς Κουτζίναν, παρακαλεῖ προδότιω αὐτοῦ γενέσθαι Μαυρουσίων· ὁ δὲ ὡμολόγησε τοῦτο ποιεῖν. ἄπιστον γὰρ τὸ τῶν Μαυρουσίων γένος πρός τε ἄλλους, καὶ πρὸς ἅπαντας. ταῦτα Αρεόβινδος τῷ Γόνθαρι ἐθάρρησεν. ὁ δὲ παρήνει τῷ Αρεοβίνδῳ τῷ Κουτζίνᾳ μὴ πιστεύειν. Οὐλίθεον δὲ ἀποστείλας, τῷ Αντάλᾳ ταῦτα ἐμήνυσε. Γόνθαρις δὲ κτεῖναι τὸν Αρεόβινδον λάθρα διενοεῖτο, καὶ πείθει τοῦτον ἐξελθεῖν τῆς Καρχηδόνος, καὶ ἐν τῷ πολέμῳ εὑρεθῆναι. ὁ δὲ Αρεόβινδος ἄπειρος τοῦ πολέμου ὤν, καὶ ὅπλα περιβάλλεσθαι μὴ δυνάμενος, ἀνεβάλλετο. καὶ οὕτως ὁ χρόνος παρῆλθε τῆς ἡμέρας. διὸ δὴ τὴν παράταξιν εἰς τὴν αὔριον ἀποθέμενος, ἡσύχασε. Γόνθαρις δὲ αὐτὸν ἐξεπίτηδες τὴν μέλλησιν ποιεῖσθαι ὑποπτεύσας, ἅτε τῶν πραττομένων αἰσθόμενος, ἐκ τοῦ ἐμφανοῦς κατ' αὐτοῦ ἐτυράννησεν. Αρεόβινδος δὲ κατὰ τάχος τὴν Καρχηδόνα καταλιπὼν, τῇ φυγῇ χρησάμενος, εἰς ναῦν τε εἰσελθὼν, ἐπὶ τὸ Βυζάντιον πορεύεσθαι ἤμελλεν, εἰ μὴ χειμὼν μεταξὺ ἐπιγενόμενος διεκώλυσεν. ἀποστείλας δὲ Αθανάσιον ἐν Καρχηδόνι, μετεπέμψατό τινας, ἐν οἷς καὶ Αρταβάνην, ὅστις πολλὰ παρῄνει τῷ Αρεοβίνδῳ, μήτε ἀναπεπτωκέναι, μήτε δειλιαίνειν, καὶ δεδιέναι τὸν Γονθάριδα· ἀλλ' ἑαυτὸν ὁμοῦ σὺν πᾶσι τοῖς ἑαυτοῦ ἑπόμενον ἰέναι, πρίν τι περαιτέρω γενέσθαι κακόν. ὁ δὲ Γόνθαρις τὸν Αρεόβινδον εἰς τοὺς στρατιώτας διέβαλλεν, ὡς ἄνανδρόν τε, καὶ δειλὸν, καὶ τὰς ῥόγας τούτοις μὴ βούλεσθαι διδόναι. ὁ δὲ Αρεόβινδος σὺν τῷ Αρταβάνῃ καὶ τοῖς ἑπομένοις κατὰ Γονθάριδος ἦλθε· καὶ γίνεται μάχη ἔν τε ταῖς ἐπάλξεσι καὶ ταῖς λοιπαῖς πύλαις. τῶν δὲ στρατιωτῶν οἱ πλεῖστοι οὐκ ἔγνωσαν τὰ ὑπὸ Γονθάριδος μελετηθέντα, καὶ συναγόμενοι κατ' αὐτοῦ ὡπλίζοντο. ὁ δὲ Αρεόβινδος ἰδὼν ἀνθρώπους κτεινομένους, ἀηθὴς ὢν τοῦ τοιούτου θεάματος, τὴν δειλίαν οὐκ ἐνεγκὼν ἔφυγε, καὶ εἰς τὸ τῆς παραθαλασσίας μοναστήριον, ὅπερ Σολομὼν ἐδείματο, καὶ περιετείχισεν, ὡς φρούριον ἀσφαλὲς, εἰς αὐτὸ κατέφυγε σὺν τῇ γυναικὶ, καὶ τῇ ἀδελφῇ. τότε καὶ Αρταβάνης φυγῇ ἐχρήσατο. Γόνθαρις δὲ κατὰ κράτος νικήσας, τὸ παλάτιον ἔλαβε. μεταπεμψάμενος δὲ τὸν τῆς πόλεως Αρχιερέα, καὶ Αθανάσιον, τὰ πιστὰ τῷ Αρεοβίνδῳ ἐκέλευσε διδόναι, καὶ εἰς τὸ παλάτιον αὐτὸν ἀγαγεῖν, ἀπειλήσας πολιορκήσειν αὐτὸν ἀπειθήσαντα, καὶ μηκέτι αὐτῷ ὑπὲρ τῆς σωτηρίας τὰ πιστὰ δώσειν. ὁ δὲ παρὰ τοῦ ἐπισκόπου Ρεπαράτου τὰ πιστὰ λαβὼν, τῷ Γονθάριδι εἰς ὄψιν ἦλθε, καὶ πρηνὴς πεσὼν ἔκειτο, τὴν ἱκετηρίαν αὐτῷ τὰ Εὐαγγέλια προτεινόμενος, ἐφ' ᾧ τὰ πιστὰ ὁ ἱερεὺς αὐτῷ δέδωκεν. ὁ δὲ Γόνθαρις τοῦτον ἀνέστησεν, ὁμωμοκὼς αὐτῷ ἐπὶ πάντων, μηδὲν αὐτῷ κακὸν ποιεῖν. ἀλλὰ τῇ ὑστεραίᾳ σὺν τῇ γυναικὶ, καὶ τοῖς χρήμασιν αὐτοῦ εἰς Βυζάντιον στέλλεσθαι. τὸν δὲ ἱερέα ἀποπεμψάμενος Αρεόβινδον καὶ Αθανάσιον συνδειπνεῖν ἐν τῷ παλατίῳ ἔλαβεν. ἐπετίμησε δὲ τὸν Αρεόβινδον, καὶ πρῶτον αὐτοῦ ἐπὶ τῆς στιβάδος κατέκλινε. δειπνήσαντα δὲ αὐτὸν ἐν κοιτῶνι καθεύδειν ἐκέλευσεν. Αποστείλας δὲ Οὐλίθεον σὺν ἑτέροις τισὶ κωκύοντά τε καὶ ὀλολυγμοῖς χρώμενον, τοῦτον ἔκτεινεν. Αθανασίῳ δὲ ἐφείσατο διὰ γῆρας. τῇ δὲ ἐπαύριον τὴν τούτου κεφαλὴν

A lectos, tamquam qui nimia freti audacia Romanam rem in discrimen adducerent, Gottharis male accepit. Cæterum Areobindus Cutzinam, ut Maurusios proderet, per nuncium hortatus est: is autem se facturum recepit, Maurusiorum quippe gens, non in omnes modo, sed & in suos infidissima. Hæc Areobindus Gotthari fidenter aperuit. Ille ne Cutzinæ fidem daret, Areobindum precari: tum Ulistheo misso Antalæ cuncta significat. Gottharis Areobindo ex insidiis vitam eripere animo volvens, Carthagine exercitum educere suadet, & pugnam cum hostibus conserere. Areobindus ceu belli inexpertus, & armis ferendis non assuetus, consilium differt: ita diei tempus elabitur: quare pugna in sequentem diem B retardata, intra muros se continuit. Gottharis Areobindum, quasi, quæ instruerentur adversa, subodoratum, & idcirco moras ex animi proposito nectentem suspicatus, in manifestam adversus eum erumpit rebellionem. Quare Carthagine extemplo relicta, fuga salutem sibi parat Areobindus, & conscensa navi, Byzantium, nisi tempore intercedente navigationem prohibuisset hyems, trajicere disposuit. Interim Athanasio Carthaginem misso, ex ea quosdam evocat amicos, in quibus Artabanes spectatissimus. Is Areobindum, ne animo concideret, aut timore consterneretur, vel Gottharim formidaret; sed potius ipse una cum cæteris, qui partes ejus tuebantur, contrarius iret, antequam malum latius serperet, horta- C batur. Ex adverso Gottharis Areobindum tamquam imbellem ac pusillanimem, quique stipendia solvere nollet, apud milites traducebat. Areobindus autem cum Artabane, cæterisque, qui eum sequuti fuerant, contra Gottharim processit: & ad ipsa propugnacula, turres, urbisque portas acri pugna dimicatum est. Multi vero milites eorum, quæ Gottharis moliebatur, nescii, arma adversus eum arripuerunt. Porro Areobindus ubi homines occisos vidit, hujusmodi spectaculis minime assuetus, cum timorem non amplius ferret, fugæ se committit, & in Monasterium quod Salomon ad mare extruxerat, murisque tamquam arcem firmissimam muniverat, se cum uxore, atque sorore D contulit. Tum vero etiam fugit Artabanes. At Gottharis victoriam per summam vim adeptus, Palatium occupavit. Tum urbis Præsuli, ipsique Athanasio ad se accersitis denunciavit, ut fide publica data Areobindum ad Palatium ducerent, alioqui, si parere recuset, obsidionem minatur, nec ullam ei salutis spem aut fiduciam superesse. Areobindus igitur accepta ab Episcopo Repcato fide, in Gottharis conspectum venit, procidensque ad ejus pedes jacuit, & Evangelia, in quibus juratus Episcopus fidem ei dederat pro supplice libello porrexit. Gottharis ipsum erigens nullum ei malum inferendum coram omnibus juravit: sed postera die ipsum cum uxore & facultatibus Byzantium remittendum: quinetiam Epis- E copo dimisso, Areobindum & Athanasium ad cœnam secum in Palatio invitavit. Areobindum itaque honorificentissime accepit, & ut primus thoris accumberet, rogavit: & bene cœnatum in Ducis cubiculo dormire jussit: ubi Ulistheo & quibusdam aliis summissis ejulantem & querulas voces cum lachrymis emittentem interfecit. Athanasio certe senectu-

Edit. Paris. pag. 180.

tem reveritus pepercit. Sequenti luce caput interfecti misit ad Antalam: ea facultatibus autem ejus nullam ex inito pacto partem assignavit. Antalas de perpetratis adversus Areobindum, & de Gottharis perjurio certior factus, ad Imperatoris Justiniani partes transire decrevit. Artabanes autem accepta Gottharis fide, in Palatium se cum Armeniis transtulit, & tyranno operam locate pollicitus est; licet ei mortem latenter inferre machinaretur. Porro cum Gregorio nepote, & Artasetlo satellite communicato consilio, dixit Gregorius. Dignitatem Belissarii omnem soli tibi nunc vindicare comparatum, Artabanes, numerosum siquidem exercitum, ingentesque divitias, nobilesque viros comitantes, classemque qualem adhuc nullus audiverat, ab Imperatore sibi traditam accipiens, via multo labore Libyam Romanis vectigalem reddidit. Nunc vero cum hæc provincia rebellans, in pristinum statum denuo reciderit: eam ad Imperatoris obsequium reducere, resque omnes e manifesto discrimine servare, in te situm est. Genus tuum mente reputa, ut ex Arsacidum antiqua prosapia natus, præ te sanguinis fers nobilitatem, & fortiter ubique te gerere, & virtutis præclara facinora passim prodere te decet. Memorare juvenilibus annis Acacium Armeniæ Magistratum, & Tzitzam Romanorum Ducem consertis in bello manibus te sustulisse, & sub Chosroe Persarum rege te subinde militasse. Talis igitur cum sis, Romanorum imperium ab ebrioso cane occupari, ne diutius patiaris. Quæ in nostra sunt potestate, si jusseris, ego & Artasetius exhibebimus. Gotthatis autem Artabanem exercitui præfecit, & in Antalam reliquosque Maurusios Byzacium detinentes proficisci imperat. Joannes quoque rebellionis auctor & princeps, nec non Ulistheus Satelles comitabantur. Sequuti sunt pariter Maurusii, quorum Dux Cutzinas. Cum Antala itaque & barbaris conserta pugna, barbari vertuntur in fugam. Artabanes repentina ignavia motus, versis retro bandis in castra remeavit. Ulistheus vero eum in castris interficere meditabatur. At ne barbari urbe Adramyto egressi hosti suppetias ferrent, suosque irreparabili malo mulctarent, Artabanes se timuisse ajebat: proinde necessum fuisse, ut ipse Gottharis cum universo exercitu adveniret, atque ita demum inimicos penitus deletum iri. Et Carthaginem reversus isthæc omnia tyranno renunciavit. Qui consulto super his omnibus Pasiphilo, universum quidem exercitum instruere, & cum eo in pugnam progredi, solos vero custodes Carthagine relinquere decrevit. Singulis autem diebus plures haud alia quam suspicionis causa morti tradebat Gottharis; qui demum Carthagine egressus, in suburbium ubi Triclinium, sive tres thori jam olim strati fuerant, in eis cum Artabane Athanasio & Petro Salomonis satellite recubuit. Artabanes igitur tempus ad conficiendam tyranni cædem opportunum ratus, Gregorio, & Artaserio, ac satellitibus quibusdam consilium suum patefecit: ac satellites quidem cum gladiis intus adesse jussit (Ducibus enim in mensa accumbentibus satellites pone astare mos erat) & de repente rem tum demum aggredi, cum ipse tempus adesse innuisset; Artaserium autem primum operi manum admovere mandavit. Adhæc Grego-

Edit. Parif. pag. 181.

A τῷ Ἀντάλᾳ ἔπεμψε, τὰ δὲ χρήματα αὐτοῦ οὐδὲν τούτῳ κατὰ τὰς συνθήκας δέδωκεν. Ἀντάλας δὲ μαθὼν τὰ εἰς Ἀρεόβινδον πεπραγμένα, καὶ τὰς τοῦ Γουθάριδος ἐπιορκίας λογισάμενος, Ἰουστινιανῷ τῷ βασιλεῖ προσχωρεῖν ἤθελεν. Ἀρταβάνης δὲ πιστὰ λαβὼν παρὰ τοῦ Γουθάριδος εἰς τὸ παλάτιον σὺν τοῖς Ἀρμενίοις ἀνέβα, καὶ τοῦ τυράννου ὑπουργὸς εἶναι ὡμολόγησε. λάθρα δὲ τοῦτον ἀνελεῖν ἐβουλεύετο. Γρηγορίῳ δὲ τῷ ἀνεψιῷ καὶ Ἀρτασήρῳ τῷ δορυφόρῳ θαῤῥάσας τὸ βούλευμα, ἔφη αὐτῷ Γρηγόριος. νῦν σοὶ Ἀρταβάνα πάρεστι μόνῳ τὸ Βελισαρίου ἀναδήσασθαι κλέος. ὁ μὲν γὰρ στρατείαν τε, καὶ χρήματα μεγάλα παρὰ βασιλέως λαβὼν, καὶ ἄρχοντας συνεπομένους, καὶ B στόλον οἷον οὐδέποτέ τις ἀκηκόει, πόνῳ πολλῷ τοῖς Ῥωμαίοις τὴν Λιβύην ὑπόφορον κατεστήσατο. νῦν δὲ, ὡς ἐξ ἀρχῆς πάλιν γέγονεν, εἰς τὸ ἀρχαῖον Λιβύα ἀποστᾶσα, ἐν σοὶ μόνῳ κεῖται ταύτην πάλιν τῷ βασιλεῖ προσενεγκεῖν, καὶ τὰ πράγματα διασώσασθαι. λογίζου δὲ τὸ σὸν γένος, ὅτι Ἀρσακίδας ἀνέκαθεν, καὶ ὅτι εὐγενὴς ὢν, ἀνδραγαθίζεσθαι ἀεὶ πρέπει, καὶ πολλὰ ἔργα ὑπὲρ ἀρετῆς ἐπιδεικνύειν. νέου γὰρ ὄντος ἐνθυμήθητι ὅσα Ἀκάκιον τὸν Ἀρμένιον ἄρχοντα, καὶ Τζίτζαν τὸν Ῥωμαίων στρατηγὸν ἐν πολέμοις ἔκτεινας, Χοσρόῃ τε τῷ βασιλεῖ τῶν Περσῶν συνεστράτευσας. τοιοῦτος δὲ ὢν μὴ περιίδῃς τὴν Ῥωμαίων ἀρχὴν ὑπὸ κυνὸς μεθύοντος κατεχομένην. ἐγὼ δὲ σοι, καὶ Ἀρτασήριος, ὅσα εἰς δύναμιν ἐπιτάττοντι ὑπουργήσομεν. Γούθαρις δὲ τὸν Ἀρταβάνην C ἡγεῖσθαι τοῦ στρατοῦ, ἐπί τε Ἀντάλαν καὶ Μαυρουσίους τοὺς ἐν Βυζακίῳ ἐκέλευσε χωρεῖν. συνῆλθε δὲ αὐτῷ καὶ Ἰωάννης ὁ τῶν στασιαστῶν ἄρχων, καὶ Οὐλίθεος ὁ δορυφόρος· εἵποντο δὲ αὐτῷ καὶ Μαυρούσιοι, ὧν Κουτζίνας ἦρχε. συμβαλὼν δὲ τῷ Ἀντάλᾳ καὶ τοῖς βαρβάροις, τούτους ἔτρεψεν. ἐθελοκακήσας δὲ Ἀρταβάνας ἐκ τοῦ αἰφνιδίου, στρέψας τὸ βάνδον εἰς τὸ στρατόπεδον ἤλαυνεν. Οὐλίθεος δὲ κτεῖναι τοῦτον εἰς τὸ στρατόπεδον διενοεῖτο. Ἀρταβάνας δὲ ἔφασκε δεῖσαι, μὴ ἐξ Ἀδραμύτου τῆς πόλεως ἐξελθόντες οἱ βάρβαροι, βοηθήσωσι τοῖς ἐναντίοις, καὶ ἀνήκεστα ἔργα εἰς ἡμᾶς πράξωσιν· ἀλλὰ Γουθάριδα σὺν παντὶ τῷ στρατῷ ἐλα-D λυθέναι ἔδει, καὶ οὕτω πάντας ἑλεῖν. καὶ ἀναστρέψας εἰς Καρχηδόνα τῷ τυράννῳ ταῦτα ἀπήγγειλεν. ὁ δὲ τύραννος τῷ Πασιφίλῳ βουλευσάμενος, ἅπαντα μὲν διενοήθη τὸν στρατὸν ἐξοπλίσαι, καὶ σὺν αὐτῷ στρατεύσασθαι, φύλακάς τε μόνους τῇ πόλει καταλιπεῖν. καθ' ἑκάστην δὲ ἡμέραν πολλοὺς ἀνῄρει ὁ Γούθαρις ἐξ ὑποψίας. ἐξελθὼν δὲ τῆς Καρχηδόνος ἐν προαστείῳ, οὗ δὴ στιβάδες ἦσαν ἐκ παλαιοῦ τρεῖς, ἐν αἷς κατεκλίθη σὺν Ἀρταβάνῃ, καὶ Ἀθανασίῳ, καὶ Πέτρῳ τῷ δορυφόρῳ τοῦ Σολομῶνος. Ἀρταβάνης τοίνυν τὸν καιρὸν ἐπιτήδειον εἰς τὸν τοῦ τυράννου φόνον οἰόμενος, Γρηγορίῳ τε, καὶ Ἀρτασήρῳ, καὶ δορυφόροις πιστοῖς τισὶ τὸ πρᾶγμα ἐθάῤῥησε· καὶ E τοὺς μὲν δορυφόρους σὺν τοῖς ξίφεσιν ἔνδον ἐκέλευσε γενέσθαι. ἀρχόντων γὰρ ἑστιωμένων ὄπισθεν ἑστάναι δορυφόρους νόμος ἦν. ἐγχειρεῖν δὲ ἄφνω τὸ πρᾶγμα ἐκέλευσεν, ἡνίκα αὐτὸς τὸν καιρὸν αὐτοῖς διὰ νεύματος ποιήσοι, τὸν Ἀρτασήριον κελεύσας πρῶτον τοῦ ἔργου ἔχεσθαι· τῷ δὲ Γρηγορίῳ ἐπέταττε τῶν Ἀρμενίων

νίων πολλοὺς τοὺς εὐτολμοτάτους ἀπολεξάμενον εἰς τὸ παλάτιον παρεῖναι τὰ ξίφη μόνα ἐπιφερομένους, καὶ αὐτοῖς τὰ βουλεύματα μηδενὶ ἐξειπεῖν. προϊόντος δὲ τοῦ πότου, καὶ τοῦ Γονθάριδος καταβεβρεγμένου τῷ οἴνῳ, Αρτασίριος ἀνασπασάμενος τὸ ξίφος κατὰ τοῦ τυράννου ἐχώρει. εἷς δὲ τῶν οἰκετῶν ἰδὼν τὸ ξίφος γυμνὸν, ἀνέκραγε· τί τοῦτο, ὦ βέλτιστε; λέγων. ὁ Γόνθαρις στρέψας τὸ πρόσωπον εἰς αὐτὸν ἔβλεπεν. Αρτασίριος δὲ αὐτὸν τῷ ξίφει ἔπαισε, καὶ τὴν δεξιὰν χεῖρα αὐτοῦ ἀφεῖλεν. ἀναπηδήσαντα δὲ τοῦτον Αρταβάνης μάχαιραν ἀνασπασάμενος ἐν τῇ τοῦ τυράννου πλευρᾷ παίσας ἔπηξεν ἄχρι τῆς λαβῆς, καὶ τοῦτον ἄμφω ἀνεῖλον. τότε Αρταβάνης τὸν Αθανάσιον ἐπιμελεῖσθαι τῶν ἐν τῷ παλατίῳ χρημάτων, καθὼς ἐπὶ Αρεοβίνδου, ἐκέλευσεν. ἐπεὶ δὲ οἱ φύλακες τὴν τοῦ Γονθάριδος τελευτὴν ἔμαθον, Ιουστινιανὸν ἀνεβόων καλλίνικον βασιλέα. ἐντεῦθεν οἱ τῷ βασιλεῖ εὐνοηκότες, εἰσπηδήσαντες εἰς τὰς τῶν στασιαστῶν οἰκίας, τούτους ἔκτεινον. Ιωάννης δὲ σὺν τοῖς Οὐανδήλοις εἰς τὸ ἱερὸν καταφεύγει, οὓς Αρταβάνης τὰ πιστὰ δοὺς, καὶ ἐξαγαγὼν, εἰς Βυζάντιον ἀπέστειλε. γέγονε δὲ ὁ τοῦ τυράννου φόνος μετὰ τεσσαράκοντα ἓξ ἡμέρας τῆς τούτου τυραννίδος ἐννεακαιδέκατον ἔτος Ιουστινιανοῦ ὑπάρχον. Αρταβάνης δὲ ἐκ τούτου κλέος μέγα περιεβάλλετο εἰς πάντας ἀνθρώπους· Πρεϊέκτα δὲ ἡ Αρεοβίνδου γυνὴ μεγάλα δῶρα τῷ Αρταβάνῃ ἐδωρήσατο. ὁ δὲ βασιλεὺς τοῦτον στρατηγὸν Λιβύης ἐποίησεν ἁπάσης. ὁ δὲ Αρταβάνης μετ' οὐ πολὺ παραιτησάμενος πρὸς βασιλέα εἰς Βυζάντιον ἦλθεν, καὶ ὁ βασιλεὺς Ιωάννην τὸν Πάππου ἀδελφὸν στρατηγὸν Λιβύης κατέστησεν. ὁ δὲ Ιωάννης τὴν Λιβύην καταλαβὼν, κατὰ Αντάλα καὶ Μαυρουσίων τῶν ἐν Βυζακίῳ ἐπεστράτευσε, καὶ τούτους πολεμήσας νίκην ἤρατο, καὶ πολεμίους πολλοὺς ἔκτεινε, καὶ τὰ σημεῖα, ἅπερ Σολομῶντος οἱ βάρβαροι ἔλαβον, ἀφελόμενος ἐξ αὐτῶν, τῷ βασιλεῖ εἰς Βυζάντιον ἔπεμψε. τοὺς δὲ λοιποὺς τῶν βαρβάρων ἐδίωξε τῆς Ρωμαίων ἀρχῆς. χρόνῳ δὲ ὑστέρῳ οἱ Λευάθαι στρατῷ μεγάλῳ ἐκ τῶν ἐπὶ Τριπόλεως χωρίων εἰς Βυζάκιον ἀφικόμενοι τῷ Αντάλᾳ ἑνώθησαν. ὁ δὲ Ιωάννης ἀπαντήσας ἡττήθη, καὶ πολλοὺς ἀποβαλὼν εἰς Καρχηδόνα ἐπανῆκεν. οἱ δὲ βάρβαροι μέχρι Καρχηδόνος κατελθόντες, τὰ ἐκείνης χωρία ἐληΐσαντο. ὕστερον δὲ Ιωάννης τῶν στρατιωτῶν τὴν προθυμίαν διήγειρε, καὶ Μαυρουσίους τε καὶ ἄλλους, καὶ τοὺς ὄντας σὺν τῷ Κουτζίνᾳ εἰς συμμαχίαν λαβὼν, καὶ τούτους πολεμήσας, ἔτρεψε, καὶ δίωξιν μεγάλην ποιησάμενος πολὺ πλῆθος ἀνεῖλεν. οἱ δὲ λοιποὶ εἰς τὰς ἐσχατιὰς τῆς Λιβύης ἔφυγον, καὶ οὕτω τὰ πράγματα ἐν Λιβύῃ εἰρήνης βαθείας ἔτυχον.

A rio præcepit, ut delectos Armeniorum audacissimos gladiis solis accinctos ad Palatium deduceret, nulli tamen ex illis propositum aperiret. Ergo compotationibus longius procedentibus, ipsoque Gotthari vino jam probe madido, Artaserius nudato ense in tyrannum irruit. Ex famulis autem quidam ubi ensem educi conspexit, simul exclamavit: Quid hoc, o bone, dicens. Gottharis interim verso ad eum vultu respiciebat: una vero gladio percussit Artaserius, & ejus manum dexteram amputavit. Exilit extemplo Gottharis, & pariter Artabanes: hic vero nudatum ensem in tyranni latus impulsum ad capulum usque infixit: atque ita simul ambo sustulerunt. Mox Athanasium, ut prius sub Areobindo egerat, facultatum in Pa- B latio repositarum curam gerere jubet Artabanes. Nunciata porro Gottharis morte, Justinianum Imperatorem Victorem & Triumphatorem Custodes proclamarunt. Irruentes subinde in seditiosorum domos, qui in Imperatoris partes inclinabant, eos occiderunt. Joannes autem cum Vandalis in templum se recepit, quos data fide eductos Artabanes misit Byzantium. Tyranni cædes ab excitata ejus tyrannide post sex & triginta dies decimo nono Justiniani anno contigit. Ex facinore vero tam præclaro magnum apud homines omnes nomen Artabanes sibi promeruit. Et quidem Perjecta Areobindi conjux ampla munerum liberalitate eum prosequutus est: quem Imperator universæ Libyæ Ducem insti- C tuit. Haud multo tamen post intervallo eo munere se abdicans ad Imperatorem Byzantium perrexit. Imperator vero Joannem Pappi fratrem Libyæ Ducem declaravit. Joannes ubi in Libyam advenit adversus Antalam, & Maurusios Byzacium occupantes arma movit, iisdemque profligatis victoriam retulit, hostium plurimos tradidit neci, signaque Salomoni a barbaris sublata eis ipse eripuit, & Byzantium ad Imperatorem misit. Præterea barbarorum reliquos e Romanis finibus expulit. Postremo tandem tempore Levastharum ingens exercitus ex Tripolitanis agris prorumpens Antalæ adjunctus est: in quem cum adversam aciem opposuisset Joannes evasit inferior, multisque suorum desideratis repetiit Carthaginem. Elati victoria D barbari Carthaginem usque vicis & oppidis ejus passim direptis se se effuderunt. Excitatis demum militum suorum animis, & quum Maurusiis aliis, tum qui sub Cutzina promerebantur, in auxilium accitis, acre bellum in eos movit, fugavit, & longius diutiusque fugientes insequutus, magnam eorum edidit stragem. Reliqui vero in extremis Libyæ finibus palantes se receperunt. Hoc pacto tandem res Libycæ tranquillam pacem consequutæ sunt.

Edit. Paris. pag. 182.

		η'	ι'	γ'	[illegible]	Ιεροσ. ἐπίσκ. Ιωάννης ἔτη ια'. α'	[illegible]	η'

E

		8	10	3	15	Hier. episc. Joannes annis 11. 2	15	8

pag. 183.

Ταύτῳ τῷ ἔτει ὁ τῶν Ιβήρων βασιλεὺς Ζαμαναρσὸς ἦλθεν ἐν ΚΠ. πρὸς τὸν εὐσεβέστατον βα-
Theophanis Chron.

Hoc anno rex Iberorum Zamanarsus ad piissimum Imperatorem Justinianum cum uxore & aulicis cunctis Constanti-

nopol. accessit, in Romanorum societatem & fidam amicitiam admitti deprecatus. Imperator probato ejus proposito, ipsum & aulicos dignis honoribus excepit: similiter Augusta varium mundum, & ex gemmis ornatum ejus uxori largita est: atque ita demum Imperator ipsos in regnum proprium remisit.

σιλέα Ἰουστινιανὸν μετὰ τῆς γυναικὸς καὶ τῶν συγκλητικῶν αὐτοῦ, παρακαλῶν αὐτὸν τοῦ εἶναι αὐτὸν σύμμαχον Ῥωμαίων, καὶ φίλον γνήσιον. ὁ δὲ βασιλεὺς τὴν τοιαύτην προαίρεσιν ἀποδεξάμενος, πολλὰ αὐτὸν ἐφιλοτιμήσατο, καὶ τοὺς αὐτοῦ συγκλητικούς. ὁμοίως δὲ ἡ Αὐγοῦστα τῇ ἑαυτοῦ γυναικὶ κόσμια παντοῖα διὰ μαργαριτῶν ἐχαρίσατο. καὶ ἀπέλυσεν αὐτοὺς ἐν εἰρήνῃ εἰς τὴν ἰδίαν βασιλείαν.

				Romæ Episc. Agapetus annis 2.				
		9	15	5	16	5	16	9

				Ῥωμ. ἐπίσκ. Ἀγαπητὸς ἔτη β'.				
		θ'	ιε'	α'	ις'	β'	ις'	θ'

Hoc anno Mysiæ civitas Pompejopolis plaga cælesti percussa ingens damnum passa est. Scissa enim magna concussione terra civitatis pars media ipsis cum civibus absorpta est: erantque illi miserum in modum ruderibus obruti, & ut alii misererentur, lugubri voce implorare audiebantur. Effodiendis autem & eruendis illis multa contulit Imperator, & qui eos per ruinas & rudera inquirerent maximis donis excepit.

Hoc etiam anno Justinianus modulum hunc, Unigenitus filius & Dei Verbum, a se compositum Ecclesiis decantandum tradidit. In Milio quoque Horologium posuit.

Τούτῳ τῷ ἔτει ἔπαθεν ὑπὸ θεομηνίας Πομπηιούπολις τῆς Μυσίας. ἐσχίσθη γὰρ ἡ γῆ ὑπὸ τοῦ σεισμοῦ, καὶ ἐχάνθη τὸ ἥμισυ τῆς πόλεως μετὰ τῶν οἰκητόρων. καὶ ἦσαν ὑπὸ τὴν γῆν, καὶ φωνὴ αὐτῶν ἠκούοντο, ἐλεηθῆναι. καὶ πολλὰ ἐδωρήσατο ὁ βασιλεὺς πρὸς τὸ ἐκχωσθῆναι καὶ βοηθηθῆναι αὐτοὺς, καὶ τοὺς ζητήσαντας ἐφιλοτιμήσατο.

Τῷ δ' αὐτῷ ἔτει παρέδωκεν Ἰουστινιανὸς τοῦ ψάλλεσθαι ἐν ταῖς ἐκκλησίαις, τό. Ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ Θεοῦ. ἐποίησε δὲ καὶ τὸ ὡρολόγιον τοῦ Μιλίου.

Anni mundi 6029.	Divinæ Incarn. 529.	Rom. Imp. Iustinianus annis 38	Persarum rex Chosroes annis 48.	Romæ Episc. Agapetus annis 2.	Constant. Episc. Anthimus annis 16.	Hierosol. Episc. Ioannes annis 12.	Alex. Episc. Timotheus annis 17.	Ant. Episc. Euphræmius annis 18.
		10	12	2	5	1	17	10

Κόσμου ἔτη ͵ϛκζ'.	Τῆς θείας σαρκ. φκζ'.	Ῥωμ. Βασιλ. Ἰουστινιανὸς ἔτη λη'.	Περσ. Βασιλ. Χοσρόης ἔτη μη'.	Ῥωμ. ἐπίσκοπος Ἀγαπητὸς ἔτη β'.	Κωνστ. ἐπίσκ. Ἄνθιμος ἔτος α'.	Ἱεροσ. ἐπίσκ. Ἰωάννης ἔτη ιβ'.	Ἀλεξ. ἐπίσκ. Τιμόθεος ἔτη ιζ'.	Ἀντ. ἐπίσ. Εὐφραίμιος ἔτη ιη'.
		ι'	ιβ'	β'	α'	γ'	ιζ'	ι'

Hoc anno Epiphanio Præsule mensis Junii die quinto, indictione decima quinta, post Episcopatus annos sexdecim, & menses tres vivis erepto, Hæreticus Anthimus Trapezuntinus Episcopus in sedem Constantinopol. translatus est. Romanus autem Pontifex Agapetus Constantinop. hoc anno profectus, adversus impium Severum, & Halicarnassi Antistitem Julianum, & reliquos alios Theopaschitas Concilium convocavit: Ex his Anthimus Constantinop. Episcopus tamquam eorum sententiæ particeps, cum sedem mensibus decem tenuisset, munere abdicatus, & depulsus est. Menas vero Presbyter & hospitii cui Sampson nomen, Præpositus a Romano Pontifice Agapeto in ejus locum ordinatus. Romanus ille Pontifex Agapetus Byzantii moram agens in Domino quievit. Annum unum tenuit Pontificatum: & in demortui vicem consecratus est Sylvester: qui anno solo vixit.

Edit. Paris. pag. 184.

Τούτῳ τῷ ἔτει Ἐπιφανίου ἐπισκόπου τελευτήσαντος μηνὶ Ἰουνίῳ ε'. ἰνδ. ιε'. ἐπισκοπήσαντος ἔτη ις'. καὶ μῆνας γ'. Ἄνθιμος αἱρετικὸς ἐπίσκοπος Τραπεζουντίων μετετέθη ἐν ΚΠ. Ἀγαπητὸς δὲ ὁ ἐπίσκοπος Ῥώμης ἐν τούτῳ τῷ χρόνῳ ἀνελθὼν ἐν ΚΠ. σύνοδον ἐκρότησε κατὰ τοῦ δυσσεβοῦς Σεβήρου, καὶ Ἰουλιανοῦ Ἁλικαρνασέως, καὶ τῶν λοιπῶν Θεοπασχιτῶν· ἐν οἷς καὶ Ἄνθιμος ὁ ἐπίσκοπος Κωνσταντινουπόλεως, ὡς ὁμόφρων αὐτῶν καθαιρεθεὶς, ἐξεβλήθη, ἐπισκοπήσας μῆνας ι'. καὶ ἐχειροτονήθη ἀντ' αὐτοῦ Μηνᾶς πρεσβύτερος καὶ ξενοδόχος τῶν Σαμψὼν ὑπὸ Ἀγαπητοῦ τοῦ Πάππα Ῥώμης. Ἀγαπητὸς δὲ ὁ ἐπίσκοπος Ῥώμης ἐν Βυζαντίῳ ὢν ἐκοιμήθη· καὶ ἐχειροτονήθη ἀντ' αὐτοῦ Σίλβεστρος ζήσας ἔτος ἕν.

				Rom. Episc. Sylvester annis 1.	CP. Episc. Menas annis 16.		Alex. Episc. Gaianus ann. 1.	
		12	13	1	1	4	1	11

				Ῥωμ. ἐπίσκ. Σίλβεστρος ἔτος α'.	ΚΠ. ἐπίσκ. Μηνᾶς ἔτη ις'.		Ἀλεξ. ἐπίσκ. Γαϊανὸς ἔτος α'.	
		ια'	ιγ'	α'	α'	δ'	α'	ια'

Hoc anno mensis Decembris die vigesimo septimo, indictione prima, priora magnæ Ecclesiæ peracta sunt Encænia. Processit vero supplicantis populi cœtus e sanctæ Anastasiæ templo, Patriarcha Mena in Imperatoris curru sedente, &

Τούτῳ τῷ ἔτει μηνὶ Δεκεμβρίῳ κζ'. ἰνδικτιῶνος πρώτης γέγονε τὰ πρότερα ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας· καὶ ἐξῆλθεν ἡ λιτὴ ἀπὸ τῆς ἁγίας Ἀναστασίας, καθημένου Μηνᾶ τοῦ Πατριάρχου ἐν τῷ βασιλικῷ ὀχήματι,

καὶ τοῦ βασιλέως συλλιτανεύοντος τῷ λαῷ. γίνονται οὖν ἀπὸ τῆς ἡμέρας τῆς καύσεως τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας μέχρι τῶν ἐγκαινίων ἔτη πέντε μῆνες ια'. καὶ ἡμέραι ι'.

A ipso Imperatore inter plebem procedente. Ab incensae igitur sanctissimae Ecclesiae die ad ejus dedicationem anni quinque, menses undecim, & dies decem intercesserunt.

				Ρωμ. ἐπίσκ. Βιγίλιος ἔτη ιη'.			Αλεξ. ἐπίσκ. Θεοδόσιος ἔτη β'.	
		ιβ'	ιδ'	α'	β'	ε'	α'	ιβ'

				Romae Episc. Vigilius annis 18.			Alexand. Episc. Theodosius annis 2.	
		12	14	1	2	5	1	12

Τούτῳ τῷ ἔτει ἐκίνησαν οἱ Βουλγάρεις δύο ῥῆγες μετὰ πλήθους Βουλγάρων καὶ δρούγγου εἰς τὴν Σκυθίαν καὶ Μυσίαν, στρατηλάτου ὄντος τῆς Μυσίας Ἰουστίνου, καὶ τῆς Σκυθίας Βαουδαρίου. οἵτινες ἐξελθόντες κατὰ τῶν Βουλγάρων, συνέβαλον πόλεμον, καὶ ἐσφάγη Ἰουστῖνος ὁ στρατηλάτης ἐν τῷ πολέμῳ, καὶ ἐγένετο ἀντ' αὐτοῦ ὁ Κωνσταντῖνος ὁ Φλωρεντίου. καὶ ἦλθον οἱ Βουλγάρεις ἕως τῶν μερῶν τῆς Θρᾴκης. καὶ ἐξῆλθε κατ' αὐτῶν ὁ στρατηλάτης Ἰλλυρικοῦ Ἀκοὺμ, ὁ Οὖννος, ὃν ἐδέξατο ὁ βασιλεὺς ἀπὸ τοῦ βαπτίσματος καὶ μέσον βαλόντες τοὺς Βουλγάρους ἔκοψαν αὐτοὺς, καὶ ἀπέκτειναν πλῆθος πολλά. καὶ ἐξετίναξαν πᾶσαν τὴν πραῖδαν, καὶ ἐνίκησαν κατὰ κράτος, φονεύσαντες καὶ τοὺς δύο ῥῆγας αὐτῶν. καὶ ἐν τῷ ὑποστρέφειν αὐτοὺς μετὰ χαρᾶς ὑπήντησαν αὐτοὺς ἄλλοι Βουλγάρεις, καὶ ἐσώκισαν αὐτοὺς φεύγοντας, Κωνσταντῖνον, καὶ τὸν Ἀκοὺμ, καὶ Γοδίλλαν. καὶ ὁ μὲν Γοδίλλας μετὰ τὸ παραμηρίδιν αὐτοῦ κόψας τὸν σωκὸν, ἐξέφυγεν. ὁ δὲ Κωνσταντῖνος σὺν τῷ Ἀκοὺμ συνελήφθησαν ζῶντες. καὶ τὸν μὲν Κωνσταντῖνον δέδωκαν λαβόντες χίλια νομίσματα, καὶ ἦλθεν ἐν ΚΠ τὸν δὲ Ἀκοὺμ ἐκράτησαν εἰς τὴν ἰδίαν πατρίδα μετὰ καὶ ἄλλων αἰχμαλώτων.

Τῷ δ' αὐτῷ ἔτει παρέλαβεν ὁ Χοσρόης βασιλεὺς Περσῶν Ἀντιόχειαν τῆς Συρίας τὴν μεγάλην, καὶ εἰσῆλθεν ἐν Ἀπαμείᾳ, καὶ ἑτέραις πόλεσιν.

B Hoc anno Bulgari reges duo cum Bulgarorum innumera multitudine & drungo in Scythiam & Mysiam, militiae Magistrum in Mysia Justino, & in Scythia Baudario agente, arma moverunt. Isti Bulgaris in adversum progressi, commiserunt praelium, in quo Justinus militiae Magister cecidit, in cujus locum Constantinus Florentii filius suffectus est: & ad partes usque Thraciae irruperunt Bulgari. In eos autem Acum patria Unnus, quem e sacro fonte suscepit Imperator per Illyricum militiae Magister expeditionem suscepit: Igitur Romani Bulgaros undique suis copiis interclusos ferro caedentes, innumeram ex eis multitudinem prostraverunt, praedam omnem abegerunt, sublatisque regibus eorum duobus, praeclaram sua virtute tulerunt victoriam. E pugna revertentibus ac laetis alii Bulgari occurrerunt & Constantinum, Acum, & C Godillam fugientes soco velut reste interceperunt. Godillas quidem soco siccae opera rescisso, effugit: Constantinus autem una cum Acum vivus comprehensus est. Constantinus certe nummorum mille pretio redemptus Constantinopol. rediit: Acum vero retento cum caeteris captivis ad proprios lares remeaverunt.

Edit. Paris. pag. 185.

Hoc eodem anno Persarum rex Chosroes magnam Antiochiam, quae est in Syria, cepit: & in Apameam aliasque civitates armorum vi sibi subactas, victor ingressus est.

Κόσμου ἔτη ,ϛλγ'.	Τῆς θείας σαρ. φλγ'.	Ρωμ. βασιλ. Ἰουστινιανὸς ἔτη λη'.	Περσῶν βασ. Χοσρόης ἔτη μη'.	Ρωμ. ἐπίσκ. Βιγίλιος ἔτη ιβ'.	Κωνστ. ἐπίσκ. Μηνᾶς ἔτη ιϛ'.	Ἱεροσ. ἐπίσκ. Ἰωάννης ἔτη ια'.	Ἀλεξ. ἐπίσκ. Θεοδόσιος ἔτη β'.	Ἀντ. ἐπίσκ. Εὐφραίμιος ἔτη ιη'.
		ιγ'	ιε'	β'	γ'	ϛ'	β'	ιγ'

D

Anni mundi 6033.	Divinae Incarn. 533.	Rom. Imp. Justinianus annis 38.	Persarum rex Chosroes annis 48.	Romae Episc. Vigilius annis 12.	Constant. Episc. Menas annis 16.	Hierosol. Episc. Joannes annis 11.	Alex. Episc. Theodosius annis 2.	Ant. Episc. Euphraemius annis 18.
		13	15	2	3	6	2	13

Τούτῳ τῷ ἔτει προσερρύη Ῥωμαίοις Μοῦνδος, ἐκ τοῦ γένους τῶν Γηπαίδων κατερχόμενος, υἱὸς Γιέσμου, ὅστις μετὰ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ ἦλθε πρὸς ῥῆγα τὸν θεῖον αὐτοῦ, ἀπὸ μητρὸς ῥῆγα ὄντα τοῦ Σιρμίου, καὶ γνοὺς τοῦτο ὁ ῥὴξ Ῥώμης ὁ Θευδέριχος, πέμψας πρὸς αὐτὸν, καὶ πεισθεὶς, ἀπῆλθε πρὸς αὐτὸν, καὶ ἦν μετ' αὐτοῦ συμμαχῶν αὐτῷ. μετὰ δὲ τὴν τελευτὴν Θευδερίχου, ἦλθεν ἐπὶ τὸν Δανούβιον ποταμὸν, καὶ ᾐτήσατο τὸν βασιλέα Ἰουστινιανὸν εἶναι ὑπὸ τὴν βασιλείαν αὐτοῦ. καὶ ἦλθεν ἐν ΚΠ. καὶ πολλὰ αὐτὸν φιλοτιμησάμενος ὁ βασιλεὺς καὶ τὸν υἱὸν αὐτοῦ, ἀπέλυσεν αὐτοὺς, ποιήσας αὐτὸν στρατηλάτην τοῦ Ἰλλυρικοῦ. καὶ ἐν τῷ παραγενέσθαι αὐτὸν εἰς τὸ Ἰλλυρικὸν, ἐξῆλθον οἱ Βουλγάρεις πλῆθος πολὺ, καὶ ὁρμήσας κατ' αὐτῶν πάντας ἀνῄλωσε. καὶ ἀπέστειλεν ἐν ΚΠ ἐκ τῆς αἰχμαλωσίας τῶν ἡγεμόνων αὐτῶν μετὰ καὶ ἄλλων, καὶ ἐπόμπευσαν αὐτοὺς ἐν τῷ ἱππικῷ. καὶ ἐγένετο εἰρήνη βαθεῖα ἐν τῇ Θρᾴκῃ, μηκέτι τολμώντων τῶν

Hoc anno Mundus e Gepedibus suum genus trahens, Giesmi filius, qui post patris obitum ad avunculum ex matre Sirmii regem accessit, in Romanorum partes transiit. Eo cognito Romae rex Theuderichus Legatos ad eum misit; quorum verbis ille suasus, ad Theuderichum profectus, cum eo moratus est, armorum ejus socius factus. Theudericho fatis functo ad Danubium flumen venit, & ab Imperatore Justiniano imperii subditum se deinceps haberi postulavit. Quinetiam E Constantinopol. accessit, quem Imperator una cum filio maximis muneribus donatum, & Illyrici Magistrum militiae renunciatum a se dimisit. Illyricum versus iter agenti, & jam proximo Bulgarorum manus innumera praeclusit iter: ipse nihilominus viam ferro aperuit, & irruens in adversos delevit omnes. Selectos vero ex captivis Duces cum aliis pluribus Constantinopol. misit, quos publicis affectos ludibriis per Circum traduxerunt. Exinde profunda pax per Thraciam acta, Unnis

Danubium trajicere nusquam amplius ausi. Porro Bulgarorum captivos in Armeniam & Lazicen misit Imperator, & in militares numeros retulit.

							Alex. Episc. Paulus annis 2.	
		14	16	3	4	7	1	14

							Ἀλεξ. ἐπίσκ. Παῦλος ἔτη β'	
		ιδ'	ιϛ'	γ'	δ'	ζ'	α'	ιδ'

Οὔννοι περάσαι τὸν Δανοῦβιν. τοὺς δὲ αἰχμαλώτους τῶν Βουλγάρων ἔπεμψεν ὁ βασιλεὺς εἰς Ἀρμενίαν, καὶ εἰς Λαζικὴν, καὶ κατετάγησαν ἐν τοῖς Νουμέροις ἀριθμοῖς.

Hoc anno, qui Justiniani decimus quartus, Persarum rex Chosroes quartam irruptionem in Romanorum ditionem fecit: jamque in Comagenarum provinciam delatus Palæstinam, & ipsam Hierosolymam, dona in ipsa reposita deprædaturus, aggredi meditabatur. Eam quippe regionem fertilissimam, & ejus incolas auro pecuniisque felices audierat. Romani vero impendenti ruinæ in adversum ire negligebant. Etenim munita quæque loca occupantes, ea pro viribus singuli defendere, & in eis quærere salutem. Eo nuncio accepto, Belisarium ex Occidentis partibus denuo reversum in Persas mittit Justinianus. Belissarius equis publicis vectus celeri cursu in Euphtatesiam delatus est. Nepos autem Imperatoris Justus una cum Buze Orientalis militiæ Magistro Hierapolim se recepit: illi cum Belissarium adesse novissent, ad se accedere, & Hierapolim armis tutari literis suis rogant. Sed Belissarius ipsos rescriptis objurgavit, ex æquo & bono unam urbem ut protegeret, non esse, dicens, ac interim per Romanorum ditionem hostes libere divagari, reliquasque imperii urbes devastare permitteret. Neque latet vos sane, mortem virtute ornatam, salute citra pugnæ discrimen comparata, longe præstantiorem: nec enim salutem eam merito dixerim, sed proditionem manifestam. Verum relicta mora accedite vos in Europum pagum, quo collecto exercitu omni, si Deus concesserit, hostes me superaturum confido. His auditis animos resumpserunt Proceres, & Justo cum paucis ad civitatis Hierapoleos defensionem relictis, reliqui Europum se contulerunt. Chosroes ubi Belissarium, & Romanum exercitum omnem ad Europum castra metatum intellexit, hæsit attonitus, & non ultra progredi statuit, quin potius Abandazem, qui ei ab Epistolis, & in rebus gerendis vir strenuus erat, quasi prætexendis querimoniis, quod Legatos de pacis fœderibus servandis tractaturos Imperator Justinianus non misisset in Persidem, at reipsa Ducem ipsum, & ejus exercitum, & castra exploraturum destinavit. Eum Legationis gratia proficisci audiens Belissarius, ipse hominum, quorum magnitudo corporisque forma reliquis præstabat, millibus sex electis, a castris nonnihil remotius quasi venaturus processit. Porro Diogenem Satellitem, & Adulium virum Armenium, cum equitibus mille quasi fluminis vada experturis, flumen trajicere imperavit. Cæterum ubi Legatum jam adesse cognovit, in loco deserto, tamquam apparatu relicto, & absque proposito se advenisse significaret, papylionem fixit: milites autem ad tentorii utrumque latus jussit consistere (Thraces erant illi, Illyrii, Gotthi, Eluri, quibus etiam Vandali & Maurusii fuerant adjuncti) & planitiei spatium plurimum occupare: Ministrantes quippe non referebant, nec uno se

Τούτῳ τῷ ἔτει τῷ ιδ'. Ἰουστινιανοῦ Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς τετάρτην εἰσβολὴν εἰς τὴν Ῥωμαίων γῆν ἐποιήσατο. ἐλθόντι δὲ εἰς τὴν τῶν Κομμαγηνῶν χώραν, κατὰ Παλαιστίνης καὶ Ἱεροσολύμων διενοεῖτο χωρεῖν, ὅπως τὰ ἐν Ἱεροσολύμοις κειμήλια λῄσηται. χώραν γὰρ ταύτην ἀγαθὴν καὶ πολύχρυσον οἰκήτορας ἤκουσεν εἶναι. Ῥωμαῖοι δὲ τούτοις ὑπαντιάζειν τρόπῳ οὐδενὶ διενοοῦντο. τὰ δὲ ὀχυρώματα καταλαβόντες, ὡς ἕκαστος ἐδύνατο, ταῦτα διαφυλάττειν, καὶ αὐτοὶ σώζεσθαι ἐβούλοντο. γνοὺς δὲ ταῦτα Ἰουστινιανὸς, Βελισάριον αὖθις ἐκ τῆς ἑσπερίας ἐληλυθότα εἰς αὐτοὺς ἔπεμψεν. ὁ δὲ ἵπποις τοῖς τοῦ δημοσίου ὀχούμενος τάχει πολλῷ εἰς τὴν Εὐφρατησίαν ἀφίκετο. Ἰοῦστος δὲ ὁ τοῦ βασιλέως ἀνεψιὸς σὺν Βούζῃ τῷ στρατηγῷ τῆς ἑῴας ἐν Ἱεραπόλει καταφυγὼν ἐτύγχανεν. ἀκούσας δὲ Βελισάριον ἥκειν γράφουσι πρὸς αὐτοὺς ἀφικέσθαι, καὶ τὴν Ἱεράπολιν διαφυλάττειν. ὁ δὲ Βελισάριος τούτους λίαν κατεμέμψατο, γράψας πρὸς αὐτούς· οὐ δίκαιον εἶναι μίαν πόλιν φυλάττειν, καὶ τοὺς ἐχθροὺς ἀφεῖναι ἐπὶ τῇ τῶν Ῥωμαίων χώρᾳ μετὰ ἀδείας βαδίζειν, καὶ τὰς τῆς βασιλείας πόλεις λυμαίνεσθαι· οἶδε γὰρ ἴστε, ὅτι σὺν τῇ ἀρετῇ τὸ ἀπολωλέναι, τοῦ σεσῶσθαι ἀμαχητὶ ἄμεινον. οὐ γὰρ ἂν σωτηρία τοῦτο κληθείη, ἀλλὰ προδοσία δικαίως. ἀλλ' ἥκετε τάχιστα εἰς Εὔρωπον χωρίον, κἀκεῖ συλλέξας τὸ στράτευμα ὅλον, ὡς ἂν ὁ Θεὸς θέλῃ, ἐλπίδα ἔχω τοὺς πολεμίους ἐργάσασθαι· ταῦτα ἀκούσαντες οἱ ἄρχοντες ἐθάρσησαν, καὶ Ἰοῦστον μὲν σὺν ὀλίγοις τισὶ φυλάττειν τὴν Ἱεράπολιν ἀπέλιπον· οἱ δὲ λοιποὶ εἰς Εὔρωπον ἦλθον. γνοὺς δὲ Χοσρόης Βελισάριον καὶ πάντα τὸν στρατὸν Ῥωμαίων στρατοπεδεύεσθαι ἐν Εὐρώπῳ, ἐξέστη, καὶ πρόσω μὲν ἐλαύνειν, οὐκ ἐτόλμα. Ἀβανδάζην δὲ τὸν γραμματέα ἄνδρα συνετὸν πρὸς Βελισάριον ἔπεμψε, τόν τε στρατηγὸν κατασκεψόμενον, καὶ τὸ στρατόπεδον, τῷδε λόγῳ δῆθεν μεμψόμενον, ὅτι βασιλεὺς Ἰουστινιανὸς τοὺς πρέσβεις ἐν Περσίδι οὐκ ἔπεμψε τὴν εἰρήνην πρυτανεύσοντας. ὁ δὲ Βελισάριος μαθὼν τὸν πρεσβευτὴν ἥκειν, αὐτὸς μὲν ἑξακισχιλίους ἐπιλεξάμενος, εὐμήκεις τε, καὶ τὰ σώματα καλοὺς, ἄπωθεν τοῦ στρατοπέδου κυνηγήσων ἐξῄει. Διογένη δὲ τὸν δορυφόρον, καὶ Ἀδόλιον ἄνδρα Ἀρμένιον τὸν ποταμὸν διαβῆναι σὺν ἱππεῦσι χιλίοις ἐκέλευσεν, ὡς ψηλαφήσοντας τὴν τοῦ ποταμοῦ διάβασιν. Βελισάριος δὲ ἐπεὶ τὸν πρεσβευτὴν ἐγγὺς ἐρχόμενον ἔγνω, τὸν παπυλεῶνα ἐπήξατο ἐν χωρίῳ ἐρήμῳ, παραδηλῶν ὅτι οὐδεμιᾷ παρασκευῇ ἐνταῦθα ἥκει. τοὺς δὲ στρατιώτας διετέταξε τῆς μὲν καλύβης ἐφ' ἑκάτερα εἶναι, Θρᾷκάς τε, καὶ Ἰλλυριοὺς, Γότθους τε, καὶ Ἐλούρους, μεθ' οὓς Οὐανδήλους, καὶ Μαυρουσίους, τοῦ πεδίου ἐπιπλεῖστον· διεκόνουν γὰρ οὐ εἰς ἕνα τόπον, ἀλλ' ἐβάδιζον εἰλισ-

σόμενοι, ὡς κυνηγοῦντες, καὶ παρέργως, τὸ δοκεῖν, τὸν Χοσρόου πρεσβευτὴν ἔβλεπον· διεζωσμένοι τε ἐβάδιζον, καὶ φαιδροὶ τὰ πρόσωπα, πελέκεις βαστάζοντες, καὶ ἐμπύλους. ὁ μὲν Ἀβανδάνης εἰς ὄψιν Βελισαρίου ἐλθὼν, λυπεῖσθαι τὸν Χοσρόην ἔφασκεν, ὅτι δὴ καθ' ἃ συνέθετο, οὐκ ἔπεμψεν Ἰουστινιανὸς πρέσβεις πρὸς αὐτὸν περὶ τῆς εἰρήνης, καὶ ἠνάγκασε Χοσρόην κατὰ Ῥωμαίων στρατεύσασθαι. Βελισάριος δὲ ἀντ' οὐδενὸς τούτους τοὺς λόγους ἐποιεῖτο, τὸν Χοσρόην λέγων αἴτιον τοῦ πολέμου. εἰ γὰρ εἰρήνης ἤρατο, οὐκ ἂν εἰς τὴν τῶν Ῥωμαίων γῆν ἀφικόμενος ταύτην ἐζήτει· ἀλλ' εἰς τὴν ἰδίαν χώραν μένων, τοὺς πρέσβεις ἐξεδέχετο. καὶ ταῦτα εἰπὼν, τὸν πρεσβευτὴν ἀπεπέμψατο. ὁ δὲ πρὸς Χοσρόην ἀφικόμενος, ἔφη στρατηγὸν ἑωρακέναι Βελισάριον συνετόν τε καὶ ἀνδρεῖον ὑπεράγαν, στρατιώτας δὲ οἵους αὐτὸς ἄλλοις οὐ πώποτε εἶδεν, ὡς τὴν εὐκοσμίαν ἐθαύμασα ἐκ διαφόρων ἐθνῶν συνειλεγμένους, καὶ συνεβούλευσε Χοσρόῃ μὴ συμπλέκεσθαι εἰς μάχην μετ' αὐτοῦ, ὅπως μὴ ἡττηθέντος αὐτοῦ τὸ πᾶν διαπέσῃ τῆς τῶν Περσῶν βασιλείας ἐν γῇ Ῥωμαίων ὑπάρχοντι, καὶ φυγῆς τόπον μὴ ἔχοντι. καὶ νικᾶν αὐτὸν οὐ μέγα. στρατηγὸν γὰρ τῶν Ῥωμαίων καὶ μόνον νικήσειν. ὁ δὲ Χοσρόης τῇ τούτου παραινέσει ἀναστρέφειν εὐθὺς ἐπὶ τὰ ἴδια διενοεῖτο. ἐφοβεῖτο γὰρ τὴν διάβασιν τοῦ ποταμοῦ ποιήσασθαι, ὡς τῶν Ῥωμαίων ταύτην κατεχόντων. καὶ πολλὰ διαλογισάμενος, ἀπέστειλε πρὸς Βελισάριον παρακαλῶν αὐτὸν τοὺς τὸν ποταμὸν διαβάντας ἀναστεῖλαι, καὶ τούτῳ τὴν πάροδον ἀκωλύτως παρέχειν. Βελισάριος δὲ εὐθὺς πρὸς αὐτὸν πρέσβεις ἔπεμψε, καὶ τοῦτον τῆς ἀναχωρήσεως ἐπῄνεσε, καὶ πρέσβεις ἐκ τοῦ βασιλέως συντόμως διεβεβαιοῦτο, ὅπως τὴν εἰρήνην βραβεύσωσιν. ἠξίου δὲ Χοσρόης τὸν Βελισάριον διὰ τῆς τῶν Ῥωμαίων γῆς τὴν πάροδον ποιήσασθαι ἀκινδύνως. ὁ δὲ Βελισάριος Ἰωάννην τὸν Ἐδεσηνὸν ἄνδρα διαφανέστατον ὅμηρον τῷ Χοσρόῃ ἀπέστειλε πρὸς τὸ ἀκινδύνως παρελθεῖν αὐτὸν τὴν τῶν Ῥωμαίων χώραν. οἱ δὲ Ῥωμαῖοι τὸν Βελισάριον ἐν εὐφημίαις εἶχον. μᾶλλον δὲ ἐνδοκιμάσαντα ἐν τούτῳ τῷ ἔργῳ, ἢ ὅτε Γελίμερά τε δορυάλωτον καὶ Οὐίττιγιν τοὺς δύο βασιλεῖς εἰς Βυζάντιον ἤγαγεν. ἦν γὰρ ὡς ἀληθῶς λόγου τε καὶ ἐπαίνου ἄξιον, πεφοβημένων τῶν Ῥωμαίων, καὶ ἐν τοῖς ὀχυρώμασι κρυπτομένων πάντων, Χοσρόου δὲ στρατῷ μεγάλῳ ἐν μέσῳ γεγονότος τῆς τῶν Ῥωμαίων ἀρχῆς, ἄνδρα ἕνα ἐν ὀξεῖ δρόμῳ ἐκ Βυζαντίου ἥκοντα ἀπ' ἐναντίας τοῦ τῶν Περσῶν βασιλέως στρατοπεδεύσασθαι. Χοσρόην δὲ ἐκ τοῦ ἀπροσδοκήτου τῇ τούτου σοφίᾳ ἐξαπατηθέντα ἄπρακτον εἰς οἰκείαν ἀναχωρῆσαι χώραν.

Τῷ δ' αὐτῷ ἔτει Τιμοθέου ἐπισκόπου Ἀλεξανδρείας τελευτήσαντος, Σεβῆρος ὁ δυσσεβὴς Ἀντιοχείας μοιχὸς πρόεδρος, καὶ Ἰουλιανὸς ὁ Ἁλικαρνασεὺς ἐν Ἀλεξανδρείᾳ φυγόντες, περὶ φθαρτοῦ τε καὶ ἀφθάρτου διενεχθέντες κατ' ἀλλήλων γεγόνασιν, ὡς ἀληθείας ὄντες ἀλλότριοι. καὶ οἱ μὲν Θεοδόσιον, οἱ δὲ Γαϊνᾶν προεβάλλοντο εἰς ἐπίσκοπον Ἀλεξανδρείας· καὶ Γαϊνᾶς μὲν ἐκράτησε τῆς ἐπισκοπῆς ἐνιαυτόν· ὁ δὲ Θεοδόσιος δύο. τούτους δὲ Ἰουστινιανὸς

Edit. Paris. pag. 187.

Hoc anno, Imperator Tiberius Palatium, cui Sophiæ nomen, de Justini conjugis fecit nomine, in Juliani portu extruxit: & assignatis ad ejus famulatum Cubiculariis, & ut ejus mater coleretur, emisso edicto, nec non balneo ædificato, reliquaque familia ad ejus obsequium necessaria instructa, habitandum dedit. Porro Legatos ad Persarum regem, qui eum de sua inauguratione monerent, de more misit: ille vero pacem habere non admisit. Tiberius copiis undequaque coactis, & publici ærarii divitiis in milites distributis, plures exercitus composuit: & Justinianum quemdam Orientis Ducem creavit: qui ductis secum copiis ad Daras suscepit expeditionem. Persæ pariter sub Chosroe Duce militantes quam proxime Romanis castra metantur. Dispositis ad pugnam exercitibus, colloquium ineunt, & ad invicem percusso fœdere paciscuntur. Romanos & Persas uno consensu quadriennii spatio cladem Orienti (non) illaturos; bellum vero propter Armeniam gestum composituros.

pag. 212.

Τούτῳ τῷ ἔτει ἔκτισε Τιβέριος ὁ βασιλεὺς τὸ παλάτιον ἐν τῷ Ἰουλιανοῦ λιμένι, καὶ ἐπωνόμασεν αὐτὸ ἐπ' ὀνόματι Σοφίας τῆς γυναικὸς Ἰουστίνου· καὶ ἀποκατέστησεν αὐτὴν ἐν αὐτῷ, δεδωκὼς αὐτῇ καὶ Κουβικουλαρίους ὑπουργίαν αὐτῆς, κελεύσας τιμᾶσθαι αὐτήν, ὡς μητέρα αὐτοῦ, κτίσας καὶ λουτρὸν, καὶ πᾶσαν θεραπείαν αὐτῆς. ἀπέστειλε δὲ πρέσβεις πρὸς τὸν βασιλέα Περσῶν κατὰ τὸ ἔθος, μηνύων τὴν ἀναγόρευσιν αὐτοῦ· καὶ οὐ προσήκατο τὴν εἰρήνην ὁ τῶν Περσῶν βασιλεύς. τότε Τιβέριος μεγάλας δυνάμεις συνήθροιζε, καὶ διασπείρας τοὺς βασιλικοὺς θησαυροὺς, πολλὰ στρατόπεδα ἐποίησε, χειροτονήσας Ἰουστινιανόν τινα στρατηγὸν ἀνατολῆς, ὃς ἀναλαβὼν τὰς δυνάμεις ἐπὶ τὸ Δαρᾶς παραγίνεται. στρατοπεδεύουσι δὲ καὶ Πέρσαι πλησίον αὐτῶν στρατηγούμενοι ὑπὸ τὰ μέρη Χοσρόου. τῆς δὲ παρατάξεως γενομένης, εἰς λόγους ἦλθον, καὶ σπένδονται πρὸς ἀλλήλους, ἐφ' ὃ χρόνον τετραετῆ Ῥωμαίους τε καὶ Πέρσας τὴν ἀνατολὴν * λυμήνασθαι· τὸν δὲ πόλεμον τῆς Ἀρμενίας συστήσασθαι.

		3	8		4	9	2	11

		γ'	η'		δ'	θ'	β'	ια'

Hoc anno Persarum rex eductis exercitibus in Armeniam proficiscitur. Roma-

Τούτῳ τῷ ἔτει ὁ τῶν Περσῶν βασιλεὺς ἀναλαβὼν τὰς ἑαυτοῦ δυνάμεις ἐπὶ τὴν Ἀρμενίαν χωρεῖ.

χωρεῖ. ἀκηκοὼς ὁ τῶν Ῥωμαίων στρατηγὸς τὸ τῶν Περσῶν βασιλέα μέλλειν τὸν πόλεμον αὐτουργεῖν, ἔκπληκτος γέγονε· δέος γὰρ εἰσῆλθεν εἰς τὸν λαὸν τῶν Ῥωμαίων. διὰ τοῦτο λόγοις Ἰουστινιανὸς πρὸς τὰς δυνάμεις χρησάμενος, ἀπέπαυσε τῆς δειλίας τὸ μάχιμον· πολέμου δὲ προτεθέντος, καὶ τῆς τοξείας τῶν Περσῶν πολλῆς γεγονυίας, ὡς καὶ τὰς ἡλιακὰς ἀποκρύπτειν ἀκτῖνας, Ῥωμαῖοι ταῖς ἀσπίσι τὰς ἐκ τῶν τόξων βολὰς ἀποῤῥιψάμενοι τῆς κατὰ συστάδην μάχης ἀπήρχοντο· βαθείας δὲ καθεστώσης τῆς τῶν Ῥωμαίων φάλαγγος, φέρειν οὐκ εἶχον Πέρσαι· καὶ τρέπεται ἡ τῶν Βαβυλωνίων πληθὺς, καὶ ἀναιροῦνται πλήθη πολλά. παραλαμβάνουσι δὲ καὶ τὸ τῶν Περσῶν τοῦλδον, καὶ τὸ βασιλικὸν σκηνοπήγιον, καὶ πᾶσαν τὴν ἀποσκευὴν ἐπίδοξον οὖσαν. κρατοῦσι δὲ καὶ τῶν ἐλεφάντων οἱ Ῥωμαῖοι, καὶ πρὸς Τιβέριον πέμπουσι τὰ ἐπίσημα ἐκεῖνα καὶ βασιλικὰ λάφυρα. νομοθετεῖ τοίνυν ὁ τῶν Περσῶν βασιλεὺς τὴν αἰσχύνην μὴ φέρων, μηκέτι βασιλέα τῶν Περσῶν εἰς πόλεμον ἐξέρχεσθαι. ὁ δὲ Ῥωμαϊκὸς στρατὸς ἐπετίθετο ταῖς Περσικαῖς συμφοραῖς, καὶ πρὸς τὰ ἐνδότερα τῆς Περσίδος ἐχώρησε, καὶ πολλὴν αἰχμαλωσίαν καὶ ἅλωσιν ἐν Περσίδι πεποίηκε, φθάσας καὶ μέσον τῆς Υρκανικῆς θαλάσσης. χειμῶνος δὲ γενομένου οὐκ ἐπανέζευξαν οἱ Ῥωμαῖοι εἰς τὰ ἴδια, ἀλλ' ἐν Περσίδι παρεχείμασαν. τῷ δ' αὐτῷ ἔτει ἤρξατο κτίζειν Τιβέριος τὸ δημόσιον Βλαχερνῶν λουτρὸν, καὶ ἀνενέωσε πολλὰς ἐκκλησίας, καὶ ξενῶνας, καὶ γηροκομεῖα· καὶ ἐκέλευσε γράφεσθαι αὐτὸν ἐν τοῖς συμβολαίοις Τιβέριος Κωνσταντῖνος.

					ΚΠ. ἐπίσκ. Ἰωάννης ἔτη ιγ'.			
		δ'	θ'		α'.	ε	γ'	ιβ'

Τούτῳ τῷ ἔτει μηνὶ Ἀπριλλίῳ ϛ'. ἰνδικτιῶνι ιε'. ἐτελεύτησεν Εὐτύχιος ὁ Πατριάρχης, καὶ ἐχειροτονήθη μετὰ ἓξ ἡμέρας Ἰωάννης διάκονος τῆς μεγάλης ἐκκλησίας, ὁ Νηστευτής. ὁ δὲ βασιλεὺς Τιβέριος ἀγοράσας σώματα ἐθνικῶν, κατέστησε στράτευμα εἰς ὄνομα ἴδιον, ἀμφιάσας καὶ καθοπλίσας αὐτοὺς χιλιάδας πέντε, δεδωκὼς αὐτοῖς στρατηγὸν Μαυρίκιον τὸν Κόμητα τῶν Φοιδεράτων, καὶ Ὑποστράτηγον αὐτοῦ Ναρσῆν· καὶ ἀπέστειλεν αὐτοὺς κατὰ Περσῶν. πολέμου δὲ κροτηθέντος μεγάλου, νικῶσι Ῥωμαῖοι κατὰ κράτος, καὶ ἀφείλαντο ἐκ τῶν Περσῶν πολιτείας τε, καὶ χώρας, ἃς ἐπὶ Ἰουστινιανοῦ, καὶ Ἰουστίνου παρέλαβον. ἀνελθὼν δὲ Μαυρίκιος ἐν Κωνσταντινουπόλει ἐδέχθη ὑπὸ Τιβερίου μετὰ τιμῆς μεγάλης, καὶ ἐθριάμβευσε Τιβέριος τὰς νίκας Μαυρικίου. καὶ προσελάβετο αὐτὸν γαμβρὸν εἰς Κωνσταντίναν τὴν ἑαυτοῦ θυγατέρα. ὁμοίως δὲ καὶ Γερμανῷ τῷ στρατηγῷ ἔζευξε τὴν θυγατέρα αὐτοῦ Χαριτὼ· ποιήσας ἀμφοτέρους Καίσαρας.

Τῷ δ' Αὐγούστῳ μηνὶ ιδ'. ἰνδικτιῶνι ιε'. φαγὼν συκάμινα πρωὶ ἀξιοθέατα νοσθευμένα, φθίσει παρέπεσε, καὶ μέλλων τεθνάναι προσκαλεσάμενος τὸν Πατριάρχην Ἰωάννην.

Theophanis Chron.

A norum vero Dux audiens Persarum regem ad bellum revocandum propria sponte procedere, animo concidit: ingens enim timor Romanorum animos invasit. Quapropter habita ad exercitum allocutione, militiam omnem metu dissolutam Justinianus animavit, & ad pristinum robur revocavit. Conserto igitur prælio, tantaque a Persis emissa sagittarum copia, quæ solis radios obscuraret, Romani depulso sagittarum jactu, ad pugnam cominus ineundam processerunt. Ad hæc Romanorum phalanx conferta cum esset, & per omnes partes ad invicem bene compacta, eam sustinere non valuerunt Persæ: ita Babyloniorum copiæ vertuntur in fugam, & ex eis numerus prope immensus concidit. Ita demum Persarum apparatus sarcinarumque B omnium potiores fiunt Romani, ipsumque Regium tentorium invadunt, & omnem supellectilem pretiosam certe & luculentam diripiunt: elephantos denique, quæ insigniora & regia plane spolia, bello illo captos Romani ad Tiberium Constantinopol. transmittunt. Ea quo Persarum rex tanti dedecoris impatiens lege sancita cavit, ne Persarum Princeps uspiam ad bellum in posterum progrederetur. Romanus autem exercitus Persicis calamitatibus ulterius dabat operam, & ad interiorem Persiam profectus, & ad medium usque Hyrcanicum mare penetrans, captivorum prædæque multitudinem prope infinitam abegit. Neque adventante hyeme domos repetierunt Romani: quinimmo totum ejus spatium per omnem Persiam dispersi egerunt. Cæterum eodem anno publiC cum Blachernarum balneum cœpit Tiberius ædificare: plurimas quoq; Ecclesias, domosque recipiendis peregrinis, & senibus alendis destinatas reparare: Jussit etiam nomen suum inscribi publicis instrumentis, Tiberius Constan.

					CP. Episc. Joannes annis 13.			
		4	9		1	10	3	12

Hoc anno, die sexto Aprilis, indictione decima quinta, Eutychius Patriarcha diem ultimum obiit: & post dies sex Joan- D nes magnæ Ecclesiæ Diaconus, qui Jejunator dictus, consecratus est. Porro Tiberius Imperator, emptis Gentilibus mancipiis, privatam aciem ex eorum millibus quindecim, suo de nomine nuncupandam instruait: privatisque vestium & armorum insignibus distinctis Mauricium Fœderatorum Comitem præposuit Ducem, atque Legatum Narsetem adjunxit: & adversus Persas misit. Inito certamine victoriam certa virtute partam retulere Romani, easque urbes & provincias abstulere Persis, quas sub Justiniano & Justino ceperant. Mauricius Constantinop. reversus summis honoribus a Tiberio exceptus est, & de reportatis a Mauricio victoriis E Tiberius egit triumphum: & Constantina filia ei juncta generum sibi adscivit: Germanoque pariter Duci alteram filiam, cui nomen Charito, locavit: & utrumque declaravit Cæsarem.

Edit. Paris. pag. 213.

Ejusdem Augusti mensis die decimo quarto, indictione decima quinta, degustatis matutino jentaculo supra speciem quidem gratis, at supra modum omnem vitiatis moris, Tiberius in tabem incidit. Itaque jam letho vicinus, Joannem Pa-

triarcham Senatumque omnem una cum exercitibus in Tribunalium advocavit, lecticaque vectus, cum per se populum Romanum nequivisset alloqui, Lectoris ministerio usus, quæ ad rem conducerent, declaravit, & Mauricium proprium generum renunciavit Imperatorem, cunctis Imperatoris consilium ipsumque Mauricium Imperatorem felici voto faustarumque vocum acclamatione prosequentibus: Tiberius proprio lecto intro relatus, expiravit, cum annos tres, menses decem, & dies octo imperasset.

καὶ τὴν σύγκλητον ἅμα στρατεύμασιν ἐν τῷ Τριβουναλίῳ, καὶ ἀχθεὶς ἐν φορείῳ λαλῆσαι μὴ δυνάμενος δι' ἐπαγγελέως τὰ συμφέροντα τοῖς πράγμασι τῶν Ῥωμαίων τῷ λαῷ κατάδηλα πεποίηκε, καὶ Μαυρίκιον τὸν ἴδιον γαμβρὸν βασιλέα ἀνηγόρευσε· πάντων δὲ εὐφημησάντων τὸν βασιλέως σκοπὸν καὶ Μαυρίκιον τὸν βασιλέα. καὶ ὑποστρέψας Τιβέριος ἐν τῇ ἰδίᾳ κλίνῃ τέθνηκε, βασιλεύσας ἔτη γ'. μῆνας ι'. καὶ ἡμέρας η'.

Anni mundi 6074	Divinæ Incarn. 574	Rom. Imp. Mauricius annis 20.	Persarum rex Hormisdas annis 13.	Romæ Episc.	Constant. Episc. Joannes annis 13	Hierosol. Episc. Joannes annis 20	Alex. Episc. Eulogius annis 27.	Ant. Episc. Gregorius annis 24.
		1	10		2	11	4	13

Κόσμου ἔτ. ͵ϛοδ'.	Τῆς θείας σαρκ. ἔτ. φοδ'.	Ῥωμ. βασ. Μαυρίκιος ἔτη κ'.	Περσ. βασ. Ὁρμίσδας ἔτη ιγ'.	Ῥωμ. ἐπίσ.	Κωνσ. ἐπίσκ. Ἰωάννης ἔτη ιγ'.	Ἱεροσο. ἐπίσκ. Ἰωάννης ἔτη κ'.	Ἀλεξ. ἐπίσκ. Εὐλόγιος ἔτη κζ'.	Ἀντ. ἐπίσκ. Γρηγόριος ἔτη κδ'.
		α'	ι'		β'	ια'	δ'	ιγ'

Hoc anno, Mauricius annos quadraginta tres natus imperavit: ac paulo post Pauli patris sui, qui sub id tempus Byzantium devenerat, celebravit nuptias; in quibus Marites, qui magnus Palatii Eunuchus erat, Paranymphi munus præstitit. Mense autem Aprili incendium in foro exortum est, quod ventorum procellis latius propagatum, multas ædes combussit. Die decima Maii maximus fuit terræ motus, adeo ut universus populus ad Ecclesias confugerit, & natalitium certamen equestre celebratum minime fuerit. Eodem mense Abares, qui non multum ante Sirmium nobilem Europæ urbem occupaverant, decreta ad Mauricium Legatione postulaverunt, ut octoginta millibus annuæ distributionis, quæ sibi a Romanis pendebatur, alia adhuc auri viginti millia adderentur: quam pecuniarum summam Imperator pacis conservandæ studio solvere non detrectavit. Elephantem etiam, animal ex India adductum sibi ad spectaculum mitti postulavit eorum Princeps: & Imperator maximum eorum quos habebat ad eum misit: qui ubi ipsum vidit, statim ad Imperatorem remisit. Præterea lectum aureum petiit: quem cum Imperator ad eum misisset, ipse donum parvifaciens remisit. Alia vero viginti millia centenis illis adjici postulavit, quod cum Imperator recusaret, Chaganus expeditione suscepta Sigidonem evertit, multasque alias urbes Illyrici Præfecturæ subditas expugnavit: cepitque Anchialum. Quinetiam Longum murum evertere minatus est. Quamobrem Imperator Elpidium Patricium cum Comentiolo Legatos ad Chaganum destinavit: tum barbarus pacem ex pactorum conditionibus se servaturum pollicetur. Cæterum Imperator Joannem Mustaconem in Oriente Armeniæ Ducem constituit: qui cum ad amnem Nymphium, qua in Tigrim confluit, devenisset, commissa pugna cum Cardarega (Cardaregas proprium nomen minime est, sed maxima apud Persas, summi nimirum Ducis, dignitas habetur) Romani barbarorum superiores remansissent: nisi Curs Legatus Ducis gloriæ invidens data opera terga vertisset: quem cum fugientem cæteri Romani vidissent, ipsi etiam se in fugam dederunt, vixque in castra se receperunt incolumes. Initaque denuo pugna, Romani victi sunt, pluresque trucidati.

Edit. Paris. pag. 214.

Τούτῳ τῷ ἔτει ἐβασίλευσε Μαυρίκιος ἐτῶν ὑπάρχων μγ'. καὶ μετ' ὀλίγον πεποίηκε Παύλου τοῦ πατρὸς αὐτοῦ ἐλθόντος εἰς τὸ Βυζάντιον, καὶ παρανύμφευσε Μαρίτης ὁ εὐνοῦχος τοῦ παλατίου μέγας ὑπάρχων. τῷ δὲ Ἀπριλλίῳ μηνὶ γέγονεν ἐν τῷ φόρῳ ἐμπυρισμός, καὶ ἀνέμων καταιγίδες συνεργοῦσαι τῷ πυρὶ, καὶ πολλὰς οἰκίας διέλυσε. καὶ τῇ ι'. τοῦ Μαΐου μηνὸς γέγονε σεισμὸς μέγας, καὶ πάντες κατέφυγον εἰς τὰς ἐκκλησίας, καὶ τὸ γενέθλιον ἱππικὸν οὐκ ἐπετελέσθη. τῷ δ' αὐτῷ μηνὶ πρεσβεύουσιν οἱ Ἀβάρεις πρὸς τὸν αὐτοκράτορα Μαυρίκιον, οἱ πρὸ ὀλίγου χρόνου τὸ Σίρμιον χειρωσάμενοι πόλιν τῆς Εὐρώπης ἐπίσημον, ἀξιοῦν τὰς ὀγδοήκοντα χιλιάσι χρυσίου, αἷς ἐλάμβανον κατ' ἔτος παρὰ Ῥωμαίοις, προστεθῆναι ἄλλας κ'. ὁ δὲ βασιλεὺς εἰρήνης ἐφιέμενος τοῦτο κατεδέξατο. ᾔτησε δὲ καὶ ἐλέφαντα ζῶον Ἰνδικὸν ἐκπεμφθῆναι αὐτῷ πρὸς θέαν. καὶ ὁ βασιλεὺς τὸν μείζονα ἁπάντων ἀπέστειλε πρὸς αὐτὸν, καὶ τοῦτον θεασάμενος πάλιν ἔπεμψεν αὐτὸν πρὸς τὸν βασιλέα· ὁμοίως καὶ κλίνην χρυσῆν ᾔτησε σταλῆναι αὐτῷ. ὁ δὲ βασιλεὺς καὶ ταύτην ἀπέστειλεν. αὐτὸς δὲ καὶ ταύτην ἀπέστειλεν, ἐξουδενώσας αὐτήν. ᾔτει δὲ καὶ πάλιν ἄλλας κ'. χιλιάδας προστεθῆναι τὰς ρ'. τοῦ δὲ βασιλέως μὴ καταδεξαμένου, στρατεύσας ὁ Χαγάνος τὴν Σιγγιδόνα πόλιν κατέστρεψε, καὶ πολλὰς ἑτέρας πόλεις ἐχειρώσατο τὰς ὑπὸ τὸ Ἰλλυρικὸν τελούσας. περιέλαβε δὲ καὶ τὴν Ἀγχίαλον. ἠπείλει δὲ καὶ τὰ μακρὰ τείχη καταστρέψαι. ὁ δὲ βασιλεὺς Ἐλπίδιον Πατρίκιον σὺν Κομεντιόλῳ πρέσβεις πρὸς τὸν Χαγάνον ἐξαπέστειλε. καὶ ὁ βάρβαρος ἐπὶ ταῖς τῶν πάκτων συνθήκαις εἰρήνην ἄγειν καθωμολόγησεν. ἐν δὲ τῇ ἀνατολῇ Ἰωάννην τὸν Μυστάκωνα στρατηγὸν Ἀρμενίας ὁ βασιλεὺς πεποίηκεν· ὃς ἐλθὼν ἐν τῷ Νυμφίῳ ποταμῷ, ἔνθα τῷ Τίγριδι διαμίγνυται, συμβάλλει πόλεμον μετὰ Καρδαρίγαν (Καρδαρίγας δὲ οὐκ ἔστι κύριον ὄνομα, ἀλλ' ἀξία μεγάλη παρὰ Πέρσαις τοῦ τῶν Περσῶν στρατηγοῦ) καὶ κρατοῦσι τῶν βαρβάρων οἱ Ῥωμαῖοι. Κρὼς δὲ ὁ ὑποστράτηγος φθόνῳ ζηλοτυπήσας, τρέπεται. τοῦτον ἰδόντες οἱ λοιποὶ τῶν Ῥωμαίων τρέπονται, καὶ μόλις ἐπὶ τὸν χάρακα διασῴζονται. δευτέρας δὲ συμβολῆς γενομένης ἡττῶνται Ῥωμαῖοι, καὶ πολλοὶ ἐξ αὐτῶν διεφθάρησαν.

| | βʹ | κʹ | | γʹ | ιβʹ | εʹ | ξδʹ |

Τούτῳ τῷ ἔτει μηνὶ Δεκεμβρίῳ κʹ. ἰνδικτ. βʹ. Ὑπατεύσας ὁ βασιλεὺς ἀναγορεύεται, καὶ πολλοὺς θησαυροὺς τῇ πόλει ἐδωρήσατο. προβάλλεται δὲ Φιλιππικὸν στρατηγὸν τῆς Ἑῴας, ποιήσας αὐτὸν γαμβρὸν εἰς Γορδίαν τὴν ἰδίαν ἀδελφήν. ὁ δὲ Φιλιππικὸς καταλαβὼν τὰ Περσικὰ μέρη, ἐπλησίαζε τῇ Νισίβει. καὶ ἀθρόως εἰς τὴν Περσίδα ἐμβαλὼν, πολλὴν αἰχμαλωσίαν ἀνέλαβε. τοῦτο δὲ μαθὼν Καρδαρίγας ὁ τῶν Περσῶν στρατηγὸς ἔγκρυμμα ποιήσας, ἠβουλήθη λοχῆσαι τὰ τῶν Ῥωμαίων στρατόπεδα. ὁ δὲ Φιλιππικὸς τὴν αἰχμαλωσίαν διασώσας, διὰ τῶν ὀρέων εἰς τὴν τῶν Μήδων χώραν παρέβαλε, καὶ πολλὰ χωρία διέφθειρε τῆς Μηδίας, καὶ ὑπέστρεψεν εἰς τὰ Ῥωμαϊκά. ὁ δὲ Χαγάνος τὴν εἰρήνην διαλῦσαι δολίως ἐσπούδαζε. τὰ γὰρ Σκλαβίνων ἔθνη κατὰ τῆς Θρᾴκης ἐξώπλισεν. ἅτινα παρεγένοντο μέχρι τῶν μακρῶν τειχέων πολλὴν ἅλωσιν ποιούμενα. ὁ δὲ βασιλεὺς τὰ τοῦ παλατίου στρατόπεδα ἐξαγαγὼν τῆς πόλεως, καὶ τοὺς Δήμους, φυλάττειν τὰ μακρὰ τείχη ἐκέλευσεν. καὶ Κομεντίολον στρατηγὸν χειροτονήσας, καὶ ἐξοπλίσας, κατὰ βαρβάρων ἀπέστειλεν. ὁ δὲ ἀδοκήτως τοῖς βαρβάροις περιπεσὼν, πολλὰ πλήθη ἀνεῖλε, καὶ τούτους ἀπήλασε. παραγενόμενος δὲ ἐν Ἀδριανουπόλει περιέτυχεν Ἀνδραγάστῳ πλήθη Σκλαβίνων μετὰ αἰχμαλωσίας ἐπιφερομένῳ· καὶ τούτῳ ἐπιπεσὼν τήν τε αἰχμαλωσίαν διέσωσε, καὶ νίκην μεγάλην περιεβάλλετο.

| | 2 | 26 | | 3 | 12 | 5 | 64 |

Hoc anno, mensis Decembris die vigesimo, Indictione secunda, Imperator Consul designatus, magnorum thesaurorum monera Urbi largitus est. Philippicum autem, Gordia sorore in matrimonium ei locata, generum sibi ascitum Orientis Ducem creavit. Philippicus in Persicas partes profectus, cum proxime Nisibim pervenisset, facta de repente in Persas irruptione, captivorum ingentem numerum abegit. Qua de re certior factus Cardaregas Persarum Dux, locatis insidiis Romanorum castra dolis adoriri tentavit: At Philippicus prædam tuto abducens, per montes in Medorum ditionem ingressus, pluribus locis passim devastatis, in Romanorum fines reversus est. Interea Chaganus pacem perfidia solvere studebat. Sclavinorum siquidem gentem ad Thraciam invadendam armis instruxit: quæ quidem vel usque ad murum Longum progressæ magnam stragem captivitatemque subditis induxere. Imperator igitur Prætorianos milites, populique factiones Urbe eductas Longum murum jussit propugnare. Commentiolum vero Ducem creavit, & cum armata manu contra barbaros summisit: qui ipsos ex improviso adortus, magna multitudine cæsa, eos demum abegit. Cum Adrianopolim pervenisset, in Andragastum incidit, qui magnam Sclavinorum aciem cum ingenti præda ducebat; eumque adortus prædam recepit insigni potitus victoria.

Edit. Paris. pag. 265.

| | γʹ | ιβʹ | | δʹ | ιγʹ | ϛʹ | ξεʹ |

Τούτῳ τῷ ἔτει Φιλιππικὸς ἀναλαβὼν τὰ στρατεύματα ἐπὶ τὴν Περσικὴν χώραν ἐξώρμησε. καὶ καταλαβὼν τὴν Ἀρζάνην μεγάλης αἰχμαλωσίας ἐκράτησε, καὶ δειλίαν τοῖς Περσικοῖς ἐμποιεῖ στρατεύμασι· νόσῳ δὲ περιπεσὼν Φιλιππικὸς ἐπὶ τὴν Μαρτυρόπολιν παραγίνεται, χειροτονήσας τὸν ἀνεψιὸν καθηγεῖσθαι τῶν λαῶν, καὶ Στέφανον Ταγματάρχην προστησάμενος. ὁ δὲ Καρδαρίγας καταλαβὼν τὴν Μαρτυρόπολιν, ταύτης τὰ προάστεια ἐμπρήσας πάντα ὑπέστρεψεν. ὁ δὲ Φιλιππικὸς ἐν ΚΠ νοσῶν παραγέγονε, καὶ τὰ στρατεύματα ὑπέστρεψεν ἀβλαβῶς εἰς τὰ ἴδια.

Τῷ δ' αὐτῷ ἔτει ἐτέχθη τῷ βασιλεῖ υἱὸς, καὶ ἐπωνόμασεν αὐτὸν Θεοδόσιον.

| | 3 | 12 | | 4 | 13 | 6 | 65 |

Hoc anno, Philippicus accepto exercitu in Persiam profectus est, captaque Arsane maxima potitur præda, timoremque magnum Persarum exercitibus incussit. At morbo implicitus Martyropolim se contulit, ubi nepotem, qui turmis præesset, in suum locum suffecit, Stephanum autem cohortium Principem instituit. Porro Cardaregas Martyropolim adortus, suburbanis ejus locis igne devastatis, abscessit. Philippicus afflicta valetudine Constantinopol. remeavit, & exercitum omnem in proprias domos incolumem redire permisit.

Eodem anno Imperatori natus est filius, qoem Theodosium appellavit.

| | δʹ | ιγʹ | | εʹ | ιδʹ | ζʹ | ξϛʹ |

Τούτῳ τῷ ἔτει Φιλιππικὸς ἐξεληλυθὼς τῆς βασιλίδος πόλεως στρατοπεδεύεται ἐπὶ τὴν Ἀμίδαν πόλιν, καὶ ἀθροίσας τὸ ὁπλιτικὸν ἠρώτα, εἰ προθύμως ἔχουσι πρὸς τὸν πόλεμον χωρῆσαι. τῶν δὲ Ῥωμαίων ὅρκοις πεισάντων αὐτὸν μετὰ προθυμίας πολεμεῖν· παραγίνεται ἐπὶ τὸ Ἄρζαβον. ὁ δὲ Καρδαρίγας τοῦτο μαθὼν, γέλωτι τὴν ἀκοὴν ἀπεπέμπετο, ἐνύπνιον εἶναι δοκῶν τὸ λεγόμενον. καλέσας δὲ τοὺς μάγους ἠρώτα, τίς ἐστι τῆς νίκης κύριος. οἱ δὲ τῶν δαιμόνων θεραπευταὶ Πέρσας ἔφασκον ὑπὸ τῶν θεῶν τὴν νίκην ἀπενέγκασθαι. σκιρτῶσι τοίνυν ἐπὶ τούτῳ οἱ Πέρσαι ταῖς τῶν μά-

| | 4 | 13 | | 5 | 14 | 7 | 66 |

Hoc anno Philippicus urbium Regina egressus, in Amidam civitatem expeditionem suscipit. Porro milites jam armis instructos ad colloquendum convocans, num ad conferendas manus animo se paratos experirentur, interrogare. Romani interpositis etiam juramentis suam ad pugnandum aviditatem testari: atque ita ipse Anazarbum venit. Eo cognito Cardaregas riso famam hujusmodi suis excussit auribus, & somniantis deliria, quæ nunciabantur, arbitratus est. Congregatis autem Magis, quis victoria superior evaderet, sciscitabatur. Cultores dæmonum Persas victoriam a diis consequuturos affirmare. Quare Magorum pollicitationibus elati Persæ in lætitiam & tripudia

diffundi, & Romanis in captivitatem abducendis e ligno ferroque compactos compedes cuncti pararent edixere. Ex adverso *Edit. Paris. pag. 216.* agricolarum labores ne devastarent, Dux Romanis commendare, ne Dei justitia, quod per nefas committitur, aversata, ad barbaros traduceret victoriam. Sequenti luce Saracenicarum Tribuum Principes duos a se Dux ablegat, qui comprehensis Persarum nonnullis vivis, adversariorum motus omnes & consilium perdiscunt: Domixico quippe die Persas in Romanos impetum facturos, nunciabant. Philippicus itaque summo mane composito exercitu, eoque in tria agmina distributo in pugnam processit. Ipse vero Christi Dei & hominis imaginem, (manibus hominum haud conditam opinantur Romani) brachiis complexus, singulos armatorum ordines prætercurrebat, & divinum animo cujusque robur inspirabat, & impertiebatur. Eo propugnaculo manibus gestato, extremam tenens aciem largo lachrymarum imbre divinum numen demulcens, cælestium acies in subsidium demissas excipiebat. Inito demum certamine Vitalianus Tribunus præ cæteris majore in Persas impetu motus densissimam eorum phalangem disrupit, & omnem bellicum eorum apparatum obtinuit. Inde Romani ad diripienda spolia conversi. Quibus conspectis veritus Philippicus ne reliquus exercitus ad occupandam prædam desertis ordinibus concurreret, & resumptis viribus facieque retro versa eos barbari opprimerent; Theodoro Ilibino galeam sibi detractam imponens, eum ut cunctos, qui ad spolia tam avide convolassent, gladio deterreret misit. Milites, eo conspecto, Philippicum esse rati, spoliis relictis, ad pugnam renovandam regressi sunt. Protracto vero per multas horas prælio, mandatum a Duce edictum, Persarum equos hastis confodi. Quod ubi præstitum, fusus omnis Persarum exercitus, Romani victoria redimiti, plurimos hostium gladiis consumpserunt, & eorum sibi tulerunt spolia. Postera luce Cardaregas collectis copiis ad bellum instaurandum accingitur, & secundo certamine redintegrato, hostes iterum superant Romani, & Persarum quamplurimi in acie trucidantur. Ex iis bis mille vivi capti, qui Byzantium missi. Cardaregas Daras se recipit, quem Persæ contumeliis exceptum a se depellunt. Porro Philippicus Heraclium, Heraclii, qui postmodum imperavit, patrem, exercitus Legatum, ad exploranda barbarorum consilia misit: milites vero, qui in prælio vulnerati fuerant, per urbes dimisit, ut corpora curarent. Eductis deinde copiis Babylonem versus pergit, Chlomarum castrum obsidet. Cardaregas autem collecta rusticorum armis insuetorum manu ipsis cum subjugalibus, tumultuarioque exercitu coacto, quasi reparatis *pag. 217.* castris jactantiam præ se ferre, & per loca munita, & incubiam noctem, eo pervenit, ut a tergo Romanis esset; cum alioqui manus cum ipsis conserere non auderet. At Philippicus intempestivo terrore turbatus, relicta castri obsidione, in fœdam & dementem se fugam conjicit: qua comperta, reliquus etiam exercitus per impervia loca magnis undique circumseptus periculis, fugiens, Ducem suum sectatus est. Incubabat terris nox illunis & obscura, eaque peracta, & sole illucescente reformidata calamitate se liberatos

γων ὑποσχέσεσιν εὐφραινόμενοι· καὶ δημιουργοῦσιν εὐθὺς ξυλόποδας ἐκ ξύλου καὶ σιδήρου, ὅπως τοὺς Ρωμαίους ὑποβάλλωσιν. ὁ δὲ στρατηγὸς παρηγγυᾶτο τοῖς Ρωμαίοις τοὺς γεωργικοὺς μὴ λυμαίνεσθαι πόνους, ὅπως ἡ μισοπόνηρος δικαιοσύνη τοῦ Θεοῦ ἐπὶ τοὺς βαρβάρους μετοικήσῃ τὴν νίκην. τῇ οὖν ἐπιούσῃ ἀποστέλλει ὁ στρατηγὸς δύο φυλάρχους τῶν Σαρακηνῶν, καὶ ζωγροῦσι Πέρσας ζῶντας, δι' ὧν ἔγνωσαν τῶν ἐναντίων τὰ κινήματα· οἳ ἔφρασαν τῇ κυριακῇ ἡμέρᾳ βούλεσθαι τοὺς βαρβάρους ἐπιθέσθαι τοῖς Ρωμαίοις. ὁ δὲ Φιλιππικὸς τοὺς Ρωμαίους ἐξ ἑωθινοῦ συντάξας τρισὶ φάλαγξιν ἀπήντα πρὸς πόλεμον. αὐτὸς δὲ ἀναλαβὼν τὴν θεανδρικὴν μορφὴν, ἣν ἀχειροποίητον οἱ Ρωμαῖοι δοξάζουσι, διατρέχων τὰς τάξεις τοῦ ὁπλιτικοῦ μετεδίδου τῆς θείας δυνάμεως. καὶ στὰς ὀπίσω τῆς συντάξεως τοῦτο κατέχων τὸ ὅπλον, δάκρυσι πολλοῖς τὸν Θεὸν ἐμειλίζετο, ὅς τις τὰς οὐρανίους τάξεις συμμαχούσας προσελάβετο. τοῦ δὲ πολέμου κροτηθέντος, Βιταλιανὸς ὁ ταξίαρχος πάνυ θρασύτερον κινηθεὶς, τὴν φάλαγγα τῶν Περσῶν διέσπασε, καὶ τὸ τοῦλδον παρέλαβεν. οἱ δὲ Ρωμαῖοι περὶ τὰ σκῦλα ἤρξαντο ἀσχολεῖσθαι· ὃ θεασάμενος ὁ Φιλιππικὸς, φοβηθεὶς μὴ εἰς τὰ λάφυρα καὶ οἱ λοιποὶ τραπέντες τῆς παρατάξεως ἐπιλάθωνται, καὶ στραφέντες οἱ βάρβαροι ἀπολέσωσιν αὐτούς· Θεοδώρῳ τῷ Ἰλιβηνῷ τὴν αὐτοῦ κεφαλαίαν περιτιθεὶς, ἐξαπέστειλε τῷ ξίφει πλήσσειν τοὺς ἀσχολουμένους εἰς τὰ λάφυρα. ὃν ἰδόντες, καὶ νομίζοντες Φιλιππικὸν εἶναι, καταλιπόντες τὰ σκῦλα, ἐπὶ τὸν πόλεμον ἐχώρησαν. τοῦ δὲ πολέμου κροτηθέντος ἐπὶ ὥρας πολλὰς, φωνὴ γίνεται παρὰ τοῦ στρατηγοῦ τοὺς ἵππους τῶν Περσῶν πλήττειν τοῖς δόρασι. τούτου δὲ γενομένου, ἐτράπη τὸ Περσικὸν στράτευμα, καὶ νίκην μεγάλην οἱ Ρωμαῖοι ἀνεδήσαντο, καὶ πολλοὺς ἀνήλωσαν, καὶ τούτους ἐσκύλευσαν. τῇ δὲ ὑστεραίᾳ ἀναλαβὼν τὰς ἑαυτοῦ δυνάμεις ὁ Καρδαρήγας, πάλιν εἰς πόλεμον ὁπλίζεται. καὶ δευτέρου πολέμου κροτηθέντος, νικῶσι πάλιν Ρωμαῖοι, καὶ ἀναιροῦνται Πέρσαι πολλοί. χειροῦνται Πέρσαι ζῶντες δισχίλιοι, καὶ εἰς Βυζάντιον πέμπονται. προσφεύγει Καρδαρήγας εἰς τὸ Δαρᾶς· οἱ δὲ Πέρσαι μεθ' ὕβρεων τοῦτον ἀπεπέμψαντο. ὁ δὲ Φιλιππικὸς Ἡράκλειον τὸν Ἡρακλείου τοῦ αὐτοκράτορος πατέρα ὑποστράτηγον ὄντα ἐπὶ κατασκοπῇ βαρβάρων ἐξέπεμψε, καὶ αὐτοὺς τοὺς ἐν τῷ πολέμῳ τραυματίας γινομένους πρὸς τὰς πόλεις ἰατρεύεσθαι παρέπεμψεν. ἀναλαβὼν δὲ τὸ στράτευμα εἰς τὴν Βαβυλωνίαν ἐκβάλλει, καὶ τὸ Χλώμαρον φρούριον παρακαθέζεται. ὁ δὲ Καρδαρήγας στρατολογεῖ ἰδιώτας μετὰ ὑποζυγίων, καὶ ὀχλαγωγήσας στρατοπεδεύειν ἐκόμπαζε, καὶ δι' ὀχυρῶν τόπων ἐν ἀσελήνῳ νυκτὶ ἐπὶ τὰ νῶτα γίνεται μηδαμῶς θαρρῶν χεῖρας αὐτοῖς ἐμβαλεῖν. φόβος δὲ ἄκαιρος ἐπιπεσὼν τῷ Φιλιππικῷ, καταλιπὼν τὸ φρούριον, φυγῇ ἀλόγως ἐχρήσατο. καὶ τοῦτο γνόντες οἱ Ρωμαῖοι εἰς φυγὴν ἐτρέποντο, διὰ τόπων δυσεξοδεύτων μεγάλοις κινδύνοις περιπεσόντες. ἦν γὰρ καὶ ἀσέληνος ἡ νύξ· ἡλίου δὲ ἀνατείλαντος τῆς συμφορᾶς ἀπηλλάττοντο. καταλαβόντες δὲ τὸν στρατηγὸν ὕβρεσιν αἰσχίσταις

τοῦτον ἐβλασφήμουν. οἱ δὲ Πέρσαι ἐπίπλαστον νομίσαντες τὴν φυγὴν Ῥωμαίων, διῶξαι οὐκ ἐτόλμησαν. Ἡράκλειος δὲ διαπεράσας τὸν Τίγριν, ὅσα τῆς Μηδικῆς χώρας ἦσαν ἐπίσημα χωρία παρεδίδου πυρί. καὶ οὕτω πρὸς Φιλιππικὸν ἀνέκαμψε μετὰ σκύλων πολλῶν.

A experiuntur: Ducemque tandem assequuti atrocioribus conviciis eum laceraverunt. Cæterum simulatam Romanorum fugam Persæ rati, eos insequi minime ausi sunt. Heraclius autem trajecto Tigri oppida quæque Mediæ passim posita incendiis devastabar, atque ita cum amplis spoliis ad Philippicum reversus est.

Κόσμου ἔτη ϛοθʹ.	Τῆς θείας σαρκ. φοθʹ.	Ῥωμ. βασιλ. Μαυρίκιος ἔτη κʹ.	Περσῶν βασ. Ὁρμίσδας ἔτη ιεʹ.		Κωνστ. ἐπίσκ. Ἰωάννης ἔτη γʹ.	Ἱεροσ. ἐπίσκ. Ἰωάννης ἔτη κʹ.	Ἀλεξ. ἐπίσκ. Εὐλόγιος ἔτη κζʹ.	Ἀντ. ἐπίσκ. Γρηγόριος ἔτη κδʹ.
		εʹ	ιδʹ		ϛʹ	ιεʹ	ηʹ	ιζʹ

B

Anni mundi 6079.	Divinæ Incarn. 579.	Rom. Imp. Mauricius annis 20.	Persarũ rex Hormisdas annis 15.		Constant. Epis. Joannes annis 13.	Hieros. Epis. Joannes annis 20.	Alex. Episc. Eulogius annis 27.	Antioch. Episc. Gregorius annis 24.
		5	14		6	15	8	17

Τούτῳ τῷ ἔτει ὁ τῶν Ἀβάρων Χαγάνος τὰς σπονδὰς διαλύσας, τήν τε Μυσίαν, καὶ Σκυθίαν κατεπολέμει δεινῶς, καταστρέψας τήν τε Ῥατιάριαν, καὶ Κωνωνίαν, καὶ Ἀκυς, καὶ Δορόστολον, καὶ Ζάνδαπα, καὶ Μαρκιανόπολιν. ὁ δὲ Κομεντίολος ἐπὶ τὴν Ἀγχίαλον ἦλθε, καὶ διελὼν τὸ στράτευμα, τοὺς ἀδοκίμους ἐκ τῶν ἀρίστων διέκρινε· καὶ τὸ μὲν ἄχρηστον ὑπάρχον μʹ. χιλιάδας φυλάττειν τὸν χάρακα κελεύει, τοὺς δὲ ἐπιλέκτους ἑξάκις χιλίους ὄντας παραλαβὼν, δύο χιλιάδας παρέδωκε τῷ Κάστῳ, καὶ δύο τῷ Μαρτίνῳ, καὶ τὰς δύο αὐτὸς ἀναλαβὼν, κατὰ τῶν βαρβάρων χωρεῖ. ὁ δὲ Κάστος ἐλθὼν ἐπὶ τὰ Τζάπαρ- C δα, καὶ τὸν Αἷμον, καὶ εὑρὼν τοὺς βαρβάρους ἠμελημένους, πολλοὺς διέφθειρεν. αἰχμαλωσίας δὲ κρατήσας πολλῆς, δορυφόρῳ διασώζειν ἐδίδου. Μαρτῖνος δὲ εἰς τὰ περὶ Τομέαν τὴν πόλιν γενόμενος τῷ Χαγάνῳ ἀπροσδοκήτως περιπεσὼν, πολλοὺς τῆς αὐτοῦ δυνάμεως ἀνεῖλεν, ὥστε αὐτὸν φυγῇ τὴν σωτηρίαν πραγματεύσασθαι. ὁ δὲ Μαρτῖνος ἐπίδοξον νίκην ἀράμενος, πρὸς τὸν στρατηγὸν ἐπανήρχετο, ἔνθα ἐπηγγείλατο ἀναμένειν αὐτούς. ὁ δὲ Κομεντίολος δειλίᾳ κατασχεθεὶς, εἰς Μαρκιανόπολιν ὑπέστρεψεν. οἱ δὲ μὴ εὑρόντες αὐτὸν ἐπισυνῆξαν τὰ ἴδια στρατεύματα, καὶ ἐπὶ τὰς στενωπὰς τοῦ Αἵμου στρατοπεδεύονται. ἰδὼν δὲ ὁ Μαρτῖνος τὸν Χαγάνον διαπερῶντα τὸν ποταμὸν, πρὸς τὸν περάσας, καὶ πλησιάσας τοὺς προ- D τρέχοντας τῶν Ἀβάρων τῆς μάχης κρατεῖ, καὶ οὐδέν τινος δεόμενος ὑποθήκης, οὐκ ἀνέστρεψεν ἐπὶ τὸν στρατηγόν. τῇ δὲ ἐπιούσῃ κρατήσας τὰς διαβάσεις ὁ Χαγάνος, ἀπέκλεισεν αὐτόν. περισχίζεται τοίνυν ὁ λαὸς, καὶ ἕκαστος ὡς εἶχε δυνάμεως, διὰ τῶν ἀλσῶν ἔφυγον. θηρεύονται τοίνυν τινὲς παρὰ τῶν βαρβάρων, καὶ καταμηνύουσι Κάστον ποῦ ἐκρύπτετο, καὶ τοῦτον ζωγρήσαντες περιεκρότουν, καὶ ἠγάλλοντο. ὁ δὲ Χαγάνος διὰ τῆς μεσημβρίας ὁδεύσας, κατὰ τῆς Θρᾴκης χωρεῖ, καὶ τὰ μακρὰ τείχη κατέλαβεν. ὁ δὲ Κομεντίολος ἐν ταῖς ὕλαις τοῦ Αἵμου κρυπτόμενος, ἐξῆλθε σὺν τῷ Μαρτίνῳ· καὶ καταλαβὼν τὸν Χαγάνον ἀνετοιμάστατον διὰ τὸ τὸ πλῆθος τῶν βαρβάρων περιεσκεδάσθαι τῇ Θρᾴκῃ, πρώτῃ φυλακῇ κατ' αὐ- E τοῦ χωρεῖ. καὶ ἦν αὐτῷ μέγα τῶν ἐπιχείρων τὸ κατόρθωμα, εἰ μὴ τύχῃ τινὶ παρεσφάλη τοῦ ἐπιχειρήματος. ἑνὸς γὰρ ζώου τὸν φόρτον διαστρέψαντος, ἔκραζε τὸν δεσπότην τοῦ ζώου προστρέψαι τὸν φόρτον ἀνορθώσασθαι τῇ πατρῴᾳ φωνῇ· τόρνα, φράτρε. καὶ ὁ μὲν κύριος τοῦ ἡμιόνου τῆς φωνῆς, οὐκ ᾔσθετο. οἱ δὲ λαοὶ ἀκούσαντες, καὶ τοὺς πολεμίους ἐπιστῆναι αὐτοῖς ὑπονοήσαντες, εἰς φυγὴν ἐτράπησαν. τόρνα, τόρνα· μεγίσταις φωναῖς ἀναρα-

Hoc anno Abarum Chaganus ruptis fœderibus Mysiam & Scythiam acri bello vexabat: urbes vero Ratiarnam, Cononiam, Acys, Dorostolom, Zandapa, & Marcianopolim evertit. Commentiolus autem Anchialum profectus, milites roboris ac virtutis expertes a fortioribus segregavit: & inutiles quidem copias ad quadraginta hominum millia castra jussit defendere: delectos vero ad sex millium summam secum abducens, bis mille quidem Casto, totidem Martino tradidit: residua duo millia ipse assumpsit, & adversus barbaros perrexit. Castus Tzaparda & Æmum adveniens, cum barbaros otiantes & sine custodiis incautos comperisset, multos interfecit: reductos autem captivos & prædam abactam satellitibus commisit custodiendam. Martinus autem ad loca Tomeæ urbi contermina accedens, & præter expectationem in Chaganum impetu facto, plurimis ejus copiis penitus deletis, eum salutem fuga mercari coegit. Martinus autem parta insigni victoria, ad Ducem, ubi se eos præstolaturum dixerat, reversus est. At Commentiolus metu impulsus, Marcianopolim se recepit. Eo non invento, junctis exercitibus ad Æmi fauces castra moverunt illi. Martinus Chagano flumen trajicere conspecto ad Ducem remeat. Castus flumine pertransito barbarorum præcursoribus obviam factus, eos prælio vicit: sed nulla certa ratione adductus, regressione ad Ducem se adjungere neglexit. Quare sequenti luce omni exitu intercluso Chaganus eum superat: ex quo dissipatus exercitus, prout quisque potuit, per nemora & saltus aufugit. Nonnulli, veluti feræ venatu, a barbaris capti, ubi Castus lateret, enunciant: vivum deinde apprehensum barbari circumvallant, & saltibus tripudiisque pro victoria gaudium testantur. Chaganus itinere meridiem versus directo, in Thraciam bellum movet, & ad Longum murum accedit. Commentiolus autem Æmi sylvis tectus & occultatus, tandem cum Martino prodit foras; ubi Chaganum imparatum offendit: quod nimirum tota barbarorum multitudo per Thraciam dispersa esset, prima noctis vigilia adversus eum contendit. Et præclarum quidem ejus manibus edendum facinus offerebatur, si non adversa fortuna conatus ejus delusisset. Jumentorum enim quopiam onus in terram subvertente, cum jumenti dominum alter patria voce inclamaret, ut sublapsum onus erigeret. Torna, torna, Frater, inquiens: & muli quidem dominus vocem non audivit; ea tamen percepta hostes adesse conferta militum manus conjiciens, in fugam effusa est: Torna, torna. Verte, verte fa-

Edit. Paris. pag 218.

ciem : magnis vocibus clamitantes . Sed & Chaganus in maximum timorem conjectus , præcipitem pariter arripuit fugam: adeo ut Romanos atque Abares nullo insequente utrinque se se fugientes cernere daretur . Porro Chaganus collectis copiis Apiriam urbem denuo obsedit . Et cum forte Busam urbis machinis Præfectum cepisset , mortem viro intentabat . Busas, si modo vitam in tuto haberet , magna pecuniarum vi eam redimere rogabat . Quare vinctum ad urbis conspectum admoverunt . Is igitur enarratis , quibus civitatem demeruisset , beneficiis , cives ut libertatis pretium penderent deprecari . Ne preces audirent , civis quidam , cui cum Busæ conjuge consuetudinem fuisse rumor erat , persuasit . Porro Busas ubi se contemptum vidit, urbem Chagano se traditurum promisit : compactaque obsidionali machina , vulgus Arietem vocat , urbem invadit . Machinæ condendæ peritia instructi barbari plures alias urbes expugnarunt , collectaque captivorum ingenti præda reversi sunt . Cæterum Byzantini ubi Castum a barbaris captum intellexerunt, Mauricio gravissime obtrectare , eumque fœdis conviciis coram proscindere . Ea tempestate Heraclius, Heraclii pater , facta in Persicum castrum impressione , ipsum cepit , quemadmodum & Mazarum castrum Theodorus : inde vero ambo ad Bejudes venere . Cumque arx munitissima esset , miles quidam cognomento Sapphires paxillos quosdam præacutos commentus , eosque inter lapidum compages firmius infigens , ascensum sibi ad superiora paravit . Eum muri coronam jam superantem vir Persa deturbat inferius . Prolabitur itaque Sapphires , & sociorum clypeis cadens excipitur . Cœptum opus rursum aggreditur : & rursum pariter arce summa detruditur , & sustinetur Romanorum clypeis , & iterum consilium nititur perficere : tandem superato muri fastigio, Persæ caput amputat, eoque in aerem projecto, Romanorum animos excivit: pluribusque Herois virtutem imitantibus , & per paxillos velut per gradus murum conscendentibus , castrum in potestatem Romanorum delabitur : & Persarum quidem aliis occisis, aliis cum apparatu bellico in captivitatem ductis , igne tandem ab eis absumitur . Porro Philippicus Heraclio Romani exercitus relicto Ductore , rursus Byzantium iter parat . Tarsum adveniens , Priscum Orientis Ducem ab Imperatore creatum , jamque missum intelligit : quare scribit Heraclio , ut relicto exercitu Narsetem in Armenia conveniat , & Prisci adventum faciat manifestum . Philippicum siquidem , ut quarta stipendii parte privaret exercitum , litteris jusserat Imperator . Avaritiæ quippe morbo gravius laborabat Mauricius . At Philippicus metuens ne inde tyrannidis excitandæ occasio daretur , Imperatori minime paruit , quod se a regendi exercitus munere abdicasset . Cæterum Priscus Antiochiam appulsus , milites ad Monocartum convenire jussit: & Germano , cui Edessenorum principatus erat commissus , cum urbis Præsule advocato , eisdem comitibus perrexit ad castra una cum eis Paschalem solemnitatem peracturus . Exercitus Duces castris egressi ad passus bis mille bandis elatis processerunt obviam : Priscus pristini moris oblitus equo non desiliit , neque consuetis salutationibus eos excepit . Hæc concitati in eum odii primordia : publicas quippe & com-

Edit. Paris. pag. 219.

ζοντες. ὁ δὲ Χαγάνος μεγάλην αἰσχύνην περιβαλλόμενος, ἀκρατῶς ἔφυγε. καὶ ἦν ἰδεῖν Ἀβάρεις καὶ Ῥωμαίους ἀλλήλους διαδιδράσκοντας, μηδενὸς διώκοντος. ὁ δὲ Χαγάνος ἀναλαβὼν τὰς δυνάμεις τὴν Ἀππιαρίαν πάλιν περιεκάθισεν· εὑρὼν δὲ Βουσᾶν τὸν τῆς πόλεως Μαγγανάριον ἀνελεῖν αὐτὸν ἐπειρᾶτο. ὁ δὲ Βουσᾶς παρεκάλει χρήματα ἱκανὰ αὐτῷ παρέχειν, εἴπερ τὸ ζῆν αὐτῷ φιλοτιμήσοιτο· οἱ δὲ τοῦτο δεσμήσαντες τῇ πόλει παρέστησαν. αὐτὸς δὲ ἐζήτει τοὺς τὴν πόλιν οἰκοῦντας ὠνήσασθαι αὐτὸν, διηγούμενος ὅσα ὑπὲρ τῆς πόλεως ἠγωνίσατο. πολίτης δέ τις ἀνέπεισε μὴ τοῦτον ποιεῖν, λόγος δὲ τοῦτον τῇ Βουζᾶ γυναικὶ παραδυνάζεσθαι. ἐπεὶ τοίνυν κατεφρονήθη Βουζᾶς, ὑπέσχετο Χαγάνῳ παραδιδόναι τὴν πόλιν. καὶ πολιορκητικὸν ὄργανον συμπηξάμενος, ὃν κριὸν ὀνομάζουσι, τὴν πόλιν παρέλαβε. μαθόντες δὲ οἱ βάρβαροι τὸ τεχνούργημα, πλείστας καὶ ἄλλας πόλεις ἐδουλώσαντο, καὶ μετὰ πολλῆς αἰχμαλωσίας ὑπέστρεψαν. ἀκούσαντες δὲ οἱ Βυζάντιοι, ὅτι Κάστος ὑπὸ τῶν βαρβάρων αἰχμάλωτος γέγονε, μεγάλαις λοιδορίαις κατὰ Μαυρικίου ἐχρῶντο, καὶ εἰς φανερὸν τοῦτον ἐβλασφήμουν. κατ' ἐκεῖνον δὲ τὸν χρόνον Ἡράκλειος ὁ τοῦ Ἡρακλείου πατὴρ Περσικῷ φρουρίῳ προσβάλλει· καὶ τοῦτο εἷλεν. ὁμοίως καὶ Θεόδωρος τὸ Μαζαρὸν φρούριον. ἀμφότεροι δὲ εἰς τὸ Βειοῦδες παραγίνονται. καὶ τοῦ φρουρίου ὀχυροῦ ὄντος, στρατιώτης τις Σαπφίρης ὀνόματι σκόλοπας τεχνουργήσας, καὶ κατὰ τὰς ἁρμογὰς τῶν λίθων τούτους πηγνύων, τὴν ἄνοδον ἐποιήσατο. ὡς δὲ ἐπέβη ἐκεῖνος τῇ στεφάνῃ τοῦ τείχους, Πέρσης ἀνὴρ τοῦτον ἐξώθησε. πίπτει οὖν ὁ Σαπφίρης καὶ ὑποδέχονται αὐτὸν οἱ Ῥωμαῖοι ταῖς ἀσπίσι· καὶ αὖθις τοῦ ἔργου κατατολμᾷ· καὶ πάλιν ἐξωθεῖται τοῦ ὀχυρώματος· πάλιν δὲ οἱ Ῥωμαῖοι ταῖς ἀσπίσιν αὐτὸν ὑποδέχονται, καὶ πάλιν πρὸς τὴν ἐπιβουλὴν ἐνεχείρησεν. ἐπὶ δὲ κεφαλῇ τοῦ τείχους γενόμενος, τὸν Πέρσην ἀπέτεμεν· εἶτα τὴν κεφαλὴν ὑπατεύσας, Ῥωμαίους θάρσους ἔπλησε. καὶ πολλῶν μιμησαμένων τὸν ἀριστέα, καὶ διὰ πασσάλων ἐπιβάντων τοῦ τείχους, παραδίδοται Ῥωμαίοις τὸ φρούριον· καὶ τοὺς μὲν Περσῶν ἀνεῖλον, τοὺς δὲ αἰχμαλώτους λαβόντες σὺν τῇ ἀποσκευῇ τὸ φρούριον πυρὶ παρέδωκαν. ὁ δὲ Φιλιππικὸς αὖθις εἰς Βυζάντιον τὴν ὁδὸν ἐποιήσατο, Ἡράκλειον καταλιπὼν ἡγεμόνα Ῥωμαίων. ἐλθὼν δὲ εἰς Ταρσὸν, καὶ μαθὼν ὅτι ὁ βασιλεὺς Πρίσκον ἀνατολῆς στρατηγὸν χειροτονήσας ἀπέστειλε, γράφει Ἡρακλείῳ καταλιπόντι τὸ στράτευμα εἰς Ἀρμενίαν παραγενέσθαι πρὸς Ναρσῆν, καὶ τὴν τοῦ Πρίσκου παρουσίαν κατάδηλον ποιῆσαι. ἦν γὰρ ὁ αὐτοκράτωρ τῷ Φιλιππικῷ κελεύσας τετάρτην μοῖραν τῆς ῥόγας τὸν στρατὸν ἀποστερῆσαι. ἐνόσει γὰρ Μαυρίκιος τὸ φιλόχρυσον. ὁ δὲ Φιλιππικὸς φοβηθεὶς μὴ ἀφορμὴ τυραννίδος γένηται τοῦτο, τῷ βασιλεῖ οὐχ ὑπήκουσε, διὰ τὸ τῆς στρατείας ἀποπαύεσθαι. Πρίσκος δὲ καταλαβὼν τὴν Ἀντιόχειαν προστάττει τοὺς στρατιώτας ἐπὶ τὸ Μονόκαρτον συναχθῆναι· προσκαλεῖται δὲ καὶ Γερμανὸν τὸν τὴν Ἐδεσσηνῶν ἀρχὴν πεπιστευμένον σὺν τῷ ἐπισκόπῳ· καὶ σὺν αὐτοῖς πρὸς τὸ στρατόπεδον ἀπήρχετο, τὴν ἑορτὴν τοῦ Πάσχα σὺν αὐτοῖς ποιησόμενος. οἱ δὲ ἡγεμόνες τοῦ στρατοῦ ὑπήντησαν αὐτῷ μετὰ τῶν βάνδων ἀπὸ δύο σημείων τοῦ στρατοπέδου. ὁ δὲ Πρίσκος κατὰ τὸ εἰωθὸς οὐκ ἀπέβη τοῦ ἵππου, οὐδὲ ταῖς συνήθεσι προσηγορίαις ἐχρήσατο. ἐντεῦθεν αὐτῷ τοῦ μίσους γέγονεν ἔναρξις. ἐπὶ τῇ κοινῇ γὰρ

ὕβρεσι τὰ πλήθη ἀνιῶνται· μετὰ δὲ τὴν ἑορτὴν τὰ τοῦ βασιλέως σοβαρῶς ἐπιδείκνυσι γράμματα. συῤῥέουσι τοίνυν τὰ πλήθη ἐπὶ τὸ στρατηγοῦ σκηνοπήγιον, τὰ μὲν ξίφη ἐπιφερόμενα, τὰ δὲ λίθους, τὰ δὲ ξύλα. γίνεται τοίνυν περιδεὴς ὁ Πρίσκος, καὶ ἐπιβὰς τοῦ ἵππου φυγῇ ἀπέδρα τὸν κίνδυνον. οἱ δὲ διαῤῥήξαντες τὸ τούτου σκηνοπήγιον, πάντα τὰ αὐτοῦ διήρπασαν. ὁ δὲ καταλαβὼν τὴν Κωνσταντίαν ὑπὸ ἰατρῶν τὰς βολὰς τῶν λίθων καὶ τὰ ἕλκη ἐθεραπεύετο. καὶ ἀποστέλλει τὸν ἐπίσκοπον τῆς πόλεως ἀπολογούμενος τῷ στρατοπέδῳ, ὑπισχνούμενος πείθειν τὸν αὐτοκράτορα μηδὲν αὐτοῖς ἀποστρέφειν τῶν εἰωθότων παρασχέσθαι. ὁ δὲ στρατὸς τὸν ἐπίσκοπον μετὰ ὕβρεως παρέπεμπε, τόν τε Γερμανὸν ἄκοντα στρατηγὸν ἀνηγόρευσεν ἐπὶ ἀσπίδος ὑψώσαντες, τούς τε βασιλικοὺς ἀνδριάντας κατέστρεψαν, καὶ τὰς τούτου εἰκόνας ἀφάνισαν, καὶ ἐπὶ τυραννίδα χωρεῖν ἔμελλον, καὶ τὰς πόλεις σκυλεύειν, εἰ μὴ ὁ Γερμανὸς πολλῇ παραινέσει καὶ νουθεσίᾳ τούτους ἐκώλυσεν. ὁ δὲ Πρίσκος ταῦτα τῷ βασιλεῖ κατάδηλα πεποίηκε. καὶ ὁ βασιλεὺς πάλιν τὸν Φιλιππικὸν τῆς ἀνατολῆς στρατηγὸν πεποίηκε· καὶ ὁ Πρίσκος πάλιν εἰς Βυζάντιον ὑπέστρεψεν· ὁ δὲ στρατὸς ὅρκοις κατησφαλίζετο μηδαμῶς ὑπὸ Μαυρικίου βασιλεύεσθαι. οἱ δὲ βάρβαροι ταῖς ῥωμαϊκαῖς συμφοραῖς ἐνετρύφων. ὁ δὲ αὐτοκράτωρ Ἀριστόβουλον τὸν Κουράτορα τῶν βασιλικῶν οἴκων πρὸς τὸν στρατὸν ἀπέστειλεν, ὅπως ὅρκοις καὶ δώροις διαλύσῃ τὴν τυραννίδα· ὃ καὶ πεποίηκε. τῆς δὲ τυραννίδος ἀποσπασθείσης γίνεται Περσῶν καὶ Ῥωμαίων κατὰ τὴν Μαρτυρόπολιν πόλεμος μέγιστος. τῶν δὲ Ῥωμαίων δυνάμει καὶ στρατηγίᾳ καταπολεμησάντων τοὺς Πέρσας, ἀναιρεῖται ὁ τῶν Περσῶν στρατηγὸς Βαρούζας· συλλαμβάνονται δὲ καὶ ζῶντες τρισχίλιοι, καὶ οἱ τῶν Περσικῶν ταγμάτων ταξίαρχοι· χίλιοι μὲν οἱ τὸν ἀριθμὸν διεσώθησαν, οἳ καὶ μετὰ κινδύνων ἐπὶ τὴν Περσίδα ἀνέστρεψαν. οἱ δὲ Ῥωμαῖοι ἐκπέμπουσι πρὸς τὸν αὐτοκράτορα ἐκ τῶν Περσικῶν λαφύρων πολλά, καὶ τοὺς ζωγρηθέντας ἅπαντας σὺν τοῖς βάνδοις. ὁ δὲ Μαυρίκιος ἔκτισε τὸν Καριανὸν ἔμβολον ἐν Βλαχέρναις ὑπογράψας ἐν αὐτῷ διὰ ζωγράφων τὰς ἑαυτοῦ ἐκ παιδόθεν πράξεις μέχρι τῆς αὐτοῦ βασιλείας· καὶ ἀνεπλήρωσε τὸ ἐν αὐτῷ δημόσιον λουτρόν.

A munes injurias haud patienter ferunt milites. Exacta festorum celebritate, Imperatoris litteras magno cum fastu obtulit. Concurrunt igitur ad Ducis tentorium milites, & hi quidem gladios stringunt, illi lapides intentant, alii vibrant fustes & ligna. Quare Priscus metu consternatus, conscenso equo, fuga periculo se subducit. Illi tentorio ejus discerpto, cunctam supellectilem diripiunt. Interim Priscus Constantiam deveniens, contusiones a lapidum jactu acceptas aliaque vulnera medicorum ope curavit: misitque urbis Episcopum, qui defensionem sui apud exercitum susciperet, promittens se Imperatori suasurum, ut nihil eorum, quæ solent erogari, detraheretur. Exercitus autem Episcopum probris onustum remisit: & Germanum quamvis renitentem clypeis sublatum Ducem appellant: & eversis Imperatoris statuis, deletisque ejus imaginibus, in apertam prorupissent tyrannidem, urbesque devastationibus cinxissent; nisi Germanus, qua minis, qua inhortationibus milites cohibuisset: de quibus omnibus Imperatorem Priscus fecit certiorem: is vero Philippicum Orientis Ducem iterum constituit: Priscus autem iterato Byzantium repetiit. Exercitus vero Mauricio se haud amplius in bellis obsequuturos adhibitis juramentis affirmare: ex quo barbari de Romanis calamitatibus lætari, & in voluptatem dilabi. Demum Imperator Aristobulum Imperialium domorum Curatorem ad exercitum summisit, qui fide per juramentum asserta, nec non muneribus distributis excitatam tyrannidem dilueret, quod fideliter præstitit. Ea tyrannide distracta vehemens Romanos inter & Persas ad Martyropolim commissum est bellum. Romanis vero bellico robore militiæque peritia Persas exsuperantibus, Persarum Dux Baruzas interficitur, vivi ad ter mille comprehenduntur, in quibus Persicorum ordinum præcipui Rectores. Soli numero mille periculo servati, qui denuo periculis fatigati Persidem repetere permissi sunt. Cæterum partem ex Persicis spoliis spectatissimam Romanus exercitus ad Imperatorem transmisit, quos nimirum vivos cepit, & erepta in prælio cuncta banda. Ædificavit porro Mauricius ad Blachernas Carianam porticum, cunctaque a pueris ad susceptum usque imperium a se gesta pictorum arte in ea descripsit; & publicum quod illic habebatur balneum absolvit.

Edit. Paris. pag. 220.

Κόσμου ἔτη ͵ϛπ'.	Τῆς θείας σαρκ. φπ'.	Ῥωμ. βασιλ. Μαυρίκιος ἔτη κ'.	Περσῶν βασ. Ὁρμίσδας ἔτη ιε'.		Κωνστ. ἐπίσκ. Ἰωάννης ἔτη γ'.	Ἱεροσ. ἐπίσκ. Ἰωάννης ἔτη κ'.	Ἀλεξ. ἐπίσκ. Εὐλόγιος ἔτη κζ'.	Ἀντ. ἐπίσκ. Γρηγόριος ἔτη κδ'.
		η'	ιε'		ζ'	ιϛ'	θ'	ιη'

Anni mundi 6080.	Divinæ Incarn. 580.	Rom. Imp. Mauricius annis 20.	Persarũ rex Holmisdes annis 15.		Constant. Epis. Joannes annis 13.	Hierosol. Episc. Joannes annis 20.	Alex. Episc. Eulogius annis 27.	Ant. Epis. Gregorius annis 24.
		8	15		7	16	9	18

Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβ. ἰνδικτ. ϛ'. οἱ Λογγίβαρδοι κατὰ Ῥωμαίων πόλεμον ἤραντο, καὶ τὰ Μαυρουσίων ἔθνα κατὰ τὴν Ἀφρικὴν μεγάλας ταραχὰς ἐποιήσαντο. ἐν δὲ τῇ Περσίδι φυλακὴ ὑπάρχει λεγομένη Λήθη, ἐν ᾗ πολλοὺς ὁ τῶν Περσῶν βασιλεὺς διαφόρων ἐθνῶν ἐν ταύτῃ κατέκλεισε σὺν τοῖς αἰχμαλώτοις τῆς πόλεως τοῦ Δαρᾶς. οὗτοι οὖν ἀπογνόντες ἑαυτοὺς ἐπανέστησαν κατὰ τῶν φυλασσόντων αὐτούς· καὶ ἀναλώσαντες τὸν Μανουσάν, καὶ τὴν τούτου ἀδελφὴν λαβόντες εἰς τὸ Βυζάντιον ἧκον. ὁ δὲ βασιλεὺς μετὰ χαρᾶς μεγάλης αὐτοὺς ὑπεδέξατο· τὸν δὲ Φιλιππικὸν μόλις στρατηγὸν ὁ στρατὸς κατεδέ-

Hoc anno mense Septembri, indictione sexta, Longobardi adversus Romanos bellum moverunt: & Maurusiorum gentes per totam Africam magnos excitarunt tumultus. Extat porro carcer in Perside, cui nomen Lethe, id est Oblivio, quo Persarum rex ex diversis nationibus plurimos, cum iis qui ad Daras capti fuer, inclusit. Illi desperata libertate adversus custodes seditionem movent, & interfecto Manusa, sororem ejus captam secum Byzantium abducunt: quos Imperator summa animi lætitia excepit. Porro Philippicum vix Romanus exercitus agnovit

pag. 221.

Ducem. Prælio vero Romanos inter & Persas exorto, vincuntur Romani; Philippicum vero regendi exercitus munere abdicatum, Comentiolo Orientis Duce misso, Imp. revocavit. Qui cum Nisibim accessisset, Persæ vero ad Sarbanum subsisterent, manus invicem conseruere. Eo conflictu Heraclius, Heraclii pater, fortiter in prælio se gerens Persarum Ducem occidit: quo sublato vertuntur in fugam Persæ: quos cum Romani insequuti fuissent, prædam abegerunt innumeram; bellicumque omnem apparatum multaque spolia capientes, cuncta Byzantium transmisere. Imperator vero equestribus spectaculis & publicis conventibus & festivitatibus Urbem exhilaravit, & ob partam victoriam triumphum duxit. Hormisdas porro Baram Ducem designans, cum ingentibus copiis in Suaniam transmittit. Hic impressione in eam facta, Turcos Persicæ potestati armorum vi omnino subjicit, adeo ut Hormisdæ res tantum inde ceperint incrementum, ut quadraginta auri millia in vectigal annuum Turcis imperaret: cum ipse Turcis antea tantundem penderet. Baram ea victoria circa res bellicas magnum nomen adepto, & ad Araxem fluvium jam castra metante, certior factus Mauricius Romanum Ducem institutum cum exercitu in Suaniam dirigit. Is ubi Lazicam devenit, & ad Phasidem amnem appulit, in Albaniam castra movet. Baram Roman. aciem adesse intelligens, factum ridebat: & nondum inito illi cum Romanis certamine, Romanam bellandi artem experiri cupiebat. Trajecto itaque vicino sibi flumine, ad interiores Persidis provincias Romanos pertracturus, progrediebatur. Romanus bipertito exercitu bello inexpertos ad impedimenta reliquit, & cum reliquis decem millibus selectis barbaros insequutus est. Ex his bis mille cæteros præcedere, & cursu anteire jubentur, qui Persarum paribus præcursoribus obviam facti vertunt eos in fugam, & cunctos tandem trucidant. Fuga quippe arrepta in objectum præcipitium lapsi, & angustiis undique conclusi cuncti perierunt. Romanis inde ad vallum usque Persarum penetrantibus, Baram de tanta virtute obstupuit. Romanus his nunciis militum animos excitat, & in Albaniæ campis castra metatur. Baram dolis potius quam aperto Marte victoriam suffurari meditatus, consiliis excidit: summa quippe bellandi peritia excellebat Romanus. Consertis tandem ad utramque partem manibus, multisque barbarorum occisis, præclara Romanis relicta est victoria. Direptis spoliis barbarorum cadavera in ferarum escas per agros passim exposita jacuere. Quibus auditis Persarum rex tanti dedecoris impatiens, muliebri veste ad Baram missa, Ducis munere eum privavit. Quare novandis rebus animum Baram applicat, & tyrannidem excitare molitur: Hormisdam insuper per litteras contumeliis reverberat, affixa in hæc verba inscriptione: Hormisdæ Chosrois filiæ. Et hæc quidem Baram scripsit. Ad hæc cum exercitu colloquutus, ob cladem a Romanis acceptam, Hormisdam militibus graviter succensere, asseveravit: Fictas quoque litteras tamquam ab Hormisda missas, quibus militaria stipendia juberentur minui ostendit: quam immite denique foret Hormisdæ ingenium, quam in immanitatem proclive, quanta pecuniæ cogendæ libido, quam

Edit. Paris. pag. 222.

A ξατο. πολέμου δὲ Ῥωμαίων καὶ Περσῶν ἐν Μαρτυροπόλει γεγονότος ἡττῶνται Ῥωμαῖοι· καὶ ὁ αὐτοκράτωρ πάλιν τῆς στρατηγίας τὸν Φιλιππικὸν διαδεξάμενος, Κομεντίολον στρατηγὸν τῆς ἀνατολῆς ἀπέστειλεν. ὁ δὲ Κομεντίολος περὶ τὴν Νίσιβιν γενόμενος, καὶ οἱ Πέρσαι κατὰ τὸν Σαρβανὸν ἀλλήλοις συνέβαλον. Ἡράκλειος δὲ ὁ τοῦ Ἡρακλείου πατὴρ εὐδοκιμήσας ἐν τῷ πολέμῳ ἀνεῖλε τὸν τῶν Περσῶν στρατηγόν. τοῦ δὲ ἀναιρεθέντος τρέπονται, καὶ διώκουσι Ῥωμαῖοι. πολλῆς δὲ τῆς ἁλώσεως ἐν αὐτοῖς γενομένης παραλαμβάνουσι καὶ τὸ τοῦλδον, καὶ πολλὰ λάφυρα ἐν Βυζαντίῳ ἐκπέμπουσιν. ὁ δὲ αὐτοκράτωρ ἱππικαῖς θεωρίαις καὶ πανηγύρεσι τὴν πόλιν εὐφραίνων, καὶ τὰς νίκας ἐθριάμβευσεν. ὁ δὲ Ὁρμίσδας
B στρατηγὸν χειροτονήσας τὸν Βαρὰμ ἅμα δυνάμεσι πολλαῖς κατὰ Σουανίας ἐκπέμπει. αὐθαιρέτως δὲ ταύτῃ ἐπιστάς, καταπολεμηθέντων τῶν Τούρκων ὑπὸ τῶν Περσῶν, τοσοῦτον Ὁρμίσδας ηὐξήθη, ὡς καὶ φόρους μʹ. χιλιάδας χρυσοῦ παρὰ τῶν Τούρκων λαβεῖν, πρότερον τοῦτο τὰ ἴσα τοῖς Τούρκοις τελοῦντος. τοῦ δὲ Βαρὰμ περιδόξου κατὰ τὸν πόλεμον τοῦτον γεγονότος, καὶ εἰς τὸν Ἀράξην ποταμὸν στρατοπεδευομένου, ὁ Μαυρίκιος τοῦτο μαθὼν Ῥωμανὸν χειροτονεῖ στρατηγόν, καὶ ἐν Σουανίᾳ μετὰ δυνάμεως πέμπει· καταλαβὼν δὲ ὁ Ῥωμανὸς τὴν Λαζικήν, καὶ εἰς τὸν Φᾶσιν λεγόμενον ποταμόν, ἐπὶ τὴν Ἀλβανίαν στρατοπεδεύεται. ὁ δὲ Βαρὰμ τὸν τῶν Ῥωμαίων στρατὸν ἐπιδημήσαντα ἀκηκοώς, διεγέλα τὸ πρᾶγμα· ἐπεθύμει δὲ καὶ Ῥωμαϊκῆς παρατάξεως πεῖραν λαβεῖν· οὐ γὰρ ἦν ποτε Ῥωμαίοις πολεμήσας. διαβὰς τοίνυν τὸν γείτονα ποταμόν,
C ὡς ἐπὶ τὰ ἐνδότερα μέρη τῆς Περσίδος τοὺς Ῥωμαίους ἐφελκόμενος ᾔει· ὁ δὲ Ῥωμανὸς τὴν Ῥωμαϊκὴν πληθὺν ἐχώριζε, τοὺς ἀδοκίμους εἰς τὸ τοῦλδον καταλιπών, καὶ δέκα χιλιάδας ἐπιλέκτους παραλαβὼν κατὰ τῶν βαρβάρων ἐχώρει· δύο δὲ χιλιάδας προτρέχειν τοῦ στρατοῦ παρακελεύεται· οἵτινες συναντήσαντες τοὺς προτρέχοντας τῶν Περσῶν, τούτους τρέπουσι, καὶ πάντας ἀνάλωσαν. τῆς γὰρ φυγῆς γεναμένης, καὶ κρημνοῦ συναντος αὐτοῖς, ἀποκλεισθέντες πάντες ἀνηλώθησαν. οἱ δὲ Ῥωμαῖοι μέχρι τοῦ χάρακος τῶν βαρβάρων ἐγένοντο, ὡς καταπλαγῆναι τὸν Βαρὰμ ἐπὶ τούτῳ. ταῦτα ἀκηκοὼς Ῥωμανὸς παραθαρρύνει τὸ στρατόπεδον, καὶ παρατάσσονται ἐν πεδίῳ τῆς Ἀλβανίας. ὁ δὲ Βα-
D ρὰμ ἀπεπειρᾶτο κλέψαι τὸν πόλεμον· διητύχησε δὲ τοῦ βουλεύματος· συνέσει γὰρ ὁ Ῥωμανὸς ἐκεκόσμητο. συμβαλόντων δὲ ἀλλήλοις, καὶ πολλῶν ἀναιρεθέντων, μεγίστη Ῥωμαίων γίνεται νίκη· σκυλεύονται τοίνυν οἱ βάρβαροι, καὶ ταφῆς ἀμοιρήσαντες, θηρίοις γίνονται κατάβρωμα. τούτων ἀκούσας ὁ τῶν Περσῶν βασιλεύς, καὶ τὴν αἰσχύνην μὴ φέρων, γυναικείαν [illegible] ἐσθῆτα τῷ Βαρὰμ ἐξέπεμψε· καὶ τῆς στρατηγίας τοῦτον ἀπέπεμψε. νεωτερίζει τοίνυν ὁ Βαρὰμ, καὶ πρὸς τυραννίδα χωρεῖ· καὶ ἀνθυβρίζει διὰ γραμμάτων τὸν Ὁρμίσδαν, ἐπιγράψας τὴν ἐπιστολήν. Ὁρμίσδᾳ τῇ θυγατρὶ Χοσρόου. ὁ Βαρὰμ ταῦτα στέλλει. συναγαγὼν δὲ τὰ στρατόπεδα, ἔφασκεν ἀγανακτεῖν
E τὸν Ὁρμίσδαν κατὰ τῶν στρατευμάτων, ὡς ὑπὸ Ῥωμαίων ἡττηθέντων. ὑποδείκνυσι δὲ καὶ ἐπίπλαστα γράμματα, ὡς ἀπὸ Ὁρμίσδα, πρὸς τὸ ὑπομειῶσαι τὰς τῶν στρατιωτῶν ῥόγας, ὑπομιμνήσκων αὐτούς τό, τε ἀπηνὲς τοῦ Ὁρμίσδα, καὶ ὠμότατον, τὸ φιλάργυρόν τε, καὶ βίαιον· καὶ ὅπως φόνοις μὲν ἀρεσκό-

ἀρισκόμϑμος, εἰρήνης δὲ ἀπεχόμϑμος, καὶ τοὺς μεγιστᾶνας δεσμοῖς καθυπέβαλλε· καὶ τοὺς μὲν ξίφει ἀπέτεμεν, τοὺς δὲ ἀπέπνιξεν ἐν τῷ Τίγριδι· καὶ πῶς κατηνάγκαζε Πέρσας ἐν μεγάλοις πολέμοις χωρεῖν ὅπως διαφθαρῶσι, καὶ μὴ κατ' αὐτοῦ στασιάσωσι. τούτοις τοῖς λόγοις συμβαλὼν ὁ Βαρὰμ τὰ στρατεύματα, τυραννίδα μεγάλην κατὰ Ορμίσδα ἐξῆψε· καὶ ὅρκοις τὸν Βαρὰμ ὀχυρώσαντες δογματίζουσι πάντες καθελεῖν τὸν Ορμίσδαν. Ορμίσδας δὲ Φερογάνην τὸν μάγειρον αὐτοῦ καθοπλίσας, μετὰ δυνάμεως ἀπέστειλε κατὰ Βαράμ. ὁ δὲ Βαρὰμ ἐδήλου τῷ Φερογάνῃ καὶ τοῖς στρατεύμασιν, ὅτι οὐ δεῖ ὅπλα κατὰ Περσῶν ἐπιφέρεσθαι Πέρσας· καὶ ὑπεμίμνησκεν αὐτοὺς τὴν τοῦ Ορμίσδα τραχύτητα, τὸ ἄδικον, τὸ αἱμοχαρὲς, καὶ φιλόπονον, τὸ ἄπιστον, τὸ ἀλαζονικόν τε, καὶ βίαιον. τούτων αἰσθόμϑμοι ἀληθῶς εἰρημένων οἱ περὶ τὸν Φερογάνην λαοὶ πρὸς Βαρὰμ μετατίθενται· καὶ τὸν Φερογάνην ἀνελόντες τῷ Βαρὰμ ἡνώθησαν· καὶ ἐπὶ Κτησιφῶντα ὥρμησαν. ὁ δὲ Ορμίσδας εἶχεν ἐν δεσμοῖς Βινδόην τὸν ἐν ἀξίᾳ μεγάλῃ τελοῦντα. ἐν δὲ σάλῳ μεγάλῳ τῶν πραγμάτων ὄντων Βεσδὰν ὁ τοῦ Βινδόου ἀδελφὸς εἰς τὴν φρουρὰν εἰσπηδήσας, εἰσάγει Βινδόην τὸν ἀδελφὸν αὐτοῦ, καὶ συναθροίσαντες πλῆθος ἀγροίκων τε, καὶ πολιτῶν τρίτῃ ὥρᾳ τῆς ἡμέρας εἰσέρχεται εἰς τὰ βασίλεια· καὶ εὑρόντες τὸν Ορμίσδαν ἐπὶ θρόνου βασιλικῶς καθεζόμϑμον, ὕβρεσι τοῦτον πολλαῖς καθυπέβαλλον. ὁ δὲ Βινδόης κρατήσας τὸν Ορμίσδαν, ἀφείλετο τὸ διάδημα ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, καὶ εἰς φρουρὰν τοῦτον παρέδωκε· παρεκάλει δὲ Χοσρόην τοῦ πατρῴου θρόνου ἀναδέξασθαι. ὁ δὲ Ορμίσδας ἐκ τῆς φρουρᾶς ἄγγελον ἐξέπεμψε τοῖς Πέρσαις, αἰτούμϑμος λαλῆσαι τὰ συμφέροντα τῇ Περσίδι· γίνεται τοίνυν τῇ ἐπαύριον, καὶ συναθροίζεται ἡ σύγκλητος τῶν Περσῶν ἐν τοῖς βασιλείοις σὺν τῷ πλήθει, καὶ ἄγουσι τὸν Ορμίσδαν δέσμιον. ὁ δὲ Ορμίσδας ἀνεμίμνησκε Πέρσας, ὡς οὐ δεῖ περὶ τοὺς βασιλεῖς ταῦτα ἐξαμαρτάνειν· καὶ ὅσα ἀφ' οὗ ἐβασίλευσε τρόπαια πεποίηκε, καὶ ὅσα εὐηργέτησε Πέρσας, καὶ ὅσους φόρους Τούρκων πλεῖν τῇ Περσίδι πεποίηκε· Ῥωμαίους δὲ εἰρήνης ἐρᾶν, καὶ ὅπως τὴν Μαρτυρόπολιν παρέλαβε, καὶ τὰς πατρῴας ἀριστείας ἐξήγγειλεν. ἠξίου δὲ ἀποχειροτονηθῆναι Χοσρόην τῆς βασιλείας, ὡς φιλάδικον, καὶ ἄπληστον, καὶ αἱμοχαρῆ, ὑπεροπτικόν τε, καὶ ὑβριστὴν, καὶ φιλοπόλεμον· ὑπεῖναι δὲ αὐτῷ παῖδα, καὶ τοῦτον μᾶλλον εἰς βασιλέα προχειρίσασθαι παρεκάλει· Βινδόης δὲ πρὸς Ορμίσδαν ἀντέλεγε, καὶ τὰ τούτου σφάλματα εἰς μέσον προβαλλόμϑμος πάντας διήγειρε κατὰ τοῦ Ορμίσδου. καὶ ἄγουσιν εἰς μέσον τήν τε γυναῖκα Ορμίσδου, καὶ τὸν υἱόν· καὶ τοῖς προσειωθόσιν ἐπ' ὄψεσιν Ορμίσδου τούτους ἐδιχοτόμησαν. τὸν δὲ Ορμίσδαν τυφλώσαντες, τῇ φρουρᾷ ἐναπέθεντο. καὶ ὁ μὲν Χοσρόης ἄχρι τινὸς τὸν πατέρα ἐφιλοφρόνησεν ἐν τῇ φρουρᾷ, πᾶσαν ἡδονὴν παρέχων· ὁ δὲ Ορμίσδας ὕβρεσι τοῦτον ἠμείβετο, καταπατῶν

propensus in violentiam animus ipsis in memoriam revocare; ut cædibus gaudeat, pacem aversetur, vinculis subjecerit optimares; quos partim gladio, partim Tigridis fluentis absumpsit; ut Persicos exercitus diuturna bella sustinere coactos minuere satagat ac penitus labefactare, ne tumultus aut seditionem in eum moveant, ob oculos proponere. His verbis exercitum adversus Hormisdam committens maximam in eum rebellionem excitavit. Fidem vero suam adhibito jurejurando Baram obstringentes, Hormisdam regno depellere, & e medio tollere decreverunt. At Hormisdas Pheroganem coquum suum armis instructum & magno exercitu stipatum contra Baram summisit. Baram ex adverso Pherogani & exercitui, a Persis in contribules Persas arma non movenda, significat: una simul asperum Hormisdæ animum, ut nefariis actibus, ac cædibus gaudeat, ut labore milites opprimat, solerter exponit: his addit fidei constantiam, fastum arrogantem, & supra modum animi motus violentos. Pheroganis milites, ubi hæc, quæ alioqui vera erant, intellexere, ad Baram defecerunt, & Pherogane occiso illius exercitui se adjunxere; & ad Ctesiphontem profecti sunt. Sub id vero tempus Bindoes amplissimæ dignitatis vir ab Hormisda in vinculis detinebatur. Porro in negotiorum procella summaque animorum perturbatione, Besdas Bindois frater in carcerem irrumpens, Bindoem fratrem inde extraxit: & collecta rusticorum atque civium turba, sub tertiam diei horam Palatium ingressi, Hormisdam, quem regali habitu throno insidentem repetere, contumeliis variisque appetunt injuriis. Bindoes autem Hormisdam apprehendens diadema ab ejus capite avulsit, ipsumque in carcerem detrusit; Chosroem vero ut paternum solium reciperet hortatus est. Hormisdas autem summisso ex carcere ad Persas nuncio, ut sibi, quæ e Persarum re forent, dicendi copiam facerent, deprecatus est. Indictus ergo in sequentem diem frequens Persarum conventus: qui ubi una cum plebe in Regia congregatus fuit, Hormisdam vinctum coram adduci jussit. Hormisdas primum in reges, quæ pateretur, non committenda, Persas monere: tum vero, quæ tulisset trophæa, quæ bona contulisset, quantis tributis a Turcis deinceps pendendis Persicas res auxisset commemorare: ut pacem quærere coegisset Romanos, ut Martyropolim subegisset, quantis etiam apud Persas pater excelluisset præclaris facinoribus, enarrare: Quare Chosroem ceu dissidiorum cupidum, avaritiæ voraginem, cædibus assuetum, præsumptuosum, injuriis inferendis pronum, bellorumque tumultibus gaudentem regno privandum: minorem sibi esse filium, quem potius regem promovendum persuadebat. At Bindoes adversus Hormisdam perorans, & quos turpiter lapsus admisisset coram enumerans, consessum universum in Hormisdam incendit. Uxorem tandem & filium Hormisdæ producunt in medium, & sub ipsius Hormisdæ conspectu serra medios dividunt: eum vero oculis privatum conjecerunt in carcerem. Ac nonnullo quidem dierum intervallo patrem in custodia benigne excepit Chosroes, suppeditaris etiam, quæ volupe forent, deliciis: Hormisda vero missa a rege munera pe-

Edit. Paris. pag. 223.

dibus conculcante, & injurias convitiaque rependente, Chosroes ira percitus, fustibus agrestibus per ilia usque ad necem cædi jussit. Tam immane facinus Persas afflixit, & omnium odium adversus Chosroem provocavit. Chosroes collectis armatorum copiis regia se subduxit, & adversus in Zabæ fluminis planitiem, qua Baram cum castris consederat, perrexit. Optimatum vero suorum in Baram partes inclinare Chosroes suspicatus, eos morti tradidit: ex quo tumultuantibus copiis Chosroes cum paucis fugam inire cogitur: reliquus autem exercitus totus ad Baram defecit. Quamobrem Chosroes quid sibi agendum foret incertus, cum alii ad Turcos, ad Romanos alii secedere suaderent, conscendens equum, frænumque remittens, spontaneos equi motus cæteros omnes sequi jussit. Equus autem ad Romanorum fines progressus, ad Cercesium venit: tum vero Legatos misit, qui adventam suum Romanis nunciarent. Contigit autem Probum Patricium ibi forte repertum eum excipere, & per litteras, quæ ad eum spectarent, cuncta Imperatori significare. Porro Baram ne Chosroi suppetias ferret Imperator missis ad eum Legatis oravit. At Mauricius Imperator Comentiolo mandavit Chosroem Hierapoli susciperet, & regiis honoribus prosequeretur. Cæterum hoc etiam anno celebrandæ ad Blachernas supplicationis in sanctæ Deiparæ exemplar & normam Imperator Mauricius dedit, & Dominæ encomia recitari jussit, idque Panegyrim nuncupavit.

Edit. Paris. pag. 224.

Anni mundi 6081.	Divinæ Incarn. 581.	Rom. Imp. Mauricius annis 20.	Persarum rex Cosroes annis 39.		Constant. Episc. Joannes annis 13	Hierosol. Episc. Joannes annis 20	Alex. Episc. Eulogius annis 27.	Ant. Episc. Gregorius annis 24.
		7	1		6	17	10	19

Hoc anno Chosroe Persarum rege in filium adoptato, Domitianum Melitines Episcopum sanguine sibi conjunctum ad eum misit Imperator Mauricius una cum Narsete, cui belli & exercitus regendi supremam contulit potestatem. Illi Chosroe secum ducto, & universis Romanis copiis sibi adjunctis in Persiam irrumpunt. Baram eo accepto nuncio, quem secum habuit exercitum, loco cui nomen Alexandrina constituit, & castra metatus, copias ex Armenia eductas ne Narseti aggregarentur, impedire meditabatur. Mustaconem quippe Joannem Armenicæ militiæ Magistrum acies sibi commendatas secum sumeret, & Narseti, bello una cum eo adversus Baram movendo se adjungeret, Mauricius imperaverat. De nocte itaque cunctæ Romanorum copiæ in aciem unam conflatæ, in Baram præclaro ordine instructæ sunt. Baram metu agitatus ad montem castra metatur. Inito certamine, Narses calcatis Indicis animantibus, mediam barbarorum phalangem fregit: eo præstito, reliquæ etiam Baram phalanges infirmatæ, totusque cum tyranno exercitus in fugam effusus. Narses laxatis habenis fugientes insequutus, Persarum maximam edidit stragem. Ad sex mille vero vivos captos & vinculis obstrictos ad Chosroem adduxit: quos ille hastis transverberatos neci tradidit. Narses, quos reperit Turcos, ad Imperato-

τὰ ὑπὸ τοῦ βασιλέως πεμπόμενα· ὀργισθεὶς δὲ ὁ Χοσρόης, καὶ ῥοπάλοις ἀγρίοις ἐκέλευσε κατὰ τὴν λαγόνα τύπτεσθαι τοῦτον ἀποθανεῖν. τοῦτο δὲ ἐλύπησε τοὺς Πέρσας, καὶ μῖσος κατὰ τοῦ Χοσρόου ἐνέθηκε. Χοσρόας δὲ συναθροίσας δυνάμεις, βασιλείων ὑπεξελθὼν κατὰ τοῦ Βαρὰμ παρεγένετο ἐν πεδίῳ τοῦ Ζάβα ποταμοῦ, ἔνθα Βαρὰμ τὸν χάρακα εἶχεν. ὑπολαβὼν δὲ Χοσρόης, ὅτι τινὲς τῶν ἀρχόντων προσκεῖνται τῷ Βαρὰμ, τούτους ἐφόνευσε. ταραχθέντος δὲ τοῦ λαοῦ, ἀποδιδράσκει Χοσρόης μετά τινων ὀλίγων· καὶ πάντες περὶ τὸν Χοσρόην τῷ Βαρὰμ προσεχώρησαν. ὁ δὲ Χοσρόης ἀπόρει τί δράσοιτο, ἐνίων μὲν συμβουλευόντων αὐτῷ πρὸς Τούρκους χωρεῖν, ἑτέρων δὲ πρὸς Ῥωμαίους. ὁ δὲ Χοσρόας τὸν ἵππον ἐπιβὰς καὶ τὸν χαλινὸν ἐάσας προστάττει πᾶσιν ἕπεσθαι τοῖς τοῦ ἵππου κινήμασιν. ὁ δὲ ἵππος ἐπὶ τὰ Ῥωμαϊκὰ μέρα ἀπεκίνησε, καὶ πρὸς τὸ Κερκέσιον παραγίνεται· καὶ πρέσβεις πέμπει τὴν ἑαυτοῦ ἄφιξιν κατάδηλον Ῥωμαίοις ποιοῦντες. ἔτυχε δὲ Πρόβον τὸν πατρίκιον ἐκεῖ ὄντα τοῦτον ὑποδέξασθαι, καὶ διὰ γραμμάτων τῷ βασιλεῖ μηνῦσαι τὰ κατ' αὐτόν. ὁ δὲ Βαρὰμ ἀπέστειλε πρέσβεις πρὸς αὐτὸν αἰτούμενος μὴ συμμαχῆσαι τῷ Χοσρόῃ· κελεύει δὲ ὁ βασιλεὺς Μαυρίκιος Κεμεντιόλῳ στρατηγῷ εἰς Ἱεράπολιν τὸν Χοσρόην ὑποδέξασθαι, καὶ βασιλικαῖς θεραπείαις τιμῆσαι. τῷ δ' αὐτῷ ἔτει κατέδειξεν ὁ βασιλεὺς Μαυρίκιος γίνεσθαι εἰς τὴν μνήμην τῆς ἁγίας Θεοτόκου τὴν λιτὴν ἐν Βλαχέρναις, καὶ ἐγκώμια λέγειν τῆς δεσποίνης, ὀνομάσας αὐτὴν πανήγυριν.

Κόσμου ἔτη ϛπα'.	Τῆς θείας σαρκώσεως ἔτη φπα'.	Ῥωμ. βασιλ. Μαυρίκιος ἔτη κ'.	Περσῶν βασιλ. Κοσρόης ἔτ. λη'.		ΚΠ. ἐπίσκ. Ἰωάννης ἔτη ιγ'.	Ἱεροσ. ἐπίσκ. Ἰωάννης ἔτη κ'.	Ἀλεξ. ἐπισ. Εὐλόγιος ἔτη κζ'.	Ἀντιοχείας ἐπίσκ. Γρηγόριος ἔτ. κδ'.
		ζ'	α'		ϛ'	ιζ'	ι'	ιθ'

Τούτῳ τῷ ἔτει υἱοποιηθεὶς ὁ βασιλεὺς Μαυρίκιος Χοσρόην τὸν βασιλέα Περσῶν, Δομετιανὸν ἐπίσκοπον Μελιτινῆς πρὸς αὐτὸν ἐξέπεμψε τὸν ἴδιον συγγενῆ σὺν Ναρσῇ, τὴν ἡγεμονίαν τοῦ πολέμου τούτῳ καταπιστεύσας. οἵ τινες παραλαβόντες Χοσρόην καὶ πάσας τὰς Ῥωμαϊκὰς δυνάμεις, εἰς τὴν Περσίδα εἰσβάλλουσιν. ὁ δὲ Βαρὰμ τοῦτο μαθὼν τὰς περὶ αὐτὸν δυνάμεις ἀναλαβὼν, ἐν τόπῳ Ἀλεξανδρίνας ὀνομαζομένῳ ἐστρατοπέδευσε, κωλύειν οἰόμενος τὰ ἐκ τῆς Ἀρμενίας ἐρχόμενα στρατεύματα, τὸ μὴ ἑνωθῆναι τῷ Ναρσῇ. ἐκέλευσε γὰρ Μαυρίκιος Ἰωάννην τὸν Μουσάκωνα τὸν τῆς Ἀρμενίας στρατηλάτην ἀναλαβεῖν τὰ στρατεύματα, καὶ ἑνωθῆναι τῷ Ναρσῇ, τὸ ἅμα συστήσασθαι τὸν πρὸς τὸν Βαρὰμ πόλεμον. διὰ δὲ τῆς νυκτὸς ἡνώθησαν πᾶσαι αἱ Ῥωμαϊκαὶ δυνάμεις, καὶ παρετάξαντο κατὰ Βαράμ. ὁ δὲ Βαρὰμ πρὸς τὸ ὄρος ἐστρατοπέδευσε, δειλίᾳ κατεχόμενος. πολέμου δὲ κροτηθέντος, ὁ Ναρσῆς τῶν Ἰνδικῶν καταφρονήσας θηρίων, τὴν μέσην τῶν βαρβάρων διέλυσε φάλαγγα. τούτου δὲ γενομένου, αἱ λοιπαὶ τοῦ Βαρὰμ ἠθέτησαν φάλαγγες, καὶ γίνεται τοῦ τυράννου μεγάλη φυγή. ὁ δὲ Ναρσῆς ἀκατασχέτως διώκων ἀνεῖλε τοὺς Πέρσας. ἓξ δὲ χιλιάδας ζωγρήσας, πρὸς Χοσρόην δεσμίους ἤγαγεν. ὁ δὲ Χοσρόης πάντας ἀνεῖλε τῷ δόρατι. ὅσοι δὲ Τοῦρκοι ἐτύγχανον, τούτους τῷ αὐτοκράτορι εἰς Βυζάντιον ἔπεμψε. τῶν δὲ Τούρκων ἐν τοῖς μετώ-

τοὺς δὲ τύπον τοῦ σταυροῦ κεντητοῦ διὰ μέλανος ἐχόντων, ἐρωτωμένων ὑπὸ τοῦ αὐτοκράτορος ποίῳ τρόπῳ τοῦτο τὸ σημεῖον ἐπιφέρονται; οἱ Τοῦρκοι ἔφασκον πρὸ πολλῶν χρόνων λοιμὸν ἐν Τουρκίᾳ γενέσθαι. τινὰς δὲ τῶν ἐν αὐτοῖς Χριστιανῶν ὑποθέσθαι τοῦτο ποιῆσαι, ὡς ἐντεῦθεν σωτηρία κατὰ τὴν χώραν ἐγένετο. ὁ δὲ στρατὸς τῶν Ῥωμαίων τὴν σκηνὴν τοῦ Βαρὰμ καὶ τὸ τοῦλδον παραλαβόντες μετὰ τῶν ἐλεφάντων, τῷ Χοσρόῃ προσήνεγκαν. ὁ δὲ Βαρὰμ ἐπὶ τὰ ἐνδότερα μέρη τῆς Περσίδος τὴν φυγὴν ἐποιήσατο· καὶ οὕτως ὁ κατ' αὐτὸν διελύεται πόλεμος. ὁ δὲ Χοσρόης μεγάλην νίκην ἀναδησάμενος, τὸν ἴδιον ἀπέλαβε θρόνον, καὶ ἐπινίκια ἑστία Ῥωμαίοις. ὁ δὲ Ναρσῆς ἀναζευγνύων ἐπὶ τὰ ἴδια, τῷ Χοσρόῃ ἔλεγε· μέμνησο, Χοσρόη, τῆς παρούσης ἡμέρας. Ῥωμαῖοί σοι τὴν βασιλείαν χαρίζονται. Χοσρόης δὲ τὴν δολοφονίαν δεδοικὼς, ἐζήτει Μαυρίκιον χιλίους Ῥωμαίους εἰς φυλακὴν αὐτοῦ ἔχειν· ὁ δὲ Μαυρίκιος ἀγάπην πολλὴν πρὸς τὸν βάρβαρον κεκτημένος, ἐπλήρου τὸ αἴτημα αὐτοῦ. οὕτως ὁ Περσικὸς τῶν Ῥωμαίων κατεπέπαυτο πόλεμος.

rem Byzantium transmisit. Porro Turci crucis figuram nigris punctionibus effigiatam cum gerant in frontibus, qua ratione signum illud præferant ab Imperatore interrogati, responderunt: Multos ante annos cum pestis per Turciam grassaretur, quosdam ex suis Christianos auctores fuisse, ut id fieret, ex quo pristina salubritas in regionem reducta est. Cæterum Romanorum exercitus tentorium Baram & universum ejus bellicum apparatum atque elephantos capiens, ad Chosroem adduxit. Baram vero in interiores Persidis regiones fuga se recepit: bellumque adversus eum susceptum ita demum diremptum est. Chosroes tam præclara victoria redimitus, proprium thronum recuperavit, epulumque triumphale, & victoriæ grates Romanis præbuit. Narses autem domum reversurus, Chosroi dixit: Fac præsentis diei memor usque sis, Chosroes; regno te donant Romani. Chosroes porro necem dolis intentandam veritus, Romanos mille ad sui custodiam & satellitium deputandos a Mauricio expetiit. Mauricius vero multa humanitate erga barbarum usus, postulatis ejus fecit satis: huncque tandem exitum bellum Persicum obtinuit.

Edit. Paris. pag. 225.

Κόσμου ἔτη ͵ςϟς'.	Τῆς θείας σαρκ. ͵φϟς'.	Ῥωμ. βασιλ. Μαυρίκιος ἔτη κ'.	Περσ. βασιλ. Χοσρόης ἔτ. λθ'.	–	ΚΠ. ἐπίσκ. Ἰωάννης ἔτη ιγ'.	Ἱεροσ. ἐπίσκ. Ἰωάννης ἔτη ι'.	Ἀλεξ. ἐπίσκ. Εὐλόγιος ἔτη κζ'.	Ἀντ. ἐπίσκ. Γρηγόριος ἔτη κδ'.
		η'.	β'		γ'.	ιη'.	ιθ'.	κ'.

Anni mundi 609.	Divinæ Incarn. 58.	Rom. Imp. Mauricius annis 20.	Persarũ rex Cosroes annis 39.		Constant. Episc. Joannes annis 13.	Hierosol. Episc. Joannes annis 10.	Alex. Episc. Eulogius annis 27.	Ant. Episc. Gregorius annis 24.
		8	2		2	18	19	20

Τούτῳ τῷ ἔτει μηνὶ Μαρτίῳ κϛ'. ἰνδικτ. η'. τῇ ἡμέρᾳ τοῦ ἁγίου Πάσχα χρόνων τεσσάρων ἥμισυ, ἐστέφθη Θεοδόσιος υἱὸς Μαυρικίου τοῦ αὐτοκράτορος ὑπὸ Ἰωάννου Πατριάρχου Κωνσταντινουπόλεως.

Τῷ δ' αὐτῷ ἔτει ὁ αὐτοκράτωρ Μαυρίκιος τὴν ἐκκλησίαν τῶν ἁγίων τεσσαράκοντα, ἣν ἀπήρξατο κτίζειν Τιβέριος, ἀνεπλήρωσεν ἐν τῇ μέσῃ οὖσαν, ὅπερ τόπον πρώην ἔλεγον εἶναι Πραιτώριον. εἰρήνης δὲ βαθείας τὴν ἀνατολὴν καταλαβούσης, ὁ Μαυρίκιος ἐπὶ τὴν Εὐρώπην ἐκύμαινε πόλεμον. διὰ τοῦτο ὁ αὐτοκράτωρ Μαυρίκιος τὰς δυνάμεις ἀπὸ τὴν ἀνατολὴν ἐπὶ τὴν Θρᾴκην μετήγαγεν.

Hoc anno mensis Martii die sexto supra vigesimum, indictione octava, Theodosius Mauricii Imperatoris supremi filius, die Paschatis sancto, a Joanne Patriarcha, quatuor solis annis cum medio natus coronam Imperii accepit.

Eodem anno Mauricius supremus Imperator Sanctorum quadraginta Martyrum Ecclesiam, a Tiberio exædificari cœptam, & jam ad opus medium ductam absolvit: Prætorium eo loco quondam constructum narrant. Profunda vero pace totum Orientem occupante, Europam bellorum procellis agitabat Mauricius: eapropter ipse supremus Imperator imperii vires omnes ab Oriente in Thraciam transportavit.

			θ'	γ'		ι'	ιθ'	ιϛ'	κα'

			9	3		10	19	22	21

Τούτῳ τῷ ἔτει ἀρχομένου τοῦ ἔαρος, καὶ τῶν ταγμάτων τὴν Θρᾴκην καταλαβόντων, ἐξῆλθε σὺν αὐτοῖς ὁ Μαυρίκιος ἰδεῖν τὰ ὑπὸ τῶν βαρβάρων κατεστραμμένα. ἡ δὲ Αὐγοῦστα, καὶ ὁ Πατριάρχης, καὶ ἡ Σύγκλητος παρεκάλουν τὸν βασιλέα μὴ αὐτουργῆσαι πόλεμον· ἀλλὰ στρατηγῷ τοῦτον ἐγχειρῆσαι· ὁ δὲ οὐ κατεδέξατο. ἐξελθόντι δὲ αὐτῷ ἐν τῷ πολέμῳ, γέγονεν ἡλίου ἔκλειψις. ἐπεγένοντο δὲ ἐξ αἰτίων πνευμάτων φυσήματα, νότος βίαιος. ἐν δὲ τῷ Ῥηγίῳ ἐλθὼν τῶν πενήτων τὰ πλήθη ἀργυρίοις ἐψυχαγώγησεν. ἐπὶ θήραν δὲ ἐξελθὼν ὁ αὐτοκράτωρ ὗς ἄγριος παμμεγέθης κατὰ τοῦ Καίσαρος ὥρμησεν· ὁ δὲ ἵππος διὰ τὸ φοβερὸν τοῦ θεάματος ἀποβαλεῖν τὸν Καίσαρα ἐγχειρεῖ. ἐπὶ πολὺ δὲ σκαρτήσας οὐκ ἠδυνήθη τὸν Καίσαρα ῥίψαι· ὁ δὲ ὗς ὑπ' οὐδενὸς τρωθεὶς, ἀνεχώρησεν. ἐπὶ τὴν Πείρινθον δὲ διὰ ναυτιλίας

Hoc anno ineunte vere, & copiis in Thracia jam collectis, Mauricius cum eis egressus ruinas a barbaris excitatas visum perrexit. Augusta vero, Patriarcha, & universus Senatus, ne propria opera moveret bellum, quin illud Duci committeret, rogabant: quod ille detrectavit admittere. Eo igitur ad castra pergente solis defectus contigit: ventorumque vehementium, noti videlicet violentioris flatus exorti sunt. Rhegium cum attigisset, magnam egenorum multitudinem nummis argenteis in eos sparsis recreavit. Cum venatum prodiisset, ingens aper in Cæsarem ex impetu irruit: equus ejus aspectu territus, Cæsarem excutere conabatur; cum saltibus calcibus & excussibus lusisset satis Cæsarem exturbare numquam valuit. Tum vero aper a nullo læsus, in sylvam secessit. Periothum præterea navi-

pag. 226.

glo iter faciens, vehementiore vento pluviaque incumbente, nautis ad extremas adductis angustias, scapha, qua vehebatur Imperator, procellis asportata est, & præter omnium opinionem, ad locum, cui nomen Daonius, salva reddita. Eadem illa nocte parturiens mulier lamentabiles voces edebat. Exorto die misit Imperator, qui pararent, ut quæ contigerat rei fieret ipse spectator. Vidit autem infantem natum oculis & palpebris orbum, cui neque manus neque brachia essent: e coxis autem piscis cauda illi enascebatur. Eodem quoque die equus Imperatoris phaleris aureis circumquaque ornatus, concidit subito, atque ruptus est. Istis omnibus tamquam ominibus intentus Imperator, tacito mœrore conficiebatur. Postera luce viri tres Sclavinorum genere orti nullo ferro vel gladio accincti, sed cytharis tantummodo instructi, a Romanis capti sunt. Unde traherent ortum, vel moram facerent, Imperator rogare. Illi se genere Sclavinos, & ad Oceani limites habitare responderunt. Chaganum autem Legatos ad se misisse, & tribuum suarum Præfectos muneribus sollicitasse, ut sibi suppetias adversus Romanos ferrent: se vero ab familiarum Capitibus missos, qui eos apud Chaganum excusarent, quod ob viarum remota intervalla manum auxiliarem ei præbere nequeant. Octodecim verum mensium iter confecisse, ac ita demum in Romanorum manus se prolapsos asseverabant: cytharas autem circumduxisse; in regione quippe ferri nescia natos, armis non assuetos se tegere. Imperator hominum staturam miratus, laudata corporis eorum proceritate, ipsos Heracleam misit. Inde cum Anchialum venisset, de Legatorum a Persis & Francis missorum adventu certior factus, Byzantium & Regiam revertitur.

| | | 10 | 4 | | | 11 | 20 | 13 | 22 |

Hoc anno Chaganus ad pactam sibi pecuniarum summam augmentum dari postulabat, Imperator vero barbari sermones respuit. Quare bellum renovare Chaganus constituit; mox Singidonem obtinet, & ad Sirmium castra metatur. Imperator autem Priscum Europæ Ducem instituit. Priscus Salvianum sub se Legatum elegit, & præcurrere ante exercitum jubet. In barbaros itaque irruptione facta, acrique conserto prælio, penes Romanos stetit victoria: Cladis accepto nuncio, alium exercitum instruit Chaganus, & ad pugnam egreditur. Salvianus armatorum ingenti multitudine conspecta, deterretur, & ad Priscum revertitur. Recessu Romanorum cognito, versus Anchialum Chaganus procedit, sanctum Alexandrum intellige: & vasto incendio locum omnem depopulatur. Inde Drizepera divertit, & obsidionalibus machinis comparatis oppidum expugnare molitur. Drizeperorum incolæ pectus audacissime opposuere: Reseratis enim portis, cum barbaris se fortiter congressuros, agitatis alioqui de deditione sermonibus, minabantur. Tunc sane, tunc temporis divina illis affulsit virtus. Manifesta quippe meridiei luce Romanorum copias urbe egredientes cernere barbari sibi visi sunt, & ineundum armorum minitantes congressum: ex quo conturbati, in præcipitem fugam se projicientes, Perinthum se con-

Edit. Paris. pag. 227.

τὴν πορείαν ποιούμενος, ἀνέμων ἐξαισίων καὶ βροχῆς γενομένης, τῶν ναυτῶν ἀπορησάντων τὸ σκάφος ἐφέρετο τοῦ αὐτοκράτορος, ὥστε παραδόξως σωθῆναι ἐν τῷ λεγομένῳ Δαονίῳ. τῇ δὲ νυκτὶ ἐκείνῃ γυναίον ἔτεκε, καὶ βοὰς οἰκτρὰς ἠφίει· πρωΐας δὲ γενομένης ἀπέστειλεν ὁ βασιλεὺς ἰδεῖν, τί τὸ συμβησόμενον· καὶ εἶδε παιδίον γεννηθὲν ὀφθαλμῶν καὶ βλεφάρων ἀμέτοχον, μήτε χεῖρας μήτε βραχίονας ἔχον. πρὸς δὲ τῷ ἰσχίῳ ἰχθύος οὐρὰ προσφυὴς ὑπῆρχεν αὐτῷ. ταύτῃ δὲ τῇ ἡμέρᾳ ὁ ἵππος τοῦ βασιλέως ὁ τὸν χρυσοῦν περικείμενος κόσμον, ἀθρόως διεῤῥάγη πεσών. ὁ δὲ βασιλεὺς τούτοις πᾶσιν οἰωνισάμενος, περίλυπος ἦν. τῇ δὲ ὑστεραίᾳ ἄνδρες τρεῖς Σκλαβῖνοι τὸ γένος μηδέν τι σίδηρον περιβαλλόμενοι ὑπὸ Ῥωμαίων ἐκρατήθησαν, κιθάρας μόνας βαστάζοντες. ὁ δὲ βασιλεὺς ἠρώτα, πόθεν τε εἶεν, καὶ ποῦ τὰς διατριβὰς ἐποιοῦντο; οἱ δὲ τὸ μὲν γένος ἔφασκον πεφυκέναι Σκλαβῖνοι. πρὸς τῷ τέλει Ὠκεανοῦ ᾠκηκέναι· τὸν δὲ Χαγάνον πρὸς αὐτοὺς πρεσβείαν πέμψαι, καὶ δῶρα τοῖς ἐθνάρχαις αὐτῶν τοῦ συμμαχῆσαι αὐτῷ κατὰ Ῥωμαίων· οἱ δὲ ταξίαρχαι αὐτῶν ἀπέστειλαν αὐτοὺς ἀπολογήσασθαι τῷ Χαγάνῳ, ὅτι οὐ δύνανται διὰ τὸ μῆκος τῆς ὁδοῦ ἀποστεῖλαι αὐτῷ συμμαχίαν. ὀκτωκαίδεκα δὲ μηνῶν ἔφασκον ποιήσασθαι ὁδοιπορίαν, καὶ οὕτω τοῖς Ῥωμαίοις περιπεσεῖν. κιθάρας δὲ περιφέρεσθαι, ὡς μὴ εἰδότες ὅπλα περιβάλλεσθαι τινά. τῆς χώρας αὐτῶν ἀγνοούσης τὸ σίδηρον. ὁ δὲ αὐτοκράτωρ θαυμάσας τήν τε ἡλικίαν, καὶ τὰ μεγέθη τῶν σωμάτων αὐτῶν ἐπαινέσας, εἰς Ἡράκλειαν αὐτοὺς παρέπεμψε. καταλαβὼν δὲ τὴν Ἀγχίαλον, καὶ μαθὼν ὅτι πρέσβεις εἰς τὸ Βυζάντιον Περσῶν τε, καὶ Φράγκων παρεγένοντο, ὑπέστρεψεν εἰς τὰ βασίλεια.

| | | ι' | δ' | | | ια' | κ' | ιγ' | κβ' |

Τούτῳ τῷ ἔτει ὁ Χαγάνος ἐζήτει προσθήκας τῶν συνθήκαις λαμβάνειν. ὁ δὲ αὐτοκράτωρ τοὺς λόγους τοῦ βαρβάρου οὐ κατεδέξατο. διὰ τοῦτο ὁ Χαγάνος ἤρατο πάλιν τὸν πόλεμον, καὶ πολιορκεῖ τὴν Σιγγιδόνα, καὶ στρατοπεδεύει κατὰ τὸ Σέρμιον. ὁ δὲ αὐτοκράτωρ στρατηγὸν τῆς Εὐρώπης χειροτονεῖ τὸν Πρίσκον. ὁ δὲ Πρίσκος τὸν Σαλβιανὸν ὑποστράτηγον ποιήσας προτρέχειν ἐκέλευσε. καὶ κατὰ τῶν βαρβάρων χωρήσαντες συγκροτοῦσι πόλεμον καὶ νικῶσι Ῥωμαῖοι. ὁ δὲ Χαγάνος τοῦτο ἀκηκοὼς, ἀναλαβὼν τὰς δυνάμεις, ἐχώρει πρὸς πόλεμον. ὁ δὲ Σαλβιανὸς ἰδὼν τὰ πλήθη καὶ καταπλαγεὶς, πρὸς Πρίσκον ἀφικνεῖται. γνοὺς δὲ ὁ Χαγάνος τὴν τῶν Ῥωμαίων ὑποχώρησιν, εἰς Ἀγχίαλον ἐξέρχεται, ἤτοι εἰς τὸν ἅγιον Ἀλέξανδρον· καὶ τοῦτον τῷ παμφάγῳ πυρὶ παραδίδωσι· μεταβὰς δὲ εἰς τὰ Δριζίπερα ἐπιχειρεῖ ἐκπορθῆσαι τὸ πόλισμα πολιορκητικὰ ἐξεργασάμενος ὄργανα. οἱ δὲ τὰ Δριζίπερα οἰκοῦντες ἐπὶ πλεῖστόν τε παρετάξαντο θράσος. τὰς γὰρ πύλας ἀναπετάσαντες, ἠπείλουν τοῖς βαρβάροις πολεμεῖν ἐν διαλέξεσιν ὄντες. τότε δὲ τότε, θεία τις αὐτοῖς ἐπέστη δύναμις. μεσούσης γὰρ ἡμέρας ὁρᾷν ἔδοξαν οἱ βάρβαροι Ῥωμαίων δυνάμεις ἐπεξιούσας τοῦ ἄστεος, καὶ μέλλειν συμπλέκεσθαι, καὶ καταπλαγέντες συντόνῳ φυγῇ ἀποδιδράσκουσι, καὶ ἐπὶ τὴν Πέρινθον γέ-

νονται. ὁ δὲ Πρίσκος μηδὲ θεωρεῖν φέρων τὰ πλήθη τῶν βαρβάρων, εἰς τὸ Τζούρουλον εἰσελθὼν φρούριον ἠσφαλίζετο. ὁ δὲ βάρβαρος τὸν Πρίσκον πολιορκεῖν ἐνεχείρει. ταῦτα δὲ ἀκηκοὼς Μαυρίκιος, διηπόρει τί δράσοι, * ἀβουλίᾳ δὲ καταστρατηγεῖ τῆς ἀπείρου δυνάμεως· καὶ ἕνα τῶν ἐξκουβιτόρων μεγάλαις δωρεαῖς καὶ ὑποσχέσεσι πείθει ἑκοντὶ περιπεσεῖν τοῖς βαρβάροις· καὶ δίδωσιν αὐτῷ πρὸς Πρίσκον γράμματα περιέχοντα τάδε. Τῷ ἐνδοξοτάτῳ στρατηγῷ Πρίσκῳ. Τὴν ἀλιτηρίαν τῶν βαρβάρων ἐγχείρησιν μὴ δειλιάσῃς, πρὸς γὰρ ἀπώλειαν αὐτῶν τοῦτο γέγονε. γίνωσκε γὰρ ὅτι μετὰ πολλῆς αἰσχύνης ἔχει ὁ Χαγάνος ὑποστρέψαι εἰς τὴν ἀφορισθεῖσαν αὐτῷ ὑπὸ Ῥωμαίων χώραν. διὰ τοῦτο καρτερήσει ἡ σοῦ ἐνδοξότης ἐν Τζουρόλῳ περιρίμβων αὐτόν. πέμπομεν γὰρ διὰ θαλάσσης πλοῖα, καὶ αἰχμαλωτίζομεν αὐτούς. καὶ ἀναγκάζεται μετὰ αἰσχύνης καὶ ζημίας εἰς τὰ ἴδια ὑποστρέψαι. ὁ δὲ Χαγάνος κρατήσας τὰ γράμματα, καὶ ἀναγνοὺς γίνεται περιδεής. καὶ συνθήκας πρὸς τὸν Πρίσκον θέμενος, καὶ εἰρηνεύσας ἐπὶ δώροις ὀλίγοις καὶ ἀναξιολόγοις εἰς τὴν ἑαυτοῦ ἐπανέζευξε μετὰ φυγῆς κραταιᾶς.

* Lego εὐ-βουλίᾳ

tulere. Priscus autem solius barbaricæ aciei conspectum ferre non sustinens, in Tzurulum castrum ingressus diligenti custodia vitam tutabatur: exinde ad obsidendum Priscum animas barbaro Principi factus. Quod cum ad Mauricium perlatum, quid ageret, dubius hæsit. Bono tandem consilio adversus innumeram barbarorum multitudinem armatur, & prudentia oppugnat. De Excubitorum igitur numero unum ad castra profectum in barbarorum potestatem sponte prolabi donis ingentibus & pollicitis amplioribus suadet: ac una simul ad Priscum litteras ei committit in hæc verba. Gloriosissimo Duci Prisco. Nefarium barbarorum conatum ne reformides; qui quidem exitio ipsis erit. Chaganum cum magno dedecore in assignatam sibi a Romanis provinciam certo scias. Quare Gloria tua Tzuruli perdurabit, & Chaganum circumvertet, & pro libito circumagitabit. Copiosam classem mari transmittimus, captivitatemque hosti paramus: qui alioqui cum dedecore & damno domum reversurus est. Chaganus interceptis litteris scripta legit, & una metu consternitur: pactisque cum Prisco conditionibus, levium & nullius pretii munerum accessione contentus, composuit pacem, & maxima, qua potuit, fuga se surripuit.

		κα΄	ι΄		ιβ΄	Ιεροσ. ἐπίσκ. Ἀμὼς ἔτη η΄. α΄	ιδ΄	κγ΄

		11	5		12	Hierosolym. Episc. Amos annis 8. 1	14	23

Edit. Paris. pag. 228.

Τούτῳ τῷ ἔτει ὁ αὐτοκράτωρ Μαυρίκιος τὸν Πρίσκον σὺν πάσαις ταῖς Ῥωμαϊκαῖς δυνάμεσιν ἐπὶ τὸν Ἴστρον ποταμὸν ἔπεμψεν, ὥστε τὰ Σκλαβίνων ἔθνη διαπεράσαι κωλύσῃ. τούτου δὲ ἐλθόντος ἐπὶ τὸν Δορόστολον, ὁ Χαγάνος μαθὼν πρέσβεις ἐξέπεμψε πρὸς αὐτόν· καὶ κατῃτιᾶτο Ῥωμαίους ἔναρξιν τοῦ πολέμου διδόντας. ὁ δὲ Πρίσκος ἀπελογεῖτο. ὅτι οὐ πρὸς τοὺς βαρβάρους τὸν πόλεμον ποιῆσαι παραγέγονα· ἀλλὰ πρὸς τὰ Σκλαβίνων ἔθνη ὑπὸ τοῦ αὐτοκράτορος ἀπεστάλην. ἀκηκοὼς δὲ ὁ Πρίσκος ὅτι Ἀρδάγαστος τὰ πλήθη τῶν Σκλαβίνων πρὸς τὸ πραιδεύειν διεσκόρπισε· διαπεράσας τὸν Ἴστρον μεσούσης νυκτὸς ἀδοκήτως τῷ Ἀρδαγάστῳ συνέμιξεν. ὁ δὲ Ἀρδάγαστος τοῦ κινδύνου αἰσθόμενος, ἵππου τε γυμνοῦ ἐπιβὰς, μόλις διεσώζετο. οἱ δὲ Ῥωμαῖοι ἀνελόντες πλήθη Σκλαβίνων, καὶ τὴν περὶ τὸν Ἀρδάγαστον διατεμόντες χώραν, αἰχμαλωσίας τε κρατήσαντες πολλὰς, εἰς τὸ Βυζάντιον ἔπεμπον διὰ Τατήμερος. ὁ δὲ Τατήμερ ἐκλύτως τὴν πορείαν ποιούμενος, καὶ εἰς μέθην καὶ τρυφὴν ἐπιδοὺς ἠμέλει. ἐν τῇ τρίτῃ δὲ ἡμέρᾳ πλήθη Σκλαβίνων ἐπιτίθενται αὐτῷ· καὶ δειλίᾳ συσχεθεὶς, φυγὼν εἰς τὸ Βυζάντιον ἧκεν. οἱ δὲ σὺν αὐτῷ Ῥωμαῖοι ἐγκρατῶς Σκλαβίνοις μαχεσάμενοι, κρατοῦσι τῶν βαρβάρων παραδόξως, καὶ εἰς τὸ Βυζάντιον τὴν αἰχμα-

Hoc anno Imperator Mauricius Priscum Romanorum cum copiis omnibus ad Istrum flumen ablegat, ut Sclavinorum gentes amnem trajicere molientes impediret. Cum vero Dorostolum venisset, Chaganus de ejus adventu certior factus, Legatos misit, qui Romanos bello initium atque occasionem dare questi sunt. Respondit Priscus. Bellum in barbaros moturus minime missus sum: solas Sclavinorum gentes a me coercendas jussit Imperator. Priscus autem Sclavinorum populum ab Ardagasto Duce sparsim per Romanam provinciam effusum cum rescisset: Istro trajecto, noctis sub mediam ex improviso Ardagastum adoritur, & cum eo manus conserit: Ardagastus cognito periculo, nudo equo insiliens vix salutem fuga consequitur. Romani multis Sclavinorum copiis cæsis, atque universa Ardagasti regione devastata, captisque innumeris, multos ex eis Byzantium per Tatemerem transmisere. Tatemer iter agens incautus & resolutus, vino insuper & voluptatibus per vias indulgens, tertia die in irruentium Sclavinorum manus incidit: tum metu correptus, fuga Byzantium attingit. At Romani reliqui viæ comites Sclavinorum impetum fortiter sustinentes, præter spem omnem barbaros superant, & universam prædam captivorumque turmas incolumes ad Imperatorem Byzantium detulere. His Imperator

lætatus, beneficium divinum laudibus & hymnis compensat, & cum totius Urbis populo grates Deo litat. Porro Priscus successu audentior redditus, interiores Sclavinorum partes penetrat. Tum vero Gepes vir Christianorum religioni addictus, in Romanorum partes transiens, ingressum Romanis indicat: qui nullo labore barbarorum regionem obtinent. Musugium autem barbarorum regem ad trigesimum lapidem morari referebat. Priscus itaque Gepedis proditione usus profunda jam nocte Musugium vino plane obrutum comperit (funebrem etenim solemnitatem proprio fratri sacraverat.) Eo igitur vivo comprehenso, horrendam omnino barbarorum stragem edidit. Hinc ubere præda potiti Romani in crapulas & voluptates resolvuntur. Quare barbari in unum agmen denuo collecti impetum in victores faciunt: Malorum autem illatorum ultio præclaro facinore prius edito acerbior extitisset; nisi Genzon cum toto peditatus robore certamen iniens acerrimum barbarorum vires fregisset. Porro Priscus cunctos, quibus sui corporis custodiam demandaverat, in patibulum egit.

Edit. Parif. pag. 229.

Eodem anno Paulus Imperatoris pater morte CP. persunctus, inter Imperatores parem eis sepulturam & tumulum obtinuit: similiter & Anastasia Augusta socrus Mauricii, Tiberii vero Imperatoris conjux, juxta virum suum Tiberium sepulchri locum consequuta est.

Anni mundi 6086.	Divinæ Incarn. 586.	Rom. Imperat. Mauricius annis 20.	Persarum rex Chosroes annis 39.		Constant. Episc. Joannes annis 13.	Hierosol. Episc. Amos annis 8.	Alex. Episc. Eulogius annis 27.	Ant. Episc. Gregorius annis 24.
		12	8		13	2	15	24

Hoc anno cum Priscus iterum Danubium occupasset, & Sclavinorum ditionem depopulatus, magnam inde prædam, & captivorum numerum ad Imperatorem summisisset: Imperator Tatemere ad Priscum misso Romanum exercitum iis in locis hybernare jubet. Placito Imperatoris accepto, moram deprecabantur Romani, ac quum propter barbarorum sibi oppositum exercitum, tum hostilis & infestæ regionis periculum, & intoleranda frigora, id nusquam fieri posse in adversum objiciebant. Priscus suavibus verbis militem demulcet, & Imperatoris jusso obsequentem, hybernam ibidem stationem habere suadet. Mauricius his auditis Philippicum generum Orientis Ducem, quemque ob ei junctam in matrimonium sororem fidissimum habebat, Excubitorum Comitem creavit. Porro Philippicus sanctissimæ dominæ nostræ Monasterium, & ad illud Palatium quo Mauricius Imperator cum liberis aliquando foret excipiendus Chrysopoli cœpit ædificare: piscinas etiam & hortos ad ejus usum deliciasve intus paravit: CP. autem Philippici domum ab eo nuncupatam extruxit.

					CP. Episc. Cyriacus annis 11.			Ant. Episc. Anastasius annis 9.
		13	7		1	3	16	1

A λώσιαν τῷ βασιλεῖ ἀποστέλλουσιν· ὁ δὲ αὐτοκράτωρ εὐφρανθεὶς, εὐχαριστηρίους μετὰ πάσης τῆς πόλεως τῷ Θεῷ προσέφερεν. ὁ δὲ Πρίσκος θαῤῥήσας, εἰς τὰ ἐσώτερα μέρη τῶν Σκλαβίνων ἐχώρει. Γήπαις δέ ἀνὴρ τῆς θρησκείας τῶν Χριστιανῶν ὑπάρχων αὐτομολεῖ πρὸς Ῥωμαίους, καὶ τὴν εἴσοδον τοῖς Ῥωμαίοις ὑπέδειξε, καὶ τῶν βαρβάρων ἐκράτησαν· ἔφησε δὲ καὶ Μουσούγιον τὸν ῥῆγα τῶν βαρβάρων ἀπὸ τριάκοντα σημείων διάγειν. προδοσίᾳ δὲ τοῦ Γήπαιδος διαβὰς τὸν ποταμὸν ὁ Πρίσκος, μεσούσης τῆς νυκτὸς εὑρίσκει τὸν Μουσούγιον διεφθαρμένον τῇ μέθῃ. ἐπιτάφιον γὰρ ἑορτὴν τοῦ ἰδίου ἀδελφοῦ ἑώρταζε. καὶ τοῦτον συλλαβόμενος ζῶντα, φόνον πολὺν ἐν τοῖς βαρβάροις εἰργάσατο. πολλῆς δὲ αἰχμαλωσίας κρατήσαντες, μέθῃ καὶ τρυφῇ ἑαυτοὺς ἐκδεδώκασι· συναθροισθέντες δὲ οἱ βάρβαροι τοῖς νενικηκόσιν ἐφίστανται· καὶ ἦν ἂν ἡ ἀντίδρασις χαλεπωτέρα τῆς B προϋπαρξάσης ἀνδραγαθίας· εἰ μὴ ὁ Γένζων μετὰ τῆς πεζικῆς δυνάμεως τῶν Ῥωμαίων ἐπιστὰς, μάχῃ κραταιᾷ διέλυσε τὰς ὁρμὰς τῶν βαρβάρων. ὁ δὲ Πρίσκος τοὺς τὴν φρουρὰν αὐτοῦ πεπιστευμένους ἀνεσκολόπισε.

Τῷ δ' αὐτῷ χρόνῳ καὶ Παῦλος ὁ τοῦ βασιλέως πατὴρ ἐτελεύτησεν ἐν τῇ ΚΠ. καὶ ἐτάφη ἐν τοῖς βασιλικοῖς μνήμασιν· ὁμοίως καὶ Ἀναστασία ἡ Αὐγοῦστα ἡ πενθερὰ τοῦ Μαυρικίου, γυνὴ δὲ Τιβερίου τοῦ βασιλέως· καὶ αὐτὴ ἐτάφη μετὰ Τιβερίου τοῦ ἀνδρὸς αὐτῆς.

C

Κόσμου ἔτη ,ςπϛ'.	Τῆς θείας σαρκ. φπϛ'.	Ῥωμ. Βασιλ. Μαυρίκιος ἔτη κ'.	Περσ. βασιλ. Χοσρόης ἔτη λθ'		Κωνστ. ἐπίσκ. Ἰωάννης ἔτη ιγ'	Ἱεροσ. ἐπίσκ. Ἀμὼς ἔτη η'	Ἀλεξ. ἐπίσκ. Εὐλόγιος ἔτη κζ'.	Ἀντ. ἐπίσκ. Γρηγόριος ἔτη κδ'.
		ιβ'	η'		ιγ'	β'	ιε'	κδ'

Τούτῳ τῷ ἔτει τοῦ Πρίσκου πάλιν τὸν Ἴστρον καταλαβόντος, καὶ τὰ Σκλαβίνων ἔθνη πραιδεύσαντος, καὶ πολλὴν αἰχμαλωσίαν τῷ βασιλεῖ ἀναπέμψαντος· ὁ βασιλεὺς τὸν Τατιμερα ἀποστείλας πρὸς Πρίσκον, παρακελεύεται αὐτόθι τὸν χειμῶνα διατρίψαι τοὺς Ῥωμαίους καιρόν. οἱ δὲ Ῥωμαῖοι μαθόντες ἀντέλεγον, ὡς οὐκ ἐνδέχεται τοῦτο γενέσθαι D διά τε τὰ πλήθη τῶν βαρβάρων, καὶ τῶν πολεμίων ὑπεῖναι τὴν χώραν, καὶ τὰ ψύχη ἀφόρητα. ὁ δὲ Πρίσκος λόγοις πιθανοῖς ἔπειθεν αὐτοὺς ἐκεῖ χειμάσαι, καὶ τὴν τοῦ βασιλέως κέλευσιν πληρῶσαι. ὁ δὲ βασιλεὺς Μαυρίκιος ταῦτα ἀκηκοὼς Φιλιππικὸν τὸν ἴδιον γαμβρὸν τὸν τῆς ἀνατολῆς στρατηγὸν ἐποίησε κόμητα τῶν ἐξκουβιτόρων θαῤῥῶν αὐτῷ, ὡς τὴν αὐτοῦ ἀδελφὴν ζεύξας αὐτῷ. ὁ δὲ Φιλιππικὸς ἤρξατο κτίζειν ἐν Χρυσοπόλει τὴν μονὴν τῆς παναγίας ἡμῶν δεσποίνης Θεοτόκου καὶ παλάτιον ἐν αὐτῇ ὀφεῖλον ὑποδέχεσθαι Μαυρίκιον τὸν βασιλέα, καὶ τὰ τέκνα αὐτοῦ. ποιήσας ἰχθυοτροφεῖα καὶ παραδείσια ἔνδοθεν ἔσω εἰς θεραπείαν αὐτοῦ, καὶ ἐν ΚΠ. τὴν οἰκίαν τὴν ἐπιλεγομένην τὰ Φιλιππικοῦ.

E

					ΚΠ. ἐπίσκ. Κυριακὸς ἔτη ια'.			Ἀντ. ἐπίσκοπος Ἀναστάσιος ἔτη θ'.
		ιγ'	ζ'		α'.	γ'	ιϛ'	α'

A Τούτῳ τῷ ἔτει εἰς τὰ τοῦ Βυζαντίου προάστεια τίκτονται τέρατα. παιδίον τετράπουν, καὶ ἄλλο δικέφαλον· λέγουσι δὲ οἱ τὰς ἱστορίας ἐπιμελῶς ἐγγράφοντες μὴ σημαίνειν ἀγαθὰ τῇ πόλει, ἐν αἷς τεχθῶσι τὰ τοιαῦτα. ὁ δὲ βασιλεὺς τῆς στρατηγίας τὸν Πρίσκον ἀποπαύει. Πέτρον δὲ τὸν ἑαυτοῦ ἀδελφὸν στρατηγὸν τῆς δυνάμεως ποιεῖται Ῥωμαίων. ὁ μὲν οὖν Πρίσκος τὰς δυνάμεις ἀράμενος, πρὶν ἢ τὸν Πέτρον φθάσαι διεπέρα τὸν ποταμόν· ὁ δὲ Χαγάνος τὴν μετάβασιν τοῦ Ῥωμαϊκοῦ λαοῦ ἀκηκοὼς λίαν ἐθαύμασε, καὶ πρὸς τὸν Πρίσκον ἀπέστειλε, μαθεῖν τὴν αἰτίαν ἐπιζητῶν, καὶ μοῖραν λαβεῖν τῆς πραίδας, καὶ οὕτω τὸν ποταμὸν διαπράξασθαι. λίαν γὰρ ἐχαλέπαινεν ἐπὶ τοῖς εὐτυχήμασι τῶν Ῥωμαίων. πέμπει τοίνυν B ὁ Πρίσκος περὶ τούτου Χαγάνῳ πρεσβείαν Θεόδωρον τὸν ἰατρὸν, ἀγχινοίᾳ καὶ συνέσει κεκοσμημένον, οὗτος ἑωρακὼς τὸν Χαγάνον μέγα φρονοῦντα, καὶ τὰς ἀποκρίσεις ἀλαζονικώτερον ποιούμενον (ἠπείλει γὰρ πάντων τῶν ἐθνῶν αὐτὸν εἶναι κύριον) διηγήματι παλαιῷ τὸν βαρβαρικὸν κατεπράϋνε τῦφον· ἔφασκε γάρ. ἄκουσον, Χαγάνε, ἐπωφελοῦς διηγήματος. Σέσωστρις Αἰγυπτίων βασιλεὺς περιφανής τε καὶ εὐδαίμων, τῷ πλούτῳ λαμπρὸς, καὶ ταῖς δυνάμεσιν ἀκαταμάχητος, πλεῖστα καὶ μεγάλα ἐδουλώσατο ἔθνη· ἐντεῦθεν εἰς ἀλαζονείαν περιπεσὼν, χρυσοκόλλητον ὄχημα ἐκ λίθων τιμίων κατασκευάσας, ἐπικάθηται τούτῳ, καὶ ὑποβάλλει τῷ ζυγῷ τῶν ἡττηθέντων βασιλέων τέσσαρας ἕλκειν τὸ ὄχημα. τούτου δὲ γενομένου ἐν C ἐπιστάμῳ ἑστῶτι, εἷς τῶν τεσσάρων βασιλέων συχνῶς τὸ ὄμμα ἐπέστρεφεν εἰς τοὐπίσω, καὶ τὸν τροχὸν ἑώρα κυλιόμενον· τῷ Σεσώστρει δὲ ἐπερωτῶντι, διὰ τί ὄπισθεν ἐπιστρέφει τὰ ὄμματα; τοῦτον εἰπεῖν· τὸν τροχὸν θαυμάζω ἀστατοῦντα, καὶ ἄλλοτε ἄλλως κινούμενον· καὶ ποτὲ μὲν τὰ ὑψηλὰ ταπεινοῦντα, αὖθις δὲ τὰ ταπεινὰ ἀνυψοῦντα. τὸν δὲ Σέσωστριν συνέντα τὴν παραβολὴν τῇ ἀκοῇ ἐπισκέψαντα νομοθετῆσαι, τὸ μηκέτι βασιλεῖς ἕλκειν τὸ ὄχημα. ὁ δὲ Χαγάνος ταῦτα ἀκηκοὼς καὶ ὑπογελάσας, ἔφησε τὴν εἰρήνην ἄγειν. τῇ δὲ προαιρέσει Πρίσκου, εἴτι ἂν θέλῃ τῶν λαφύρων τὸν Χαγάνον τιμῆσαι. ὁ δὲ Πρίσκος τὴν D αἰχμαλωσίαν ἀπέδωκε τῷ Χαγάνῳ ὑπὲρ τῆς διαβάσεως. τὰ δὲ λάφυρα πάντα λαβὼν ἀκινδύνως τὸν ποταμὸν διεπέρασεν. ὁ δὲ Χαγάνος ταῦτα δεξάμενος ἥσθη μεγάλως· καὶ ὁ Πρίσκος εἰς Βυζάντιον ἧκεν. ὁ δὲ Πέτρος τὴν στρατηγίαν παρέλαβεν.

Hoc anno monstra in suburbanis Byzantii locis nata sunt: puer nimirum quadrupes, & alius biceps. Accurati porro Historiarum scriptores urbibus, in quibus illa prodierint, nil boni faustique portendere asseverant. Imperator autem Prisco a summa exercituum Præfectura remoto, Petrum proprium fratrem Romanarum copiarum Ducem instituit. De sua exauctoratione Priscus certior factus, eductis secum ante Petri adventum omnibus copiis, amnem trajicit. Ut Romanas acies ulteriorem ripam suo transitu obtinuisse Chaganus intelleait, id satis miratus, misit ad Priscum causam oimirum percontaturus, ac simul prædæ partem consequi apud se consiliatus: atque ita demum amnem ipse transveheretur. Quam moleste enim ferebat prosperum quippiam Romanis succedere. Ad Chaganum itaque Legationem de his Priscus instruit, Theodorum videlicet Medicum, virum animi solertia & prudentia insignem. Qui cum tumidos Chagani spiritus, ejusque responsa arrogantius data (cunctarum quippe nationum sese prædicabat dominum) animo percepisset: barbaricam hominis insolentiam antiqua narratione demulcebat. Ad eum itaque conversus. Audi, inquit, Chagane, narrationem tibi profuturam. Sesostris Ægyptiorum rex illustris, atque oppido felix, divitiis alioqui clarus, & armorum robore prorsus invictus, innumeras atque potentissimas nationes subegit: eoque in superbiam omnino dementem prolapsus currum auro lapidibusque pretiosis compactum paravit, cui insidens, ex devictis regibus quatuor, qui currum equorum more traherent ad jugum alligavit. Interim dum ea pompa elatus triumphat, e regibus quatuor alter conversis retro frequenter luminibus rotam se se circumvolventem attentius contemplabatur. Sesostri vero sciscitanti, cur retro figeret oculum? Respondit ille. Rotæ inconstantiam demiror in diversas partes se convolventis, & qua partem superiorem inclinantis, qua vero inferiorem erigentis & excelsius elevantis. Porro Sesostris cum similitudinem hanc, qua pollebat animi sagacitate, percepisset, lege sancita edixit; ne ulli deinceps reges currum apud Ægyptios traherent. Subrisit Chaganus his auditis, & pacis fœdera servaturum se promisit: In potestate vero Prisci stare, qua parte spoliorum vellet, se donatum relinqueret. In transitus itaque concessi mercedem, captivos omnes Priscus Chagano restituit: ipse retentis sibi spoliis amnem iterum sine periculo trajecit. Chaganus his acceptis mirum in modum lætatus est: Prisco vero Byzantium reverso, Petrus in exercitus ducendi munus successit.

Edit. Paris. pag. 230.

			ιδ΄	η΄		β΄	δ΄	ιζ΄	β΄

			14	8		2	4	17	2

Τούτῳ τῷ ἔτει ἐκέλευσεν ὁ βασιλεὺς Πέτρῳ τῷ στρατηγῷ, ὥστε τὴν τρίτην μοῖραν τῆς ῥόγας διὰ χρυσοῦ τοὺς Ῥωμαίους λαβεῖν· καὶ τὴν τρίτην διὰ ὅπλων· τὴν δὲ ἑτέραν τρίτην δι' ἐσθῆτος παντοίας. τοίνυν Ῥωμαῖοι τοῦτο ἀκηκοότες πρὸς τυραννίδα ἐτρέποντο. ὁ δὲ στρατηγὸς φοβηθεὶς τοῖς στρατοπέδοις E ἀπελογεῖτο, ὡς οὐκ ἀληθὲς τοῦτο ἐστί. καὶ ἀπεδείκνυε τῷ στρατῷ ἕτερα γράμματα παρακελευόμενα αὐτῷ, ὥστε τοὺς ἀριστεύσαντας, καὶ ἐκ τῶν κινδύνων σωθέντας ἐν ταῖς πολέ-

Hoc anno Petro Duci suis mandatis significavit Imperator, ut stipendiorum tertiam partem nummis aureis persolvendam Romani milites acciperent: partem aliam armis sibi concessis: ultimam denique data ad vestes quaslibet materia sibi repensam profiterentur. Quod ubi resciverunt, ad rebellionem se converterunt. Deterritus Dux factum apud milites excusavit, nequaquam id verum esse asseverans; quinetiam alias litteras ostendit, quibus jubebat Imperator, ut milites qui in bello fortiter se gesserant, & a gravibus pe-

pag. 231.

riculis incolumes evaserant, in urbibus data vacatione agerent, & publicis sumptibus inter cæteros senes alerentur: amplius ut militum liberi in proprium parentum locum adscriberentur. Ejusmodi verborum lenocinio exercitum ita demulsit, ut Cæsarem universi faustis acclamationibus prosequuti sint: De quibus omnibus Petrus Imperatorem certiorem fecit. Marcianopolim vero accedens, milites mille, qui præcurrerent, misit. Isti vero in Sclavinos, qui magnam e Romanorum finibus prædam avexerant, incidentes, in fugam barbaros vertere. At barbari captivis interfectis, cæteram prædam, quæ maxima fuit, secum abducentes, in Romanorum fines regressi sunt.

Eodem anno Solarium Magnauræ condidit Imperator, suamque statuam ad medium atrium erexit, ibidemque posuit armamentum.

σιν ἀναπαύεσθαι, καὶ γηροτροφεῖσθαι ἐκ τῶν δημοσίων· τοὺς δὲ παῖδας τῶν στρατιωτῶν εἰς τοὺς τόπους τῶν γονέων ἐγγράφεσθαι· καὶ ταύτῃ τῇ πιθανότητι τὸν λαὸν κατεπράϋνε, καὶ τὸν Καίσαρα ἀνευφήμησαν. ταῦτα δὲ ὁ Πέτρος καὶ τῷ βασιλεῖ κατεμήνυσεν. ἐλθὼν δὲ ἐπὶ Μαρκιανούπολιν ἀποστέλλει χιλίους προτρέχειν. οὗτοι περιτυχόντες Σκλαβίνοις ἐπιφερομένοις Ῥωμαϊκὴν λεηλασίαν πολλήν, νώτους τρέπουσιν· οἱ δὲ βάρβαροι τὴν αἰχμαλωσίαν ἀποσφάξαντες, καὶ αἰχμαλωσίας πολλῆς κρατήσαντες, ἐπὶ τὰ Ῥωμαϊκὰ ὑπέστρεψαν.

Τῷ δ' αὐτῷ ἔτει ἔκτισεν ὁ βασιλεὺς τὸν Ἡλιακὸν τῆς Μαγναύρας· καὶ ἔστησεν ἐν τῷ μεσαύλῳ τὴν ἰδίαν στήλην, καὶ ἀπέθετο ἐκεῖ τὸ ἀρμαμέντον.

		15	9		3	5	18	3

		ιε΄	θ΄		γ΄	ε΄	ιη΄	γ΄

Hoc anno cum Petrus Dux venatum prodiisset, agrestis sus obviam factus pedem ejus ad arborem contrivit: ex quo doloribus plane intolerandis diu cruciatus est. Imperator autem litteris inclementioribus, probrosis, convitiisque gravissimis eum perstrinxit, cum Sclavinos Byzantium versus adventare rescivisset. His Petrus commotus ac vere coactus Novas se contulit. Cum vero urbis primates ac milites una cum Episcopo ei obviam progressi essent: speciosum militum ornatum, ac fortitudinem miratus Dux, ut urbe relicta, se Romano exercitui adjungerent, mandavit. At milites qui ad urbis custodiam deputati fuerant, id exequi detrectaverunt: ex quo Dux iratus, Genzonem cum armata militum manu ad eos misit; qui ea de re certiores facti, ad Ecclesiam confugientes, clausis templi portis intus se continuere. Genzon templi sanctitatem veritus, re intentata substitit. Petrus inde exasperatus, Genzonem munere abdicavit, & Scribonem misit, qui Episcopum ignominiose ad se traduceret. At cives vicatim & cum totis familiis congregati, Scribonem turpiter urbe expellunt; occlusisque urbis portis Mauricium quidem Imperatorem faustis vocibus prosequuti, Ducem probris palam proscidere: atque ita demum Petrus turpiter inde recessit. Cum vero mille homines speculatum præmisisset: hi in Bulgarorum turmam numeri ejusdem incidere. At Bulgari, paci, quæ cum Chagano intercedebat, confisi, securi citra ullam suspicionem progrediebantur. Cum autem Romani eos adorirentur, Bulgari viros septem delegavere, qui Romanis pacem haud ita solvendam esse persuaderent. Quæ ubi Præcursores audiverunt, Duci confestim retulere. Dux vero: neque si Imperator ipse advenerit, inquit, eis parcam. Consertaque pugna Romani in fugam vertuntur: nec tamen eos insequuti sunt barbari, ne victoriam ardentius amplexati, in insidias inciderent. Dux porro Præcursorum Præfectum virgis acriter cædi imperavit. Quod cum ad Chaganum renunciatum fuisset, Legatos ad Petrum decrevit, qui hostilem hanc aggressionem incusantes, Romanos nulla justa de causa pacem solvisse quererentur. Sed Petrus hanc suorum incursionem se plane ignorasse blandis ac fraudulentis verbis adstruxit: duplicata se nihilominus ipsis spolia dare

Edit. Paris. pag. 232.

Τούτῳ τῷ ἔτει Πέτρου τοῦ στρατηγοῦ κυνηγοῦντος, καὶ ὑὸς ἀγρίου αὐτῷ συναντήσαντος, τὸν πόδα αὐτοῦ ἐν δένδρῳ ἐξέθλιψε, καὶ ἀφορήτοις ὀδύναις χρόνῳ πολλῷ ἐνοσηλεύετο. ὁ δὲ αὐτοκράτωρ γράμμασιν αἰσχίστοις καὶ ὀνειδισμοῖς ἀφορήτοις αὐτὸν περιέβαλλεν, ἀκούσας Σκλαβινὰ ἔθνη κατὰ τοῦ Βυζαντίου κινεῖσθαι. ὁ δὲ Πέτρος βιασάμενος εἰς Νόβας παρεγένετο. οἱ δὲ τῆς πόλεως ἐπίσημοι στρατιῶται ἅμα τῷ ἐπισκόπῳ τῷ στρατηγῷ ὑπήντων. ὡς ἰδὼν ὁ στρατηγὸς καὶ θαυμάσας τὴν ἐξόπλισιν, καὶ ἀνδρείαν αὐτῶν, κελεύει καταλιπόντας τὸ ἄστυ τῷ Ῥωμαϊκῷ πλήθει συναναμίγνυσθαι. οἱ δὲ στρατιῶται ἐπὶ φρουρᾷ τῆς πόλεως συντεταγμένοι, οὐκ ἐπείθοντο τοῦτο ποιῆσαι. θυμωθεὶς δὲ ὁ στρατηγός, ἀπέστειλε Γένζωνα μετὰ πλήθους στρατιωτῶν. οἱ δὲ μαθόντες ἔφυγον εἰς τὴν ἐκκλησίαν, καὶ τὰς θύρας τοῦ ναοῦ κλείσαντες, ἐκάθηντο ἔνδον. ὁ δὲ Γένζων τῇ αἰδοῖ τοῦ ναοῦ, ἄπρακτος διέμεινε. Πέτρος δὲ ὀργισθείς, ἀποχειροτονεῖ τὸν Γένζωνα τῆς στρατηγίας, καὶ ἐκπέμπει Σκρίβωνα ἠτιμωμένως τὸν ἐπίσκοπον πρὸς αὐτὸν ἀγαγεῖν. οἱ δὲ τῆς πόλεως πανοικὶ συναχθέντες, ἀτίμως τὸν Σκρίβωνα τῆς πόλεως ἀπελαύνουσι. καὶ τὰς πύλας τῆς πόλεως κλείσαντες, τὸν μὲν Μαυρίκιον βασιλέα εὐφήμουν, τὸν δὲ στρατηγὸν ὕβρεσι περιέβαλλον· καὶ οὕτως ἀτίμως ὁ Πέτρος ἀνεχώρησε. προπέμπει δὲ χιλίους ἐπὶ κατασκοπῇ· οἱ δὲ περιτυγχάνουσι Βουλγάροις χιλίοις τὸν ἀριθμόν· οἱ δὲ Βούλγαροι θαρροῦντες εἰρήνῃ τοῦ Χαγάνου, ἀμερίμνως ἐβάδιζον· οἱ δὲ Ῥωμαῖοι πρὸς τοὺς Βουλγάρους τὰς ὁρμὰς ἐποιοῦντο. οἱ δὲ Βούλγαροι ἀποστέλλουσιν ἄνδρας ἑπτά, παραινοῦντες μὴ παραλῦσαι τὴν εἰρήνην. τοῦτο ἀκούσαντες οἱ προτρέχοντες, μηνύουσι τὸν στρατηγὸν ταῦτα. ὁ δὲ στρατηγὸς ἔφη· οὐδὲ εἰ ὁ αὐτοκράτωρ παρέλθοι, τούτοις φείσομαι. συμβολῆς δὲ γενομένης, τρέπονται οἱ Ῥωμαῖοι. οἱ δὲ βάρβαροι οὐκ ἐδίωξαν αὐτούς, ἵνα μὴ νικῶντες κινδύνῳ περιπέσωσιν. ὁ δὲ στρατηγὸς τὸν ταξίαρχον τῶν προτρεχόντων χαλεπῶς ἐμαστίγωσε. τοῦτο μαθὼν ὁ Χαγάνος πρέσβεις πρὸς τὸν Πέτρον ἐξέπεμψε, τὴν ἔναρξιν αἰτιώμενος, καὶ ὡς Ῥωμαῖοι ἄνευ δικαίας αἰτίας τὴν εἰρήνην διέλυσαν. ὁ δὲ Πέτρος ἀπατηλοῖς λόγοις χρησάμενος, μὴ εἰδέναι τὴν κίνησιν διισχυρίζετο, διπλασίονα δὲ διδόναι τὰ σκῦλα ἅπαντα. καὶ οὕτως ἐν μοίραις δύο οἱ βάρβαροι τὰ ἀπολωλότα

σκῦλα

σκῦλα ἀναλαβόντες, στέργουσι τὴν εἰρήνην. ὁ δὲ Πέτρος A κατὰ Πειραγάστου τοῦ ἐξάρχου τῶν Σκλαβίνων χωρεῖ. οἱ δὲ βάρβαροι περὶ τὴν ὄχθαν τοῦ ποταμοῦ τούτοις ὑπαντήσαντες, διεκώλυον τοῦ περάσαι. οἱ δὲ Ῥωμαῖοι ἀπὸ τῶν πορθμίων τοξεύοντες, τούτους ἀπέστρεψαν· καὶ τραπέντων αὐτῶν, πλήττεται κατὰ λαγόνος ὁ Πειράγαστος, καὶ θνήσκει. περάσαντες δὲ οἱ Ῥωμαῖοι αἰχμαλωσίας πολλῆς ἐκράτησαν, καὶ εἰς τὰ ἴδια ἐπανέζευξαν. πλανηθέντων δὲ τῶν ὁδηγῶν, καὶ ἀνύδροις τόποις περιπεσόντων, ἐκινδύνευε τὸ στρατόπεδον. βαδίσαντες δὲ διὰ τῆς νυκτὸς, περιτυγχάνουσι τῷ Ἰλβακίῳ ποταμῷ. λόχμης δὲ εἰς τὸ ἀντίπερα ὑπούσης τοῦ ποταμοῦ, οἱ βάρβαροι ἐν ταύτῃ κρυπτόμενοι, τοῖς ἀρυομένοις τὸ ὕδωρ ἐπιξόδου· μεγάλης τοίνυν ἐπηρείας τοῖς Ῥωμαίοις γενομένης στρατεύμασι, πρὸς φυγὴν ἐχώρησαν, καταπολεμηθέντες ὑπὸ τῶν βαρβάρων. ὁ δὲ Μαυρίκιος ταῦτα ἀκηκοὼς, τὸν Πέτρον στρατηγίας ἀπέπαυσε, καὶ τὸν Πρίσκον πάλιν στρατηγὸν τῆς Θρᾴκης ἀπέστειλεν.

A omnia: atque ita barbari spoliis, quæ amiserunt, dupla sorte receptis, pacem servavere. Cæterum Petrus contra Peregastum Sclavinorum Præfectum expeditionem suscepit. At barbari secundum fluminis ripam Romaois obviam facti, eos amnem trajicere prohibebant. Romani contra e vectoriis navibus tela mittentes, barbaros averterunt. Dumque in fugam vertuntur, Peregastus ilio sauciatus moritur. Romani ergo flumen transgressi, præda maxima coacta in propria loca se recepere. Sed Ductores recta via aberrantes, & in arida inaquosaque loca deflectentes, exercitum in magnum conjecere periculum. Iter porro noctu peragentes, diverterunt ad Ilbacium amnem. Barbari vero in insidiis, quas trans flumen collocaverant, delitescentes, in Romanos qui haustum B venerant, tela jaculabantur. Ex quo Romaoi cum magna clade afficerentur, a barbaris demum debellati versi sunt in fugam. Mauricins his auditis Petrum officio privavit, & Priscum iterum Thraciæ Ducem delegavit.

Κόσμου ἔτη ,ςϟγ'.	Τῆς θείας σαρκ. ἔτ. ,φϟγ'.	Ῥωμ. Βασιλ. Μαυρίκιος ἔτη κ'.	Περσῶν βασιλ. Κοσρόης ἔτ. λθ'.		Κ/Π. ἐπίσκ. Κυριακὸς ἔτη ια'.	Ἱεροσ. ἐπίσκ. Ἀμὼς ἔτη ε'.	Ἀλεξ. ἐπίσ. Εὐλόγιος ἔτη κζ'.	Ἀντιοχείας ἐπίσκ. Ἀναστάσιος ἔτ. ς'.
		κ'	ι'		δ'	ς'	ιθ'	δ'

Anni mundi 6093.	Divinæ Incarn. 593.	Rom Imp. Mauricius annis 20.	Persarū rex Cosroes annis 39.		Constant. Episc. Cyriacus annis 11	Hierosol. Episc. Amos Isac. annis 5	Alex. Episc. Eulogius annis 27.	Ant. Episc. Anastasius annis 6.
		16	10		4	6	19	4

Τούτῳ τῷ ἔτει Πρίσκος στρατηγὸς ἐξῆλθεν ἐν τῇ Θρᾴκῃ, καὶ τὰς δυνάμεις ἠρίθμησε, καὶ εὗρεν ὅτι C πλῆθος πολὺ διεφθάρη ἐξ αὐτῶν. τούτους δὲ παραλαβὼν παραγίνεται εἰς τὸν Ἴστρον ποταμὸν εἰς νομάς. ὁ δὲ Χαγάνος τοῦτο μαθὼν πρέσβεις ἐξέπεμψε τὴν αἰτίαν πυνθανόμενος τῆς ἀφίξεως. ὁ δὲ Πρίσκος προεφασίσατο διὰ κυνηγέσια ἐληλυθέναι. ὁ δὲ Χαγάνος οὐ δίκαιόν ἐστι, φησὶν, ἐν ἀλλοτρίῳ τόπῳ κυνηγεῖν· ὁ δὲ Πρίσκος ἴδιον ἔλεγεν εἶναι τὸν τόπον καὶ τὴν ἐξ ἀνατολῆς ἀπόδρασιν τῷ Χαγάνῳ ὠνείδιζε. ὁ δὲ βάρβαρος τῆς Σιγγιδόνος τὸ τεῖχος κατέλυσε· καὶ ἐπὶ τὴν τῶν Ῥωμαίων γῆν ἐχώρει. τοῦτο μαθὼν ὁ Πρίσκος παραγίνεται εἰς τὴν νῆσον τοῦ Ἴστρου, καὶ παραλαβὼν δρόμωνας, παραγίνεται πρὸς τὸν Χαγάνον εἰς Κωνσταντίολαν, θέλων αὐτῷ ὁμιλῆσαι. ἐλθόντι δὲ τῷ D Χαγάνῳ πρὸς τὴν ὄχθαν τοῦ ποταμοῦ, ὁ Πρίσκος ἀπὸ τῆς νηὸς διελέγετο. ὁ δὲ Χαγάνος ἔφη πρὸς αὐτόν· τί σοι, Πρίσκε, τῇ γῇ τῇ ἐμῇ; καὶ ταύτην βούλει διὰ ψεύδους λαβεῖν, ἐκ τῶν χειρῶν μου; κρινεῖ ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ Μαυρικίου τοῦ βασιλέως. ἐκζητήσει τὸ αἷμα τοῦ στρατοῦ τῶν Ῥωμαίων, καὶ τοῦ στρατοῦ τοῦ ἐμοῦ ἐκ τῶν χειρῶν αὐτοῦ. ὁ δὲ Πρίσκος ἔφη * * * *

* Deest

οὐ μίαν πόλιν ἐγχειρεῖς παρ᾽ ἡμῶν λαβεῖν, ὄψει μετ᾽ ὀλίγον πεντήκοντα πόλεις Ῥωμαϊκὰς δουλουμένας βαρβάροις. ὁ δὲ Πρίσκος διὰ τοῦ ποταμοῦ τὰς ναῦς τῇ Σιγγιδόνι παραστησάμενος, ταύτην ἐπόρθησε, καὶ τοὺς Βουλγάρους ἐξ αὐτῆς ἐξεδίωξε, καὶ τὸ τεῖχος κτίζειν ἀπήρξατο. ὁ δὲ Χαγάνος πρὸς αὐτὸν ἀγγέλους ἀπέστειλε, E καὶ τοὺς ψευδωνύμους ἑαυτοῦ θεοὺς διεμαρτύρετο καταιτιώμενος τῶν γενομένων τὸν Πρίσκον. χειμῶνος δὲ καταλαβόντος ἑκάτεροι εἰς τὰ ἴδια ἀνεχώρησαν. τῷ δ᾽ αὐτῷ ἔτει Πέτρος ὁ ἀδελφὸς Μαυρικίου ἔκτισε τὴν ἐκκλησίαν τῆς ἁγίας Θεοτόκου τῶν * Ῥοβίνδου κοσμήσας αὐτὴν ἐκ διαφόρων μαρμάρων. ὁμοίως καὶ ὁ Κυριακὸς Πατριάρχης τὰ Διακονίσσης τὴν ἐκκλησίαν τῆς ἁγίας Θεοτόκου.

* Ἀραβίνδα

Theophanis Chron.

C Hoc anno Dux Priscus in Thraciam profectus exercitum recensuit, & magnam militum manum ex eis periisse & desiderari comperit. Iis eductis ad prædas circa Istrum fluvium abigendas se contulit. Quibus cognitis Chaganus Legatos profectionis causam sciscitaturos misit. Priscus venandi gratia se accessisse prætexere. Ad quem Chaganus: Nefas, ait, alieno in solo te venatum exercere. Priscus contra proprium asserere fundum: & Chaganum ex Oriente transfugam affirmare & exprobrare. Eapropter barbarus eversis Singidonis mœnibus, in Romanam ditionem penetravit. Eo comperto ad Istri insulam confert se Priscus, & conscensis agitatisque dromonibus, Chaganum adloquuturus Constantiolam proficiscitur. Ad fluminis D autem ripam consistenti Chagano Priscus e navigio colloquium habebat. Tum Chagaous ad Priscum. Quid tibi, amabo, Prisce, cum ditione mea? Ut quid eam dolis occupare moliris? & e manibus meis eripere? Judicabit Deus inter me & Imperatorem Mauricium: & ex ejus manibus mei Romanorumque exercitus sanguioem reposcet. Ad hæc Priscus * * * * * * * Subinfert Chaganus. Non urbem unam a nobis repetere consilium est? Scito quinquaginta alias Romani imperii urbes barbarorum virtute subigendas te brevi conspecturum. Priscus vero navibus ad Singidonem applicatis, urbem depopulatus, Bulgaros ex ea ejecit, & murum exædificare cœpit. At Chaganus Legatis ad E eum missis, fictorum deorum fidem obtestatus, de iis quæ commiserat, apud ipsummet graviter conquestus est. Ingruente porro hyeme uterque patrios lares revisit. Hoc etiam anno Petrus Mauricii frater sanctæ Deiparæ Arabindarum Ecclesiam diversis marmoribus ornatam extruxit. Ad Diaconissæ pariter compitum Cyriacus Patriarcha sanctæ Deiparæ Ecclesiam posuit.

Edit. Parif. pag. 233.

	27	11		5	7	20	5

Hoc anno Chaganus collectis omnibus copiis in Dalmatiam suscepit expeditionem: Balben vero & circumpositas Metropoles omnes devastavit. Rei fama excitus Priscus Gunduem quæ ab hostibus admissa fuerant exploratum misit. Ille locis plane imperviis iter agens, barbaros duos vino graves offendit, eosque de barbarorum consiliis interrogat. Respondent illi: millibus hominum duobus bene armatis Chaganum prædam commendasse, eamque omnem ad Bulgaris domesticos lares agi. Eo comperto, Gundues in angusta valle occultatur, & hostes a tergo summo diluculo adortus, ex improviso, cunctos confertim occidit: & recuperatam prædam ad Priscum reduxit. Chaganus clade cognita propriam repetit regionem, & Priscus pariter domum revertitur.

Edit. Paris. pag. 234.

		ζ΄	ια΄		ε΄	ζ΄	α΄	ε΄

Τούτῳ τῷ ἔτει συναθροίσας ὁ Χαγάνος τὴν αὐτοῦ δύναμιν ἐπὶ τὴν Δαλματίαν ἐχώρησε. καὶ καταλαβὼν τὴν Βάλβη, καὶ τὰς περὶ αὐτὴν μητροπόλεις πάσας ἐπόρθησεν. ὁ δὲ Πρίσκος ταῦτα μεμαθηκὼς Γουνδούην ἐπὶ τῇ κατασκοπῇ τῶν πραττομένων ἀπέστειλε· καὶ καταλαβὼν τοὺς βαρβάρους διὰ δυσβάτων χωρίων τὴν βάδισιν ποιούμενος περιτυγχάνει δύο βαρβάροις τῷ οἴνῳ κεκαρωμένοις, καὶ τούτους διερωτᾷ ὁ Γουνδούης τὰ τῶν βαρβάρων κινήματα. οἱ δὲ ἔφησαν. δισχιλίοις ὁπλίταις τὴν αἰχμαλωσίαν τὸν Χαγάνον παραδεδωκέναι, καὶ πρὸς τὰ οἰκεῖα ἀποστεῖλαι. ταῦτα ὁ Γουνδούης μεμαθηκὼς κρύπτεται ἐν μικρᾷ φάραγγι, καὶ ἐξ ἑωθινοῦ ἐπὶ τὰ νῶτα τούτοις γενόμενος ἀθρόως πάντας ἀνεῖλε· καὶ τὴν αἰχμαλωσίαν λαβὼν πρὸς τὸν Πρίσκον ἤγαγεν. ὁ δὲ Χαγάνος τὰ τῆς ἀτυχίας μαθὼν εἰς τὴν ἑαυτοῦ ἐπανέζευξε χώραν· καὶ ὁ Πρίσκος ὑπέστρεψεν εἰς τὰ ἴδια.

Anni mundi 6092.	Divinæ Incarn. 592.	Rom. Imperat. Mauricius annis 20.	Persarum rex Chosroes annis 39.		Const. Episc. Cyriacus annis 11.	Hierosol. Episc. Amos annis 8.	Alex. Episc. Eulogius annis 27.	Ant. Episc. Anastasius annis 6.
		18	12		6	8	22	6

Κόσμου ἔτη ϛϙϐ΄.	Τῆς θείας σαρκ. φϙϐ΄.	Ῥωμ. Βασιλ. Μαυρίκιος ἔτη κ΄.	Περσ. Βασιλ. Χοσρόης ἔτη λθ΄		Κωνστ. ἐπίσκ. Κυριακὸς ἔτη ια΄	Ἱεροσ. ἐπίσκ. Ἀμὼς ἔτη η΄	Ἀλεξ. ἐπίσκ. Εὐλόγιος ἔτη κζ΄.	Ἀντ. ἐπίσκ. Ἀναστάσιος ἔτη ϛ΄.
		ιη΄	ιϐ΄		ϛ΄	η΄	κϐ΄	ϛ΄

Hoc anno Indictione tertia mense Martio Priscus educto exercitu Singidonem versus proficiscitur. Chaganus ex adverso collectis viribus ex inopinato in Mysiam irrumpit, & Tomosiam urbem occupare molitur. Quare Singidone relicta Priscus ad eum proximus accessit. Imminente vero Paschali celebritate, Romanis fame tabefactis, cum eorum penuriam percepisset Chaganus coovehendo commeatui currus, quos etiam cibis onustos instrueret, ad ipsum mitti Prisco significat: ut proprium sibi festum Romani cum epulorum gaudio peragerent. Currus itaque quadriogentos cibis probe refertos ad eos destinavit. Priscus etiam vicissim species Indicas, piper nimirum, folium Indicum, costum, cassiam, & alia postulata misit ad barbarum, qui tum ad Thermium sedem posuerat: & id muneris lætantissime accepit: atque ita donec festi celebritas expleretur, Romani cum barbaris permixtim & absque discrimine conversabantur; nec in alterutrius castris terroris suspicio ex bujusinodi societate exorta est. Diebus vero solemnibus jam elapsis barbari a Romanis sejunguntur. Porro Mauricius suppetiis Prisco ferendis cum pedestri militum manu Comentiolum misit. Chaganus nuncio accepro, adversus Comentiolum expeditione suscepta, ad trigesimum lapidem a Comeotioli exercitu castra posuit. Quare Comentiolus in magnas mentis angustias adductus Legationem ad Chaganum destinavit. Mauricium sane Comentiolo ut Romanum exercitum a tumultibus concitandis deinceps compescendum adversariis proderet, quorumdam rumor extitit. Porro media nocte milites armari jussit, nec tameo se prælium initurum esse significavit: Unde milites exercitationis tantum ergo arma capessenda se jussos arbitrati, non ut decuit pro certamine sustinendo sunt instructi. Adventante luce, & jam barbaris irrueotibus, ingens

Τούτῳ τῷ ἔτει ἰνδικτ. γ΄. μηνὶ Μαρτίῳ ἀναλαβὼν τὰς δυνάμεις ὁ Πρίσκος ἐπὶ τὴν Σιγγιδόνα παραγίνεται. ὁ δὲ Χαγάνος συναθροίσας τὴν ἑαυτοῦ δύναμιν ἄφνω τῇ Μυσίᾳ ἐφίσταται, καὶ τὴν Τομοσίαν πόλιν ἐπιχειρεῖ λαβεῖν. διὰ τοῦτο Πρίσκος τὴν Σιγγιδόνα καταλιπὼν, τούτῳ ἐπλησίαζε. τῆς δὲ ἑορτῆς τοῦ Πάσχα καταλαβούσης, καὶ τῶν Ῥωμαίων λιμῷ τηκομένων, ἀκηκοὼς ὁ Χαγάνος τῷ Πρίσκῳ ἐδήλου ἁμάξας ἐκπέμψαι πρὸς αὐτὸν, ὅπως δαπανήματα ἐκπέμψῃ αὐτοῖς, ἵνα μὴ ἱλαρόντως τὴν ἑαυτῶν ἑορτὴν ἐκπληρώσωσι. τετρακοσίας οὖν ἁμάξας πληρώσας τούτοις ἐξέπεμψεν· ὁμοίως δὲ ὁ Πρίσκος εἴδη τινὰ Ἰνδικὰ ἐξέπεμψε τῷ βαρβάρῳ· πέπερί τε, καὶ φύλλον Ἰνδικὸν, καὶ κόστον, καὶ κασσίαν, καὶ ἕτερα τῶν ζητουμένων· καθεζομένου τοῦ Χαγάνου εἰς τὸ Θέρμιον, καὶ ταῦτα δεξάμενος ἥσθη ἐπ᾽ αὐτοῖς· καὶ μέχρι τοῦ πληρωθῆναι τὴν ἑορτὴν Ῥωμαῖοί τε καὶ βάρβαροι ἀλλήλοις συνηυλίζοντο καὶ οὐκ ἦν φόβος ἐν ἑκατέραις δυνάμεσι. τῆς δὲ ἑορτῆς πληρωθείσης διαχωρίζονται ἀπὸ τῶν Ῥωμαίων οἱ βάρβαροι. ὁ δὲ Μαυρίκιος ἐπὶ συνάρσει δῆθεν τοῦ Πρίσκου Κομεντίολον ἀπέστειλε μετὰ πεζικῆς δυνάμεως. τοῦτο μαθὼν ὁ Χαγάνος ἐπὶ τὴν Μυσίαν κατὰ Κομεντιόλου στρατεύεται ἀπὸ τριάκοντα σημείων τοῦ Κομεντιόλου. ὁ δὲ Κομεντίολος ἐναπορῶν ἄγγελον πρὸς τὸν Χαγάνον ἐξέπεμψε. φασὶ δέ τινες τὸν Μαυρίκιον ὑποθέσθαι τῷ Κομεντιόλῳ, ὅπως Ῥωμαϊκὸν στράτευμα παραδώσῃ πολεμίοις διὰ τὰς ἀταξίας αὐτῶν. νυκτὸς δὲ μεσούσης ἐκέλευσε τὸν στρατὸν ὁπλίσασθαι, μὴ παραγγείλας τοῖς ὄχλοις μέλλειν πόλεμον συστήσασθαι. αὐτοὶ δὲ ὑπειληφότες ὅτι γυμνασίας ἕνεκεν σιδηροφορεῖν αὐτοὺς ἐκέλευσεν, οὐχ ὡς ἔδει ὡπλίσαντο. ἡμέρας δὲ γενομένης,

καὶ τῶν βαρβάρων καταλαβόντων, θρύλλος πολὺς τὸ στρατὸν κατέλαβεν. ὁ δὲ Κομεντίολος τὰς τάξεις ἐτάραττε, καὶ αἴτιος αὐτοῖς ἀκαταστασίας ἐγένετο. οὕτω μὲν οὖν Ῥωμαῖοι πρὸς φυγὴν ἐτρέποντο. οἱ δὲ βάρβαροι ἀστρατήγητον τὸν λαὸν εὑρηκότες, ἀνηλεῶς τούτους ἐφόνευον. ὁ δὲ Κομεντίολος ἀσχήμῳ φυγῇ ἐπὶ τὰ Δριζίπερα γίνεται· οἱ δὲ τῆς πόλεως ὕβρεσι καὶ λίθοις βάλλοντες αὐτὸν, τοῦ ἄστεως ἀποπέμπουσιν. οἱ δὲ βάρβαροι ἐπὶ τὰ Δριζίπερα ἐλθόντες, τήν τε πόλιν ἐπόρθησαν, καὶ τὸν ναὸν τοῦ ἁγίου Ἀλεξάνδρου ἐνέπρησαν· τόν τε τάφον αὐτοῦ ἠργυρωμένον εὑρόντες, ἀνοσίως σκυλεύουσι. καθυβρίζουσι δὲ καὶ τὸ σῶμα τοῦ Μάρτυρος, καὶ πολλὴν ἐν τῇ Θρᾴκῃ αἰχμαλωσίαν ποιησάμενοι, ἐν ὄχλῳ λαμπρῷ Ῥωμαίων κατεπαιρόμενοι. τοῦ δὲ Κομεντιόλου ἐν τῷ Βυζαντίῳ καταλαβόντος, μέγιστος τάραχος καὶ κλύδων τῇ πόλει ἐνέσκηψεν· ὥστε φοβηθέντας βούλεσθαι τὴν Εὐρώπην καταλιπεῖν, καὶ πρὸς τὴν Ἀσίαν ἐν τῇ Χαλκηδόνι μετοικισθῆναι. ὁ δὲ βασιλεὺς τά τε Ἐξκούβιτα ἀναλαβὼν, καὶ ὁπλιτικὸν συλλεξάμενος ὅμιλον, τὰ μακρὰ διεφρούρησε τείχη. οἱ δὲ Δῆμοι τὴν πόλιν ἐφύλαττον· καὶ ἡ σύγκλητος παρῄνει πρὸς τὸν Χαγάνον πρεσβείαν ἐκπέμψαι. ὁ δὲ Θεὸς τὴν ἐκδίκησιν τοῦ Μάρτυρος Ἀλεξάνδρου ποιούμενος, λοιμικὴν νόσον τοῖς βαρβάροις ἔπεμψε· καὶ ἐν μιᾷ ἡμέρᾳ ἑπτὰ υἱοὺς τοῦ Χαγάνου διὰ πυρετοῦ καὶ βουβῶνος ἀπέκτεινε σὺν πολλοῖς καὶ ἄλλοις ὄχλοις· ὥστε ἀντὶ χαρᾶς ἐπινικίου καὶ παιάνων, καὶ ᾀσμάτων, θρήνων, καὶ δάκρυα, καὶ πένθη ἀπαρηγόρητα ἔχειν τὸν βάρβαρον. ἡ δὲ σύγκλητος παρεκάλει τὸν Καίσαρα τὸν βάρβαρον πρεσβεῦσαι εἰς τὰ Δριζίπερα * * * * ὅστις λόγοις ἠπίοις τὸν βάρβαρον ἐκολάκευσεν. ὁ δὲ βάρβαρος οὐκ ἠβούλετο τὰ δῶρα δέξασθαι, θρήνῳ ἀσχέτῳ τῶν παίδων κατεχόμενος. ἔφασκε δὲ πρὸς τοὺς πρέσβεις. κρινεῖ ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ Μαυρικίου αὐτοκράτορος· αὐτὸς γὰρ τὴν εἰρήνην διέλυσεν· ἐγὼ δὲ τοὺς αἰχμαλώτους ἀποδίδωμι αὐτῷ κατὰ ψυχὴν νόμισμα ἓν κομιζόμενος παρ' αὐτοῦ. ὁ δὲ Μαυρίκιος οὐκ ἠνέσχετο δοῦναι· καὶ πάλιν ὁ Χαγάνος ᾐτήσατο ἀνὰ ἡμίσεως λαβεῖν κατὰ ψυχήν· καὶ οὐδ' οὕτως ὁ βασιλεὺς δοῦναι κατεδέξατο· ἀλλ' οὐδὲ τεσσάρων κερατίων λαβεῖν. καὶ θυμωθεὶς ὁ Χαγάνος πάντας ἀπέκτεινε, καὶ ἐπὶ τὰ ἴδια ἀνέζευξε, πεντήκοντα χιλιάδας ταῖς σπονδαῖς τοῖς Ῥωμαίοις ἐπιθείς. καὶ τὸν Ἴστρον ποταμὸν μὴ διαβαίνειν ὡμολόγησαν. ἐκ τούτου πολὺ μῖσος κατὰ Μαυρικίου τοῦ βασιλέως ἐκινήθη· καὶ ἤρξατο λοιδορίαις τοῦτον βάλλειν· ὁμοίως δὲ ὁ λαὸς ὁ ἐν τῇ Θρᾴκῃ πρὸς λοιδορίαν τοῦ βασιλέως ἐκινήθη. ὁ δὲ στρατὸς Ἐντολικαρίους ἔπεμψε πρὸς τὸν βασιλέα κατὰ Κομεντιόλου ὡς προδοσίαν ἐν τῷ πολέμῳ ποιήσαντος, ἐν οἷς ἦν καὶ ὁ Φωκᾶς, ὅστις τῷ βασιλεῖ διαλεγόμενος βριαρῶς τούτῳ ἀντέλεγεν ἐν τῷ σιλεντίῳ, ὥστε τινὰ τῶν Πατρικίων τοῦτον ματζῶσαι, καὶ τὸν πώγωνα αὐτοῦ τίλαι. ὁ δὲ βασιλεὺς οὐ κατεδέξατο τὸ κατὰ Κομεντιόλου ἔγκλησιν· ἀλλὰ τούτους ἀπράκτους ἀπέλυσε· διὰ τοῦτο καὶ ἐπιβουλὴ τοῦ βασιλέως ἀρχὴν ἔλαβε· κατὰ τοῦτον τὸν καιρὸν ἐν

tumultus totum exercitum pervadit. Sane Comentiolus ipse turbabat ordines, & confusionis auctorem omnino se præbebat: atque ita Romani in fugam versi sunt. Barbari nulla militiæ lege compositum exercitum operti, summa inhumanitate cunctos trucidant. Comentiolus turpi fuga ad Drizepera salutem quæsivit, quem cives contumeliis lapidibusque emissis, urbe expellunt. Tum vero barbari Drizepera profecti, civitate direptione tradita, in sancti Alexandri templum incendio grassati sunt, cumque sepulchri thecam argento ornatam reperissent, illusis prius & contemptis Martyris reliquiis, ornamentum omne sacrilege spoliavere: inde coacta per totam Thraciam præda, collectisque captivis, ipsi multitudine armis, ordine, necessariis bene instructa in Romanos insultabant. Inde Comentiolo Byzantium reverso, ingens ex timore perturbatio animorumque procella toti Urbi incubuit: adeo ut præ nimio timore, de relinquenda Europa, & transmigratione in Asiæ Chalcedonem consilium aperte iniretur. Imperator autem Excubitorum satellitio stipatus, collecto armatorum militum globo Longum murum tutabatur: Urbem vero populi factiones custodiebant, Senatu Legationem ad Chaganum decernendam suadente. Porro Deus injurias Martyri Alexandro irrogatas ulturus morbum pestilentem in barbaros immisit, qui uno solo die febri ex bubone orta septem Chagani liberos cum innumera populi multitudine extinxit: adeo ut triumphalis lætitiæ, victoriæ pæanum, cantuumque vice, luctus, lachrymas atque planctus prorsus inconsolabiles receperit. Senatus itaque Legatos ad Chaganum Drizepera a Cæsare destinari rogabat ******* qui officio functus blandis verbis barbarum delinivit. Barbarus impotenti luctu ex filiorum jactura detentus, munera accipere detrectavit: tantum Legatos affatur hoc pacto. Sedet Deus æquus judex inter me & Mauricium Imperatorem: ipse violandæ paci ansam dedit. Captivos tamen omnes ei reddam accepto in singula capita nummo uno. Mauricius eam pecuniæ summam depromere non tulit: quare dimidium nummum pro singulorum capite redimendo rursum postulat Chaganus: sed neque dimidiatum nummum, neque etiam Ceratia quatuor, quæ tandem pro singulis petierat Chaganus, Mauricius solvere admisit. Eapropter Chaganus cunctos ad unum interfecit, & in propriam regionem regressus, tributo, quod ex antiquis conditionibus Romani pendebant, quinquaginta millia de novo addidit. Istrum vero fluvium se non amplius trajecturos utrinque Romani & Bulgari convenere. Ex istis odium ingens in Mauricium conflatum, unde & convitiis injuriisque eum aperte proscindere, exercitus quoque grex universus per Thraciam sparsus ad ludibria dirasque in eum expuendas moveri. Exercitus itaque Missos ad Mauricium contra Comentiolum decrevit, qui se ab ipso in prælio proditos quererentur. Adfuit e Missis unus Phocas, qui coram Mauricio orans, audiente etiam Senatu, insolentibus in eum probris invectus est: ita ut inflictis etiam colaphis, barbam illi e Patriciis nonnemo vellicaverit. Porro Imperator objectas Comentiolo accusationes non admisit: ac Missos infecta penitus re dimisit: ex quo insidiarum in Imperatorem deinceps stru-

Edit. Paris. pag. 235.

pag. 236.

ctarum series processit. Cæterum ad Nilum Ægypti fluvium cum Menas Præfectus una cum exercitu, ad locum, qui Delta vocatur, iter faceret, sole oriente, visa sunt in flumine animalia specie humana, vir & fœmina. Vir erat bene compositus, pectore amplo, terribilis aspectu, fulvo crine, cui tamen inerant cani, & usque ad lumbos nudus naturam exhibebat spectandam, & nulla re tectus cunctorum oculis manifestus erat; cæteras vero corporis partes aqua obtegebat. Hunc Præfectus adjuravit, ne prius e conspectu discederet, quam omnes se raro adeo exsaturassent spectaculo. Mulier & mammas habebat, & faciem levem, prolixosque crines. Ad horam itaque nonam universus exercitus animalia cum admiratione spectavit: Hora vero nona fluvium subjere. Quod demum Menas Imperatori scriptis enarravit.

A Αἰγύπτῳ ἐν τῷ Νείλῳ ποταμῷ Μηνᾶ τοῦ Ὑπάρχου μετὰ λαοῦ πορευομένου ἐν τόπῳ λεγομένῳ Δέλτα, ἡλίου ἀνίσχοντος, ζῶα ἀνθρωπόμορφα ἐφάνησαν ἐν τῷ ποταμῷ, ἀνήρ τε καὶ γυνή. καὶ ὁ μὲν ἀνὴρ εὔστερνος, καταπληκτικός τε τὴν ὄψιν, ξανθὸς τὴν κόμην, μιξοπόλιος, καὶ μέχρι τῆς ὀσφύος ἐγύμνου τὴν φύσιν, καὶ πᾶσιν ἐδείκνυτο γυμνός· τὰ δὲ λοιπὰ μέρη τοῦ σώματος τὸ ὕδωρ ἐκάλυπτε. τοῦτον ὁ Ὕπαρχος ὅρκοις ἔβαλλε μὴ καταλῦσαι τὴν θεωρίαν, πρὶν ἅπαντες ἐμφορηθῶσι τῆς παραδόξου ταύτης ὁράσεως. ἡ δὲ γυνὴ τούς τε μαζοὺς εἶχε, καὶ τὴν ὄψιν λείαν, καὶ τὴν κόμην βαθεῖαν, καὶ μέχρις ἐννάτης πᾶς ὁ λαὸς ἐθαύμαζεν ὁρῶν τὰ ζῶα ταῦτα. τῇ δὲ ἐννάτῃ ὥρᾳ ἔδυσαν ἐν τῷ ποταμῷ. ὁ δὲ Μη-B νᾶς ταῦτα τῷ βασιλεῖ Μαυρικίῳ γεγράφηκεν.

Anni mundi 6091.	Divinæ Incarn. 591.	Romanorum Imperat. Mauricius annis 20.	Persarum rex Chosroes annis 39.		Constant. Episc. Cyriacus annis 11.	Hierosol. Episc. Isac. annis 8.	Alex. Episc. Eulogius annis 27.	Ant. Episc. Anastasius annis 9.
		19	13		7	1	22	1

Κόσμου ἔτη ͵ϛϙα'.	Τῆς θείας σαρκ. φϙα'.	Ῥωμ. Βασιλ. Μαυρίκιος ἔτη κ'.	Περσ. βασιλ. Χοσρόης ἔτη λθ'.		Κωνστ. ἐπίσκ. Κυριακὸς ἔτη ια'.	Ἱεροσ. ἐπίσκ. Ἰσάκιος ἔτη η'.	Ἀλεξ. ἐπίσκ. Εὐλόγιος ἔτη κζ'.	Ἀντ. ἐπίσκ. Ἀναστάσιος ἔτη θ'.
		ιθ'	ιγ'		ζ'	α'	κβ'	α'

Hoc anno mensis Martii die sexta supra vigesimum, indictione quarta, ipso sancti Paschatis die, Sophia Augusta Justini conjux, & Constantina Mauricii pariter uxor paratam Imperatori coronam C pretio quovis superiorem obtulerunt. Imperator opus demiratus, ad Ecclesiam proficiscitur, & in munus Deo offert: ipsique supra sanctam mensam ex triplicibus catenulis lapidibus auroque consertis appendit. Eo nuncio accepto Augustæ animo omnino consternatæ: & inter querelas & offensas Augusta Constantina cum Imperatore diem solemnem egit. Imperatore vero latas a Thracicis copiis adversus Comentiolum accusationes nullius faciente, ipse Comentiolus versus Istrum acie educta, ad Singidonem Prisco adjungitur: & cum barbaris pacem initam solvit. Ea violata Viminacium, quæ est Istri magna Insula, conveniunt. Re accepta, Chaganus copias colligit, & Romanas D provincias invadit: aliis vero turmis filiorum curæ commissis, Istri fluminis, quæ forent vada tutanda mandavit. Romani vero tumultuariis lembis compositis trajecerunt amnem, & Prisco Duce cum Chagani filio manus conserunt; Comentiolus enim infirma valetudine jactatus in insula Viminacio substiterat. Ad plures autem horas certamine protracto, cum sol occideret, e Romanis trecenti occisi, barbarorum ad quater mille desiderati. Copiis summo mane castris eductis & in aciem ex utraque parte compositis, bellum rursus instructum, & rursum e barbaris octies mille trucidati. Tertio pariter die in ordinem distributi ex eminentiore loco Romani barbaros adorti, eorum acies fundunt, ac in paludem quamdam adactos E & in ejus profundum impulsos, plures aquis suffocarunt, inter quos etiam ipsi Chagani liberi extincti; eo successu victoriam Romani consequuti sunt præclarissimam. Chaganus majoris exercitus robore comparato, in Romanos facit impressionem, consertoque prælio, iterum barbaros fudere Romani: fuitque hæc Romanorum victoria cunctis omnibus illustrior. Priscus porro armatorum milli-

Edit. Paris. pag. 237.

Τούτῳ τῷ ἔτει μηνὶ Μαρτίῳ κϛ', ἰνδικ. δ'. τῇ ἡμέρᾳ τοῦ ἁγίου Πάσχα Σοφία Αὐγοῦστα ἡ γυνὴ Ἰουστίνου ἅμα Κωνσταντίνῃ γυναικὶ Μαυρικίου στέμμα κατασκευάσασαι ὑ-C πέρτιμον τῷ βασιλεῖ προσήγαγον. ὁ δὲ βασιλεὺς τοῦτο θεασάμενος, ἀπελθὼν εἰς τὴν ἐκκλησίαν τῷ Θεῷ τοῦτο προσήγαγεν, καὶ ἐκρέμασεν αὐτὸ ἐπάνω τῆς ἁγίας τραπέζης διὰ τριχαλάσιν ἁλυσιδίων διαλίθων καὶ χρυσῶν· αἱ δὲ Αὐγοῦσται μεγάλως ἐλυπήθησαν τοῦτο μαθοῦσαι. καὶ ἐν μάχῃ Κωνσταντῖνα Αὐγοῦστα πρὸς τὸν βασιλέα τὴν ἑορτὴν ἐποίησεν. ὁ δὲ βασιλεὺς μὴ προσχὼν ταῖς ἐγκλήσεσι τῶν ἐν Θρᾴκῃ στρατευμάτων κατὰ Κομεντιόλου, ὁ αὐτὸς Κομεντίολος ἀναλαβὼν τὸ ὁπλιτικὸν, ἔρχεται ἐπὶ τὸν Ἴστρον, καὶ ἑνοῦται τῷ Πρίσκῳ ἐν Σιγγιδόνι· καὶ λύεται ἡ πρὸς τοὺς βαρβάρους εἰρήνη. ταύτης λυθείσης ἔρχονται εἰς τὸ Βιμινάκιον, ἥτις ἐστὶ νῆσος μεγάλη τοῦ Ἴστρου. ταῦτα δὲ ἀκούσας ὁ Χαγάνος, συναθροίσας τὰς D ἑαυτοῦ δυνάμεις, ἐπὶ τὰ Ῥωμαϊκὰ χωρεῖ· τοὺς δὲ τέσσαρας αὐτοῦ υἱοὺς παραδοὺς ἑτέρας δυνάμεις, παρέστησε φρουρεῖν τὰς διαβάσεις τοῦ Ἴστρου. οἱ δὲ Ῥωμαῖοι σχεδίας ποιήσαντες, τὸν ποταμὸν διεπέρασαν, καὶ πόλεμον μετὰ τοῦ υἱοῦ τοῦ Χαγάνου συνεστήσαντο, Πρίσκου στρατηγοῦντος. ὁ γὰρ Κομεντίολος ἀσθενήσας, εἰς τὸ Βιμινάκιον τὴν νῆσον ἐκαθέζετο. ἐπὶ πολλὰς ὥρας τοῦ πολέμου κρατήσαντος καὶ τοῦ ἡλίου δύναντος, τριακοσίων τε Ῥωμαίων ἀναιρεθέντων, χιλιάδες τέσσαρες ἐκ τῶν βαρβάρων διώλοντο. ἕωθεν δὲ πάλιν συντάξαντες τὰ στρατεύματα, πάλιν τοῦ πολέμου ἀπήρξαντο, καὶ πάλιν ὀκτὼ χιλιάδες τῶν βαρβάρων ἀνεῖλον. ὁμοίως καὶ τῇ τρίτῃ ἡμέρᾳ παραταξάμενοι ἐκ τῶν ὑψηλοτέρων οἱ Ῥωμαῖοι πρὸς τοὺς βαρβάρους ἐχώρησαν, καὶ τούτους τρέ-E ψαντες, καὶ ἐπὶ τὰ ὕδατα τῆς λίμνης τοὺς βαρβάρους ὠθήσαντες, πολλοὺς ἐξ αὐτῶν ἔπνιξαν· ἐν οἷς καὶ οἱ Χαγάνου παῖδες ἀπεπνίγησαν· καὶ νίκην οἱ Ῥωμαῖοι περιφανῆ ἀνεδήσαντο. ὁ δὲ Χαγάνος συναθροίσας δυνάμεις πολλὰς κατὰ Ῥωμαίων ἐπήρχετο· πολέμου δὲ προτεθέντος τρέπουσιν οἱ Ῥωμαῖοι τοὺς βαρβάρους· καὶ πασῶν οἱ Ῥωμαῖοι ἐπισημοτέραν ταύτην ἀπηνέγκαντο τὴν νίκην. ὁ δὲ Πρίσκος τέσσαρας

χιλιάδας συντάξας τὸν Τίσσον ποταμὸν περάσαι ἐκέλευσε, καὶ κατασκοπῆσαι τὰ τῶν βαρβάρων σκηνώματα. οἱ δὲ βάρβαροι μηδὲν τῶν γεγονότων ἐγνωκότες, ἑορτὴν ἐπιτελοῦντες συνεποσίαζον. τούτοις οἱ Ῥωμαῖοι κρυπτῶς ἐπιπεσόντες, μέγιστον φόνον ἀπειργάζοντο. λ'. γὰρ χιλιάδας Γηπαίδων καὶ ἑτέρων βαρβάρων ἀπέκτειναν· καὶ πλείστην αἰχμαλωσίαν λαβόντες πρὸς τὸν Πρίσκον ὑπέστρεψαν. ὁ δὲ Χαγάνος πάλιν δυνάμεις συναθροίσας ἐπὶ τὸν Ἴστρον παραγίνεται. καὶ συμβαλόντες πόλεμον ἡττῶνται οἱ βάρβαροι, καὶ εἰς τὰ ῥεῖθρα τοῦ ποταμοῦ ἀποπνίγονται. συναπόλλυνται δὲ καὶ τούτοις Σκλαβῖνοι πολλοί. ζῶντας δὲ ἐσαγήνευσαν Ἀβάρεις μὲν τρισχιλίους διακοσίους, καὶ βαρβάρους δισχιλίους. ὁ δὲ Χαγάνος εἰς Μαυρίκιον βασιλέα πρέσβεις ἀπέστειλεν ἀναλαβεῖν τοὺς ζωγρηθέντας πειρώμενος. ὁ δὲ Μαυρίκιος μήπω μαθὼν τὴν περιφανῆ τῶν Ῥωμαίων νίκην, γράφει τῷ Πρίσκῳ ἀποδοῦναι τῷ Χαγάνῳ τοὺς βαρβάρους μόνον. ὁ δὲ Κομεντίολος τῆς νόσου ἀπαλλαγόμενος ἐξέρχεται εἰς νομάς ζητῶν ὁδηγοὺς τοῦ ἐξαγαγεῖν αὐτὸν τὴν ὁδὸν Τραϊανοῦ τοῦ βασιλέως. γέρων δέ τις ἐπιστάμενος, ἔφασκε δυσχερῆ ταύτην εἶναι, καὶ ἀδιόδευτον, ἀπό τε τῶν ἐτῶν πολλῶν καὶ χειμῶνος ὄντος, ὑψηλὰ ὄρη καὶ χιόνας κεκτημένην. ὁ δὲ Κομεντίολος μὴ πεισθεὶς τοῖς λόγοις τοῦ γέροντος, ἀπέρχεται διὰ τῆς ὁδοῦ ταύτης. ψύχους δὲ γεγονότος ἐξαισίου καὶ μεγάλου κρύους, διαφθείρονται πολλοὶ τῶν Ῥωμαίων, καὶ τῶν νωτοφόρων ζώων τὰ πλεῖστα. καὶ μόλις εἰς τὴν Φιλιππούπολιν ἀφίκετο. κἀκεῖσε τῶν Ῥωμαίων παραχειμασάντων, ὁ Κομεντίολος εἰς Βυζάντιον ἔρχεται.

Τῷ δ' αὐτῷ ἔτει ἀνήρ τις τὸ μοναχικὸν σχῆμα περιβεβλημένος, καὶ ἐν ἀσκήσει διαλάμπων, σπαθίον γυμνώσας, ἀπὸ τοῦ φόρου μέχρι τῆς Χαλκῆς ξιφήρης διαδραμὼν, τὸν αὐτοκράτορα τοῖς πᾶσιν ἐν φόνῳ μαχαίρας τεθνήξεσθαι προηγόρευσεν. ὁμοίως καὶ Ἡρωδιανὸς Μαυρικίῳ εἰς τὸ φανερὸν προσαπήγγειλε τὰ τούτῳ συμβησόμενα. τοῦ δὲ βασιλέως γυμνοῖς ἀνυποδέτοις λιτανεύοντος μετὰ πάσης τῆς πόλεως, παρερχομένου ἐν τοῖς Καρπιανοῖς, στασιάζουσιν ἐκ τοῦ πλήθους τινὲς, καὶ λίθους κατὰ τοῦ βασιλέως ἔβαλλον· ὥστε μόλις τὸν βασιλέα σὺν Θεοδοσίῳ τῷ υἱῷ αὐτοῦ διασωθῆναι, καὶ τὴν εὐχὴν πληρῶσαι ἐν Βλαχέρναις. οἱ δὲ δῆμοι εὑρόντες ἄνδρα προσομοιοῦντα Μαυρικίῳ, καὶ βάλλοντες αὐτῷ σαγίον μαῦρον, καὶ ἀπὸ σκόρδων πλέξαντες στέφανον, εἰς ὄνον τοῦτον καθίζοντες, διέπαιζον λέγοντες· Εὗρηκε τὴν δαμαλίδα ἁπαλὴν, καὶ ὡς τὸ καινὸν ἀλεκτόριν ταύτῃ πεπήδηκε, καὶ ἐποίησε παιδία ὡς τὰ ξυλοκούκουδα· καὶ οὐδεὶς τολμᾷ λαλῆσαι, ἀλλ' ὅλους ἐφίμωσεν. Ἅγιέ μου, ἅγιε, φοβερὲ, καὶ δυνατὲ, δὸς αὐτὸν κατὰ κρανίου, ἵνα μὴ ὑπεραίρηται· κἀγώ σοι τὸν βοῦν τὸν μέγαν προσαγάγω εἰς εὐχήν. πολλοὺς δὲ τούτων πιάσας ὁ βασιλεὺς ἐτιμωρήσατο.

bus quatuor instructis, Tissum amnem transire, & hostium tentoria explorare jussit. Barbari rei gestæ penitus ignari festivum epulum celebrabant, & crapulis operam dabant. Hos Romani ex improviso adorti, ingenti clade affecerunt: cæsis enim Gepedum & aliorum barbarorum millibus triginta, & insuper præda potiti uberrima, ad Priscum revertere. Chaganus autem exercitu restaurato ad Istrum venit: ubi commissa pugna barbari victi sunt, & in amnis fluentis submersi: cum quibus etiam Sclavini multi periere. Vivi in potestatem Romanorum venerunt Avarum tria millia ducenti, barbari bis mille. Chaganus vero Legatos ad Mauricium misit ad captivos redimendos. Mauricius nondum accepto tam præclaræ victoriæ nuncio, Prisco scribit ut solos barbaros redderet. Cæterum Comentiolus cum vix a languore se recepisset, in deserta Nomadum loca profectus est, ductores quærens, qui sibi viam a Trajano olim tritam indicarent. Senior autem quidam illius gnarus difficilem admodum & asperam, ceu quæ a multis annis inusitata perpetuæ hyemis rigore horresceret undique, & præruptis saxis niviumque globis quaqua versus obsideretur, prædicabat. Comentiolus spreto senis monito, viam illam capessit. Cum autem immensum plane frigus asperumque gelu ingrueret, multi ex Romanis militibus, jumentorum vero maxima pars periit: viaque Philippopolim deventum est: ubi cum hybernarent milites Romani Comentiolus Byzantium se contulit.

Edit. Paris. pag. 238.

Eodem anno vir quidam Monachorum habitu indutus, & continuis religiosæ vitæ exercitationibus insignis, a Foro ad Chalceo usque nudatum gladium manu intentans morte gladio inferenda Imperatorem ex hominibus excessurum cunctis prænunciavit: similiter Herodianus Mauricio palam, quæ ipsi eventura essent, prædixit. Cæterum Imperatore nudis aliquando pedibus cum universo populo per civitatem cum precibus occtu procedente, ad Carpiana forte transitum habente, e plebe quidam exciti tumultuari, & in eum lapides mittere, ita ut vix ipse cum Theodosio filio incolumis evaderet, & precem expleret in Blachernis. At forte plebs hominem quemdam Mauricio similem inveniens, hunc nigri coloris sagulo indutum, & corona ex aliis intexta redimitum in asinum imposuit, sedentique jocosis illudebat vncibus. Teneram juvenculam invenit, & velut exoriens Gallulus in eam insiliit: ac procreavit filios instar ligneorum crepitaculorum. Nullus tamen audet conqueri: quinimo cunctorum obturat ora. Sancte mi, o sancte, tremende, & potens: ictum in ejus cranium impinge, ne amplius efferatur: & ego voti reus bove tibi maximo litabo. Imperator vero plures ex seditiosis comprehensos suppliciis animadvertit.

Κόσμου ἔτη ,ϛϙϛ'.	Τῆς θείας σαρκώσεως ἔτη ϕϙϛ'.	Ῥωμ. βασιλ. Μαυρίκιος ἔτη κ'.	Περσῶν βασιλ. Χοσρόης ἔτ. λθ'.		ΚΠ. ἐπίσκ. Κυριακὸς ἔτη ια'.	Ἱεροσ. ἐπίσκ. Ἰσαάκιος ἔτη η'.	Ἀλεξ. ἐπίσ. Εὐλόγιος ἔτη κζ'.	Ἀντιοχείας ἐπίσκ. Ἀναστάσιος ἔτ. θ'.
		κ'	ιδ'		η'	β'	κγ'	β'

Anni mundi 6096.	Divinæ incarn. 596.	Rom. Imp. Mauricius annis 20.	Persarũ rex Cosroes annis 39.		Constant. Episc. Cyriacus annis 11.	Hierosol. Episc. Isac. annis 8.	Alex. Episc. Eulogius annis 27.	Ant. Episc. Anastasius annis 9.
		20	14		8	2	23	2

Hoc anno mense Novembri indictione 5. Mauricius Imperator filium filiæ Germani Patricii matrimonio junxit, Cyriaco Patriarcha CP. nuptiales coronas imponente. Januario vero mense Domitianus Melitines Episcopus Imperatoris consanguineus diem extremum obiit, & a Cyriaco Patriarcha ad Sanctorum Apostolorum sepultus est, Senatu universo funebribus honoribus memoriam ejus prosequente. Porro Imperator Petrum fratrem suum Thraciæ Ducem iterum renunciatum illuc transmisit. Audierat enim barbarorum multitudinem Apsech Duce ad cataractas congregari. Petrus autem misso ad Apsech Legato de pace tractavit. Apsech ex adverso cataractarum locum Romanis eripere studebat, Chagano contra Constantinopolim expeditionem suscipiente. Itaque Romani in Thraciam reversi Adrianopolim venerunt. Verum ubi Chaganum Byzantium accedere cognovit Imperator, Petro, ut ad Istrum redeat, scribit. Scribonem etiam Bonosum cum navigiis militem trans flumen devehendo mittit. Petrus misso Gundue Legato exercitus trans Istrum prædam captivosque innumeros ejus virtute coegit. Quod cum Chaganus rescivit, Apsech cum copiis misit ad nautarum turbam illic conficiendam, ut pote qui Romanis auxiliati fuissent. Quo demum facto, portio quæ barbaris contigerat, ad Romanos recidit. Cæterum Mauricius ad se reversus, certus Deum nihil latere, verum pro meritis cuique suis vices rependere: & attentius secum reputans, quam, non redemptis captivis, admisisset offensam; utilius sibi duxit, in hac potius vita, quam in futuro

Edit. Paris. pag. 239.

sæculo, flagitiorum pœnas si exsolveret. Compositas itaque preces ac vota litteris consignata ad singulos Patriarchales thronos, & Ecclesias eisdem subjectas, ad Monasteria in desertis, & Hierosolymis posita, misit; quibus etiamnum pecuniarum, cereorum, & thuris munera adjunxit: quo suis illi orationibus obtinerent, ut in hac terrestri potius, quam in futuri sæculi mora operum suorum compensationem accipiat. Invisus sane erat ei Philippicus ex sorore gener ob Phi litteram a qua nomen ducebat exordium. Philippicus autem non una juramenti ratione usus, sed tum diris invocatis, tum etiam Deo in testem implorato, se in ejus obsequio purum gerere consilium, & tam ab animi lenitate, quam dolis alienam semper mentem servasse coram Imperatore affirmabat. Mauricius porro continuis precibus Deum interpellans ut erga animam clementem eum experiatur, quadam nocte somno sopitus per visum imaginatus est, se astare coram imagine Servatoris, quæ ad portam Æream, & turbam maximam circa se collectam: vocem vero ex magni Dei & Servatoris nostri Jesu Christi effigie prodeuntem, audiri: Producite Mauricium: mox vero comprehensum a judicii ministris ad Porphyreticum umbilicum ibidem positum stetisse. Tum ad eum divina vox: Ubi vis, inquit, tibi pro operibus retribui? Num hic, vel in futuro sæculo? His auditis, respondet. Humanissime Domine, Judex æquissime, hic certe potius, quam in futuro sæculo. Illa itaque divina vox Mauricium, & ejus uxorem, liberos, & omnem ejus prosapiam Phocæ militi tradi jussit. Excitus a somno Mauricius vocatum ad se Accubitorem Philippicum generum quantocyus accersen-

pag. 240.

A Τούτῳ τῷ ἔτει μηνὶ Νοεμβ. ἰνδ. ε. ὁ βασιλεὺς Μαυρίκιος Θεοδόσιον τὸν αὐτοῦ υἱὸν συνῆψε πρὸς γάμον τῇ θυγατρὶ Γερμανοῦ Πατρικίου στεφανώσαντος αὐτοὺς Κυριακοῦ Πατριάρχου ΚΠ. τῷ δὲ Ιανουαρ. μηνὶ ια'. Δομετιανὸς ἐπίσκοπος Μελιτινῆς συγγενὴς τοῦ βασιλέως τέθνηκε, καὶ ἐτάφη ἐν τοῖς ἁγίοις Αποστόλοις ὑπὸ Κυριακοῦ τοῦ Πατριάρχου, καὶ πάσης τῆς συγκλήτου τιμηθεὶς ἐπιτάφια. ὁ δὲ βασιλεὺς Πέτρον τὸν ἴδιον ἀδελφὸν στρατηγὸν πάλιν τῆς Θρᾴκης χειροτονήσας ἀπέστειλεν. ἠκηκόει γὰρ περὶ τοὺς καταράκτας ἀθροισθῆναι τὰ τῶν βαρβάρων πλήθη τὸν Αψὴχ στρατηγὸν ἔχοντα. ὁ δὲ Πέτρος ἀπέστειλε πρὸς τὸν Αψὴχ B πρεσβείαν εἰρήνης· ὁ δὲ Αψὴχ τοὺς καταράκτας ἐκ τῶν Ρωμαίων ἐπεχείρει λαβεῖν· καὶ ὁ Χαγάνος ἐπὶ τὴν Κωνσταντίαν * ἐχώρησεν. οἱ δὲ Ρωμαῖοι ἐπὶ τὴν Θρᾴκην ὑπανέζευξαν, καὶ εἰς Αδριανούπολιν ἀφίκοντο. ὁ δὲ βασιλεὺς μαθὼν ὅτι ὁ Χαγάνος κατὰ τοῦ Βυζαντίου ἐπέρχεται, γράφει τῷ Πέτρῳ εἰς τὸν Ιστρον ὑποστρέψαι. καὶ ἀποστέλλει Βόνοσον τὸν Σκρίβωνα μετὰ ναυτιλίας τοῦ διαπεράσαι τὸν λαόν. ἀποστείλας δὲ Πέτρος Γουνδόην τὸν ὑποστράτηγον πέραν τοῦ Ιστρου πολλῆς αἰχμαλωσίας ἐκράτησαν· ταῦτα μαθὼν ὁ Χαγάνος τὸν Αψὴχ μετὰ πλήθους ἀπέστειλεν ὅπως τὸ τῶν ναυτῶν διολέσῃ ἔθνος, ὡς σύμ-C μαχον τῶν Ρωμαίων. τούτου δὲ γενομένου τῶν βαρβάρων ἀπόμοιρα προσερρύητο Ρωμαίοις. ὁ δὲ Μαυρίκιος ἐν ἑαυτῷ γενόμενος, καὶ εἰδὼς ὅτι οὐδὲν τὸν Θεὸν λανθάνει, ἀλλὰ πᾶσιν ἀποδίδωσι κατὰ τὰ ἔργα αὐτῶν, καὶ ἐπιλογισάμενος τὸ σφάλμα ὃ ἐποίησεν εἰς τὴν αἰχμαλωσίαν, μὴ ἐξαγοράσας αὐτήν, συμφέρειν ἔκρινεν ἐν τῷ βίῳ τούτῳ ἀπολαβεῖν τὰς ἁμαρτίας, καὶ μὴ ἐν τῷ μέλλοντι· καὶ ποιήσας δεήσεις ἐγγράφους, ἀπέλυσεν εἰς πάντας Πατριαρχικοὺς θρόνους, καὶ πάσας τὰς ἐκκλησίας τὰς ὑπ' αὐτῶν, καὶ εἰς τὰ μοναστήρια τὰ ἐν τῇ ἐρήμῳ, καὶ ἐν τοῖς Ιεροσολύμοις, καὶ εἰς τὰς λαύρας χρήματα, καὶ κηρούς, καὶ θυμιάματα· ὅπως εὔξωνται ὑπὲρ αὐτοῦ, D ἵνα ἐνταῦθα ἀπολάβῃ, καὶ μὴ ἐν τῷ μέλλοντι αἰῶνι. ἐσκανδαλίζετο δὲ εἰς Φιλιππικὸν τὸν γαμβρὸν αὐτοῦ, ὡς εἰς τὸ Φ γράμμα ὀνομαζόμενον. ὁ δὲ Φιλιππικὸς διαφόρως ἐπώμνυτο τῷ βασιλεῖ, ὡς καθαρός ἐστιν εἰς τὴν δουλείαν αὐτοῦ, καὶ οὐκ ἔχει παρ' αὐτῷ λόγον, ἢ δόλον. τοῦ δὲ Μαυρικίου τὸν Θεὸν ἱκετεύοντος τοῦ ἐλεηθῆναι τὴν ψυχὴν αὐτοῦ, ἐν μιᾷ κοιμωμένου αὐτοῦ εἶδεν ὀπτασίαν, εἰς τὴν Χαλκῆν πύλην τοῦ παλατίου ἐν τῇ εἰκόνι τοῦ σωτῆρος ἑαυτὸν παρεστῶτα, καὶ λαὸν παρεστῶτα αὐτῷ· καὶ φωνὴ γέγονεν ἐκ τοῦ χαρακτῆρος τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ λέγουσα. δότε Μαυρίκιον. καὶ κρατήσαντες αὐτὸν οἱ δίκης E ὑπηρέται παρέστησαν τῷ πορφυρῷ ὀμφαλίῳ τῷ ἐκεῖσε. καὶ ἔφη πρὸς αὐτὸν ἡ θεία φωνή. ποῦ θέλεις ἀποδώσω σοι; ὧδε, ἢ ἐν τῷ μέλλοντι αἰῶνι; ὁ δὲ ἀκούσας, ἔφη. φιλάνθρωπε δέσποτα, δικαιοκρίτα, ὧδε μᾶλλον, ἢ ἐν τῷ μέλλοντι αἰῶνι. καὶ ἐκέλευσεν ἡ θεία φωνὴ ἐκδοθῆναι Μαυρίκιον, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ Φωκᾷ τῷ στρατιώτῃ. διυπνισθεὶς δὲ ὁ Μαυρίκιος, καὶ καλέσας τὸν Παρακοιμώμενον αὐτοῦ, ἀπέστειλε πρὸς Φιλιππικὸν τὸν γαμβρὸν αὐ-

* Leg. ΚΠ.

τῷ γὰρ ἐν σπουδῇ ἄγειν αὐτὸν πρὸς τὸν βασιλέα. ἀπελθὼν δὲ ὁ Παρακοιμώμενος ἐκάλεσεν αὐτόν. ὁ δὲ ἐγερθεὶς καὶ προσκαλεσάμενος τὴν ἑαυτοῦ γυναῖκα ἠσπάσατο αὐτήν, λέγων· σῴζου, γύναι, οὐκ ἔτι με θεωρεῖς. ἡ δὲ ἀνέκραξε μετὰ κλαυθμοῦ φωνῇ μεγάλῃ πρὸς τὸν Παρακοιμώμενον λέγουσα· ὁρκίζω σε κατὰ τοῦ Θεοῦ, τί ἐστι τὸ πρᾶγμα, δι᾽ ὃ ζητεῖ αὐτὸν τῇ ὥρᾳ ταύτῃ; ὁ δὲ ἐπωμόσατο ἀγνοεῖν, καὶ ὅτι αἰφνίδιον ἐξ ὕπνου ἀναστὰς ὁ βασιλεὺς ἀπέστειλέ με. ὁ δὲ Φιλιππικὸς ᾐτήσατο μεταλαβεῖν, καὶ οὕτως ἀπῄει πρὸς τὸν βασιλέα· ἡ δὲ γυνὴ αὐτοῦ Γορδία ἔκειτο χαμαὶ ὀδυρομένη καὶ κλαίουσα, καὶ τὸν Θεὸν ἱκετεύουσα. εἰσελθὼν δὲ ὁ Φιλιππικὸς ἐν τῷ βασιλικῷ κοιτῶνι, ἔρριψεν ἑαυτὸν εἰς τοὺς πόδας τοῦ βασιλέως. ὁ δὲ βασιλεὺς λέγει αὐτῷ· συγχώρησόν μοι διὰ τὸν Θεόν, ὅτι ἥμαρτόν σοι. ἕως γὰρ τοῦ νῦν ἐσκανδαλιζόμην εἰς σέ. καὶ κελεύσας ἐξελθεῖν τὸν Παρακοιμώμενον ἀναστὰς ἔπεσεν εἰς τοὺς πόδας Φιλιππικοῦ, λέγων· συγχώρησόν μοι· ἀσφαλῶς γὰρ οἶδα ὅτι οὐδὲν ἥμαρτες εἰς ἐμέ. ἀλλ᾽ εἰπέ μοι, εἴ τινα γινώσκεις ἐν τοῖς ἡμετέροις τάγμασι Φωκᾶν στρατιώτην; ὁ δὲ Φιλιππικὸς ἅμα λογισάμενος, λέγει αὐτῷ· ἕνα γινώσκω, ὅς τις πρὸ καιροῦ ὀλίγου πεμφθεὶς Ἐνπληκάριος ἐκ τοῦ στρατοῦ ἀντέλεγε τῷ κράτει σου. ὁ δὲ βασιλεὺς ἔφη· ποίας ἐνδείξεώς ἐστιν; ὁ δὲ Φιλιππικὸς εἶπε· νεώτερος, θρασύς, καὶ δειλός. τότε λέγει Μαυρίκιος· εἰ δειλός, καὶ φονεύς. καὶ ἐξηγεῖτο τῷ Φιλιππικῷ τὴν τοῦ ὀνείρου ἀποκάλυψιν. τῇ νυκτὶ ἐκείνῃ ἐφάνη ἀστὴρ ἐν τῷ οὐρανῷ, ὁ λεγόμενος Κομήτης. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ, ἔφθασε καὶ ὁ ἀποσταλεὶς Μαγιστριανὸς πρὸς τοὺς ἐν τῇ ἐρήμῳ ἁγίους πατέρας, φέρων παρ᾽ αὐτῶν ἀπόκρισιν αὐτήν· ὅτι ὁ Θεὸς δεξάμενος τὴν μετάνοιάν σου, σῴζει τὴν ψυχήν σου, μετὰ ἁγίων κατατάττει σε πανοικεί. τῆς δὲ βασιλείας μετὰ ἀτιμίας καὶ μετὰ κινδύνου ἐκπίπτεις. ταῦτα ἀκούσας Μαυρίκιος ἐδόξασε μεγάλως τὸν Θεόν. τῆς τοίνυν μετοπωρινῆς ὥρας καταλαμβανούσης, καὶ Μαυρικίου βασιλέως τῷ Πέτρῳ ἐν τῇ τῶν Σκλαβίνων χώρᾳ παραχειμάσαι κελεύσαντος, ἀνέστησαν οἱ Ῥωμαῖοι μὴ καταδεχόμενοι τοῦτο ποιεῖν, διά τε τῶν ἵππων ταπείνωσιν, καὶ διὰ τὸ πολλὴν πραῖδαν ἐπιφέρεσθαι, καὶ διὰ τὸ πλήθη βαρβάρων παρακεχύσθαι τῇ χώρᾳ, καὶ στάσιν ἐμελέτησαν. ὁ δὲ στρατηγὸς ἀγανακτῶν κατὰ τοῦ λαοῦ εἰς πόνους αὐτοὺς ἐνέβαλλεν. ἐπιπίπτουσι τοίνυν ὑετοὶ λάβροι τῷ στρατῷ, καὶ ψύχος πολύ. ὁ δὲ Πέτρος ἀπὸ εἴκοσι μιλίων τῆς στράτας τὴν διατριβὴν ἐποιεῖτο. Μαυρίκιος δὲ τῷ Πέτρῳ ἐπόχλει διὰ γραμμάτων διαπεράσαι τὸν Ἴστρον· καὶ τὰς χειμερινὰς ἀποτροφὰς τοῦ λαοῦ ἐκ τῆς τῶν Σκλαβίνων χώρας ἀρύσασθαι, ὅπως μὴ δημοσίας σιτήσεις ἀναγκασθῇ τοῖς Ῥωμαίοις παρασχέσθαι. ὁ δὲ στρατηγὸς μετακαλεσάμενος τὸν Γουνδούην· λίαν μοι βαρύτατα τὰ τοῦ βασιλέως προστάγματα ἐπὶ ἀλλοτρίας γῆς Ῥωμαίους χειμάσαι προστάττοντος· καὶ τὸ ὑπακοῦσαι δεινὸν χαλεπόν, καὶ τὸ παρακοῦσαι, δεινότερον. οὐδὲν καλὸν τίκτει φιλαργυρία, μήτηρ δὲ πάντων τῶν κακῶν καθέστηκε. ταύτην νοσῶν ὁ αὐτοκράτωρ τῶν μεγίστων κακῶν αἴτιος τοῖς Ῥωμαίοις γίνεται. μετακαλεσάμενος δὲ τοὺς ταξιάρχας τοῦ λαοῦ, τὸν τοῦ βασιλέως σκοπὸν αὐτοῖς παρεδήλωσεν. αὐτοὶ δὲ

dum imperat. Profectus Accubitor virum vocat. Ille somno excusso, conjugem etiam excitat, & salutem osculo precatur: Vale, inquit, conjux, nunc ultimo me vides. Illa magni ejulatus voce ad Accubitorem exclamans: Obtestor te, ait, per Deum, quidnam rei est, quod virum hac hora quærit Imperator? Affirmat ille jusjurandis se nescium: Tantum de repente a somno liber Imperator exsurrexit, & me huc misit. Philippicus Eucharistiæ recipiendæ facultate petita, ea instructus ad Imperatorem pergit. Uxor autem ejus Gordila querula, plorans, & divini numinis opem suis precibus advocans in humum projecta jacebat. Philippicus Imperatoris cubiculum ingressus, ad ejus pedes provolvitur. Ad quem Imperator: Per Deum immortalem, inquit, ignosce quod in te peccavi. Ad hanc siquidem horam te iuspectum & invisum habui. Et Accubitore secedere jusso exurgens e lecto ad Philippici pedes procidens, Ignosce mihi, subjunxit: Te namque nihil in me peccasse, certus sum. Verum, si quempiam inter legiones nostras Phocam nomine noveris, edissere. Tum Philippicus secum aliquamdiu cogitans, Unum, inquit, ejusmodi nominis novi; qui nuper Missi munere apud te ab exercitu fungens Imperio tuo verbis audacioribus se se opponebat. Rogat Imperator. Cujus indolis est, ac naturæ? Subinfert Philippicus. Junior est adhuc, temerarius, & timidus. Ait Mauricius. Si timidus, cædium amans est, & sanguinis: Suique insomnii enarrationem ad Philippicum instituit. Ea nocte astrum, cui nomen Cometes, in cælo visum est. Sequenti porro luce Magistrianus ad sanctos eremi Patres delegatus, responsum istiusmodi ab eis ferens, redit. Pœnitentiam tuam Deus approbat, & anima tua damnationis pœna servata, cum omni familia tua in sanctorum album te adscribit: imperii vero dignitare cum dedecore & vitæ periculo excides. His auditis Mauricius totis viribus laudes Deo retulit. Autumno igitur appetente, & Mauricio Imperatore Petrum cum exercitu in Sclavinorum agris hybernare jubente, milites imperata facere detrectantes tumultuantur, & equos jam defatigatos, multamque prædam se avehere, sparsasque per regionem adversariorum copias passim occurrere causari, in rebellionem versi sunt. Quare Dux exercitus in rebellantes invectus duris eos laboribus subigere moliebatur: tunc admodum copiosi imbres, frigusque ingens castris incubuit. Porro Petrus ad passuum viginti millia a via remotior moram agebat. Mauricius interea per litteras etiam moleste jussitabat exercitum trans Istrum duci, & ex Sclavinorum agris annonam in hyemem ei subministrari, ne ipse ex publico commeatum præbere cogeretur. Dux autem Gundui ad se vocato, Quam dura, inquit, Imperatoris jussa, in alieno hostilique solo exercitum hyemare præcipientis! Parendi sane necessitas gravis: detrectandi difficultas major. Nil equidem boni atque honesti avaritia peperit; quinimmo incommodorum omnium mater apud omnes æstimatur. Hujus contagio Imperator infectus ingentium malorum auctor Romanæ Reip. habebitur. Convocatis subinde agminum Præfectis, Imperatoris voluntatem ipsis patefacit; qui, milites illam minime executuros, dixere. Illa quoque publice enunciata, con-

Edit. Paris. pag. 241.

festim exercitus omnis in rebellionem motus. Periculo subducunt se primores, & ad Ducem palantes se conferunt. Quamobrem agmina in unum collecta Phocam Centurionem Exarchum creavere: tumque clypeo sublatum Exarchum faustis acclamationibus prosequuti sunt. Ea re intellecta, Petrus fuga lapsus certiorem de omnibus fecit Imperatorem. Mauricius nuncium adeo gravem atque molestum accipiens, urbicariis turmis celare satagebat. Die vero secunda insequente quo magis infortunium occultaret, certamen equestre celebravit. Tum vero Prasinorum factio in has voces erupit. Constantinus & Domentiolus, Romanorum domine, ter Auguste, sollicitant populum, ut, peccatis nostris exigentibus, Furcifer rei communis administrator instituatur: Deus rerum omnium opifex adversarios & hostes universos intestinos æque ac exteros citra sanguinis effusionem tibi subjiciet. Imperator ad hæc factionibus significavit. Insanientium militum motus indecentes atque seditio necquicquam vos moveant. Tum Veneti. Deus qui te Imperatorem esse jussit cunctos majestati tuæ armis adversantes prosternet. Si Romanus sit, qui tam ingrate tecum agit, hunc absque cædis periculo iterum servituti tuæ subjiciet. Illos itaque armis instructos & blandis verbis delinitos Urbis mœnia custodire jussit Imperator. Filio vero Imperatoris ad Calicratiam cum Germano socero venatu se exercente, ad ipsum Theodosium, ut imperium suscipiat, litteras dirigunt Romani. Ea re comperta filium ad se advocat Mauricius: mœnium vero defensionem Comentiolo commendat. Tum Germanum una cum filio Theodosio, ceu imminentium calamitatum auctorem, incusare. Germano crimen excusatione depellente: o Germane, inquit Mauricius, suspicionis meæ duo sunt argumenta validissima: a populo nimirum ad te missæ litteræ, & quod equarum tuarum gregi ad Urbis vicina loca pascenti populus idem pepercit. Cæteris enim direptis, ex populi in te humanitate res tuæ tectæ sartæque perstiterunt. Parce, Germane, sermones ambagibus involvere, morte gladio inferenda nihil mihi jucundius. Tum Germanus ad Dei genitricis ædem, cui a Cyro factum nomen, confugit. Quod ubi rescivit Imperator, Stephanum Eunuchum, qui Germanum Ecclesia educeret, misit. Stephano ad eum eruendum vim adhibente, Germani stipatores contra resistentes, Germanum inde ereptum ad magnam Ecclesiam fuga celeri deducunt. Interea filium Theodosium virgis cædi jubet Imperator. Germanum enim ejus consiliis fugam arripuisse causabatur. Quare Excubitores qui eum Ecclesia extrahant, mandat: ex quo tumultus ingens civitatem universam invadit. Cum vero Germanus exire, ac se ultro dedere pararet, plebs id minime passa est: quin petulantioribus conviciis in Imperatorem invecta, Excorietur, exclamavit, qui te diligit, Mauricie Marcianista. Istis auditis, qui mœnibus defendendis invigilabant, deseruere custodiam. Tum vero qui Prasinæ parti affecti, Constantini, cui cognomen Lardus, ædem succenderunt. Ergo Mauricius Imperatoris insignibus & vestibus exutus, privatum induens, media nocte, conscensis dromonibus, cum uxore, liberis, & Constantino, fuga salutem quærit

Edit Paris. pag. 242.

ἀφησιν· τὸν λαὸν τοῦτον μὴ καταδέξασθαι. ὁ δὲ λαὸς τοῦτο ἀκούσας ἐστασίασε· καὶ οἱ ἐπίσημοι ἄρχοντες φυγόντες ἐξ αὐτῶν πρὸς τὸν στρατηγὸν παρεγένοντο, τὰ δὲ πλήθη συναθροισθέντα προβάλλονται Ἔξαρχον. Φωκᾶν τὸν Κένταρχον, καὶ ἐπὶ ἀσπίδα τοῦτον ὑψώσαντες εὐφήμησαν Ἔξαρχον. καὶ ταῦτα ὁ Πέτρος ἀκηκοὼς εἰς φυγὴν ἐτράπη, καὶ τῷ βασιλεῖ ταῦτα κατάδηλα ἐποίησεν. ὁ δὲ βασιλεὺς τὰ δυσχερῆ ταῦτα ἀκούσας, κρύπτειν αὐτὰ τῷ πλήθει ἐπειρᾶτο. δευτέρᾳ δὲ ἡμέρᾳ καὶ ἱππικὸν ἀπετέλεσε, τὰ τῆς συμφορᾶς ἀποκρύπτων. ὁ δὲ Δῆμος τῶν Πρασίνων ἔκραξε, λέγων. Κωνσταντῖνος καὶ Δομεντίολος, δέσποτα Ῥωμαίων τρισαύγουστε, τῷ οἰκείῳ σου δήμῳ παρενοχλοῦσιν, ἵνα ὁ Κριάκης διοικήσῃ, εἰς ἃς ἔχομεν ἁμαρτίας· ὁ Θεὸς ὁ τὰ πάντα δημιουργήσας ὑποτάξει πάντα ἐχθρὸν καὶ πολέμιον ἐμφύλιόν τε καὶ ἀλλόφυλον, καὶ χωρὶς αἱμάτων. ὁ δὲ βασιλεὺς τοῖς Δήμοις ἐδήλωσε. μηδὲν ὑμᾶς ταραξῃ ἀλόγων στρατιωτῶν ἀκοσμία καὶ ἀταξία. οἱ δὲ Βένετοι εἶπον. ὁ Θεὸς ὁ κελεύσας σε βασιλεύειν ὑποτάξει σοι πάντας τοὺς πολεμοῦντας τὴν βασιλείαν σου. εἰ δὲ Ῥωμαῖός ἐστιν ὁ ἀγνωμονῶν σε εἰς δουλείαν σοι τοῦτον ὑποτάξει χωρὶς αἱμάτων. τούτους δὲ ὁ βασιλεὺς, καθοπλίσας, καὶ λόγοις ἠπίοις κατευνάσας, σὺν τοῖς Δημάρχοις φυλάττειν τὰ τείχη τῆς πόλεως προσέταξε. τοῦ δὲ υἱοῦ τοῦ βασιλέως ἅμα Γερμανοῦ τοῦ πενθεροῦ εἰς Καλλικράτειαν κυνηγετοῦντος, ἀποστέλλουσι γράμματα οἱ Ῥωμαῖοι πρὸς Θεοδόσιον ἀξιοῦντες ὑπ' αὐτοῦ βασιλεύεσθαι. Ταῦτα ὁ Μαυρίκιος μαθὼν, μετακαλεῖται τὸν υἱὸν πρὸς ἑαυτόν. Κομεντίολον δὲ τὰ τείχη φρουρεῖν προσέταττε· τὸν Γερμανὸν δὲ σὺν τῷ υἱῷ Θεοδοσίῳ κατῃτιᾶτο τῶν συμφορῶν αἴτιον γεγονέναι. τοῦ δὲ Γερμανοῦ ἀπολογουμένου, Μαυρίκιος ἔφη. ὦ Γερμανὲ δύο εἰσὶ τεκμήρια τῆς ὑπονοίας μου· τά τε ἐκ τοῦ λαοῦ πρός σε γράμματα, καὶ τὸ φείσασθαι τὸν λαὸν τῆς ἀγελαίας ἵππου τῆς νεμομένης σοι εἰς τὰ προάστεια. πάντα γὰρ ἐξήρπασαν, καὶ τῶν σῶν ἐφείσαν. φεῖσαι, Γερμανὲ, τοὺς μηκύνειν τὸν λόγον, οὐδὲν ἡδύτερον τοῦ διὰ ξίφους τεθνάναι. ὁ δὲ Γερμανὸς εἰς τὸν ναὸν τῆς Θεομήτορος τῶν Κύρου προσέφυγε. καὶ ὁ βασιλεὺς τοῦτο μαθὼν Στέφανον τὸν εὐνοῦχον ἀπέστειλε τοῦ ἐξαγαγεῖν τὸν Γερμανὸν τῆς ἐκκλησίας. τοῦ δὲ Στεφάνου τοῦτον ἐξαγαγεῖν βιαίως θελήσαντος, οἱ τοῦ Γερμανοῦ ὑπασπισταὶ ἀντιπαραστάντες, ἐξωθοῦσι τὸν Στέφανον, καὶ λαβόντες τὸν Γερμανὸν εἰς τὴν μεγάλην ἐκκλησίαν καταφεύγουσιν. ὁ δὲ βασιλεὺς ῥάβδοις ἐμαστίγου Θεοδόσιον τὸν ἑαυτοῦ υἱόν. ἔφασκε γὰρ δι' αὐτοῦ φυγαδευθῆναι· καὶ ἀποστέλλει Ἐξκουβίτορας τοῦ ἐξαγαγεῖν τῆς μεγάλης ἐκκλησίας τὸν Γερμανόν. ἐντεῦθεν θρύλλος μέγας τῇ πόλει ἐνέσκηψεν. ὁ δὲ Γερμανὸς ἠθέλησεν ἐξελθεῖν, καὶ δοῦναι ἑαυτόν. τὰ δὲ πλήθη οὐ κατεδέξαντο, ἀλλ' ὕβρεσι μεγάλαις τὸν βασιλέα ἠτίμασαν, λέγοντες. μὴ χοίρου δέρμα, ὁ φιλῶν σε Μαυρίκιε Μαρκιανιστά. οἱ τοίνυν τὰ τείχη φρουροῦντες ταῦτα μαθόντες, τῆς φρουρᾶς κατημέλησαν. τότε οἱ τοῦ Πρασίνου μέρους τὴν οἰκίαν τοῦ Κωνσταντίνου, τοῦ λεγομένου Λάρδου, καταφλέγουσιν. ὁ δὲ Μαυρίκιος μεσούσης τῆς νυκτὸς ἀποδυσάμενος τὴν βασιλικὴν στολὴν, καὶ ἰδιωτικὴν περιβαλλόμενος, εἰς δρόμωνάς τε εἰσελθὼν, μετὰ τῆς γυναικὸς, καὶ τῶν τέκνων αὐτοῦ, καὶ Κωνσταντίνου, ἀποδιδράσκει·

τὰ

τὰ δὲ πλήθη δι' ὅλης τῆς νυκτὸς αἰσχίσταις ὕβρεσι τὸν βασιλέα καθύβριζον, ἐπισκώπτοντές τε, καὶ τὸν Πατριάρχην Κυριακόν. λαίλαπος τοίνυν γενομένου μεγάλου μετὰ κινδύνων μεγίστων διασώζεται Αὐτόνομος. ἐν αὐτῇ δὲ τῇ νυκτὶ ἐπιτίθενται αὐτῷ καὶ νόσοι ἀρθρίτιδες, ἃς ποδαλγίας καὶ χειραλγίας καλοῦσιν. ἐντεῦθεν ἀποστέλλει Θεοδόσιον τὸν ἑαυτοῦ υἱὸν πρὸς τὸν βασιλέα Περσῶν μετὰ Κωνσταντίνου, ὅπως ὑπομνησθῇ τῶν ὑπὸ Μαυρικίου γεγονότων αὐτῷ, καὶ τὴν ἀνταπόδοσιν τῆς εὐεργεσίας προσνείμῃ τῷ υἱῷ αὐτοῦ. ὁ δὲ Γερμανὸς πέμπει πρὸς Σέργιον Δήμαρχον τοῦ Πρασίνου μέρους, ὅπως συναγωνίσηται αὐτῷ τοῦ βασιλεῦσαι, ὑποσχόμενος τιμῆσαι τὸ μέρος τοῦ Πρασίνου, καὶ αὐτὸν μεγάλαις ἀξίαις περιβαλεῖν. ὁ δὲ Σέργιος τοῖς ἐπισημοτέροις τοῦ Δήμου τοῦτο ἐθάρρησεν. οἱ δὲ τοῦτο οὐ κατεδέξαντο λέγοντες· οὐκ ἄν ποτε Γερμανὸς τὰς τῶν Βενέτων προσπαθείας ἀποστήσεται. οἱ δὲ Πράσινοι ἐξελθόντες εἰς τὸ Ῥήγιον μεγάλαις εὐφημίαις ἐτίμων τὸν τύραννον Φωκᾶν, καὶ πείθουσιν αὐτὸν, ἐν τῷ Ἑβδόμῳ παραγενέσθαι. πέμπει τοίνυν Φωκᾶς Θεόδωρον τὸν Ἀσηκρῆτις, καὶ εἰσελθὼν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐπανέγνωσε τῷ λαῷ, ὅπως ὁ Πατριάρχης, καὶ οἱ Δῆμοι, καὶ ἡ σύγκλητος ἀφίκωνται ἐν τῷ Ἑβδόμῳ. τούτου τοίνυν γεγονότος, καὶ πάντων ἐν τῷ Ἑβδόμῳ ἀφικομένων, Κυριακὸς Πατριάρχης ἀπῄτησε τὸν τύραννον ὁμολογίαν περὶ τῆς ὀρθοδόξου πίστεως, καὶ τοῦ ἀτάραχον φυλάξαι τὴν ἐκκλησίαν. ἔδοξε δὲ ὁ τύραννος τὸν Γερμανὸν εἰς βασιλέα προτρέπεσθαι. τοῦ δὲ Γερμανοῦ κατειρωνευομένου μὴ θέλειν, καὶ τῶν Δήμων εὐφημούντων τὸν τύραννον· ἀναγορεύεται τὸ κακόν· καὶ κύριος τῶν σκήπτρων ὁ τύραννος προχειρίζεται, καὶ κρατεῖ τῆς εὐδαιμονίας ἡ συμφορὰ, καὶ λαμβάνει τὴν ἔναρξιν τὰ μεγάλα τῶν Ῥωμαίων ἀτυχήματα. ἡ δὲ ἀναγόρευσις τοῦ τυράννου εἰς τὸν ναὸν τοῦ ἁγίου Ἰωάννου τοῦ Βαπτιστοῦ γέγονε. δύο δὲ ἡμέρας ἐν τούτῳ διατρίψας τῇ τρίτῃ εἰς τὰ βασίλεια εἰσῆλθεν ἐπὶ βασιλικῆς ἁμάξης καθεζόμενος. τῇ δὲ πέμπτῃ ἡμέρᾳ Λεοντίαν τὴν ἑαυτοῦ γυναῖκα ἔστεψεν Αὐγοῦσταν. καταστασιάζουσι τοίνυν τὰ μέρη πρὸς ἄλληλα ταύτῃ τῇ ἡμέρᾳ διὰ στάσεις τόπων. ὁ δὲ τύραννος τὸν Ἀλέξανδρον τὸν συναντάρτην αὐτοῦ ἔπεμψε κατευνάσαι τὰ μέρη. ὁ δὲ Ἀλέξανδρος Κοσμᾷ τῷ τῶν Βενέτων Δημάρχῳ χεῖρας ἐπιβαλὼν, ὤθησέ τε καὶ ὕβρισεν. οἱ δὲ Βένετοι ἀγανακτοῦντες, ἔκραζον· ὕπαγε· μάθε τὴν κατάστασιν, ὁ Μαυρίκιος οὐκ ἀπέθανεν. ὁ δὲ τύραννος τούτων ἀκηκοὼς τῶν φωνῶν, ἐπὶ τὸν τοῦ Μαυρικίου φόνον κινεῖται· καὶ ἀποστείλας στρατιώτας, ἤγαγον αὐτοὺς ἐν Χαλκηδόνι εἰς τὸν Εὐρωπίου λιμένα. καὶ προαναιροῦνται τοῦ βασιλέως οἱ παῖδες οἱ ἄρρενες ἐπ' ὄψεσιν αὐτοῦ πέντε, ἐντεῦθεν προκολάζων τὸν βασιλέα τῇ τῶν παίδων σφαγῇ. ὁ δὲ Μαυρίκιος φιλοσοφῶν τὸ δυστύχημα, τὸν ἐπὶ πάντων ἐπεκαλεῖτο Θεόν· καὶ πυκνῶς ἐφθέγγετο. δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου· γίνεται τοίνυν τῶν παίδων ὁ θάνα-

Populi vero turmæ turpibus verbis & fœdis injuriis per totam noctem Imperatorem proscindere, & in ipsum Patriarcham Cyriacum dicteria illiberalesque jocos spargere. Exorta autem subinde tempestate maxima Mauricius post varia discrimina ad Autonomum salvus delatus est. Eademque nocte morbus articularis, quem a manuum pedumque doloribus, podalgiam, & chiralgiam nuncupant, eum corripuit. Exinde Theodosium filium cum Constantino mittit ad Persarum regem Chosroem, quo beneficii quondam collati memoriam renovaret, & proprio filio grati animi officium rependeret, & gratiæ vicem refunderet. Interea Germanus ad Sergium Prasinæ factionis Tribunum delegat, ut is sibi ad derelictum imperium obtinendum operam accommodet, factionem Prasinam multis honoribus aucturum, ipsumque insolitis dignitatibus cumulaturum pollicitus. Sergius cum factionis suæ præcipuis consilium communicat: rem vero propositam illi respuentes, Nusquam, inquiunt, ea, qua fertur in Venetos propensione Germanus discedet. Itaque Prasini Rhegium usque progressi, faustis salutationibus tyrannum Phocam excipientes, ad Hebdomum accedere suadent. Phocas subinde Theodorum a Secretis delegat, qui in magnam Ecclesiam ingressus audiente populo ex tabella recitavit, ac jussit: Patriarcham, populi factiones, & Senatum ad Hebdomum convenire. Quo demum facto, cum universi ad Hebdomum se contulissent, Cyriacus Patriarcha sponsionem a tyranno exegit, qua se rectam fidem retenturum, Ecclesiamque a turbis immunem conservaturum promitteret. Porro tyrannus de eligendo in Imperatorem Germano simulate consilium init. Cum vero Germanus dolos mentitus se recusare profiteretur, factionesque interim tyrannum repetitis vocibus promovere non desisterent: Pernicies, & Imperii clades, Imperator renunciatur. Ita tyrannus Sceptrorum dominus salutatur, calamitas felicitatis jura obtinet, & Romanorum ærumnæ ingentiores ex adversis istis exordiis erumpunt. Porro tyranni inauguratio ad Joannis Baptistæ templum peracta est. Duos vero dies ibi moratus, tertio tandem Imperatorio curru vectus in Regiam penetravit. Quinto insuper ab adventu die Leontiam uxorem imperiali redimivit corona, & Augustam renunciavit. De stationum autem locis dissidentes ab invicem factiones eodem die seditionem moverunt. Quare tyrannus Alexandrum conspirationis initæ socium ad partes componendas misit. Alexander in Cosmam Venetorum Tribunum manu violenter illata, audacius impulit, & contumeliis prosequutus est: quod gravius ferentes Veneti: Discede, exclamant, Disce modeste agere: Nondum Mauricius periit. Tyrannus vocibus istis auditis, de Mauricio quantocyus e medio tollendo consilium init: summissosque Chalcedonem milites ad Europii portum descendere, ibique Mauricianæ familiæ stragem edere imperat. Sub Imperatoris igitur ipsius oculos liberi ejus masculi quinque primo necantur: Imperatoris quippe supplicium a filiorum nece tyrannus auspicabatur. Mauricius eam calamitatem forti animo sustinens, Deum rerum omnium Præsidem frequentius invocans, philosophabatur, crebroque repetebat: Justus es, Domine: & recta judicia tua. Filiis

Edit. Paris. pag. 243.

itaque mors illata, sepulchralem honorem patre auspicante: qui videlicet in summis ærumnis summæ virtutis speciem exhibuit. Cum enim nutrix unum ex Imperatoris filiis suffurata (proprium ejus loco substituisset) non est hoc passus Mauricius, sed suum requisivit. Ex jugulati pueri corpusculo lac emanasse, quidam ferunt: quod spectatoribus omnibus acerbissimas lachrymas excussit. Sicque tandem Imperator, cum lege naturæ superiorem se gessit, vitam morte commutavit. Ex illo demum tempore calamitates variæ ingentesque Romanum Imperium labefactare non destiterunt. Etenim Chosroes Persarum rex pacem solvit, Abares Thraciam devastaverunt: & uterque Romanus exercitus, quum in Oriente, tum in Occidente, dissipatus: ita ut cum Heraclius Imperator creatus accuratam militum recensionem ageret, de universa multitudine, quæ in illa Phocæ adversus Mauricium rebellione adfuerat, duos tantum homines superstites reperiret: Adeo illi ipsi, qui tyrannum erexerant, sub ipso demum ad internecionem deleti sunt.

Edit. Paris. pag. 244.

Anni mundi 6095.	Divinæ Incarn. 595.	Rom. Imp. Phocas annis 7.	Persarum rex Chosroes annis 39.		Constant. Episc. Cyriacus annis 11	Hierosol. Episc. Isac. annis 3.	Alexand. Episc. Eulogius annis 27.	Antioch. Episc. Anastasius annis 9.
		1	15		9	3	24	3

stinerent, hortatus est. Porro ubi ad Armeniæ fines intravit, præcurrens hostilium equitum turma Imperatorem ex improviso adoriri consilium ceperat: Imperatoris autem Præcursores illis obviam facti, adversariorum Duce vinculis mancipato, & ad Heraclium ducto, necnon comitibus ejus fusis, reliquos armis deleverunt. Ingruente vero hyeme, cum Ponticum clima Imperator undique circummunivisset, hybernam in eo tempestatem moraturus barbaris visus est: at clam ipsis reversus in Persidem irruit. Nancio accepto, expeditione adeo inexpectata perterriti sunt barbari. Barbarus itaque Persarum Dux eductis secum copiis in Ciliciam proficiscitur, sperans se ita irruptione in Romanorum ditionem facta Heraclium a Perside revocaturum. Ne vero Persia ulterius penetrata ex Armeniæ partibus Imperator damnum inferret, veritus, de quovis opere aggrediendo nullum certum consilium inire poterat. Attamen Romanum exercitum a tergo subsequi tandem coactus est: hostem dolo circumvenire, eumque per noctem obscuram adoriri meditatus. Sed cum pleno lumine luna irradiaret, commento frustratus est, & colendum sibi prius astrum diris omnibus execrabatur. contigit enim illa nocte ut luna defectum pateretur, ac ideo subsistere videretur: ex quo arrogans ille, ne impressionem faceret in Imperatorem sibi cavit, quare dorcadum more montium cacumina occupavit, indeque præclarum & ad militaris disciplinæ præcepta compositum ordinem sublimis despiciebat. Imperator animi ejus vilitate cognita loca illa securior & confidentior tenebat, & bene refecto exercitu, adversarium ad certamen provocabat. Persæ vero clam ex monte descendentes levia sæpius injere prælia, in quibus omnibus semper superiores evasere Romani, & robore animisque eorum exercitus in dies augebatur, quod Imperatorem in primam aciem prosilientem, ac fortiter dimicantem ubique viderent. Porro quidam Persicæ militiæ desertor ad Imperatoris partes Persa transierat: Is ad suos refuga Romanas acies ab eis dissipandas ac perdendas sperabat. At ubi vires eorum animos & metum expertus est, post diem decimum ad Imperatorem reversus, afflictum & meticulosum barbarorum statum omnem enucleatius exposuit. Cæterum insolens ille Persarum Dux moræ tamdiu per montana productæ impatiens, & in certamen descendere necessitate compulsus, diviso in tria agmina exercitu, sub primum auroræ crepusculum & nondum manifesto terris sole, paratus ad pugnam ex improviso apparuit. Imperator præcognitis ejus consiliis, dispositum pariter ac distributum in acies tres exercitum, ad pugnam eduxit. Imperatore vero ad Orientem constituto, exorientis quoque solis radii, quem Persæ tamquam Deum venerantur, eorum oculos acrius perstringebat. Imperator itaque fugam simulare jussit exercitum, quare Persæ phalangum suarum solutis ordinibus eos intemperantius insequendos decernunt. At Romani versa in eos facie impressionem eorum fortiter sustinent, & terga dare compellunt: & multis eorum cæsis, reliquos ad montis adigunt angustias, & in prærupta loca præcipitiaque compulsos, prosternunt, & in extremum periculum adducunt. Per asperas etiam illas & salebrosas rupes caprarum sylvestrium more

Edit. Paris. pag. 256.

desilientes Persas venantur & capiunt vivos, occupatisque eorum castris, bellicum apparatum omnem diripiunt. Ita demum Romani manibus in cælum elatis debitas Deo grates referunt: & ad eum pro Imperatore suo rei militaris adeo perito vota insuper concipiunt. Qui prius enim vel motum a Persis pulverem intueri verebantur, impræsentiarum defixa & immota eorum tentoria deprædati sunt. Quis, amabo, Persas gentem armis invictam terga Romanis dare umquam sperasset? Imperator autem relicto exercitu, Duceque ei præposito, sub cujus cura hyberna in Armenia transigeret, Byzantium reversus est.

Hoc anno Mamed Ameras primo conspici cœpit: annis novem regnavit, a collatæ Heraclio imperii potestatis anno decimo tertio.

Anni mundi 6113	Divinæ Incarn. 613	Rom. Imp. Heraclius annis 31.	Persarum rex Chosroes annis 39.		CP. Episc. Sergius annis 29.	Hierosol. Episc. Zacharias annis 22.	Alexand. Episc. Georgius annis 14.	
		13	34		14	14	4	

Hoc anno mensis Martii die decimo quinto indictione undecima solvens ab urbe Regina Imperator magnis itineribus in Armeniam contendit. Persarum vero rex Chosroes Sarbanazam ad fines Romanorum invadendos summisit. Heraclius autem litteris Chosroem monuit, aut pacem amplecteretur, aut certe quam citius in Persidem irrupturum se præstolaretur. At Chostoes neque pacis sermones admisit, & Heraclii minas pro nihilo habendas duxit, qui eum in Persiam propius accedere non ausurum speraret. Imperator itaque mensis Aprilis die vigesimo in Persiam irruptionem fecit: quod ubi rescivit Chosroes, Sarbarazam revocat, & collectis ex universa Perside copiis, iisque Sai Duci commissis, quam citius Sarbarazæ adjungeret se, ut viribus unitis in Imperatorem progrederentur, edixit. Heraclius autem vocato ad allocutionem exercitu, verbis ad suadendum aptis animos eorum excitaturus: Viri Fratres, inquit, Dei timorem in animum inducamus, & ejus injurias ulcisci contendamus. Stemus animo forti in hostes, a quibus hucusque Christiani tot adversa perpessi. Romani imperii majestatem hucusque indomitam barbaris succumbere pudeat nos: & hostibus arma impia tractantibus invictum pectus opponamus. Fide mortis ac metus omnis triumphatrice accingamur. In Persicæ ditionis meditullio consistere nos contemplemur, & quantum periculum fuga secum vehat. Corruptas virgines nostras ulciscamur: visis commilitonum nostrorum membris fœde truncatis, qua decet, cordis compassione eos prosequamur. Periculum mercede haud vacat, quinimmo perpetuæ gloriæ coronam promeretur. Fortiter itaque geramus nos, suppetias dabit Deus, nostrosque delebit inimicos. His & aliis similibus Imperatori exercitus animos provocanti, unus e turba omnium vice respondit. Dilatasti gaudio corda nostra, Domine, ubi os ad orandum & suadendum reclusisti. Acuerunt gladios sermones tui, animum etiam ar-

Editio Paris. pag. 257.

A βον δὲ καὶ τὸ τούτων στρατόπεδον, καὶ πᾶσαν τὴν ἀποσκευὴν αὐτῶν. οἱ δὲ Ῥωμαῖοι πρὸς ὕψος τὰς χεῖρας ἐκτείναντες τῷ Θεῷ ηὐχαρίστουν, καὶ τῷ στρατηγήσαντι καλῶς βασιλεῖ συντόνως προσηύχοντο. οἱ γὰρ πρὶν μηδὲ Περσικὴν κόνιν τολμήσαντες ἰδεῖν, νῦν τὰς σκηνὰς τούτων ἀσαλεύτως εὑρόντες ἐλαφυραγώγησαν. τίς γὰρ ἤλπιζε τὸ τῶν Περσῶν δυσμαχώτατον γένος νῶτα δοῦναι ποτὲ Ῥωμαίοις; ὁ δὲ βασιλεὺς τὸν στρατὸν σὺν τῷ στρατηγῷ καταλιπὼν εἰς Ἀρμενίαν παραχειμάσαι, αὐτὸς εἰς Βυζάντιον ὑπέστρεψεν.

* Τούτῳ τῷ ἔτει Μάμεδ ἐφάνη Ἀμηρᾶς ἔτη θ'. ιγ'. ἔτος Ἡρακλείου ἐξουσίας.

B

* Deest in Barber. & Peret.

Κόσμου ἔτη ,ςρῑγ'	Τῆς θείας σαρκ. ,χιγ'	Ῥωμ. βασιλ. Ἡράκλειος ἔτη λα'.	Περσ. βασιλ. Χοσρόης ἔτη λθ'.		ΚΠ. ἐπίσκ. Σέργιος ἔτη κθ'.	Ἱεροσ. ἐπίσκ. Ζαχαρίας ἔτη κβ'.	Ἀλεξ. ἐπίσκ. Γεώργιος ἔτη ιδ'.	
		ιγ'	λδ'		ιδ'	ιδ'	δ'	

Τούτῳ τῷ ἔτει μηνὶ Μαρτίῳ ιε'. ἰνδικ. ια'. ἀπάρας ὁ βασιλεὺς Ἡράκλειος ἀπὸ τῆς βασιλίδος κατὰ τάχος ἀφίκετο εἰς Ἀρμενίαν. Χοσρόης δὲ ὁ τῶν Περσῶν βασιλεὺς ἀπέστειλε τὸν Σαρβαναζὰν σὺν τῷ ἑαυτοῦ στρατῷ εἰσβαλεῖν εἰς τὴν τῶν Ῥωμαίων γῆν. Ἡράκλειος δὲ ἔγραψε πρὸς C Χοσρόην, ἢ τὴν εἰρήνην ἀσπάσασθαι, ἢ ἑαυτὸν εἰς τὴν Περσίδα σὺν τῷ ἑαυτοῦ στρατῷ εἰσβαλεῖν. ὁ δὲ Χοσρόης οὔτε τὴν εἰρήνην ἠσπάζετο, οὔτε τι τὸν λόγον ἡγεῖτο, ὅτι Ἡράκλειος τολμᾷ τῇ Περσίδι πλησιάσαι. ὁ δὲ βασιλεὺς τῇ εἰκοστῇ τοῦ Ἀπριλλίου μηνὸς εἰσέβαλεν εἰς τὴν Περσίδα, καὶ μαθὼν τοῦτο Χοσρόης τὸν Σαρβαραζὰν ὑποστρέψας ἐκέλευσε· καὶ ἐπισυνάξας ἐκ πάσης τῆς Περσίδος τὰ ἑαυτοῦ στρατεύματα, καὶ παραδοὺς αὐτὰ τῷ Σάὴν κατὰ τάχος ἑνωθῆναι αὐτὰ τῷ Σαρβαραζὰν προσέταξε· καὶ ὑποχωρῆσαι κατὰ τοῦ βασιλέως. Ἡράκλειος D δὲ προσκαλεσάμενος τὸ ἑαυτοῦ στράτευμα λόγοις παραινετικοῖς διήγειρεν αὐτοὺς, λέγων· Ἄνδρες, ἀδελφοί μου, λάβωμεν εἰς νοῦν τὸν τοῦ Θεοῦ φόβον, καὶ ἀγωνισώμεθα τὴν τοῦ Θεοῦ ὕβριν ἐκζητῆσαι. στῶμεν γενναίως κατ' ἐχθρῶν τῶν πολλὰ δεινὰ Χριστιανοῖς ἐργασαμένων. αἰδεσθῶμεν τὸ τῶν Ῥωμαίων ἀδούλωτον κράτος, καὶ στῶμεν κατ' ἐχθρῶν δυσσεβῶς ὡπλισμένων. λάβωμεν πίστιν τῶν φόβον φονεύτεραν. ἀναλογισώμεθα ὅτι ἔνδον ἐσμὲν τῆς τῶν Περσῶν γῆς, καὶ μεγάλον κίνδυνον ἡ φυγὴ φέρει. ἐκδικήσωμεν τὰς φθορὰς τῶν παρθένων, τὰ E τετμημένα μέλη τῶν στρατιωτῶν ὁρῶντες, πονέσωμεν τὰς καρδίας. οὐκ ἔστιν ὁ κίνδυνος ἄμισθος, ἀλλὰ τῆς αἰωνίου δόξης πρόξενος. στῶμεν ἀνδρείως, καὶ Κύριος ὁ Θεὸς συνεργήσει ἡμῖν, καὶ ὀλέσει τοὺς ἐχθροὺς ἡμῶν. Ταῦτα δὲ καὶ ἄλλα τοῦ βασιλέως παραινέσαντος τῷ λαῷ, ἀπεκρίθη αὐτῷ εἷς ὑπὲρ πάντων. Ἐπλάτυνας ἡμῶν τὰς καρδίας, δέσπο-

πι, τὸ σὸν πλατυνάς ἐν παραινέσει στόμα. ὤξυναν οἱ λόγοι σου τὰ ξίφη ἡμῶν, καὶ ἔμψυχα ταῦτα εἰργάσαντο. ἀνεπτέρωσας ἡμᾶς διὰ τῶν λόγων. ἐρυθριῶμεν ἐν ταῖς μάχαις προηγούμενόν σε ἡμῶν ὁρῶντες, καὶ ἑπόμεθα ἐν πᾶσι τοῖς σοῖς κελεύσμασι. Ὁ δὲ βασιλεὺς ἀναλαβὼν τὸ στράτευμα, εὐθὺς ἐν τῇ ἐνδοτέρᾳ Περσίδι διεχώρησε, πυρὶ καταφλέγων τὰς χώρας, καὶ τὰς κώμας· καὶ γίνεταί τι θαῦμα φοβερόν. ἐν γὰρ τῇ θερινῇ τροπῇ ἀὴρ γέγονε δροσώδης ψυχαγωγῶν τὸν τῶν Ῥωμαίων στρατόν, ὥστε ἀγαθὰς ἐλπίδας ἀναλαβεῖν αὐτούς. ἀκούσας δὲ Ἡράκλειος ὅτι Χοσρόης ἐν Γαζακῷ τῇ πόλει ἐστὶ σὺν τεσσαράκοντα χιλιάσιν ἀνδρῶν πολεμιστῶν, ὥρμησε κατ' αὐτοῦ· καὶ προπέμψας τινὰς τῶν ὑπ' αὐτὸν Σαρακηνοὺς συναντῶσι τῇ τοῦ Χοσρόου βίγλᾳ, καὶ τούτων τοὺς μὲν ἀνεῖλον, τοὺς δὲ πεδήσαντες σὺν τῷ στρατηγῷ αὐτῶν τῷ βασιλεῖ προσήνεγκαν. τοῦτο μαθὼν Χοσρόης καταλιπὼν τὴν πόλιν καὶ τὸ στράτευμα, φυγῇ ἐχρήσατο. ὁ δὲ Ἡράκλειος ἐπιδιώξας, τοὺς μὲν φθάσας ἀνεῖλεν, οἱ δὲ λοιποὶ φυγόντες διεσκεδάσθησαν· καὶ καταλαβὼν ὁ βασιλεὺς τὴν Γαζακοῦ πόλιν ἐν τῇ ἀνατολῇ ἐν ᾗ ὑπῆρχεν ὁ ναὸς τοῦ πυρὸς, καὶ τὰ χρήματα Κροίσου τοῦ Λυδῶν βασιλέως, καὶ ἡ πλάνη τῶν ἀνθράκων· ταῦτα λαβὼν ἐπὶ Δασταγέρδι χωρεῖ. ὁ δὲ βασιλεὺς ἀπάρας ἀπὸ Γαζακοῦ καταλαμβάνει τὴν Θηβαρμαΐς. καὶ εἰσελθὼν ἐν αὐτῇ πυρὶ ἀνήλωσε τὸν τοῦ πυρὸς ναόν, καὶ πᾶσαν τὴν πόλιν πυρὶ ἀναλώσας κατεδίωκεν ὀπίσω Χοσρόου ἐν τοῖς στενοῖς τῶν Μήδων χωρίοις, καὶ ταύταις ταῖς δυσχωρίαις τόπον ἐκ τόπου ὁ Χοσρόης ἤμειβε· καὶ ὁ Ἡράκλειος τοῦτον διώκων πολλὰς πόλεις ἐπόρθησε καὶ χώρας. χειμῶνος δὲ καταλαβόντος βουλὴν ἐποιήσατο τοῦ παραχειμάσαι μετὰ τοῦ λαοῦ αὐτοῦ. καὶ οἱ μὲν ἔφασκον ἐν Ἀλβανίᾳ, οἱ δὲ κατ' αὐτὸν εἰσβαλεῖν τὸν Χοσρόην. ὁ δὲ βασιλεὺς ἐκέλευσε τὸν λαὸν ἁγνίζεσθαι τρεῖς ἡμέρας, καὶ ἀνοίξας τὰ τοῦ Θεοῦ εὐαγγέλια, εὗρεν ἐπιτρέποντα αὐτῷ ἐν Ἀλβανίᾳ παραχειμάσαι. εὐθέως οὖν ἐπιστρέψας, ὥρμησεν ἐν Ἀλβανίᾳ. ἐν δὲ τῷ μεταξὺ τῆς ὁδοῦ ἔχων πολλὴν αἰχμαλωσίαν τῶν Περσῶν σὺν αὐτῷ, ἰα ὀλίγας ἐπιδρομὰς ὑπὸ Περσικῶν στρατευμάτων ἐδέχετο· αὐτὸς δὲ τῇ τοῦ Θεοῦ συνεργείᾳ νικῶν μετὰ πάντων ἠρᾶτο. χειμῶνος δὲ σφοδροῦ ἐπιπεσόντος αὐτῷ ἐν τῇ ὁδῷ, καὶ κρύους, φθάσας αὐτὸς ἐν Ἀλβανίᾳ πεντήκοντα χιλιάδας δεσμίους ἔχων, τούτους τῇ εὐσυμπαθήτῳ αὐτοῦ καρδίᾳ ἐλεήσας τῶν δεσμῶν ἔλυσε, καὶ ἐπιμελείας καὶ ἀναπαύσεως μετεδίδα· ὥστε πάντας μετὰ δακρύων τούτῳ εὔχεσθαι ῥύστην γενέσθαι, καὶ τῆς Περσίδος τὸν κοσμόλεθρον ἀνελόντι Χοσρόην.

Δεύτερον ἔτος Ἀμέδ.

			ιδ'	λϛ'		α'	κ'	ι'	

Τούτῳ τῷ ἔτει Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς Σαραβλαγὰν προεβάλετο στρατηγόν, ἄνδρα πολεμιστήν, καὶ τύφῳ πολλῷ ἐπηρμένον· καὶ παραδοὺς αὐτῷ στρατὸν τοὺς λεγομένους Χοσροηγέτας, καὶ Περοζίτην ἐν Ἀλβανίᾳ ἔστειλε κατὰ Ἡρακλείου. εἰσβαλόντες δὲ εἰς τὰ ἄκρα τῆς Ἀλβανίας,

mis nostris loquela tua fecit. Alas certe verbis addidisti. Erubescimus tantum te exercitum præcedere, & periculis objici: & ob id maxime jussis tuis omnibus semper parebimus. Ita Imperator exercitu educto, in mediam ipsam Persidem velocissime penetravit, & obvias quasque urbes & vicos igne devastavit. Tum vero insuetum omnino & horrore dignum miraculum fieri contigit. Circa æstivam quippe solis conversionem roridus ac temperatus aer redditus adeo Romanum recreavit exercitum, ut ex eo felicis eventus sequturi faustam spem conciperent. Atque ita audiens Heraclius, ad Gazacum civitatem cum armatorum 40. millibus Chosroem adesse, recta ad eum contendit. Saraceni vero quidam sub eo militantes ad præcurrendum præmissi, Chosrois excubitoribus obviam facti, eos partim trucidant, partim vinculis mancipatos cum Duce ad Imperatoris conspectum adducunt. Audiens hoc Chosroes, deserta urbe & exercitu, celeri fuga salutem quærit. Insequitur Heraclius, & fugitivorum quosdam assequutus, interficit, alios pedum celeritate sibi ereptos passim dissipat. Gazacum subinde Orientis civitatem, in qua Ignis erectum templum, divitiæ Crœsi Lydorum regis repositæ, & carbonum impostura recondita, occupat: quibus sublatis Dastagerdem perrexit. Porro Imperator Gazaco relicta, Thebarmaes accedit, & in urbem ingressus Ignis templum cum universa civitate igne consumpsit: Inde vero Chosroem a tergo per angusta Medorum loca insequutus est: qui per has oberrans angustias ex uno loco subinde ad alium transmigrabat. Heraclius autem hunc persequens multa oppida camposque diripuit. sed cum hyeme ingruente de hybernis cum exercitu deliberaret, alii in Albania hyemandum, alii vero contra ipsum Chosroem pergendum esse censebant. Imperator autem cum expiationem ac sanctimoniam universo exercitui per dies tres continuos indixisset, apertis Dei Evangeliis, invenit sibi significari, ut in Albania hyemaret. Quamobrem continuo iter convertens in Albaniam contendit: In itinere porro cum ingentem Persarum, tam divitiarum, quam captivorum prædam secum abduceret, multas incursiones a Persicis copiis passus est; Sed Deo opitulante victor ubique evasit. Cum autem hyems rigidior ac gelu eos in itinere vexasset: ipse ubi in Albaniam devenit, Persas quos ad quinquaginta millia captivos secum ducebat, pro innata sibi misericordia a vinculis solvit, ipsosque, qua potuit, corporis cura & medela refecit, ita ut omnes in lachrymas effusi, votis pro eo conceptis exoptaverint, ut perniciosa illa totius orbis peste Chosroe occiso, ipse universæ demum Persiæ liberator evaderet.

Edit. Paris. pag. 258.

Amed annus secundus.

			14	36		15	15	5	

Hoc anno Persarum rex Chosroes Sarablagam virum strenuum & Martio fastu tumentem Ducem instituit, & exercitu Chosroegenarum sic vocato ei commisso, simul cum Perozite adversus Heraclium in Albaniam misit. Albaniæ vero fines ingressi ad Imperatorem cominus accedere, vel ad ejus conspectum sub armis stare nusquam ausi sunt: verum insidias ei

præstruere consiliati, montium angustias, quibus ad Persiam iter, occupare sibi satis esse putaverunt. Heraclius autem per amplas supinasque camporum planities ex quibus uberem colligebat commeatum ex Albania simul cum ineunte vere solvens iter in Persiam agebat, licet ob locorum distantiam longiori mora perficere cogeretur. At Sarablagas, quo Imperatorem præverteret, per viam angustam velut magis compendiariam in Persiam procedere statuit. Heraclius proinde verbis istiusmodi exercitum animabat. Persarum exercitum imperviis locis nunc errantem equos penitus defatigare, ac viribus exhaurire novimus, Fratres: quamobrem Chosroem aggredi cum multa celeritate festinemus, ut ex improviso irruentes, eum in metum & fugam conjiciamus. Exercitus porro, ex Lazis maxime, Abasgis, & Iberis socii consilium hujusmodi exequi aversabantur: ex quo demum ingens suborta calamitas. Sarbarazas enim iis quas instruxerat Chosroes copiis adjunctus, simul cum reliquis suis agminibus per Armeniam adversus Heraclium incessit. Sarabalgas porro Imperatorem pone sequutus, ad congressum non descendit: Sarbarazæ quippe adjungere se studebat, atque ita bellum committere. Romani cognito Sarbarazæ adventu metu percelluntur, & malæ admissæ contumaciæ pœnitentes, quantum malum sit servum domini consiliis non parere fassi, ad Imperatoris pedes cum lachrymis procidunt: &, Dexteram tuam, inquiunt, Domine, porrige osculandam priusquam miseri pereamus: tibi etenim ad placitum obsequi parati sumus. Tunc Imperator Sarablagæ, antequam Sarbarazæ exercitui adjungeretur, inita pugna vires experiri tentat, crebrisque tum noctu tum interdiu factis in eum excursionibus, in metum & animi molestiam conjicit. Tum utroque post se relicto celeri gressu adversus Chosroem contendit. Duo vero milites Romanis partibus desertis ad Persas transfugientes, eos ex metu fugæ se dedisse persuadent: Sed & alius rumor ad Persas delatus, Saem nimirum Ducem cum altero exercitu suppetias venire. Audito nuncio Sarbarazas & Sarablagas cum Heraclio ad pugnam descendere properabant, priusquam nimirum Saes adveniret, & victoriæ gloriam omnem ad se transferret. Quare data desertoribus fide, adversus Heraclium progressi sunt: & jam proximi castra metati sunt, simul cum sequenti luce manus committere decernentes. Heraclius sub vesperam inde solvens, tota nocte itinere confecto, mox campo virenti invento, in eo castra applicuit. Barbari fuga salutem quærere rati, nullo servato ordine, ut eum assequerentur, procurrebant: tum ipse facie in eos versa, acre cum iis iniit prælium. Cum enim collem quemdam nemorosum occupasset, exercitu in eum aglomerato, Dei nutu Persas in fugam adigit, ipsosque per convalles insequutus, magnam stragem edidit. Porro durante hoc certamine, cum Saes cum exercitu supervenisset, eo in fugam verso, magnaque illius exercitus parte cæsa, reliquos palantes dissipavit, & eorum omnia cepit impedimenta. Sarbarazas subinde Sai adjunctus barbaros e prælio superstites colligebat, ac uterque de Heraclio compositis viribus aggrediendo commune consilium iniit. Verum Imperator per Unnorum provinciam, viarumque molestias, &

Edit. Paris. pag. 259.

pag. 260.

πόλεμον εἶναι· ἀλλὰ τὰς εἰς Περσίδα ἀγούσας κλεισούρας ἐφράπτησαν, νομίζοντες τοῦτον λοχῆσαι. ὁ δὲ Ἡράκλειος ἅμα ἔαρι ἀπάρας τῆς Ἀλβανίας δι' ὑπτίων πεδίων τροφὰς, καὶ δαψιλῶς ἀπορούντων τὴν πάροδον ἐποιεῖτο εἰς Περσίδα, εἰ καὶ μήκους διάστημα πολλῆς ὁδοῦ ὑπῆρχεν. ὁ δὲ Σαραβλαγᾶς διὰ στενῆς ὁδοῦ, ὡς διὰ συντόμου ἤλαυνε, τοῦ προλαβεῖν αὐτὸν ἐν τῇ χώρᾳ Περσίδος. ὁ Ἡράκλειος δὲ παρῄνει τῷ λαῷ λέγων· Ἐγνώκαμεν, ἀδελφοί, ὡς ἡ στρατιὰ τῶν Περσῶν ἐν τοῖς δυσβάτοις τόποις πλανωμένη, τούς τε ἵππους αὐτῆς παραλύει, καὶ αὐτοὺς ἐκδέρει. ἡμεῖς δὲ σπεύσωμεν κατὰ Χοσρόου χωρῆσαι ἐν πολλῷ τάχει, ὅπως ἐκ τοῦ ἀπροσδοκήτου ἐπεισελθόντες αὐτὸν θορυβήσωμεν. ὁ δὲ λαὸς οὐ συνεβουλεύετο τοῦτο ποιῆσαι, μάλιστα οἱ τῶν Λαζῶν, καὶ τῶν Ἀβασγῶν, καὶ τῶν Ἰβήρων σύμμαχοι. ἐντεῦθεν ἐν συμφοραῖς περιπίπτουσι. κατέλαβε γὰρ Σαρβαραζᾶς μετὰ τοῦ λαοῦ αὐτοῦ οὓς ἐξώπλισε Χοσρόης πάσῃ δυνάμει, καὶ ἀπέστειλε κατὰ Ἡρακλείου διὰ τῆς Ἀρμενίας. Σαραβλαγᾶς δὲ ἠκολούθει ἐκ τῶν ὄπισθεν αὐτοῦ, καὶ οὐ συνέβαλεν αὐτῷ ἐκδεχόμενος ἑνωθῆναι τῷ Σαρβαραζᾷ, καὶ οὕτω τὸν πόλεμον συστήσασθαι. γνόντες δὲ οἱ Ῥωμαῖοι τὴν ἔφοδον τοῦ Σαρβαραζᾶ εἰς δειλίαν ἐτράπησαν, καὶ τοῖς ποσὶ τοῦ βασιλέως προσέπεσον δάκρυσι μετανοοῦντες διὰ τὴν κακῶς γενομένην αὐτῶν παρακοὴν, γνόντες οἷον κακόν ἐστι δούλους μὴ εἴκειν τοῖς τοῦ δεσπότου βουλεύμασι· καὶ ἔλεγον· τὴν χεῖρά σου, δέσποτα, πρὶν ἀπολέσαι ἡμᾶς τοὺς ἀθλίους· ἑτοιμοί ἐσμεν γάρ σοι, ἐν οἷς ἂν κελεύσῃς. τότε ὁ βασιλεὺς ἐσπούδασε συμβαλεῖν τῷ Σαραβλαγᾷ πρὶν ἑνωθῆναι τῷ λαῷ τοῦ Σαρβαραζᾶ· καὶ πολλὰς ἐκδρομὰς κατ' αὐτοῦ ποιησάμενος ἐν νυκτί τε καὶ ἡμέρᾳ, εἰς δειλίαν αὐτὸν καθίστησι· καὶ ὄπισθεν ἐάσας τοὺς ἀμφοτέρους κατὰ Χοσρόου μετὰ σπουδῆς ἤλαυνεν. αὐτομολοῦσι δὲ δύο τῶν Ῥωμαίων πρὸς τοὺς Πέρσας, καὶ πείθουσιν αὐτοὺς ἐκ δειλανδρείας φεύγειν τοὺς Ῥωμαίους. ἦλθε δὲ αὐτοῖς καὶ φήμη ἑτέρα· τὸν Σάϊν στρατηγὸν Περσῶν καταλαμβάνειν μεθ' ἑτέρου στρατεύματος εἰς βοήθειαν· καὶ τοῦτο μαθόντες Σαρβαραζᾶς καὶ Σαραβλαγᾶς ἠγωνίσαντο προσβαλεῖν τῷ Ἡρακλείῳ πρὸς πόλεμον, πρὶν ἢ φθάσαι τὸν Σάϊν, καὶ τῆς νίκης ἑαυτῷ μετενεγκεῖν τὸ κλέος. πιστεύσαντες δὲ καὶ τοῖς αὐτομόλοις, ἐχώρησαν κατὰ Ἡρακλείου· καὶ πλησιάσαντες αὐτῷ ἐπλήκευσαν, βουλόμενοι ἅμα τῷ πρωῒ συμβαλεῖν. ὁ δὲ Ἡράκλειος ἀπὸ ἑσπέρας, ὥδευσε δι' ὅλης τῆς νυκτός· εὑρών τε πεδίον χλοηφόρον ἐπλήκευσεν ἐν αὐτῷ. οἱ δὲ βάρβαροι νομίσαντες ἐκ δειλίας φεύγειν, ἀκόσμως ἤλαυνον τοῦ καταλαβεῖν αὐτόν. αὐτὸς δὲ ὑποστρέψας αὐτοῖς ἐκρότησε πόλεμον κατ' αὐτῶν. καταλαβὼν δὲ βουνόν τινα ἀλσώδη καὶ ἐπιστρέψας τὸν λαὸν αὐτοῦ, τῇ τοῦ Θεοῦ συνεργείᾳ τρέπει τοὺς Πέρσας καὶ τούτους διὰ φάραγγας διώξας, πλῆθος πολὺ ἀνεῖλε. καὶ τούτων μεταξὺ τῶν ἀγώνων ὄντων, ἔφθασε καὶ ὁ Σάϊν σὺν τῷ στρατῷ αὐτοῦ, καὶ τοῦτον τρέψας ὁ βασιλεὺς, καὶ πολλοὺς ἐξ αὐτοῦ ἀνελὼν, τοὺς λοιποὺς διέσπειρε φεύγοντας· παρέλαβε δὲ καὶ τὸ τοῦλδον αὐτῶν. ὁ δὲ Σαρβαραζᾶς ἑνωθεὶς τῷ Σάϊν ἐπισυνάξει τοὺς σωθέντας βαρβάρους· καὶ πάλιν διενοοῦντο κατὰ Ἡρακλείου χωρεῖν. ὁ δὲ βασιλεὺς ἐπὶ τὴν τῶν Οὔννων χώραν καὶ ταῖς

αὐτῶν δυσχωρίαις ἤλαυνον, ἐν τε τραχέσι τόποις καὶ δυσβάτοις. οἱ δὲ βάρβαροι ὀπίσω αὐτῶν ἠκολούθουν. οἱ δὲ Λαζοὶ ἅμα τοῖς Ἀβασγοῖς δειλιάσαντες, ἀπέσπασαν ἑαυτοὺς τῆς Ῥωμαίων συμμαχίας, καὶ πρὸς τὴν ἰδίαν χώραν ἀνεχώρησαν. ὁ δὲ Σάϊν ἡσθεὶς ἐπὶ τούτῳ, θυμῷ πολλῷ σὺν τοῖς βαρβάροις ἐχώρει κατὰ Ἡρακλείου. ὁ δὲ βασιλεὺς ἐπισυνάξας τὸν στρατὸν λόγοις ἀνεπέῤῥωσε, καὶ παραινέσεσι τούτους εἴληφε, λέγων· τὸ πλῆθος ὑμᾶς, ἀδελφοὶ, μὴ ταραττέτω. Θεοῦ γὰρ θέλοντος, εἷς διώξει χιλίους. θύσωμεν οὖν τῷ Θεῷ ἑαυτοὺς ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν σωτηρίας. λάβωμεν στέφος μαρτύρων, ἵνα ὁ μέλλων ἡμᾶς χρόνος ἐπαινέσῃ· καὶ ὁ Θεὸς τοὺς μισθοὺς ἀποδώσει. τούτοις καὶ ἄλλοις πλείοσι λόγοις παραθαρσύνας τὸν στρατὸν, φαιδρῷ τῷ προσώπῳ παρατάττει τὸν πόλεμον, καὶ στάντες ἀπ' ἀλλήλων ἀπὸ μικροῦ διαστήματος, ἀπὸ πρωῒ ἕως ἑσπέρας ἀλλήλοις συνέβαλλον. ἑσπέρας δὲ καταλαβούσης ὁ βασιλεὺς τῆς ὁδοιπορίας εἴχετο. οἱ δὲ βάρβαροι πάλιν ὀπίσω αὐτοῦ ἤλαυνον. ἐναλλάξαντες δὲ τὴν ὁδὸν, καὶ τοῦτον προλαβεῖν θελήσαντες, ἐμπίπτουσιν εἰς τόπους τελματώδεις, καὶ πλανῶνται, καὶ εἰς μέγαλον κίνδυνον ἦλθον. ὁ δὲ βασιλεὺς διαβὰς τὰ μέρη Περσαρμενίας παρέτρεχε. τῆς δὲ γῆς ἐκείνης ὑπὸ Περσῶν κρατουμένης, πολλοὶ συνέτρεχον τῷ Σαρβαραζᾷ, καὶ ἐπιμίξει τὸν ἑαυτοῦ λαόν. χειμῶνος δὲ γεγονότος ἐσκορπίσθη τὸ πλῆθος ἐν τοῖς ἰδίοις τόποις. τοῦτο δὲ ὁ Ἡράκλειος μαθὼν, διανοεῖται ἐν νυκτὶ κλέψαι τὸν πόλεμον· καὶ τοῦ χειμῶνος ἐπικειμένου, καὶ ὑποψίας μηδεμιᾶς οὔσης τῷ βαρβάρῳ, διαλεξάμενος ἵππους εὐσθενεῖς, καὶ τοῦ στρατοῦ τοὺς ἀνδρειοτέρους διχῇ ὁπλίσας, τοὺς μὲν προάγειν ἐκέλευσε κατὰ τοῦ βαρβάρου· αὐτὸς δὲ σὺν τοῖς ἑτέροις ὀπίσω τούτων εἵπετο. σπεύσαντες δὲ διὰ τῆς νυκτὸς, καὶ καταλαβόντες τὸ χωρίον Σαλβανὸν, ὥρᾳ τῇ θ'. τῆς νυκτὸς, Περσῶν ἐν αὐτῷ ὄντων καὶ γνόντων τὴν ἔφοδον, οἳ καὶ διαναστάντες ὥρμησαν κατ' αὐτῶν. οἱ δὲ Ῥωμαῖοι τούτους πάντας ἀνεῖλον πάρεξ ἑνὸς, ὅς τις τῷ βαρβάρῳ ἐμήνυσεν. ὁ δὲ βάρβαρος ἀναστὰς, καὶ ἐπιβὰς ἵππῳ, γυμνός τε, καὶ ἀνυπόδητος, φυγὴν τὴν σωτηρίαν ἐποιήσατο. τούτου δὲ τὰς γυναῖκας, καὶ πᾶν τὸ Περσικὸν ἄνθος, ἄρχοντάς τε καὶ σατράπας, καὶ στρατιώτας ἐπιλέκτους ἀναλαβὼν ἀνελθόντας ἐν ταῖς τῶν οἴκων στέγαις καὶ πόλεμον κροτοῦντας διὰ τοῦ πυρὸς κατέβαλε· καὶ οὓς μὲν ἔκτεινεν, οὓς δὲ πυρὶ ἀνήλωσεν, ἄλλοι δὲ χειροπέδαις ἐδεσμεύθησαν. ἔλαβον δὲ καὶ τὰ ὅπλα τοῦ Σαρβαραζοῦ χρυσῆν ἀσπίδα τε, καὶ μάχαιραν, καὶ δόρυ, καὶ τὴν διάλιθον καὶ χρυσῆν ζώνην, καὶ τὰ ὑποδήματα αὐτοῦ· καὶ πάντα λαβὼν χωρεῖ κατὰ τῶν διεσπαρμένων αὐτοῖς χωρίοις· οἵτινες μαθόντες τὴν τοῦ Σαρβαραζοῦ φυγὴν, ἀκρατῶς ἔφυγον. αὐτὸς δὲ διώξας πολλοὺς αὐτῶν ἔκτεινε, καὶ δεσμίους ἔλαβε· καὶ οἱ λοιποὶ μετ' αἰσχύνης ἐν Περσίδι ὑπέστρεψαν. ὁ δὲ βασιλεὺς ἐπισυνάξας τὸ ἑαυτοῦ στρατόπεδον, μετὰ χαρᾶς ἐν ἐκείνοις τοῖς τόποις παρεχείμασεν.

aspera inaccessaque eorum loca iter agere: & barbari eum a tergo insequi. Hic Lazi una cum Abasgis periculo deterriti, violata societate, & a Romano exercitu divulsi, in propriam regionem secessere. Saes Romana calamitate lætior redditus, animis resumptis in Heraclium cum barbaris erumpit. Imperator ex adverso collectum exercitum verbis corroborare, & militum animos monitis istiusmodi delinire. Hostium numerus plane ingens nusquam vos, Fratres, terreat: Deo enim ita volente, Romanus vel unicus mille adversarios fugabit. Pro fratrum nostrorum salute nosmetipsos Deo immolemus. Coronas Martyrum assequamur: ita nos laudibus complebunt posteri, & factis nostris mercedem Deus rependet. Pluribus etiam aliis exercitu animato, Imperator alacri jam facie agmina componit pugnæ. Constiterunt adversariæ acies exiguo sejunctæ spatio, a mane usque ad vesperam, nec signa contulerunt. Vespera autem ingruente, Imperator iter iniit, barbaris rursum a tergo eum insequentibus. Eum vero immutata via prævertere meditati, in palustria loca prolapsi palantesque in magno discrimine versati sunt. Imperator inde digressus, Persarmeniæ partes obibat: e regione autem illa, quæ nimium Persarum ditioni subjecta est, plures ad Sarbarazam confluxerunt, ex quibus ipse copias & exercitum auxit: sed cum hyems appeteret, hujusmodi multitudo in proprias sedes & domos dispersa est. Ea re cognita, bello nocturno inimicos furtim lacessere meditatur Heraclius. Itaque cum sæva hyemis tempestas incumberet, nulla de se barbaro suspicione injecta, robustiores equos & milites viribus præstantiores selectos & armis instructos in duas acies dividit, & hanc quidem barbarum impetituram jussit præcedere: ipse cum altera pone sequi instituit. Itinere celeri gressu per noctem confecto, hora noctis ejusdem nona Salbanum oppidum perveniunt. Una Persæ loco eodem reperti, Romanorum adventu cognito, stratis exurgentes in Romanos incurrunt. Romani vero eos omnes occiderunt præter unum, qui cladis nuncius ad barbarum venit. Quare barbarus loco celerius relicto, nudus & *Edit. Paris. pag. 261.* discalceatis etiamnum pedibus, equum conscendens fuga salutem sibi comparavit. Hujus uxores & Persicum omnem florem, Principesque & Satrapas, & delectos milites cum super tecta domorum ascendisse, ac defensionem inde moliri conspiceret, igne conjecto disturbavit: & quosdam quidem occidit, alios cremavit, alios denique manicis & compedibus vinctos in captivitatem abduxit. Cepit etiam arma Sarbarazæ, clypeum aureum, machæram, hastam, & zonam auro gemmisque ornatam, nec non ejus calceamenta. Iis omnibus sublatis, adversus cæteros, qui huc & illuc palantes vagabantur & dispersi erant, contendit. Illi fuga Sarbarazæ cognita, pari impetu in eam se conjecere. Imperator diutius eos insequutus plures eorum delevit, captivos alios abduxit, reliquos cum dedecore in Persiam coegit redire: ac demum proprio exercitu in unum collecto, in iis ipsis locis hilariter hyemavit.

ἐφιςάντων Ῥωμαίων τοῖς προπυργίοις ὑπ' αὐτῶν πολλοὺς ἀναιρουμένους, κατ' αὐτῶν ἐχώρησεν. ἀνὴρ δέ τις γιγαντιαῖος τῷ βασιλεῖ συναντήσας, μέσον τῆς γεφύρας προσέβαλλεν. ὁ δὲ βασιλεὺς τοῦτον πατάξας, ἐν τῷ ῥείθρῳ τοῦ ποταμοῦ ἔρριψε. τούτου δὲ πεσόντος, εἰς φυγὴν ἐτράπησαν οἱ βάρβαροι, καὶ τῇ στενώσει τῆς γεφύρας οἱ βάρβαροι εἰς τὸν ποταμὸν ἑαυτοὺς ἔρριπτον· ἄλλοι δὲ καὶ τοῖς ξίφεσιν ἀνῃροῦντο· τὸ δὲ πλῆθος τῶν βαρβάρων πρὸς τὰ χείλη τοῦ ποταμοῦ χυθὲν, ἐτόξευον καὶ ἀνθίσταντο μὴ ἐῶντες τοὺς Ῥωμαίους περάσαι. ὁ δὲ βασιλεὺς περάσας γενναίως τοῖς βαρβάροις ἀνθίστατο μετὰ ὀλίγων τινῶν τῆς αὐτοῦ ἑταιρείας ἀγωνιζόμενος ὑπὲρ ἄνθρωπον. ὥστε τὸν Σάρβαρον ἐκπλαγῆναι· καὶ Κοσμᾶν τινὰ πλησίον αὐτοῦ ἑστῶτα πρόσφυγα Ῥωμαίων μαγαρίτην εἰπεῖν. ὁρᾷς τὸν Καίσαρα, ὦ Κοσμᾶ, πῶς θρασὺς, πρὸς τὴν μάχην ἵσταται, καὶ πρὸς τοσοῦτο πλῆθος μόνος ἀγωνίζεται, καὶ ὡς ἄμμον τὰς βολὰς ἀποπτύει; ἐκ γὰρ τῶν ἀληθινῶν τζαγγίων ἐγνωρίζετο, καὶ πολλὰς πληγὰς ἐδέχετο, ἣ καὶ οὐδεμίαν. ἐν τούτῳ τῷ πολέμῳ μαχησάμενοι, τῆς ἑσπέρας καταλαβούσης ἀπ' ἀλλήλων διέστησαν· καὶ ὁ Σάρβαρος φοβηθεὶς διὰ τῆς νυκτὸς εἰς τὰ ὀπίσω ὑπέστρεψεν. ὁ δὲ βασιλεὺς ἐπισυνάξας τὸν ἑαυτοῦ λαὸν εἰς τὴν Σεβαστείαν πόλιν ὥρμησεν, καὶ περάσας τὸν Ἅλυν ποταμὸν ἐν ταύτῃ τῇ χώρᾳ διέτριβεν ὅλον τὸν χειμῶνα. ὁ δὲ Χοσρόης μανεὶς ἀποστείλας ἔλαβεν ὅλα τὰ κειμήλια τῶν ἐν πάσαις ὑπὸ Πέρσαις ἐκκλησιῶν. καὶ ἠνάγκαζε τοὺς Χριστιανοὺς γενέσθαι εἰς τὴν τοῦ Νεστορίου θρησκείαν πρὸς τὸ πλῆξαι τὸν βασιλέα.

Ἀράβων ἀρχηγὸς Ἀμὲδ ἔτη ἐννέα.

		ιϛ'	λη'		ιζ'	ιζ'	ζ'	

Τούτῳ τῷ ἔτει Χοσρόης τῶν Περσῶν βασιλεὺς νέαν ἐποιήσατο στρατείαν, στρατεύσας ξένους τε, καὶ πολίτας, καὶ οἰκέτας, ἐκ παντὸς γένους ἐκλογὴν ποιησάμενος· καὶ ταύτην τὴν ἐκλογὴν τῷ Σάεν παραδοὺς στρατηγῷ, ἄλλας τε ν'. χιλιάδας ἐκ τῆς φάλαγγος τοῦ Σαρβάρου ἐπιλογὴν λαβὼν, τούτῳ συνῆψε, καὶ ὀνόμασι Χρυσολογχεῖς, καὶ τούτους ἀπέστειλε κατὰ βασιλέως. τὸν δὲ Σάρβαρον σὺν τῷ λοιπῷ αὐτοῦ στρατῷ κατὰ ΚΠ. ἀπέστειλεν, ὅπως τοὺς ἐκ δύσεως Οὔννους, οὓς Ἀβάρους καλοῦσιν, Ἀβάρεις τε, καὶ Σκλάβους, καὶ Γηπαῖδας συμφωνήσας κατὰ τῆς πόλεως, χωρήσωσι, καὶ ταύτην πολιορκήσωσι. γνοὺς δὲ τοῦτο ὁ βασιλεὺς τὸν ἑαυτοῦ στρατὸν εἰς τρεῖς διαιρέσεις ἐχώρισε, καὶ τοὺς μὲν ἐξέπεμψεν εἰς τὸ φυλάξαι τὴν πόλιν· τοὺς δὲ παραδοὺς Θεοδώρῳ τῷ ἰδίῳ ἀδελφῷ κατὰ τοῦ Σάεν πολεμεῖν ἐκέλευσε· τὸ δὲ τρίτον μέρος αὐτὸς λαβὼν ἐπὶ Λαζικὴν ἐχώρει· καὶ ἐν ταύτῃ διατρίβων τοὺς Τούρκους ἀπὸ τῆς ἑώας, οὓς Χαζάρους ὀνομάζουσιν εἰς συμμαχίαν προσεκαλέσατο. ὁ δὲ Σάεν ἅμα τῷ νεοσυλλέκτῳ λαῷ καταλαβὼν τὸν τοῦ βασιλέως ἀδελφὸν Θεόδωρον πρὸς πόλεμον ὡπλίσατο. τοῦ δὲ Θεοῦ διὰ τῶν πρεσβειῶν τῆς πανυμνήτου Θεοτόκου συνεργήσαντος, καὶ πολέμου προτεθέντος, χάλαζα παραδόξως κατὰ τῶν βαρβάρων κατηνέχθη, καὶ πολλοὺς ἐπάταξεν. ἡ δὲ τῶν Ῥωμαίων παράταξις γαλήνης ἀπήλαυσε. τρέπουσι δὲ οἱ Ῥωμαῖοι τοὺς Πέρσας, καὶ ἀναιροῦσι πλῆθος πο-

A nem deserere, & eos qui pontis propugnacula & turres defendebant, a Persis occidi videret, adversus Persas irruit. Tum vero quidam Gigantææ staturæ Imperatori obviam factus, eum in medio ponte aggressus est: quem Imperator gravi vulnere percussum in amnis fluentum deturbavit, eoque cadente reliqui fugere barbari, & præ pontis angustia seipsos partim in flumen projecere, alii gladiis cæsi: cum interim reliquus exercitus barbarus ex fluminis sponda sagittas confertim mitterent, fortiterque obsisterent, ne Romani pontem transgrederentur. Ast Imperator velut strenuus & Marte plenus, flumine trajecto validum pectus hostibus opposuit, & cum paucis ex sodalitio facinus vel supra vires humanas edidit, adeo B ut ipse Sarbarus admiratione perculsus, Cosmæ quidam qui fidem fœda ad idola desertione conspurcaverat, & ad Persas relicto Romano exercitu defecerat; dixerit: Vides Cæsarem, o Cosma, quanta audacia pugnam conserat, solusque adversus tantam multitudinem decertet, & velut arenam vento excitatam tela sagittasque despuat? Imperator siquidem ex veris & propriis ejus ocreis dignosci poterat: & jam certe plurima, nullum tamen cum vitæ discrimine vulnus acceperat. Porro pugna diutius protracta, sole jam ad occasum inclinato, exercitibus ab invicem sponte divisis dirempta est. Et Sarbarus periculum metuens retro cessit. Imperator collecto universo exercitu in urbem C Sebasteam se recepit, trajectoque Aly fluvio in ea regione per totam hyemem substitit. Chosroes exinde furore percitus misit qui donaria supellectilemque omnem a cunctis per universam Persiam erectis Ecclesiis auferrent; & ut Imperatori ægre faceret, Christianos ad amplexandam Nestorii superstitionem adegit.

Edit. Paris. pag. 263.

Arabum Princeps Amed annis novem.

		16	38		17	17	7	

Hoc anno Persarum rex Chosroes novo exercitui reparando advenas, cives, & famulos, ex omni nimirum hominum genere adiectos aggregavit; ea vero selecta multitudine Sai Duci tradita, alios quinquagies mille ex Sarbari phalange D excerptos ex animi consilio milites Aurihastatos ab ipso dictos eisdem adjunxit; & adversus Imperatorem misit: Sarbarum vero cum reliquo exercitu C.P. versus misit: ut initis pactis cum Unnis (Abaros quidam vocant) Bulgaris, Sclavis, & Gepedibus, una cum eo Urbem impressione facta obsiderent. Eo consilio cognito in tres acies exercitum universum Imperator distribuit: & primam quidem ad Urbis defensionem: aliam Theodoro proprio fratri traditam Saem aggredi jussit: cum tertia secum educta ipse in Lazicam regionem secessit: ibique mora aliquandiu protracta, Turcos Orientales, quos Chazaros vocant, ad belli societatem allexit. Tum vero Saes cum novitio E isto exercitu fratrem Imperatoris Theodorum offendens, bello eum adoritur. Consertis autem ad invicem manibus, Deo laudatissimæ Dei Genitricis precibus manifeste opitulante, grando vehemens ex inopinato in barbaros delata plures eorum vulneravit. Interim Romana acies tranquilla aeris serenitate fruebatur. Persas igitur in fugam Romani vertunt, & ex eis copiosum numerum prosternunt. Eo

audito Chosroes ira vehementi in Saem exarsit. Saes ipse præ mœrore atque desperatione in languorem incidens misere interiit. Cadaver ejus sale multo conditum ad se advehi Chosroes jussit, & mortuum licet ac sensu privatum verberibus & injuriis lacerari imperavit. Porro Chazari Caspiis portis diruptis in Persidem irrumpunt, & Ziebelo Duce, cui a Chagano secunda dignitas inerat, Adroegam provinciam penetrant. Quocunque vero progrederentur Persas abducebant captivos, & urbes pagosque igne devastabant. Interea Imperator e Lazica solvens, illis se adjungere & occurrere studuit. Cum Ziebelus Imperatorem conspexit, obviam progressus, ejus collum exosculatus est, ipsumque adoravit, Persis ex urbe Tiphili spectatoribus. Turcorum autem exercitus omnis in terram procidens & in faciem pronus, quasi majestatis horrore concepto, insolito honoris genere, Gentilibus tamen solemni, Imperatorem prosequutus est: ac pariter exercitus Præfecti super saxa ascendentes eodem corporis habito procubuerunt. Ad hæc Ziebelus Imperatori, ejus quippe verbis delectabatur, & ejus prospectu ac prudentia plane stupefactus hærebat, filium suum, cui lanugo primum e malis tunc oriebatur, obtulit. Selectos tandem viros strenuos ad quadraginta millia Ziebelus belli socios Imperatori assignavit: & in propriam postmodum regionem secessit. Imperator illis sibi adjunctis, adversus Chosroem perrexit. Interim Sarbarus Chalcedonem adoritur, Abares etiam e Thracia profecti ad Urbem applicantes eam vi obtinere nitebantur: multis itaque machinis ad eam admotis, & copiarum multitudine innumera, ut quæ numerum omnem vere superaret, per Istrum flumen scaphis uno trunco excavatis advecta, Cornu sinum omnem, quaqua late patet, oppleverunt: Dies demum decem Urbem obsidentes terra & mari, Dei tandem virtute & ope, & immaculatæ Deique matris virginis precibus profligati sunt: multisque suorum copiis terra & mari amissis, cum magno rubore & dedecore domos repetierunt. Sarbarus autem obsidione ad Chalcedonem posita non destitit: quinimmo mari piraticam, terra prædatoriam exercens partes trans fretum positas & earum urbes devastavit, & hybernam eisdem in locis egit tempestatem.

Anni mundi 6118.	Divinæ Incarn. 618.	Rom. Imp. Heraclius annis 31.	Persarum rex Chosroes annis 39.		Const. Episc. Sergius annis 29	Hierosol. Episc. Zachar. annis 22.	Alexand. Episc. Georgius annis 14.	
		17	39		18	18	8	

Hoc anno jam a mense Septembri Heraclius una cum Turcis inopinato propter imminentem hyemis rigorem in Persiam irrumpens, Chosroem, ubi rescivit expeditionem in animi anxietatem & stuporem conjecit. Turci vero incumbentem hyemem prospicientes, crebrarum a Persis excursionum impatientes, nec Imperatori collaborare gnari, paulatim elabi vel se surripere cœperunt: ac tandem omnes societate belli deserta redierunt. Imperator autem exercitui suo ad colloquium vocato: Videte, Fratres, ut nullus belli societatem init nobiscum, quam Deus solus, & quæ illum sine semine con-

Ἀλύ. τοῦτο μαθὼν Χοσρόης ὠργίζετο κατὰ τοῦ Σάεω. ὁ δὲ Σάεις ἐκ πολλῆς ἀθυμίας εἰς νόσον ἔπεσε· καὶ ἐτελεύτησε. τούτου δὲ τὸ σῶμα κελεύει Χοσρόης ἅλατι ταριχευθὲν πρὸς αὐτὸν κομισθῆναι, καὶ τοῦτον νεκρὸν πολλαῖς αἰκίαις ἐπέβαλλεν. οἱ δὲ Χάζαρεις διαρρήξαντες τὰς Κασπίας πύλας τῇ Περσίδι εἰσβάλλουσιν εἰς τὴν χώραν τοῦ Ἀδροηγὰν σὺν τῷ ἑαυτῶν στρατηγῷ Ζιεβὴλ, δευτέρῳ ὄντι τοῦ Χαγάνου τῇ ἀξίᾳ· καὶ ἐν οἷς ἂν τόποις διέβαινον, τούς τε Πέρσας ᾐχμαλώτιζον, καὶ τὰς πόλεις, καὶ κώμας τῷ πυρὶ παρεδίδουν. ἀπάρας δὲ ὁ βασιλεὺς ἀπὸ Λαζικῆς, τούτοις συνηντησεν. ὁ δὲ Ζιεβὴλ τοῦτον ἰδὼν καὶ προσδραμὼν, κατασπάζεται αὐτοῦ τὸν τράχηλον, καὶ προσεκύνησεν αὐτὸν ὁρώντων τῶν Περσῶν ἐκ τῆς πόλεως τοῦ Τιφίλεως. πᾶς δὲ ὁ λαὸς τῶν Τούρκων εἰς γῆν πεσόντες πρηνεῖς ὡς ἐκπλαγέντες ἐπὶ στόμα τὸν βασιλέα ἐτίμων, τιμὴν τὴν παρ' ἔθνεσι ξένην. ὁμοίως καὶ οἱ ἄρχοντες αὐτῶν ἐπὶ πετρῶν ἀναβάντες τῷ αὐτῷ σχήματι ἔπεσον. προσήνεγκε δὲ ὁ Ζιεβὴλ τὸν ἑαυτοῦ υἱὸν ἀρχιγένειον τῷ βασιλεῖ, ἡδυνόμενος τοῖς τούτου λόγοις, καὶ ἐκπληττόμενος τῇ τε θέᾳ, καὶ τῇ φρονήσει αὐτοῦ. ἐπιλεξάμενος δὲ ὁ Ζιεβὴλ χιλιάδας μ΄. ἀνδρῶν γενναίων ἔδωκε τῷ βασιλεῖ πρὸς συμμαχίαν, καὶ αὐτὸς ὑπέστρεψεν εἰς τὴν ἰδίαν χώραν. τούτους δὲ λαβὼν ὁ βασιλεὺς, κατὰ Χοσρόου ἐχώρει. ὁ δὲ Σάρβαρος τῇ Χαλκηδόνι προσβαλὼν, καὶ οἱ Ἀβάρεις ἐκ τῆς Θρᾴκης τῇ πόλει πλησιάσαντες, ταύτην ἑλεῖν ἐβούλοντο, καὶ πολλὰς μηχανὰς κατ' αὐτῆς κινήσαντες, καὶ εἰς σκάφη γλυπτὰ ἐκ τοῦ Ἴστρου πλῆθος ἄπειρον, καὶ ἀριθμοῦ κρεῖττον ἐνέγκαντες, τὸν κόλπον τοῦ Κέρατος ἐπλήρωσαν. δέκα δὲ ἡμέρας τῇ πόλει παρακαθίσαντες διά τε γῆς καὶ θαλάσσης τῇ τοῦ Θεοῦ δυνάμει καὶ συνεργείᾳ, καὶ ταῖς πρεσβείαις τῆς ἀχράντου καὶ Θεομήτορος παρθένου ἡττήθησαν· καὶ πλήθη πολλὰ ἀποβαλόντες ἔν τε γῇ καὶ θαλάττῃ, μετὰ μεγάλης αἰσχύνης ὑπέστρεψαν. ὁ δὲ Σάρβαρος τῇ Χαλκηδόνι παρακαθεζόμενος οὐ μετέστη, ἀλλ' αὐτόθι χειμάσας, λῃστεύων καὶ πραιδεύων τὰ περατικὰ μέρη, καὶ τὰς πόλεις αὐτῶν.

Κόσμου ἔτη ,ςριη΄.	Τῆς θείας σαρκ. ἔτη χιη΄.	Ῥωμ. βασιλ. Ἡρακλείου ἔτη λα΄.	Περσ. βασιλ. Χοσρόου ἔτη λθ΄.		ΚΠ. ἐπίσκ. Σέργιος ἔτη κθ΄.	Ἱεροσ. ἐπίσκ. Ζαχαρίας ἔτη κβ΄.	Ἀλεξ. ἐπίσκ. Γεώργιος ἔτη ιδ΄.	
		ιζ	λθ΄		ιη΄	ιη΄	η΄	

Τούτῳ τῷ ἔτει ἀπὸ μηνὸς Σεπτεμβρίου εἰσβάλλων ἐν Περσίδι Ἡράκλειος σὺν τοῖς Τούρκοις ἀπροσδοκήτως διὰ τὸν χειμῶνα εἰς ἔκστασιν ἐνέβαλε τὸν Χοσρόην τοῦτο μαθόντα. οἱ δὲ Τοῦρκοι τὸν χειμῶνα ὁρῶντες, καὶ τὰς συνεχεῖς ἐπιδρομὰς τῶν Περσῶν, μὴ ὑποφέροντες συγκοπιᾶν τῷ βασιλεῖ, ἤρξαντο κατ' ὀλίγον ὑπορρέειν, καὶ πάντες ἀφέντες αὐτὸν, ὑπέστρεψαν. ὁ δὲ βασιλεὺς διελάλησε τῷ αὐτοῦ λαῷ, λέγων. Γνῶτε, ἀδελφοὶ, ὅτι οὐδεὶς συμμαχῆσαι θέλει, ἀλλ' ἢ μόνος ὁ Θεὸς, καὶ ἡ τοῦτον τεκοῦσα ἀσπόρως μη-

Edit. Paris. pag. 264.

pag. 265.

ῶρ, ἵνα δείξῃ τὴν ἑαυτοῦ δυναστείαν, καὶ καταπέμψῃ τὴν βοήθειαν αὐτοῦ. ὁ δὲ Χοσρόης ἐπιστρατεύσας τὰ στρατεύματα αὐτοῦ, προβάλλεται στρατηγὸν ἐν αὐτοῖς Ῥαζάτην ἄνδρα πολεμικώτατον καὶ ἀνδρεῖον· καὶ κατὰ Ἡρακλείου τοῦτον ἀπέστειλεν. ὁ δὲ βασιλεὺς τάς τε πόλεις Περσίδος ἐπυρπόλει, καὶ τὰς κώμας, καὶ τοὺς καταλαμβανομένους Πέρσας ἀνήλισκε ῥομφαίᾳ. τῇ δὲ ἐννάτῃ τοῦ Ὀκτωβρίου μηνὸς τῆς ιε. ἰνδικτιῶνος κατέλαβεν εἰς τὴν χώραν Χαμαηθᾶ· καὶ διανέπαυσε τὸν λαὸν ἑβδομάδα μίαν. ὁ δὲ Ῥαζάτης ἐλθὼν εἰς τὸ Γαιζάκων, ἐγενήθη ὀπίσω αὐτοῦ, καὶ ἠκολούθει τῶν Ῥωμαίων δαπανώντων ἔμπροσθεν τὰς τροφάς. αὐτὸς δὲ ὀπίσω ὡς κύων πεινῶν μόλις ἐκ τῶν ψιχίων αὐτοῦ ἐτρέφετο· καὶ ἐκ τοῦ μὴ εὑρίσκειν αὐτὸν δαπάνας πολλὰ τῶν ἀλόγων αὐτοῦ διεφθάρησαν. τῇ δὲ πρώτῃ τοῦ Δεκεμβρίου κατέλαβεν ὁ βασιλεὺς ποταμὸν μέγαν Ζαβᾶν λεγόμενον, καὶ τοῦτον περάσας ἠπλήκευσε πλησίον Νινευὶ τῆς πόλεως. κατέλαβε δὲ καὶ ὁ Ῥαζάτης εἰς τὸ πέραν ἐπακολουθῶν αὐτῷ, καὶ κατελθὼν ἀπὸ τριῶν μιλίων εὗρεν ἄλλο πέραμα, καὶ ἐπέρασεν. ὁ δὲ βασιλεὺς ἀποστείλας Βαάνην τὸν στρατηλάτην μετὰ ἐπιλέκτων στρατιωτῶν ὀλίγων, εὗρε βάνδον τῶν Περσῶν, καὶ φονεύσας αὐτοῦ τὸν Κόμητα, ἤνεγκεν αὐτοῦ τὴν κεφαλὴν, καὶ τὸ σπαθίον ὁλόχρυσον· καὶ πολλοὺς φονεύσας, ἤνεγκε ζῶντας κϛ´. ἐν οἷς ἦν καὶ ὁ σπαθάριος τοῦ Ῥαζάτου· ὅς τις ἀνήγγειλε τῷ βασιλεῖ, ὅτι πολεμῆσαι βούλεται αὐτὸν ὁ Ῥαζάτης, οὕτω κελευσθεὶς παρὰ Χοσρόου, καὶ τρισχιλίους ὡπλισμένους ἀπέστειλεν αὐτῷ. ἀλλ' ἀκμὴν οὐκ ἔφθασαν. ταῦτα δὲ μαθὼν ὁ βασιλεὺς προαπέλυσε τὸ τοῦλδον ἔμπροσθεν· καὶ αὐτὸς ἐπηκολούθει σκεπτόμενος εὑρεῖν τόπον ἐν ᾧ ὤφειλε πολεμῆσαι, πρὸ τοῦ ἑνωθῶσιν αὐτοῖς οἱ τρισχίλιοι. εὑρὼν δὲ πεδίον ἐπιδέξιον πρὸς πόλεμον· καὶ διαλαλήσας τῷ λαῷ παρετάξατο. (* ὁ δὲ Ῥαζάτης καταλαβὼν καὶ αὐτὸς παρετάξατο) τρισὶ φούλκοις, καὶ κατὰ τοῦ βασιλέως ἐχώρησε. τῇ δὲ δωδεκάτῃ τοῦ Δεκεμβρίου μηνὸς ἡμέρᾳ σαββάτῳ ἐκροτήθη ὁ πόλεμος· καὶ προπηδήσας πάντων ὁ βασιλεὺς ἄρχοντι τῶν Περσῶν συνήντησε, καὶ τῇ τοῦ Θεοῦ δυνάμει καὶ τῇ βοηθείᾳ τῆς Θεοτόκου τοῦτον κατέβαλε· καὶ οἱ σὺν αὐτῷ προπηδήσαντες ἐτράπησαν· καὶ ὁ βασιλεὺς αὖθις ἄλλῳ συναντήσας, καὶ τοῦτον κατέβαλε. προέβαλε δὲ αὐτῷ καὶ τρίτος, ὃς καὶ ἔδωκεν αὐτῷ μετὰ δόρατος εἰς τὸ χεῖλος, καὶ τοῦτον ἔπληξεν. ὁ δὲ βασιλεὺς καὶ τοῦτον ἀνεῖλε· καὶ τῶν σαλπίγγων ἠχησασῶν συνέβαλον ἀλλήλοις ἀμφότερα τὰ μέρη, καὶ μάχης κροτηθείσης σφοδρᾶς, ἐπληγώθη ὑπὸ τῶν πεζῶν ὁ βασιλέως ἵππος, λεγόμενος Φάλβας, ὁ καὶ Δόρκων, εἰς τὸν μηρὸν αὐτοῦ λαβὼν κονταρέαν· πολλὰς δὲ καὶ σπαθέας ἐν τῇ ὄψει αὐτοῦ ἔλαβεν· ἀλλὰ φορῶν καταφρακτικὰ, οὐκ ἐβλάπτετο, οὐδὲ αὐτοὶ ἐνήργουν. πίπτει οὖν ἐν τῷ πολέμῳ ὁ Ῥαζάτης, καὶ οἱ τρεῖς Τουρμάρχαι τῶν Περσῶν, καὶ οἱ ἄρχοντες σχεδὸν πάντες, καὶ τὸ πλεῖστον τοῦ στρατοῦ αὐτῶν. ἐσφάγησαν δὲ καὶ Ῥωμαῖοι πεντήκοντα, καὶ ἐπληγώθησαν ἱκανοὶ, ἀλλ' οὐκ ἀπέθανον, εἰ μὴ δέκα· ἐκροτήθη δὲ ὁ πόλεμος ἀπὸ πρωῒ ἕως ὥρας ἑνδεκάτης· ἐπῆραν δὲ οἱ Ῥωμαῖοι τῶν Περσῶν βάνδα κη. χωρὶς τῶν κλασθέντων, καὶ

Deerant in Reg. & ex Barb. supplentur.

A cepit mater, ut potentiam omnium suam exerat, & auxilium nobis suum manifesto mittat. Porro Chosroes compositis & eductis suis copiis, Ducem eis præfecit Rhazatem virum bellicosissimum & strenuum: & in Heraclium misit. Imperator vero Persidis urbes & vicos ferro & igne devastabat, Persasque in potestatem venientes cunctos romphæa delebat. Nono vero mensis Octobris die, indictione decimaquinta, in Provinciam Chamaetham pervenit, & dierum septem quiete exercitum refecit. Rhazates autem Ganzachum profectus, pone sequebatur Imperatorem, & Romanorum commeatum omnem per vias occupantium & consumentium vestigia a tergo legebat. Ipse vero canis more pedissequus ac famelicus B micis vix decidentibus annonam suffurabatur: equi etiam pabulis non inventis perierunt innumeri. Prima deinde Decembris die Imperator ad magnum fluvium, cui nomen Zabas pervenit, eoque trajecto juxta Ninivem civitatem castra applicuit. Circa fluvium pariter Romanos insequutus Rhazates appulit, & ad millia tria juxta fluvii cursum descendens, vadum invenit, & in ulteriorem ripam transiit. Tum vero Baanes militiæ Magister cum selectis militibus paucis Persarum cohortem suo vexillo insignem offendit: & ejus Comite occiso, Comitis ejusdem caput tulit, & ex auro solido ensem: multis præterea deletis, vivos viginti sex abduxit, inter quos Rhazatis Spathatius repertus, C qui etiam Imperatori renunciavit Rhazatem cum eo congredi velle, sic enim a Chosroe jussum affirmabat, & virorum tria millia ad eum missa, quæ nondum tamen advenissent. His cognitis, Imperator impedimenta præcedere jubet: ipse planitiem pugnæ conserendæ idoneam, priusquam ter mille viri nominati advenirent, & reliquis adjungerentur, mente sollicita investigans sequebatur. Campo ad pugnam apto reperto, exercitum ad allocutionem vocat, & ordines componit. Rhazates pariter cum eumdem locum tenuisset, in tres cuneos totum exercitum distribuit, & in Imperatorem præliaturus se confert. Mensis itaque Decembris die duodecimo, qui Sabbati fuit, certamen commissum: in quo Imperator ante omD nes prosiliens, Persarum ductorem offendit, eumque Dei virtute & Dei Genitricis auxilio prostravit: unde qui prius etiam cum eo pugnam inierant in fugam versi sunt. Imperator iterum in alium sibi occurrentem insiliit: & hunc pariter expugnat, & morti tradit. Tertius tandem eum aggreditur, qui hasta eum ad labrum ferit, & vulnus infligit: Eum tamen Imperator ut & reliquos edomitum necat. Tubis itaque concinentibus pars utraque manus conseruit, & cruento certamine excitato, Imperatoris equus, cui Phalbas, vel Dorcon cognomentum, accepto hastæ icto in femore a peditibus vulneratus est: tot tamen corpore ferro circumvallatus, inflictis etiam ad caput crebrioribus ensium plagis, nullatenus læsus est, E nec plagæ armis vel equo damnum intulerunt. Cadit igitur bello Rhazates, & una Persicorum agminum Ductores tres, & præcipua capita exercitus, qui ipse totus pene deletus est. Romanorum ad quinquaginta deleti, plurimi vulnerati, quorum nonnisi decem objerunt. Prælium ab aurora ad horam usque undecimam commissum. Persarum vexilla viginti octo,

Edit. Paris. pag. 266.

præter ea quæ feruntur fracta & contrita, Romani sustulerunt, & interfectis subinde spoliatis, loricas, cassides, & armorum genus quodvis sibi sumpserunt; uterque vero exercitus duobus tantum sagittarum jactibus a se invicem substitit: prostrata namque non in fugam acta Persarum pars fuit. Romanus porro exercitus alimenta, potumque equis illa nocte subministravit: Persæ autem equites ad ejusdem noctis horam septimam penes interfectorum cadavera stantes; octava tandem ad castra & impedimenta redierunt: quibus secum sublatis, secessu dilapsi, ad asperi salebrosique montis radices trementes ac perterriti applicuerunt. Enses subinde plurimos, zonas auro distinctas, lapides pretiosos, clypeum Rhazatis ex auro solido laminis centum & viginti obductum, thoracem quoque auro conflatum, & Scaramangium, & una caput extulerunt. Brachialia ejus & equilis sella auri purissimo metallo fabrefacta in victorum potestatem venit. Ad hæc Barsamoeses Iberorum, qui Persis Romanisque subsunt, Princeps, vivus captus. Ipso toto die nusquam substitit aut cessavit conflictus. Superiores quidem Romani evaserunt: a Deo tamen solo suppetiæ datæ, & victoria concessa. Porro Imperator animis militum rursus confirmatis, iter Chosroem versus direxit, ut metu ipsi incusso, Sarbarum e Byzantio Chalcedunensi suo mandato revocaret. Die vero Decembris primo supra vicesimum Rhazatem belli periculo elapsum, tribus hominum millibus a Chosroe se adjunxisse, & eum e vestigio sequi Imperator intellexit: quare Ninivem occupat, & prius magnum fluvium Zabam trajicit, quam Chosroes de ejus consiliis percipiat quicquam. Georgius emensis per noctem unicam passuum millibus quadraginta octo, quatuor minoris Zabæ pontes occupavit: repertosque per varia propugnacula Persas cunctos custodiæ militari mancipavit. Igitur Decembris die vigesimo tertio Imperator ad pontes adveniens aquam trajecit, & ad Jesdem domos castra fixit, exercitui a labore dedit inducias, equos itinere defatigatos reficere permisit, & in eodem demum loco Christi natalitiorum celebravit solemnitatem. Chosroes minoris Zabæ pontes a Romanis occupatos ubi intellexit, ad Persicum exercitum, qui Rhazate Duce merebatur, ut quam citissimo cursu contenderent, & Imperatoris trans fluvium itinere præpedito cum eo congrederentur, scribit. Illi festino pede lati minorem Zabam trajecerunt, & per alia deinceps loca Imperatorem prævertentes, eum in metationibus habendis præcedebant. Imperator ad aliud Chosrois Palatium, cui nomen Rusa, digressus, illud funditus evertit. Ne vero ad Tornæ fluminis pontem eum invaderent hostes, verebatur: Verum eo præsente conspecto, relicto mox ponte, in fugam se dedere. Imperator nullo obsistente flumen transgressus, aliud Palatium, Beglali dicebant, reperit. In eo Circum extruxit, & ad solum dejecit. Armeniorum autem Persis cohabitantium nonnulli Imperatorem adeuntes, Chosroem cum elephantis & proprio exercitu ad passuum quinque millia, ubi Palatium Dastagerd vocatum, vulgus locum dicit Barasroth, castra metatum denunciaverunt: Illuc ejus copiæ confluunt omnes, ut te quantocyus opprimant. Illic quippe fluvius profundus & transitu difficilis stri-

Edit. Paris. pag. 267.

σκυλεύσαντες τοὺς νεκροὺς, ἔλαβον τὰ λωρίκια, καὶ τὰς κασσίδας αὐτῶν, καὶ πάντα τὰ ἅρματα· καὶ ἔμειναν ἀπ᾽ ἀλλήλων ἀπὸ δύο σαγιττοβολῶν. τροπὴ γὰρ οὐ γέγονεν. οἱ δὲ τῶν Ῥωμαίων λαοὶ τῇ νυκτὶ ἐπότισαν καὶ ἐπάγισαν τὰ ἄλογα αὐτῶν. οἱ δὲ καβαλλάριοι Πέρσαι ἵσταντο ἕως ἑβδόμης ὥρας νυκτὸς ἐπάνω τῶν σκηνωμάτων τῶν τεθνεώτων Περσῶν· καὶ τῇ ὀγδόῃ ὥρᾳ τῆς νυκτὸς ὑπέστρεψαν εἰς τὸ φοσσάτον αὐτῶν, καὶ τοῦτο λαβόντες ἀπῆλθον, καὶ ἀπλήκευσαν εἰς πρόποδα ὄρους τραχεινοῦ πεφοβημένοι. πολλὰ δὲ σπαθία ὁλόχρυσα, καὶ ζώνας διαχρύσους, καὶ μαργαρίτας, καὶ τὸ σκουτάριον τοῦ Ῥαζάτου ὁλόχρυσον ἔλαβον ἔχον πέταλα ρκ´. καὶ τὸ λωρίκιον αὐτοῦ ὁλόχρυσον ἔλαβον, καὶ τὸ σκαραμάγγιν αὐτοῦ ἤνεγκαν σὺν τῇ κεφαλῇ αὐτοῦ· καὶ τὰ βραχιόλια αὐτοῦ, καὶ ἡ σέλλα αὐτοῦ ὁλόχρυσος· ἐκρατήθη δὲ ζῶν Βαρσαμούσης ὁ ἄρχων τῶν Ἰβήρων τῶν ὑπὸ Περσῶν καὶ Ῥωμαίων γεγονότων. οὐχ ὅτι ἐν ὅλῃ τῇ ἡμέρᾳ ἔσχε στάμα ὁ πόλεμος. ἐνίκησαν δὲ οἱ Ῥωμαῖοι· ἀλλὰ τοῦτο γέγονε μόνῃ τῇ τοῦ Θεοῦ βοηθείᾳ. ὁ δὲ βασιλεὺς θαρσοποιήσας τὸν στρατὸν, κατὰ Χοσρόου ἤλαυνεν, ὅπως τοῦτον φοβήσῃ, καὶ ἀποστείλας προσκαλέσηται τὸν Σάρβαρον ἐκ τοῦ Βυζαντίου τῆς Χαλκηδόνος. τῇ δὲ εἰκοστῇ πρώτῃ Δεκεμβρίου μηνὸς ἔμαθεν ὁ βασιλεὺς, ὅτι ὁ λαὸς τοῦ Ῥαζάτου ἐκ τοῦ πολέμου ἐξηλήσας ἑνώθη τοῖς ὑπὸ Χοσρόου σταλεῖσι τρισχιλίοις, καὶ ἀκολουθεῖ ὀπίσω αὐτοῦ. καὶ καταλαβὼν τὴν Νινευὶ, καὶ περάσας ὁ βασιλεὺς τὸν μέγαν ποταμὸν Ζαβᾶν πρὸ τοῦ γνῶναι τὸν Χοσρόην. ἐλάσας δὲ Γεώργιος μίλια μη´. ἐκράτησε τὰς τέσσαρας γεφύρας τοῦ μικροῦ Ζαβᾶ· καὶ εὑρὼν ἐν τοῖς καστελλίοις Πέρσας, τούτους ἐζώγρησε. τῇ δὲ κγ´. τοῦ Δεκεμβρίου μηνὸς φθάσας ὁ βασιλεὺς εἰς τὰς γεφύρας ἐπέρασε, καὶ ἀπλήκευσεν εἰς τοὺς οἴκους τοῦ Ἰεσδέμ· καὶ ἀνέπαυσε τόν τε στρατὸν καὶ τὰ ἄλογα, καὶ ἐποίησε τὴν ἑορτὴν τῆς Χριστοῦ γεννήσεως ἐν ἐκείνῳ τῷ τόπῳ. γνοὺς δὲ ὁ Χοσρόης ὅτι ἐκράτησαν οἱ Ῥωμαῖοι τὰς γεφύρας τοῦ μικροῦ Ζαβᾶ, ἀπέστειλε πρὸς τὸν Περσικὸν λαὸν τὸν μετὰ τοῦ Ῥαζάτου, ἵνα πολυσπουδάσωσι καὶ προλάβωσι τὸν βασιλέα, καὶ ἀπέλθωσι πρὸς αὐτόν. ἀκούσαντες δὲ αὐτοὶ, καὶ περάσαντες τὸν μικρὸν Ζαβᾶν ἐν ἄλλοις τόποις προεποίησαν τὸν βασιλέα, καὶ ἔμπροσθεν ἐπορεύοντο. καταλαβὼν δὲ ὁ βασιλεὺς ἕτερον παλάτιον τοῦ Χοσρόου, τὸ ἐπιλεγόμενον Ῥουσᾶ, τοῦτο κατέστρεψεν. ὑφωρᾶτο δὲ ὅτι ἐν τῇ γεφύρᾳ τοῦ Τόρνα ποταμοῦ οἱ ἐχθροὶ πολεμεῖν αὐτὸν μέλλουσιν. ἀλλὰ τοῦτο ἰδόντες, καταλείποντες τὴν γέφυραν ἔφυγον. ὁ δὲ βασιλεὺς περάσας ἀκωλύτως κατέλαβεν εἰς ἕτερον παλάτιον, ἐπιλεγόμενον Βεγλαλί. ἐν ταύτῃ καὶ ἱπποδρομίαν ἔκτισε, καὶ τοῦτο κατέστρεψε. τινὲς δὲ τῶν Ἀρμενίων συνόντων τοῖς Πέρσαις ἦλθον πρὸς τὸν βασιλέα· λέγοντες, ὅτι Χοσρόης μετὰ τῶν ἐλεφάντων καὶ τοῦ ἰδίου στρατοῦ ἀπὸ πέντε μιλίων, ἔνθεν τοῦ παλατίου τοῦ ἐπιλεγομένου Δασταγέρδ, εἰς τόπον ἐπιλεγόμενον Βαρασρώθ, ἀπληκευμένος ἐστί. καὶ ἐδήλωσε τὸν στρατὸν ἐκεῖ συναχθῆναι, ἵνα πολεμήσωσί σε. ἔστι γὰρ ἐκεῖ καὶ ποταμὸς δύσβατος, στενὴν γέφυραν ἔχων

καὶ σωώματα πολλὰ ἀπὸ οἰκημάτων, καὶ ῥύακες σαπρόι. ὁ δὲ βασιλεὺς βουλευσάμενος μετὰ τῶν ἀρχόντων ἐκάθισεν ἐν τῷ παλατίῳ Βεκλάλ. εὗρε γὰρ ἐν αὐτῷ ἐν ἑνὶ περιβόλῳ στρουθίωνας σιτευτούς, καὶ ἐν ἄλλῳ περὶ πεντακοσίας δορκάδας σιτευτὰς, καὶ ἐν ἄλλῳ συάγρους ἑκατὸν σιτευτούς· καὶ πάντα ἐδωρήσατο τῷ λαῷ. καὶ τὴν πρώτην τοῦ Ἰανουαρίου ἐποίησαν ἐκεῖσε. εὗρον γὰρ καὶ πρόβατα καὶ χοίρους καὶ βόας, ὧν οὐκ ἦν ἀριθμός. καὶ ἀνεπαύσατο πᾶς ὁ λαὸς ἀπολαύοντες καὶ δοξάζοντες τὸν Θεόν. πιάσαντες δὲ τοὺς νέμοντας τούτους, ἔγνωσαν παρ' αὐτῶν ἀκριβῶς, ὡς Χοσρόης ἀπὸ κγ'. τοῦ Δεκεμβρίου μηνὸς μαθὼν, ὅτι ὁ βασιλεὺς ἐπέρασε τὴν γέφυραν τοῦ Τορνᾶ, παραχρῆμα ἐκίνησεν ἀπὸ τοῦ παλατίου τοῦ ἐν Δασταγὲρδ. αὐτὸς δὲ δι' ἄλλης ὁδοῦ ἐπῆλθεν εἰς ἄλλο παλάτιον τὸ ἐπιλεγόμενον Βεβδάρχ. καὶ τοῦτο καταστρέψαντες, καὶ πυρὶ παραδόντες ηὐχαρίστουν τῷ Θεῷ τῷ διὰ πρεσβειῶν τῆς Θεοτόκου τοιαῦτα θαυμάσια ποιήσαντι. τίς γὰρ ἤλπιζε Χοσρόην φυγεῖν ἀπὸ προσώπου βασιλέως τῶν Ῥωμαίων ἐκ τῶν ἐν Δασταγὲρδ παλατίων καὶ εἰς Κτησιφῶντα ἀπελθεῖν, ὅπου ἀπὸ εἴκοσι τεσσάρων ἐτῶν οὐκ ἠνέσχετο ἰδεῖν Κτησιφῶντα, ἀλλὰ καὶ ἐν Δασταγὲρδ ἦν τὰ βασίλεια αὐτοῦ; εὑρόντες δὲ οἱ λαοὶ τῶν Ῥωμαίων ἐν τῷ παλατίῳ Δασταγὲρδ τριακόσια βάνδα Ῥωμαίων, ἅπερ ἐν διαφόροις χρόνοις ἔλαβον. εὗρον δὲ καὶ εἴδη ἀπομείναντα ἀλόην πολλὴν, καὶ ξύλα μεγάλης ἀλόης ἀπὸ δέκα καὶ ὀκτὼ λιτρῶν, καὶ μέταξαν πολλήν. πίπερ, καὶ χαρβάσια καμίσια πολλὰ ὑπὲρ τὸ μέτρον· ζάχαρ τε καὶ γιγγίβερ, καὶ ἄλλα εἴδη πολλά. τινὲς δὲ καὶ ἄσημον, καὶ ὁλοσήρικα ἱμάτια, νακόπηκτά τε καὶ * τάπια ἀπὸ βελόνης, καὶ πλῆθος πολὺ, καὶ καλὰ πάνυ, ἅπερ διὰ τὸ βάρος πάντα κατέκαυσαν. καὶ τὰς παπυλεῶνας τοῦ Χοσρόου, καὶ τὰς ἐμβόλους, ὡς ἔστησεν ὅτε ἐν κάμπῳ ἐπλήκευσε, πάντα ἔκαυσαν, καὶ στήλας αὐτοῦ πολλάς· εὗρε δὲ ἐν τούτοις τοῖς παλατίοις στρουθίωνας, καὶ δορκάδας, καὶ συάγρους, καὶ ταῶνας, καὶ φασιανοὺς πλῆθος ἄπειρον· καὶ εἰς τὸ κυνήγιον αὐτοῦ λέοντας, καὶ τίγρεις παμμεγέθεις ζῶντας. προσέφυγον δὲ τῷ βασιλεῖ πολλοὶ ἐκ τῶν αἰχμαλώτων Ἐδεσσηνοὶ, καὶ Ἀλεξανδρεῖς, καὶ ἐξ ἄλλων ἐθνῶν πλῆθος πολύ. ἐποίησε δὲ ὁ βασιλεὺς καὶ τὴν ἑορτὴν τῶν φώτων ἐν Δασταγὲρδ, εὐφραίνων, καὶ ἀνακτώμενος τόν τε λαὸν, καὶ τὰ ἄλογα, καὶ καταστρέφων τὰ τοῦ Χοσρόου παλάτια κτίσματα ὑπέρτιμα ὄντα, καὶ θαυμαστὰ, καὶ καταπληκτικὰ, ἅπερ ἕως ἐδάφους καθεῖλεν· ἵνα μάθῃ Χοσρόης οἷον πόνον εἶχον Ῥωμαῖοι τῶν πόλεων ἐρημωμένων παρ' αὐτοῦ καὶ πυρπολημένων. ἐκρατήθησαν δὲ καὶ ἐκ τῶν Διαιταρίων τοῦ παλατίου πολλοί. ἐρωτώμενοι δὲ καὶ αὐτοὶ πότε ἀνεχώρησεν ἐκ τοῦ Δασταγὲρδ; ἔφασαν· ὅτι πρὸ ἐννέα ἡμερῶν τοῦ καταλαβεῖν ὑμᾶς, ἀκούσας τὴν παρουσίαν ὑμῶν, κρυπτῶς ἐτρύπησε τὸ τεῖχος τῆς πόλεως πλησίον τοῦ παλατίου· καὶ οὕτω * παρ' ἀκρατητὰ διὰ τῶν κήπων ἐξῆλθεν αὐτὸς καὶ ἡ γυνὴ, καὶ τὰ τέκνα αὐτοῦ διὰ τὸ μὴ γενέσθαι θόρυβον ἐν τῇ πόλει. καὶ οὔτε τὰ στρατεύματα αὐτὸν ἔγνωσαν, οὔτε οἱ ἄρχοντες ἕως ἀπῆλθε πέντε μίλια· καὶ τότε ἐδήλωσεν ἵνα ἐπακολουθήσωσιν αὐτῷ ἐπὶ Κτησι-

* τάπητα

*

A cto ponte superandus, ædificatorum aggerum ruinis angustum per loca habens alveum, & inæquales & incertos plerumque rivos ducens præterfluit. Imperator consultis exercitus optimatibus io Palatin Beclal consedit. In uno siquidem ejus septo struthiones saginatas, & altiles pariter, capras sylvestres, ad quingentas in alio, in tertio demum apros etiam altiles centum reperit: quæ cuncta in exercitum sparsit. Primam itaque Januarii diem ibi castra morata sunt: oves etenim, porcos & boves non facile numerandos invenerunt, quibus fruens exercitus habitis Deo gratiis istic quievit. Captis autem gregum istorum pastoribus, Chosroem jam a mensis Decembris die vigesimo tertio, ubi Imperatorem Tornæ amnis pontem præ- B tergressum agnovit, a Palatio ad Dastagerd sito movisse, didicerunt. Ipse Imperator ad Palatium Bebdarch nomine pervenit: eoque everso & igne devastato, Deo per Dei genitricis preces talia miracula operanti gratias milites referebant. Quis namque Chosroem ab Imperatoris conspectu fugiturum, & relictis Palatiis ad Dastagerd extructis, Ctesiphontem se recepturum sperasset, qui a quatuor & viginti annis Ctesiphontem videre dedignatus in Dastagerd Regiis moram trahere consueverat? Porro in Palatio Dastagerd trecenta signa sive vexilla variis bellis sibi erepta Romanus exercitus offendit. Reperit etiam divitiarum & aromatum species insolitas eo loci derelictas, pluri- C mam nimirum aloen, magnæ aloes ligna decem & octo librarum pondo, & immensam sericorum filorum copiam, piper, carbasinas camisias supra numerum omnem, zaccharum, & zingiber, & aromatum plures species, argentum quoque infectum, holosericas vestes, lectisternia, & acu pictos tapetes, & aliorum hujusmodi congeriem immensam eamque præstantissimam: quam propter pondus, cum secum non valerent distrahere, flammis cunctam absumpserunt. Ad Chosrois tentoria & cortinas porticuum in morem, quas, castris per agros fixis, erigebat, statuasque ejus plurimas cremaverunt. Invenit in Palatiis istis struthiones, dorcadas, apros, pavones, & phasianos ad numerum plane non explicandum: & ve- D natus exercendi gratia leones, & tigrides insolitæ magnitudinis viros. Confugerunt etiam ad Imperatorem multi captivi Edesseni, Alexandrini, aliarumque nationum ingens multitudo. Porro Heraclius festo Luminum in Dastagerd celebrato, exercitum omnem recreavit, & militum equos refecit, diruitque Chosrois Palatia, ædificia sane sumptuosa, admiratione digna, & stupendæ prorsus structuræ, cuncta solo tenus adæquavit: ut quam desolatis, & ferro flammisque devastatis Romanorum urbibus tristitiam incolis ingessisset, Chosroes conjectaretur. Sed & plerique ejus Diætarii capti, qui & ipsi quandonam Dastagerd Chosroes secessisset, interrogati: Ante novem dies, responderunt, percepta prius itineris vestri fama, quam E ipsi appelleretis, civitatis muro, haud ita Regia seposito, latenter persorato, in hunc modum per cratem hortos respicientem, una cum uxore & liberis, ne tumultus in civitate oriretur, se subduxit. Sed neque illius exercitus, donec passuum millibus quinque abfuit, neque optimates ipsi, ejus adverterunt exitum: Tunc enim, ut se Ctesiphontem profectum se-

Edit. Paris. pag. 268.

ἐναυθλεῦσαι τῷ στρατῷ τοῦ Ραζατοῦ, καὶ εἶναι εἰς τὸν Ἀρβᾶ ποταμὸν ἀπὸ ιβ. μιλίων Κτησιφῶντος· καὶ ἐκέλευσεν αὐτοὺς, ἵνα ὅταν περάσῃ τὸν ποταμὸν, κόψωσι τὴν γέφυραν, καὶ τὴν ποντογέφυραν. ὁ δὲ βασιλεὺς τῇ ἑβδόμῃ τοῦ Ἰανουαρίου μηνὸς κινήσας ἐκ τοῦ Δασταγὲρδ, καὶ περιπατήσας τρεῖς ἡμέρας, ἀπλήκευσεν ἀπὸ ιβ. μιλίων τοῦ Ἀρβᾶ ποταμοῦ, ὅπου ἦν τὸ φοσσάτον τῶν Περσῶν, ἐν οἷς εἶχε καὶ διακοσίους ἐλέφαντας. καὶ ἀπέστειλεν ὁ βασιλεὺς Γεώργιον τὸν Τουρμάρχην τῶν Ἀρμενιακῶν, ἵνα ἀπέλθῃ μέχρι τοῦ ποταμοῦ, καὶ καταμάθῃ, εἰ ἔχει πέραμα ὁ Ἀρβᾶς. καὶ εὑρὼν ὅτι ἔκοψαν τὰς γεφύρας, καὶ οὐκ ἔχει πέραμα ὁ Ἀρβᾶς, ὑπέστρεψε πρὸς τὸν βασιλέα. καὶ ἀποκινήσας ὁ βασιλεὺς, ἦλθεν εἰς τὸν Σιάζουρον. καὶ περιήρχετο τὰς χώρας καὶ τὰς πόλεις ὅλον τὸν Φεβρουάριον μῆνα. τῷ δὲ Μαρτίῳ μηνὶ ἐλθὼν εἰς χωρίον λεγόμενον Βαρζὰν, ἐποίησεν ἑπτὰ ἡμέρας. καὶ ἀπέστειλε Μεζέζιον τὸν στρατηγὸν εἰς κοῦρσον· καὶ προσηρρύη αὐτῷ Γουνδαβούνας, ὅς τις χιλίαρχος ἦν τῆς στρατείας Σαρβάρου μετ' ἄλλων πέντε, τριῶν μὲν Κομήτων, δύο δὲ ἀξιωματικῶν· καὶ ἤγαγεν αὐτοὺς πρὸς τὸν βασιλέα. ὅς τις Γουνδαβούνας ἀναγκαῖα πράγματα τῷ βασιλεῖ ἀπήγγειλε, λέγων· ὅτι ἔφυγεν ὁ Χοσρόης ἀπὸ Δασταγὲρδ, καὶ ἀπῆλθεν ἐν Κτησιφῶντι, καὶ Σελευκείᾳ, ἠσθένησε δυσεντερίᾳ, καὶ ἠθέλησε τὸν ἴδιον Μερδασὰν τὸν τεχθέντα ἐκ τῆς Σιρὲμ στέψαι· καὶ ὅτι ἀντεπέρασε τὸν ποταμὸν πάλιν, καὶ ἐπήγαγε μεθ' ἑαυτοῦ τὸν Μερδασὰν, καὶ τὴν Σιρὲμ, καὶ τὸν ἄλλον αὐτῆς Σαλιαρόν. τὸν δὲ πρωτότοκον αὐτοῦ υἱὸν Σιρόην, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ τὰς γυναῖκας αὐτοῦ εἴασας πέραν τοῦ ποταμοῦ. καὶ γνοὺς Σιρόης, ὅτι τὸν Μερδασὰν θέλει στέψαι, ἐταράχθη· καὶ ἔπεμψε τὸν συγγάλακτον αὐτοῦ πρὸς Γουνδαβουσὰν, δηλώσας αὐτῷ, ὅτι· ἐλθὲ πέραν τοῦ ποταμοῦ, ἵνα συντύχω σοι. ὁ δὲ Γουνδαβουσὰν ἐφοβήθη, διὰ τὸν Χοσρόην, περάσαι. καὶ δηλοῖ αὐτὸν, ὅτι· γράψον μοι διὰ τοῦ συγγαλάκτου σου, εἴ τι θέλεις. καὶ ἔγραψεν αὐτῷ Σιρόης, ὅτι· γινώσκεις ἡ πολιτεία τῶν Περσῶν ἀπώλετο ἐκ τοῦ κακοῦ ἀνθρώπου Χοσρόου, καὶ θέλει στέψαι τὸν Μερδασὰν, καὶ ἐμὲ τὸν πρωτότοκον αὐτοῦ υἱὸν περιεφρόνησε. καὶ ἐὰν λαλάσῃς τὸν στρατὸν, ἵνα δέξωνταί με, καὶ τὰς ῥόγας αὐτῶν ἐπαυξῆσαι ἔχω, καὶ εἰρήνην ποιῶ μετὰ τοῦ βασιλέως τῶν Ῥωμαίων· καὶ καλῶς ἔχομεν ζῆσαι. καὶ σπούδασον μετὰ τοῦ λαοῦ σου, ἵνα ἐγὼ βασιλεύσω· καὶ πάντας ὑμᾶς ἀναβιβάσαι ἔχω, καὶ συγκροτήσω, καὶ κατεξαίρετόν σε. καὶ ὅτι ἐδήλωσα αὐτῷ διὰ τοῦ συγγαλάκτου αὐτοῦ, ὅτι εἴ τι δυνάμαι λαλῆσαι ἔχω τὸν στρατὸν, καὶ μοχθῆσαι. καὶ ὅτι ἐλάλησα εἴκοσι δύο Κόμητας, καὶ ἐποίησα αὐτοὺς τῆς γνώμης μου, καὶ ἄλλους καὶ στρατιώτας πολλούς. καὶ ταῦτα δηλώσας τῷ Σιρόῃ, ἐδήλωσέ μοι· ἵνα τῇ κγʹ. τοῦ Μαρτίου μηνὸς λάβω τοξάτας νεωτέρους, καὶ εἰς τὴν ποντογέφυραν τοῦ Τίγριδος ποταμοῦ ὑπαντήσω αὐτῷ, καὶ λάβωμεν αὐτὸν εἰς τὸν στρατὸν, καὶ κινήσωμεν κατὰ Χοσρόου. καὶ ὅτι μετὰ Σιρόου εἰσὶν καὶ οἱ δύο υἱοὶ τοῦ Σαρβαραζᾶ, καὶ ὁ υἱὸς τοῦ Ἐσδὲμ, καὶ ἄλλα πολλὰ ἀρχόντων τέκνα, καὶ ὁ υἱὸς τοῦ Ἀρὰμ, πάντες ἐπίλεκτοι· καὶ εἰ μὲν δυνηθῶσιν ἀνελεῖν τὸν Χοσρόην, καὶ καλῶς· εἰ ἀστοχήσωσι, πάντες σὺν Σιρόῃ προσφεύγονται τῷ βασιλεῖ· καὶ ἀπέστειλέ με πρὸς

Ctesiphonte dissitum præfigit, simulque jubet, ut flumine ab eis trajecto, pontem e lapide vel ligno quemlibet solvant & disrumpant. Imperator autem mensis Januarii die septimo e Dastagerd gressu moto, & trium dierum itinere confecto, ad duodecimum ab amne Arba milliarium, quo loci Persarum confluerat exercitus, in quo elephanti ducenti, castra applicuit. Inde Armenicorum agminum Ductorem Georgium, qui fluvium Arbam experiatur, & num vadi commoditatem offerat, exploret, secreto summittit. Is ubi pontes intercisos & ruptos, nullumque in Arba flumine vadum reperit, ad Imperatorem revertitur. Motis inde castris Siazurum Imperator divertit, provincias & urbes toto mense Februario circumire contentus. Mense vero Martio ad oppidum, cognomento Barzam, deflectens, dierum septem moram in eo figit. Mox Mezezium Ducem ad prædam e vicinis agris agens mittit. Ibi Gundabunam qui in Sarbari exercitu Tribuni munus obtinuerat, cum viæ sociis quinque, Comitibus quidem tribus, aliisque præcipua dignitate insignitis duobus offendit, quos omnes ad Imperatorem duxit. Is Gundabunas res omnino necessarias ad Imperatorem retulit: E Dastagerd, inquit, Chosroes fugitivus erupit, & Ctesiphontem, mox inde Seleuciam petiit. Æger viscerum morbo filium Merdasam e Sirem uxore susceptum regia corona redimire meditatus, fluvium retro trajecit, & Merdasam filium, Sirem uxorem, Saliarumque alium ea ea natum, primogenito Siroe, & ejus fratribus, nec non aliis conjugibus trans flumen relictis, secum tulit. Porro Siroes, ubi de fratre lo regem coronando patris consilium comperit, animo commotus, collactaneum suum ad Gundabusam misit, scripsitque in hanc sententiam. Veni trans fluvium: & te alloquar. Gundabusas Chosrois metu transire detrectavit. Solum significat. Scribe per collactaneum tuum, si quid a me exposcis. Rescripsit Siroes. Persarum Remp. nefarii istius hominis Chosrois opera periisse novisti; nunc Merdasam regni corona insignire, me primogenitum omnino contemptui habendum velle, certo scias. Exercitum alloquutus, regem me suscipiat, si volueris, efficies. Ego, si regnum adipiscar, militum stipendia confestim augebo, & cum Romanorum Imperatore mihi pacis fœdus erit: & prospere cuncta succedent. Ut igitur regnum nanciscar, exercitus opera effice: & ut vos, teque velut inter reliquos præcipuum honoribus & opibus augeam, & penes me retineam, nusquam deero. Hæc ille. Ego vero collactanei ejusdem voce usus, retuli. Quod potestas suggerit, ut exercitum in colloquio sollicitem, & tui gratia laborem, polliceor. Jam Comites duos ac viginti alloquutus, ac plures alios milites in meam traxi sententiam. His a me Siroi nunciatis, in adversum ille rescribit. Ut mensis Martii die tertio supra vicesimum, eductis mecum militarium ordinum junioribus, ad Tigridis fluminis ligneum pontem occurram, ut ita mecum in exercitum eum assumam, & in Chosroem moveamus, edixit. Sunt, Imperator, cum Siroe duo Sarbarazæ filii, adest Esdim patre natus, & numerosa multorum nobilium proles, nec non & Aram filius, cuncti armis & sanguine selecti. Et quidem si Chosroem e medio tollere valuerint, prospere & feliciter: Sin a pro-

posito aberrarint, cuncti cum Siroe ipso in acies tuas se recipient, Imperator. In hunc finem Siroes misit me ad te, Domine. Pudet enim illum coram Romanorum Imperatore, qui quondam Chosroi salutis fuit auctor, apparere: impræsentiarum enim ab eo non nisi mala retulit; adeo ut propter fœdum ingrati hominis facinus, neque ego ipse, qui fidem ab Imperatore reportem, onerear. Imperator autem Heraclius Legatum eumdem ad Siroem remittens, custodias reseraret, & vinctos in eis Romanos liberaret, instrueret armis, & cum eis moveret adversus Chosroem, litteris significavit. Imperatoris placito Siroes paret, & captivis custodia expeditis, in Chosroem patrem parricidam arma movet. Chosroes fugere molitus, nec fugæ compos, deprehenditur. Illum brachiis retro actis pedes & collum gravibus catenis onustum, compedibusque toto corpore circumligatum, in Tenebrarum ædem, quam ipse juvenis construxerat, & reponendis in ea divitiis firmiter muniverat, includunt: ibique stricto pane & aqua parce effusa sustentatum fame misere perire parant. Fuit enim istud Sirois in eum pronunciatum. Aurum, quod frustra collegit, propter quod etiam plurimos fame necavit, & orbem ipsum effecit desertum, manducet. Satrapas insuper eum injuriis respersuros & sputis conspurcaturos misit. Adductum etiam ob ejus oculos Merdasam ejus filium, quem nuper regem coronare consiliabatur, interfecit: & reliquos omnes ejus liberos sub ejus conspectum e medio sustulit: omnem denique ejus inimicum, qui modo injuriis, verberibus, & sputis eum lacesseret, ad eum destinarit. His per dies quinque in hunc modum perpetratis, jussit Siroes sagittis confodi: atque ita sensim per lenta & dolorosa tormenta nefandam animam exhalavit. Tum vero Siroes datis ad Heraclium litteris, execrabilis Chosrois necem anunciat: paceque ære & ferro diuturniore cum eo composita, detentos custodiis Christianos, & per universam Persiam captivos, cum Patriarcha Zacharia, & venerandis ac vivificis lignis Hierosolymis, cum olim a Sarbaraza caperetur, sublatis, restituit.

Edit. Paris. pag. 272.

Arabum Princeps Moamed annis novem.

Persarum rex Siroes anno uno regnat.

6119.	619.	18	Persarum rex Siroes anno uno. 15		19	19	9	

Hoc anno pacis fœdere Romanos inter ac Persas firmato, Imperator Theodorum proprium fratrem cum litteris & a rege Persarum Siroe viris delegatis misit, qui Persas Edessæ, in Palæstina, Hierosolymis, & in cæteris Romanorum civitatibus repertos cum pace in Persiam reducerent, & eos absque impedimento vel incommodo per Romanam ditionem pertransire fidam adhiberent operam. Imperator itaque continuos sex annos Persiam bello fatigans, septimo tandem pace parta (velut mystico quodam spectaculo in se se probato) cum ingenti gaudio CP. reversus est. Per sex etenim ex ordine dies cum creaturam omnem Deus absol-

A σὲ, δέσποτα· αἰδεῖται γὰρ τὸν βασιλέα τῶν Ρωμαίων, ὅτι Χοσρόην ἔσωσέ ποτε. νυνὶ δὲ μᾶλλον κακὰ παρ' αὐτοῦ πέπονθε, καὶ ὅτι διὰ τὴν ἐκείνου ἀγνωμοσύνην οὐδὲ ἐμοὶ ἔχει ὁ βασιλεὺς πιστεῦσαι. ὁ δὲ βασιλεὺς Ηράκλειος τοῦτον πάλιν πρὸς Σιρόην ἀποστείλας, ἐδήλωσεν ἀνοῖξαι τὰς φυλακὰς, καὶ τοὺς κατεχομένους ἐν αὐταῖς Ρωμαίους ἐκβάλοι, καὶ δοῦναι αὐτοῖς ὅπλα, καὶ οὕτω κινῆσαι κατὰ Χοσρόου. ὁ δὲ Σιρόης ὑπακούσας τῷ βασιλεῖ, καὶ ἐκβαλὼν τοὺς κατακλείστους, ἐπῆλθε τῷ πατροκτόνῳ πατρὶ Χοσρόῃ. αὐτὸς δὲ φυγὴν δοκιμάσας, καὶ μὴ ἰσχύσας, ἐκρατήθη. τοῦτον δὲ δεσμήσαντες σφοδρῶς σιδηροπέδαις B καὶ ὀπισθάγκωνα, τοῖς τε ποσὶ καὶ τῷ τραχήλῳ βάρη σίδηρα περιέθηκαν, καὶ εἰσάγουσιν αὐτὸν εἰς τὸν οἶκον τοῦ σκότους, ὃν αὐτὸς ὀχυρώσας ἐκ νέας κτίσας εἰς ἀπόθεσιν χρημάτων, καὶ ἄρτον πενιχρὸν τούτῳ διδόντες καὶ ὕδωρ, ἐλιμαγχόνουν· ἔφη γὰρ ὁ Σιρόης· ὅτι τὸν χρυσὸν φάγῃ, ὃν συνήγαγε μάτην, δι' ὃν πολλοὺς ἐλιμαγχόνησε, καὶ τὸν κόσμον ἠρήμωσεν. ἀπέστειλε δὲ πρὸς αὐτὸν τοὺς σατράπας ὑβρίζειν καὶ ἐμπτύειν αὐτόν. καὶ ἀγαγὼν τὸν Μερδασὰν τὸν υἱὸν αὐτοῦ, ὃν ἐβούλετο στέψαι, ἐνώπιον αὐτοῦ ἔσφαξε· καὶ πάντα τὰ λοιπὰ τέκνα αὐτοῦ ἐνώπιον αὐτοῦ ἀνεῖλε· καὶ πάντα ἐχθρὸν αὐτοῦ ὑβρίζειν, καὶ τύπτειν, καὶ ἐμπτύειν αὐτόν. ἐν πέντε δὲ ἡ- C μέραις τοῦτο ποιήσαντες ἐκέλευσεν ὁ Σιρόης τοῦτον τόξοις ἀνελεῖν, καὶ οὕτω κατὰ μικρὸν ἐν δεινοῖς παρέδωκε τὴν πονηρὰν αὐτοῦ ψυχήν. τότε ὁ Σιρόης γράφει πρὸς Ηράκλειον, διαγγελιζόμενος αὐτῷ τὴν τοῦ μιαροῦ Χοσρόου ἀναίρεσιν· καὶ εἰρήνην ἀσπαστὴν πρὸς αὐτὸν ποιησάμενος, πάντας τοὺς ἐν φρουραῖς Χριστιανοὺς, καὶ τοὺς ἐν Περσίδι πάσῃ αἰχμαλώτους παρέδωκεν αὐτῷ, σὺν τῷ Πατριάρχῃ Ζαχαρίᾳ, σὺν τοῖς τιμίοις καὶ ζωοποιοῖς ξύλοις τοῖς ἐξ Ιερουσαλὴμ ληφθεῖσι ὑπὸ Σαρβαραζᾶ, ὅτε τὴν Ιερουσαλὴμ παρέλαβεν.

Αράβων ἀρχηγὸς Μωαμὲδ ἔτη θ'.

Περσῶν βασιλεὺς Σιρόης ἔτος α'.

ϛριθ'.	χιθ'.	ιη'	α'		ιθ'	ιθ'	θ'	

Τούτῳ τῷ ἔτει εἰρήνης γενομένης μεταξὺ Περσῶν καὶ Ρωμαίων, ἀπέστειλεν ὁ βασιλεὺς Θεόδωρον τὸν ἑαυτοῦ ἀδελφὸν μετὰ γραμμάτων καὶ ἀνθρώπων Σιρόου τοῦ βασιλέως Περσῶν, ὅπως τοὺς ἐν Εδέσσῃ, καὶ Παλαιστίνῃ, E καὶ Ιεροσολύμοις, καὶ ταῖς λοιπαῖς πόλεσι Ρωμαίων Πέρσας μετὰ εἰρήνης ἀποστρέψωσιν ἐν Περσίδι, καὶ ἀβλαβῶς παρέλθωσι τὴν τῶν Ρωμαίων γῆν. ὁ δὲ βασιλεὺς ἐν ἓξ ἔτεσι καταπολεμήσας τὴν Περσίδα, ἐν ἑβδόμῳ εἰρηνεύσας μετὰ χαρᾶς μεγάλης ἐπὶ ΚΠ. ὑπέστρεψε μυστικήν τινα θεωρίαν ἐν τούτῳ πληρώσας. ἐν γὰρ ἓξ ἡμέραις πᾶσαν τὴν κτίσιν δημιουργήσας ὁ Θεὸς τὴν ἑβδόμην ἀναπαύσεως ἡμέραν ἐκά-

ἐκάλυσεν· ὕπο δὲ αὐτὸς ἐν τοῖς ἓξ χρόνοις πολλοὺς πόνους ἀγωνίσας, τῷ ἑβδόμῳ ἔτει μετ' εἰρήνης καὶ χαρᾶς ἐν τῇ πόλει ὑποστρέψας ἐπαύσατο. ὁ δὲ λαὸς τῆς πόλεως τὴν ἔλευσιν αὐτοῦ μαθόντες, ἀκατασχέτῳ πόθῳ πάντες εἰς τὴν Ἱερείαν ἐξῆλθον εἰς συνάντησιν αὐτοῦ, σὺν τῷ Πατριάρχῃ, καὶ Κωνσταντίνῳ βασιλεῖ καὶ υἱῷ αὐτοῦ, βαστάζοντες κλάδους ἐλαιῶν καὶ λαμπάδας, εὐφημοῦντες αὐτὸν μετὰ χαρᾶς καὶ δακρύων. προσελθὼν δὲ ὁ υἱὸς αὐτοῦ ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, καὶ περιπλακεὶς αὐτῷ, ἔβρεξαν ἀμφότεροι τὴν γῆν τοῖς δάκρυσι. τοῦτο θεασάμενος ὁ λαὸς πάντες εὐχαριστηρίους τῷ Θεῷ ὕμνους ἀνέπεμπον· καὶ ὑπο λαβόντες τὸν βασιλέα σκιρτῶντες εἰσῆλθον ἐν τῇ πόλει.

Ἀράβων ἀρχηγὸς Μουαμὶδ ἔτη θ'.

Περσῶν βασιλεὺς Ἀδεσὴρ μῆνας ἑπτά.

A visset, septimum quieti consecravit diem: sic iste annis sex perpetuis laboribus exantlatis, septimo demum cum pace & lætitia Urbem repetens quiere potitus est. Populus autem Usbis adventu Imperatoris cognito, impotenti ejus desiderio motus ad Hieriam cum Patriarcha, & Constantino Imperatore ejus filio effusus, prælatis olivarum ramis & lampadibus, lætitiæ vocibus, & una simul lachrymis venientem prosequutus excepit. Accedens autem filius ad pedes ejus procidit, mutuoque se se complexati, terram lachrymarum imbre rigaverunt: Quo viso universus populus hymnos gratiæ Deo cecinerunt: exceptoque demum Imperatore cum gaudio & tripudiis Urbem ingressi sunt. B

Edit Paris. pag. 273.

Arabum Princeps Muamed annis novem.

Persarum rex Adeser mensibus septem regnat.

Τούτῳ τῷ ἔτει ἀπάρας ὁ βασιλεὺς ἅμα τῷ ἔαρι ἀπὸ τῆς βασιλευούσης πόλεως ἐπὶ τὰ Ἱεροσόλυμα ἐπορεύετο, ἀπαγαγὼν τὰ τίμια καὶ ζωοποιὰ ξύλα τοῦ ἀποδοῦναι τῷ Θεῷ τὴν εὐχαριστίαν. ἐλθόντι δὲ αὐτῷ ἐν Τιβεριάδι κατηγόρησαν οἱ Χριστιανοὶ Βενιαμίν τινα ὀνόματι, ὡς κακοποιοῦντα αὐτούς. ἦν γὰρ ἐνούσιος σφόδρα. καὶ ὑπεδέξατο τὸν βασιλέα, καὶ τὸν στρατὸν αὐτοῦ. ὁ δὲ βασιλεὺς κατέκρινεν αὐτὸν, λέγων διὰ ποίαν αἰτίαν κακοποιεῖς τοὺς Χριστιανούς; ὁ δὲ εἶπεν ὡς ἐχθροὺς τῆς πίστεώς μου. ἦν γὰρ Ἰουδαῖος. ὁ δὲ βασιλεὺς νουθετήσας, καὶ πείσας ἐβάπτισεν εἰς τὸν οἶκον τοῦ Εὐσταθίου Νεαπολίτου Χριστιανοῦ ὄντος, καὶ αὐτοῦ ὑποδεξαμένου τὸν βασιλέα. εἰσελθὼν δὲ ὁ βασιλεὺς ἐν Ἱεροσολύμοις, καὶ ἀποκαταστήσας Ζαχαρίαν τὸν Πατριάρχην, καὶ τὰ τίμια καὶ ζωοποιὰ ξύλα εἰς τὸν ἴδιον τόπον, καὶ πολλὰ εὐχαριστήσας τῷ Θεῷ, ἀπήλασεν Ἑβραίους ἀπὸ τῆς ἁγίας πόλεως, κελεύσας μὴ ἔχειν αὐτοὺς ἐξουσίαν ἀπὸ τριῶν μιλίων τῆς ἁγίας πόλεως πλησιάζειν. καταλαβὼν δὲ τὴν Ἔδεσσαν ἀπέδωκε τὴν ἐκκλησίαν τοῖς ὀρθοδόξοις ὑπὸ Νεστοριανῶν κατεχομένην ἀπὸ Χοσρόου. καὶ ἐλθὼν εἰς τὴν Ἱεράπολιν, ἀκούσας ὅτι Σιρόης τέθνηκεν ὁ τῶν Περσῶν βασιλεὺς, Ἀδεσὴρ δὲ ὁ τούτου υἱὸς τὴν βασιλείαν τῶν Περσῶν παρέλαβε, τούτῳ δὲ μῆνας ἑπτὰ κρατήσαντος τῆς ἀρχῆς ἐπανέστη αὐτῷ Σαρβαραζᾶς, καὶ τοῦτον πατάξας, ἐβασίλευσε τῶν Περσῶν μῆνας δύο. τοῦτον δὲ ἀνελόντες οἱ Πέρσαι Βοράνην κατέστησαν εἰς βασιλέα τὴν θυγατέρα Χοσρόου, ἥτις ἐκράτησε τὴν βασιλείαν Περσῶν μῆνας ἑπτά. ταύτην διεδέξατο Ὁρμίσδας ὑπὸ τῶν Σαρακηνῶν διωχθεὶς, καὶ γέγονεν ὁ βασιλεία τῶν Περσῶν ὑπὸ τοὺς Ἄραβας μέχρι τῆς σήμερον.

Ἀράβων ἀρχηγὸς Μυαμὲδ ἔτο θ'.

Hoc anno ineunte vere Heraclius Imperator, venerandis & vivificis lignis secum latis, Regina civitate solvens Hierosolymam Deo grates persoluturus perrexit. Ubi Tiberiadem advenit, Christiani Beniamin quemdam nomine, ceu gravia ipsis damna inferre solitum, apud eum criminati sunt. Erat enim vir supra modum divitiis potens: quare Imperatoris totiusque exercitus sumptibus pendendis solus ipse satis extitit. Imperator itaque criminis eum damnaturus: Quam ob causam, inquit, injuria Christianos prosequeris? Respondet ille. Quod fidei meæ hostes existant. Judaica quippe superstitione tenebatur. Imperator autem admonitum, & de religione Christiana instructum in Eustathii Neapolitæ domo (Christianum se hic profitebatur, & Imperatorem pariter susceperat) eum baptismo tingi providit. D Imperator deinde Hierosolymam ingressus, Patriarcha Zacharia sedi suæ restituto, & venerandis vivificisque lignis loco suo redditis, debitas grates Deo persolvit, Hebræosque a sancta civitate jussit exulare, nec nisi supra tertium ab ea lapidem ad eamdem accedendi fecit ipsis potestatem. Edessam profectus, Ecclesiam sub Chosrois temporibus a Nestorianis occupatam Orthodoxis restituit. Cum Hierapolim venisset, Siroem Persarum regem obiisse, & Adeser ejus filium Persarum regnum consequutum intellexit. In eum post imperii mensem septimum Sarbarazas rebellavit, & Principe deleto Persis imperavit menses duos. Eo sublato Boranem E Chosrois filiam in regem sibi Persæ præfecere: quæ regnum administravit menses septem. Huic successit Hormisdas, qui demum a Saracenis solio depulsus est: ac tandem Persicum regnum Arabibus subjectum est, & in hanc usque diem sub ipsis remansit.

Arabum Princeps Muamed annis novem.

Edit. Paris. pag. 274.

Anni mundi 6121.	Divinæ Incarn. 621.	Rom. Imp. Heraclius annis 31.	Persarum rex Hormisdas annis 18.		Constant. Episc. Sergius annis 29	Hierosol. Episc. Zacharias annis 22.	Alexand. Episc. Georgius annis 14.
		20	1		20	21	13

Κόσμου ἔτη ϛρκα'.	Τῆς θείας σαρκ. ἔτη χκα'.	Ῥωμ. βασιλ. Ηρά-κλειος ἔτη λα'.	Περσ. βασ. Ορμί-σδας ἔτ. ιη'.		ΚΠ. ἐπίσκ. Σέρ-γιος ἔτη κθ'.	Ιεροσ. ἐπίσκ. Ζαχα-ρίας ἔτη κβ'.	Αλεξ. ἐπίσκ. Γεώρ-γιος ἔτ. ιδ'.
		α'	α'		κα'	κα'	ιγ'

Hoc anno, cum Imperator adhuc Hierapoli moraretur, Athanasius Jacobitarum Patriarcha, vir vafer & perniciosus, ut ex innata sibi vafritie sunt Syri omnes, ad eum accessit: motisque cum Imperatore de fide sermonibus, si modo Synodum Chalcedonensem vellet admittere, Patriarcham Antiochiæ se constiturum Heraclius promisit. Is enunciatis in Christo naturis duabus, hæresim ad tempus simulans, propositam Synodum probavit, & recepit. Tum vero de operatione & voluntatibus Imperatorem interrogavit: Quales asserere deceat, geminas an unicam? Imperator inusitata sibi vocum novitate implicatus, Sergio CP. Episcopo scribit. Is Cyrum Phasidos Episcopum ad se accersitum interrogat, & in unicam voluntatem & actionem pariter unicam consentire reperit. Sergius etenim, ceu patria Syrus, & Jacobitis parentibus ortus, unam physicam volendi actionem, unamque operationem in Christo confessus, & scripto testatus est. Imperator utriusque ad invicem comparata sententia, concordem eis postmodum invenit Athanasium. Ibi namque unam ponendam naturam, ubi una operatio asseritur, illi probe notum. Interim Imperator opinionibus istiusmodi instructus, utriusque mentem Joanni Papæ Romano scriptis significat. Ille eorum hæresim proscribit. Georgio vero Alexandriæ Antistite viris erepto, Cyrus in Episcopatu sufficitur, qui Theodoro Pharan Episcopo adjunctus, aqua male tinctam unionem illam, unam nimirum & eamdem in Christo operationem commentus est, & tradidit scripto. His ita ordine gestis, in probrum & dedecus maximum Chalcedonensis Synodus, quinimmo universa Ecclesia prolabitur. Gloriabantur siquidem inde Jacobitæ & Theodosiani palam jactantes, se non quidem cum Chalcedone, at Chalcedonem secum doctrina communicare, & una operatione admissa, unicam quoque Christi naturam docere. Ea tempestate Sophronius Hierosolymorum Episcopus instituitur, qui congregatis, quibus præerat, Episcopis, Monotheliticum dogma condemnavit, Synodicaque acta Sergio CP. & Joanni Romæ Episcopo per epistolas transmisit. His auditis, Heraclius pudore afficitur, &, quæ admiserat quidem noluit rescindere, nec quo probro onerabatur, pati. Tum igitur præclarum aliquod invenisse ratus, Edictum ita vocatum, quo neque unica, neque geminæ Christi operationes assererentur, promulgavit: quod ubi Severi sectatores legere, Ecclesiam Catholicam per popinas & balnea impiis sermonibus traducebant: Qui hucusque Nestorii sensum sequuti Chalcedonitæ, nuper resipuerunt, & veritatem amplexati, per unius operationis positionem, in unam nobiscum Christi naturam asserendam convenere: at nunc demum eo, quem recte tenebant, sensu damnato, utrumque amiserunt, dum neque unam, neque duas in Christo confitentur naturas. Post Sergii vero obitum,

pag. 275.

Τούτῳ τῷ ἔτει τοῦ βασιλέως Ἡρακλείου ὄντος ἐν τῇ Ἱεραπόλει, ἦλθε πρὸς αὐτὸν Ἀθανάσιος ὁ Πατριάρχης τῶν Ἰακωβιτῶν, δεινὸς ἀνὴρ καὶ κακοῦργος τῇ τῶν Σύρων ἐμφύτῳ κακουργίᾳ, καὶ κινήσας πρὸς τὸν βασιλέα περὶ πίστεως λόγους, ὑπισχνεῖτο αὐτῷ Ἡράκλειος εἰ τὴν ἐν Χαλκηδόνι σύνοδον ὑποδέξηται, Πατριάρχην αὐτὸν ποιεῖν Ἀντιοχείας. ὁ δὲ ὑποκριθεὶς ὑπεδέξατο τὴν σύνοδον, ὁμολογήσας τὰς δύο ἐν Χριστῷ φύσεις· ἠρώτησέ τε τὸν βασιλέα περὶ τῆς ἐνεργείας, καὶ τῶν θελημάτων, τὸ πῶς δεῖ ταῦτα λέγειν ἐν Χριστῷ διπλᾶ, ἢ μοναδικά; ὁ δὲ βασιλεὺς ξενοφωνηθεὶς, γράφει πρὸς Σέργιον ΚΠ. προσκαλεῖται δὲ καὶ Κῦρον τὸν τοῦ Φάσιδος ἐπίσκοπον, καὶ τοῦτον ἐρωτήσας, εὗρεν αὐτὸν ὁμοφωνοῦντα εἰς ἓν θέλημα, καὶ τὴν μίαν ἐνέργειαν. Σέργιος γὰρ, ἅτε Συρογενὴς, καὶ γονέων Ἰακωβιτῶν ὑπάρχων, μίαν φυσικὴν θέλησιν, καὶ μίαν ἐνέργειαν ἐν Χριστῷ ὡμολόγησε, καὶ ἔγραψεν. ὁ δὲ βασιλεὺς ἀμφοτέρων στοιχήσας τὴν βουλὴν, εὗρε καὶ τὸν Ἀθανάσιον συμφωνοῦντα αὐτοῖς. ἐγίνωσκε γὰρ ὅτι ἔνθα ἐνέργεια εἴρηται, ἐκεῖ καὶ μία φύσις γνωρίζεται. βεβαιωθεὶς δὲ ὁ βασιλεὺς ἐν τούτῳ γράφει πρὸς Ἰωάννην τὸν Πάπαν Ῥώμης ἀμφοτέρων τὴν γνῶσιν. ὁ δὲ οὐ κατεδέξατο αὐτῶν τὴν αἵρεσιν. Γεωργίου δὲ Ἀλεξανδρείας τελευτήσαντος, ἀποστέλλεται Κῦρος ἐπίσκοπος Ἀλεξανδρείας, καὶ ἑνωθεὶς Θεοδώρῳ τῷ ἐπισκόπῳ τῆς Φαρὰν, ἐποίησε τὴν ὑδροβαφῆ ἐκείνην ἕνωσιν, μίαν καὶ αὐτὴν γράψαντες ἐν Χριστῷ φυσικὴν ἐνέργειαν. τούτων δὲ οὕτω παρακολουθησάντων εἰς μέγα ὄνειδος ἡ σύνοδος Χαλκηδόνος, καὶ ἡ καθολικὴ ἐκκλησία περιέπεσε. κατεκαυχῶντο γὰρ οἱ Ἰακωβῖται, καὶ οἱ Θεοδοσιανοὶ φάσκοντες, ὅτι οὐχ ἡμεῖς τῇ Χαλκηδόνι, ἀλλ' ἡ Χαλκηδὼν μᾶλλον ἡμῖν ἐκοινώνησε, διὰ τῆς μιᾶς ἐνεργείας μίαν ὁμολογήσασα φύσιν Χριστοῦ. ἐν τούτοις Σωφρόνιος χειροτονεῖται ἐπίσκοπος Ἱεροσολύμων, καὶ συναθροίσας τοὺς ὑπ' αὐτῷ ἐπισκόπους τὸ Μονοθέλητον δόγμα ἀνεθεμάτισε, καὶ συνοδικὰ Σεργίῳ τῷ Κωνσταντινουπόλεως, καὶ Ἰωάννῃ τῷ Ῥώμης ἀπέστειλεν. ἀκούσας δὲ ταῦτα Ἡράκλειος ᾐσχύνθη, καὶ καταλῦσαι μὲν τὰ οἰκεῖα οὐκ ἠθέλησε, καὶ πάλιν τὸν ὀνειδισμὸν οὐχ ὑπέφερε. τότε δὴ, ὡς μέγα τι νομίζων ποιεῖν, ἐκτίθεται τὸ λεγόμενον ἴδικτον, περιέχον, μήτε μίαν, μήτε δύο ἐνεργείας ὁμολογεῖν ἐν Χριστῷ, ὅπερ ἀναγνόντες οἱ τὰ τοῦ Σεβήρου φρονοῦντες ἐπὶ καπηλείων καὶ βαλανείων διέσυρον τὴν καθολικὴν ἐκκλησίαν, λέγοντες· πρώην μὲν τὰ Νεστορίου φρονοῦντες οἱ Χαλκηδονῖται, ἀνένηψαν, ἐπιστρέψαντες εἰς τὴν ἀλήθειαν, ἑνωθέντες ἡμῖν διὰ μιᾶς ἐνεργείας εἰς τὴν μίαν τοῦ Χριστοῦ φύσιν. νῦν δὲ καταγνόντες τοῦ καλῶς ἔχοντος, ἀπώλεσαν ἀμφότερα, μήτε μίαν, μήτε δύο ἐν Χριστῷ ὁμολογοῦντες. μετὰ δὲ τελευτὴν τοῦ Σεργίου, Πύρρος τὸν θρόνον Κωνσταντινουπόλεως διεδέξατο, ὅς τις τὰ δογματισθέντα ὑπὸ Σερ-

γίου καὶ Κύρου ἀσεβῶς ἐκράτει. τοῦ δὲ Ἡρακλείου τελευτήσαντος, καὶ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου βασιλεύσαντος, Πύῤῥος σὺν τῇ Μαρτίνῃ φαρμάκῳ τοῦτον ἀνεῖλε, καὶ βασιλεύει Ἡρακλεωνᾶς ὁ τῆς Μαρτίνης υἱός. ἡ δὲ σύγκλητος καὶ ἡ πόλις Πύῤῥον, ὡς ἀσεβῆ, σὺν τῇ Μαρτίνῃ, καὶ τῷ υἱῷ αὐτῆς ἐξώρισαν· καὶ βασιλεύει Κώνστας, ὁ Κωνσταντίνου υἱός, καὶ χειροτονεῖται Παῦλος ΚΠ. ἐπίσκοπος, καὶ αὐτὸς αἱρετικός. Ἰωάννης δὲ ὁ Ῥώμης ἐπίσκοπος συναθροίσας σύνοδον ἐπισκόπων, τὴν τῶν Μονοθελητῶν αἵρεσιν ἀνεθεμάτισεν. ὁμοίως δὲ καὶ ἐν Ἀφρικῇ, καὶ Βυζακίῳ, καὶ Νουμιδίᾳ, καὶ Μαυριτανίᾳ, διάφοροι ἐπίσκοποι συναθροισθέντες, τοὺς Μονοφυσίτας ἀνεθεμάτισαν. Ἰωάννου δὲ τοῦ Ῥώμης κοιμηθέντος, Θεόδωρος χειροτονεῖται Πάπας ἀντ' αὐτοῦ. Πύῤῥος δὲ τὴν Ἀφρικὴν καταλαβὼν, συνοψίζεται τὸν ἁγιώτατον Ἀββᾶν Μάξιμον, τὸν αἰδέσιμον ἐν Μοναχικοῖς κατορθώμασι, καὶ τοῖς ἐκεῖσε ὀρθοδόξοις ἱεράρχαις, οἵ τινες αὐτὸν ἐλέγξαντες, καὶ πείσαντες πρὸς τὸν Πάπαν Θεόδωρον ἀπέστειλαν ἐν τῇ Ῥώμῃ. καὶ λίβελλον ὀρθοδοξίας ἐπιδεδωκὼς τῷ Πάπᾳ, ἐδέχθη ὑπ' αὐτοῦ. τῆς Ῥώμης δὲ ὑποχωρήσας, καὶ ἐν Ῥαβέννῃ ἐλθὼν, ὡς κύων ἐπὶ τὸν ἴδιον ἐξέραμα ὑπέστρεψε. τοῦτο δὲ μαθὼν ὁ Πάπας Θεόδωρος, τὸ πλήρωμα τῆς ἐκκλησίας συγκαλέσας καὶ τὸν τάφον τοῦ κορυφαίου καταλαμβάνων, αἰτήσας τὸ θεῖον ποτήριον, ἐκ τοῦ ζωοποιοῦ αἵματος τοῦ Χριστοῦ ἐπιστάξας, τῇ ἰδίᾳ χειρὶ καθαίρεσιν Πύῤῥου καὶ τῶν κοινωνούντων αὐτῷ ποιεῖται. Πύῤῥου δὲ τὴν Κωνσταντινούπολιν καταλαβόντος, καὶ Παύλου ἀποθανόντος, οἱ τολμηροὶ ἑτερόδοξοι τὸν Πύῤῥον πάλιν τῷ θρόνῳ Κωνσταντινουπόλεως ἐγκατέστησαν. Θεοδώρου δὲ τοῦ Πάπα τελευτήσαντος, Μαρτῖνος ὁ ἁγιώτατος χειροτονεῖται ἐν Ῥώμῃ. καταλαβόντος δὲ καὶ Μαξίμου ἀπὸ Ἀφρικῆς ἐν Ῥώμῃ, καὶ τὸν Πάπαν Μαρτῖνον πρὸς ζῆλον ἐξάψαντος, σύνοδον ρν'. ἐπισκόπων συναθροίσαντες, Σέργιον καὶ Πύῤῥον, Κῦρον, καὶ Παῦλον ἀνεθεμάτισαν· τὰς δὲ δύο θελήσεις καὶ ἐνεργείας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐτράνωσαν, καὶ ἐκήρυξαν τῷ ἐννάτῳ ἔτει βασιλείας τοῦ Κώνσταντος τοῦ ἐγγόνου Ἡρακλείου ἰνδικτιῶνι η'. ὅς τις μαθὼν, καὶ θυμῷ πλησθεὶς, τόν τε ἅγιον Μαρτῖνον, καὶ Μάξιμον ἐνέγκας ἐν Κωνσταντινουπόλει, καὶ βασανίσας, ἐξορίᾳ παρέπεμψεν ἐν Χερσωνιτικοῖς κλίμασι· πολλοὺς δὲ καὶ τῶν Ἑσπερίων ἐπισκόπους ἐτιμωρήσατο. μετὰ δὲ τὴν ἐξορίαν Μαρτίνου Ἀγάθων χειροτονεῖται Πάπας Ῥώμης, ὅς τις κινηθεὶς ζήλῳ Θεοῦ, σύνοδον ἱερὰν καὶ αὐτὸς συναθροίσας, τὴν τῶν Μονοθελητῶν αἵρεσιν ἀπεκήρυξε τὰς δύο θελήσεις καὶ ἐνεργείας τρανώσας. οὕτω δὲ καὶ τῆς ἐκκλησίας τότε ὑπό τε τῶν βασιλέων καὶ τῶν δυσσεβῶν ἱερέων ταραττομένης, ἀνέστη ὁ ἐρημικὸς Ἀμαλὴκ τύπτων ἡμᾶς τὸν λαὸν τοῦ Χριστοῦ, καὶ γίνεται πρώτη φορὰ πτῶσις τοῦ Ῥωμαϊκοῦ στρατοῦ, ἡ κατὰ τὸ Γαβιθὰν λέγω, καὶ Ἱερμουχὰν, καὶ τὴν ἄθεσμον αἱματοχυσίαν. μεθ' ἣν αἱ Παλαιστινῶν, καὶ Καισαρέων, καὶ Ἱεροσολύμων ἁλώσεις, εἶτα ὁ Αἰγύπτιος ὄλεθρος,

Pyrrhus CP. sedem excepit, qui Sergio & Cyro temere assertam, mordicus & impie retinuit. Heraclio tandem fatis functo, Constantinum ejus filium imperii successorem Pyrrhus & Martina, quo ad Heracleonam Martinæ filium imperii dignitas devolveretur, veneno sustulerunt: Senatusque subinde & Urbis plebs Pyrrhum, ceu sacrilegum & impium, cum Martina & ejus filio abrogavit & expulit: Constans autem Constantini filius imperium adipiscitur, & Paulus etiam ipse Hæreticus in CP. thronum subvehitur. Joannes autem Romæ Episcopus convocata Episcoporum Synodo, Monothelitarum sectam inflicto anathemate damnavit: Similiter in Africa, & Byzacio, per Numidiam, & Mauritaniam varii Episcopi in unum collecti, Monophysitas, unam nimirum Christi naturam docentes, diris perstrinxerunt. Defuncto vero Joanne Romæ Episcopo, Theodorus in ejus locum Papa sufficitur. Pyrrhus autem in Africam profectus, mutuis sanctissimi Abbatis Maximi Monasticorum institutorum observantia conspicui familiaritate & conspectibus usus, & in Pontificum divinam religionem spirantium consessum admissus, ab eis acerrime reprehensus, ut ad Papam Theodorum se conferat, eorum hortatibus impellitur. Is ita Romam transmissus, tradito sanæ rectæque doctrinæ libello, a Pontifice suscipitur. At Roma digressus, cum Ravennam appulisset, ad vomitum, canis instar, reversus est. Id ubi Theodorus Papa rescivit, universo Ecclesiæ conventu convocato, ad Coryphæi Apostolorum sepulchrum astans, calice afferri jusso, ex vivifico Christi sanguine stillam excutiens, Pyrrhi, cæterorumque, qui cum eo communicarent, abrogationem & condemnationem propria manu exaravit. Pyrrhus subinde CP. delatus Paulo defuncto, ab audacioribus variæ vanæque fidei propugnatoribus in CP. thronum restitutus. Theodoro Papa morte sublato, Martinus sanctissimus Pontifex Romanus eligitur. Tum vero Maximus ex Africa Romam transfretatus, Martini Papæ sanctum in Deum ardorem accendit: qui centum & quinquaginta Episcoporum Synodo celebrata, Sergium, & Pyrrhum, Cyrum, & Paulum anathemate perculerunt: geminas vero Christi Dei nostri voluntates & operationes, clarius expositas promulgaverunt nono Constantis imperantis anno, indictione octava. Constans Heraclii nepos, his auditis, furore percitus, sanctissimum Martinum, & Maximum CP. adduci jussit, eosque tormentis excruciatos in exilium deportari ad Chersonesi plagas, & multos insuper Occidentalium Episcoporum suppliciis affici. Martino demum in exilium pulso, Agatho Romanus Papa instituitur, qui & ipse sincero in Deum fervore motus, sacram Synodum convocat, & duabus voluntatibus & operationibus assertis, Monothelitarum hæresim condemnat. Ecclesia sub id tempus ab Imperatoribus & impiis Sacerdotibus agitata, Deserti incola Amalec, commune plebis Christianæ flagellum emersit; & auditur prima vice Romani exercitus clades, ea, dico, quæ ad Gabitham, & Jermucham contigit, nefanda omnino Christiani sanguinis effusio: quam Palæstinarum, Cæsariensium, & Hierosolymorum devastationes sequutæ sunt, tum vero Ægyptiaci dominii jactura, & mediterranearum re-

Edit. Paris. pag. 276.

gionum, insularumque, & universæ Romanæ ditionis captivitas, ac insuper in Phœnicia integra & communis exercitus classisque Romanæ strages, & omnis Christiani populi Christianæque provinciæ vastitas; quorum finis nullus fuit, donec Ecclesiæ persecutor in Daphnes balneo in Sicilia infeliciter occisus fuit.

καὶ καθεξῆς τῶν μεσογείων, καὶ νήσων, καὶ πάσης Ῥωμανίας αἰχμαλωσία, καὶ ἐν Φοινίκῃ παντελὴς τοῦ Ῥωμαϊκοῦ στρατοῦ τε, καὶ στόλου ἀπώλεια, καὶ πάντων τῶν Χριστιανικῶν λαῶν, καὶ τόπων ἐρημώσεις, ἥτις οὐκ ἐπαύσατο, ἄχρις ἂν ὁ τῆς ἐκκλησίας διώκτης ἐν Σικελίᾳ κακῶς ἀνῃρέθη ἐν βαλανείῳ τῆς Δάφνης.

Anni mundi 6122.	Divinæ Incarn. an. 622.	Rom. Imp. Heraclius annis 31.	Arabum Mamed annis 9.		C.P. Episc. Sergius annis 29.	Hierosol. Episc. Zacharias annis 22.	Alexand. Episc. Georgius annis 14.
		21	9		22	23	12.

Κόσμου ἔτη ςρκβ'.	Τῆς θείας σαρ. χκβ'.	Ῥωμ. βασιλ. Ἡράκλειος ἔτη λα'.	Ἀράβων ἀρχηγ. Μουάμεδ ἔτ. θ'.		ΚΠ. ἐπίσκ. Σέργιος ἔτη κθ'.	Ἱεροσ. ἐπίσκ. Ζαχαρίας ἔτη κβ'.	Ἀλεξ. ἐπίσκ. Γεώργιος ἔτ. ιδ'.
		κα'	θ'		κβ'	κβ'	ιβ'

Hoc anno Muamed Saracenorum Dux, & Pseudopropheta, Abubachar cognato suo successore designato, mortuus est: ex quo omnes extimuere. Hebræi vero jam diu in seductionem inducti, sub adventum ejus expectatum ab ipsis eum esse Christum arbitrabantur: adeo ut nonnulli inter eos spectatissimi, Moysis Dei inspectoris legibus relictis, ad eum se conferentes, quam prædicavit religionem acceptarent. Erant numero decem, qui facinus hujusmodi perpetraverunt, qui ad cædis ejus diem ipsi adhæserunt. Cameli vero carnes eo degustare conspecto, quem arbitrabantur eum non esse decreverunt: quid autem agerent, hærebant dubii: at cum ejus superstitionem deserere misselli verereotur, nefanda in Christianos moliri edocentur: interim societatem cum eo tenuere. Cæterum necesse omnino videtur hic de ejus origine aliquid attexere. Is ea præclarissima tribu duxit originem, ea Ismaele nimirum filio Abraham. Nizarus quippe Ismaelis pronepos pater istorum omnium prædicatur. Hic filios duos suscepit, Mundarum, & Arabiam. E Mundaro Curasus, Isus, Themimes, & Asadus, & incogniti alii processerunt. Isti omnes Madianitarum deserti incolæ extiterunt, & in teotoriis habitantes, per eam regionem armenta pascebant. Sunt etiam iis interiores ab eorum tribu omnino alieni, Jectan nimirum posteri, dicti Amanitæ, qui etiam Homeritæ vocantur. Quidam vero ex eis cum camelis mercaturam exercent. At cum memoratus Muamed orphanus & rei familiaris egestatem sustineret, ei visum est, ad mulierem quamdam oppido divitem gentilem suam cognomento Chadigam se conferre, ut operam suam illi locaret, ad camelos pascendos, mercaturamque ea iis in Ægyptum & Palæstinam exerceret. Paulatim vero liberiore ejus utens consuetudine, ut erat vidua, se in gratiam ejus insinuavit, adeo ut uxorem ipsam duxerit, ejusque camelos universamque substantiam fecerit suam. Profectus autem in Palæstinam, cum Judæis & Christianis versabatur: & quædam de sacris eorum scriptis venatus est. Porro cum morbo comitiali laboraret; uxor virum eo aliquando correptum animadvertens, gravem inde concepit dolorem, quod nobilis ipsa, tali viro non solum pauperi, sed etiam comitiali infirmitate affecto conjuncta esset. Is autem eam delinire comminiscitur hujusmodi verbis. Angeli cognomento Gabrielis visio mihi manifestatur: cujus aspectum ipsa ferre ferre non valens, mentia deliquium pa-

Edit. Paris. pag. 277.

Τούτῳ τῷ ἔτει ἀπεβίω Μουάμεδ ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς καὶ ψευδοπροφήτης, προχειρισάμενος Ἀβουβάχαρ συγγενῆ αὐτοῦ. καὶ πάντες ἐφοβήθησαν. οἱ δὲ πεπλανημένοι Ἑβραῖοι ἐν τῇ ἀρχῇ τῆς παρουσίας αὐτοῦ ἐνόμισαν αὐτὸν εἶναι τὸν παρ' αὐτοῖς προσδοκώμενον Χριστόν· ὡς καί τινας τῶν προὐχόντων αὐτῶν προσελθεῖν αὐτῷ, καὶ δέξασθαι τὴν αὐτοῦ θρησκείαν, καὶ ἀφῆσαι τὴν τοῦ θεόπτου Μωσέως. ἦσαν δὲ τῷ ἀριθμῷ δέκα οἱ τοῦτο πεποιηκότες, καὶ σὺν αὐτῷ διῆγον ἄχρι τῆς σφαγῆς αὐτοῦ. θεωρήσαντες δὲ αὐτὸν ἐσθίοντα ἀπὸ καμήλου, ἔγνωσαν, ὅτι οὐκ ἔστιν αὐτός, ὃν ἐνόμισαν, καὶ ἠπόρουν τί πράξαι, καὶ ἀφῆσαι αὐτοῦ τὴν θρησκείαν δειλιῶντες οἱ τάλανες, διδάσκουσιν αὐτὸν ἀθέμιτα καθ' ἡμῶν Χριστιανῶν· καὶ διῆγον σὺν αὐτῷ. ἀναγκαῖον δὲ ἡγοῦμαι διηγήσασθαι περὶ τῆς τούτου γενεᾶς· οὗτος μιᾶς γενικωτάτης φυλῆς κατήγετο ἐξ Ἰσμαήλ, υἱοῦ Ἀβραάμ. Νίζαρος γὰρ ὁ τοῦ Ἰσμαὴλ ἀπόγονος πατὴρ πάντων αὐτῶν ἀναγορεύεται. οὗτος γεννᾷ υἱοὺς δύο, Μουδάρον, καὶ Ἀράβιον. Μουδάρος γεννᾷ Κούρασον, καὶ Ἴσον, καὶ Θεμίμην, καὶ Ἀσαδὴν, καὶ ἄλλους ἀγνώστους. οὗτοι πάντες ᾤκουν τὴν Μαδιανίτιν ἔρημον, καὶ ἐν αὐτῇ ἐκτηνοτρόφουν, ἐν σκηναῖς κατοικοῦντες. εἰσὶ δὲ ἐνδότεροι αὐτῶν, μὴ ὄντες τῆς φυλῆς αὐτῶν, ἀλλὰ τοῦ Ἰεκτὰν, οἱ λεγόμενοι Ἀμανῖται, τοῦτ' ἔστιν Ὁμηρῖται. ἐπραγματεύοντο δέ τινες αὐτῶν ἐν ταῖς καμήλοις αὐτῶν. ἀπόρου δὲ καὶ ὀρφανοῦ ὄντος τοῦ προειρημένου Μουάμεδ, ἔδοξεν αὐτῷ εἰσελθεῖν πρός τινα γυναῖκα πλουσίαν συγγενῆ αὐτοῦ οὖσαν ὀνόματι Χαδίγαν, μισθωτὸν ἐπὶ τὸ καμηλεύειν, καὶ πραγματεύεσθαι ἐν Αἰγύπτῳ, καὶ Παλαιστίνῃ. κατ' ὀλίγον δὲ παῤῥησιασαμένου εἰσῆλθε τῇ γυναικὶ χήρᾳ οὔσῃ, καὶ ἔλαβεν αὐτὴν γυναῖκα· καὶ ἔσχε τὰς καμήλους αὐτῆς καὶ τὴν ὕπαρξιν. ἐρχόμενος δὲ ἐν Παλαιστίνῃ συνανεστρέφετο Ἰουδαίοις τε, καὶ Χριστιανοῖς. ἐθηρᾶτο δὲ παρ' αὐτῶν τινὰ γραφικά. ἔσχε δὲ πάθος ἐπιληψίας. καὶ νοήσασα ἡ τούτου γυνὴ, σφόδρα ἐλυπεῖτο, ὡς εὐγενὴς οὖσα, καὶ τῷ τοιούτῳ συναφθεῖσα, οὐ μόνον ἀπόρῳ ὄντι, ἀλλὰ καὶ ἐπιληπτικῷ. ἐπιχειρεῖ δὲ αὐτὸς θεραπεῦσαι αὐτὴν, οὕτω λέγων. ὅτι ὀπτασίαν τινὰ ἀγγέλου λεγομένου Γαβριὴλ θεωρῶ, καὶ μὴ ὑποφέρων

τὴν τούτου θέαν, ὀλιγωρῶ καὶ πίπτω. αὐτὴ δὲ ἔχουσα μοναχόν τινα διὰ κακοπιστίαν ἐξόριστον ἐκεῖσε οἰκοῦντα, ἀνήγγειλεν αὐτῷ πάντα, καὶ τὸ ὄνομα τοῦ ἀγγέλου. κἀκεῖνος θέλων πληροφορῆσαι αὐτὴν, εἶπεν αὐτῇ. ὅτι ἀλήθειαν εἴρηκε· καὶ γὰρ οὗτος ὁ ἄγγελος ἐκπέμπεται πρὸς πάντας προφήτας. αὐτὴ δὲ πρώτη δεξαμένη τὸν λόγον τοῦ ψευδαββᾶ, ἐπίστευσεν αὐτῷ, καὶ ἐκήρυξεν ἄλλαις γυναιξὶν ὁμοφύλοις αὐτῆς προφήτην αὐτὸν εἶναι. καὶ οὕτως ἐκ γυναικῶν ἀλθεν καὶ εἰς ἄνδρας· πρῶτον εἰς Ἀβυβάχαρον, ὃν καὶ διάδοχον κατέλιπε. καὶ ἐκράτησεν ἡ αἵρεσις αὐτοῦ τὰ μέρη τῆς Αἰθρίβου διὰ πολέμου τὸ ἔσχατον· πρῶτον μὲν κρυπτῶς ἔτη δέκα, καὶ διὰ πολέμου ὁμοίως δέκα, καὶ φανερῶς ἐννέα. ἐδίδαξε τοὺς ἑαυτοῦ ὑπηκόους, ὅτι ὁ ἀποκτείνων ἐχθρὸν, ἢ ἀπὸ ἐχθροῦ ἀποκτεινόμενος, εἰς παράδεισον εἰσέρχεται. τὸν δὲ παράδεισον σαρκικῆς βρώσεως, καὶ πόσεως, καὶ μίξεως γυναικῶν ἔλεγε· ποταμόν τε οἴνου, καὶ μέλιτος, καὶ γάλακτος, καὶ γυναικῶν οὐ τῶν παρόντων, ἀλλ᾽ ἄλλων, καὶ τὴν μίξιν πολυχρόνιον, καὶ διαρκῆ τὴν ἡδονήν· καὶ ἄλλα τινὰ ἀσωτίας, καὶ μωρίας μεστά· συμπαθεῖν δὲ ἀλλήλοις, καὶ βοηθεῖν ἀδικουμένοις.

Ἐν αὐτῷ δὲ τῷ ἔτει, ἰνδικτιῶνι τετάρτῃ, μηνὶ Νοεμβρίῳ ἑβδόμῃ, ἐγεννήθη Ἡρακλείῳ ἐν τῇ ἀνατολῇ Δαβὶδ ὁ υἱὸς αὐτοῦ· τῇ αὐτῇ ἡμέρᾳ καὶ Ἡράκλειος ἐτέχθη υἱὸς Ἡρακλείου τοῦ μικροῦ τοῦ καὶ Κωνσταντίνου υἱοῦ Ἡρακλείου τοῦ μεγάλου. καὶ ἐβαπτίσθη ἐν Βλαχέρναις ὑπὸ Σεργίου Πατριάρχου τῇ ε'. ἰνδικτιῶνι μηνὶ Νοεμβρίῳ τρίτῃ.

[illegible]	[illegible]	ζ'	Ἀραβ. ἀρχηγ. Ἀβουβάχαρος ἔτη γ'. α'		κγ'	Μωδ. Ἱεροσ. ἐπίσκοπος ἔτη β'. α'	ιγ'	

Τούτῳ τῷ ἔτει ἐπανέστησαν Πέρσαι κατ᾽ ἀλλήλων, καὶ ἐπολέμησαν ἑαυτούς. ἐν αὐτῷ δὲ τῷ καιρῷ ὁ βασιλεὺς τῶν Ἰνδῶν πέμπει συγχαρίκια τῷ Ἡρακλείῳ ἐν τῇ Περσῶν νίκῃ μαργαρίτας καὶ λίθους τιμίους ἱκανούς. ἦν δὲ ἀποπλευτήσας ὁ Μουαμὲδ, ὃς ἦν στήσας τέσσαρας Ἀμηραίους τοῦ πολεμεῖν τοὺς ἐκ Ἀράβων γένους Χριστιανούς· καὶ ἦλθον κατέναντι Μουχέων κώμῃ λεγομένῃ, ἐν ᾗ ὑπῆρχε Θεόδωρος ὁ Βικάριος θέλοντες ἐπιρρῖψαι κατὰ τῶν Ἀράβων τῇ ἡμέρᾳ τῆς εἰδωλοθυσίας αὐτῶν. μαθὼν δὲ τοῦτο ὁ Βικάριος παρά τινος Κορασινοῦ, Κουταβᾶ λεγομένου, συνάγει πάντας τοὺς στρατιώτας τῶν φυλακῶν τῆς ἐρήμου, καὶ ἀκριβωσάμενος παρὰ τοῦ Σαρακηνοῦ τὴν ἡμέραν καὶ τὴν ὥραν, ἐν ᾗ ἔμελλον ἐπιρρίπτειν αὐτοῖς, αὐτὸς ἐπιρρίψας αὐτοῖς ἐν τῷ χωρίῳ ἐπὶ λεγομένῳ Μαθοὺς ἀποκτείνει τρεῖς Ἀμηραίους, καὶ τὸ πλῆθος τοῦ λαοῦ. ἐξῆλθε δὲ εἷς Ἀμηρᾶς ὁ Χάλεδος, ὃν λέγουσι μάχαιραν τοῦ Θεοῦ. ἦσαν δέ τινες τῶν πλησίον Ἀράβων λαμβάνοντες παρὰ τῶν βασιλέων ῥόγας μικρὰς πρὸς τὸ φυλάξαι τὰ στόμια τῆς ἐρήμου. ἐν αὐτῷ δὲ τῷ καιρῷ ἦλθε τὶς εὐνοῦχος διδοὺς τὰς ῥόγας τῶν στρατιωτῶν, καὶ ἐλθόντες οἱ Ἄραβες κατὰ τὸ ἔθος λαβεῖν τὴν ῥόγαν αὐτῶν,

A tior, & concido. Illa cum ad manum Monachum quemdam haberet, ob pravos in fidem sensus relegatum, & istic morari consuetum, hominem consulit, cuncta viri secreta denunciat, ac ipsius Angeli nomen. Is cum mulieri rem plane persuasam vellet, dixit ei. Verum enunciavit: Iste quippe Angelus ad omnes Prophetas destinatur. Ipsa itaque cæteris prior Pseudabbatis verbis credula viro deinceps adhibuit fidem, ac inter alias fœminas contribules eum Prophetam esse disseminavit: & hoc pacto a fœminis in viros res propagata est, ante alios vero ad Abubacharum, quem ille postea successorem reliquit. Obtinuitque ea Hæresis in partibus Æthribi, postremo tandem bello; primum quidem occulte, annos decem disseminata; tum vero armorum B vi annos pariter decem; ac tandem aperta concione annos novem. Porro subditos ita edocuit: Qui interfecerit inimicum, vel ab inimico interfectus fuerit, in Paradisum admittetur. Paradisum vero quo corporalis cibi, & potus, & fœminarum commixtionis sit usus, ipse asseruit: Fluvium item mellis fore, vini, & lactis, fœminarumque usum, non quales fluxum exhibet sæculum, sed præstantiorum, diuturnam commixtionem, & permanentem stantemque voluptatem, aliaque id genus luxus & dementiæ plena. Præterea ut sui invicem misericordia moverentur, & injuriam passis opem ferrent edixit.

Edit. Parif. pag. 278.

Eodem quoque anno, indictione quarta, mensis Novembris die septimo, Heraclio in Oriente degenti David filius natus est. Eodem quoque die Heraclius Heraclii junioris Constantini dicti filius, magni Hera-C clii nepos in lucem venit: & a Patriarca Sergio mensis Novembris die tertio, quinta indictione, lustrali unda initiatus fuit in Blachernis.

[illegible]	[illegible]	22	Arabum Dux Abubacharus an. 3. 1		23	Hier. Episc. Modestus annis 2. 1	13	

Hoc anno Persæ in invicem tumultuati intestinis bellis mutuo sese confecere. Sub id vero tempus munera gratulantis animi testimonia, ob partam ab Heraclio de Per-D sis victoriam, Indorum rex misit: unionum videlicet ac lapidis pretiosi copiam non contemnendam. Jam ante Muamed fato extinctus fuerat, qui debellandis ex Arabum genere Christianis Ameræos quatuor instituit. Illi ad vicum, cui Mucheorum nomen, in quo Theodorus Vicarius sedem fixerat, accedunt; qua die prophanos suos ritus exequerentur in Arabes impressionem facere consiliati. At Vicarius ea de re per Corasinum, cognomento Cutabam certior factus, cunctis militibus deserti custodiæ ac præsidiis deputatis in unum collectis, nec non de die & hora qua irrumpere meditabantur diligentius a Saraceno edoctus, ipse ad pagum vulgo Mothus E dictum ex Ameræis tres & exercitum copiosum delet. Unus autem Ameræus Chaledus nomine, quem etiam Dei gladium vocabant, evasit. Cæterum cum ex Arabibus juxta positis nonnulli defendendis Eremi faucibus exigua stipendia referre solerent: Venit ea tempestate Eunuchus non nemo stipendia militibus erogaturus: & ut Arabes pro more sibi consueto stipendium accepturi venissent; asperis ver-

pag. 279.

bis adegit. Dominus noster, inquiens, militibus stipendia vix solvit, quanto minus canibus istis distribuet? Arabes ita male accepti ad contribules suos se recepere, eosque inde adduxerunt ad agrum Gazæ, quæ ad ipsas deserti fauces contra Sinæum montem sita opibus quamplurimis abundat.

A ἀδνοῦχος ἀπεδίωξεν αὐτὰς, λέγων· ὅτι ὁ δεσπότης μόγις τοῖς στρατιώταις δίδωσι ῥόγας, πόσῳ μᾶλλον τοῖς κυσὶ τούτοις; θλιβέντες οὖν οἱ Ἄραβες ἀπῆλθον πρὸς τὰς ὁμοφύλους, καὶ αὐτοὶ ὡδήγησαν αὐτὰς ἐπὶ τὴν χώραν Γάζης στόμιον οὖσης τῆς ἐρήμου κατὰ τὸ Σιναῖον ὄρος πλουσίαν σφόδρα.

Persarum rex Hormisdas annis undecim.

Περσῶν βασιλεὺς Ὁρμίσδας ἔτη ια'.

Anni mundi 6124.	Divinæ Incarn. 624.	Rom. Imperat. Heraclius annis 31.	Arabum Dux Abubacharus annis 3.		Constant. Episc. Sergius annis 29.	Hierosol. Episc. Modest. annis 2.	Alex. Episc. Georgius annis 13.	
		23	2		24	2	14	

B

Κόσμου ἔτ. ϛρκδ'.	Τῆς θείας σαρκ. χκδ'.	Ῥωμ. βασ. Ἡράκλειος ἔτη λα'.	Αράβ. ἀρχηγ. Ἀβουβάχαρος ἔτη		Κωνσ. ἐπίσκ. Σέργιος ἔτη κθ'.	Ἱεροσο. ἐπίσκ. Μόδεστος ἔτη β'.	Ἀλεξ. ἐπίσκ. Γεώργιος ἔτη ιδ'.	
		κγ'	β'		κδ'	β'	ιδ'	

Hoc anno Abubacharus Duces quatuor, ut præfatus sum, misit; qui ab Arabibus deducti, Heram & universam Gazæ regionem cepere, quæ versus montem Sinæum Deserti fauces occupat. Quibus cum Sergius tandem aliquando Cæsarea urbe Palæstinæ cum paucis adeo militibus obviam procurrisset, certamine inito, ipse primus cum cæteris militibus, qui trecenti omnino erant, cæsus est. Quare ipsi ingenti præda parta, pluribusque captivis abactis insigni victoria potiti, domum reversi sunt.

Eodem etiam anno terræ motus in Palæstina contigit: Signumque in cælo meridiem versus visum est, Docitem a Trabis forma vocant: quod Arabum imperium portendebat: duravitque dies triginta, a meridie ad Septentrionem usque exporrectum, & gladii formam præseferebat.

Τούτῳ τῷ ἔτει πέμψας Ἀβουβάχαρος δ'. ὁδηγηθέντες, ὡς προέφην, ἦλθον καὶ ἔλαβον τὴν Ἡραν καὶ πᾶσαν χώραν Γάζης, στόμιον οὖσης τῆς ἐρήμου κατὰ τὸ Σιναῖον ὄρος. μόγις δέ ποτε ἐλθὼν ἀπὸ Καισαρείας Παλαιστίνης Σέργιος σὺν στρατιώταις ὀλίγοις καὶ συμβαλὼν πόλεμον, κτείνεται πρῶτος σὺν τοῖς στρατιώταις τριακοσίοις οὖσιν· καὶ πολλοὺς αἰχμαλώτους λαβόντες, καὶ λάφυρα πολλά, ὑπέστρεψαν μετὰ λαμπρᾶς νίκης.

Αὐτῷ δὲ τῷ χρόνῳ σεισμὸς ἐγένετο κατὰ τὴν Παλαιστίνην· καὶ ἐφάνη σημεῖον ἐν τῷ οὐρανῷ κατὰ

C μεσημβρίαν, ὁ λεγόμενος δοκίτης, προμηνύων τὴν τῶν Ἀράβων ἐπικράτησιν· ἔμεινε δὲ ἐπὶ ἡμέρας τριάκοντα διατείνων ἀπὸ μεσημβρίας ἕως Ἄρκτου. ἦν δὲ ξιφοειδής.

					Hierosoly. Episc. Sophronius annis 3.	Alexand. Episc. Cyrus annis 10.	
		24	3	25	1	1	

				K.	Ἱεροσ. ἐπίσκ. Σωφρόνιος ἔτη γ'.	Ἀντ. ἐπίσκοπος Κῦρος ἔτη ι'.	
		κδ'	γ'	κε'	α'.	α'	

Hoc anno Abubacharus duobus annis & dimidio principatu occupato extinctus est: tum vero tyrannidem Umarus obtinet, qui Bostram & plures alias civitates expugnavit: & ad Gabetha usque penetravit. Theodorus autem Imperatoris Heraclii frater cum iis conserta pugna victus est: & ad Imperatorem Edessam rediit. Imperator Ducem alium Baanem nomine præficit, & Theodorum Sacellarium & ambos, cum armata multitudine adversus Arabes instruit. Is Emesam profectus, obviam Saracenorum agmen habuit: quibus deletis, Ameræ principatu fungentem, & reliquos universos Damascum usque fugat: ibique ad Bardanesium amnem castra fixit. Heraclius porro quasi rebus in desperatis Syria relicta, & venerandis lignis Hierosolyma asportatis, CP. recessit. Baanem vero Damasco Emesam reverti jubet: atque etiam Theodorum Sacellarium qui quadraginta millium militum aciem ducebat. Isti Emesa Damascum usque prosequuntur Arabes.

Edit. Paris. pag. 280.

Persarum rex Hormisdas annis undecim regnat.

Τούτῳ τῷ ἔτει Ἀβουβάχαρος τελευτᾷ ἀμηρεύσας δύο

D ἥμισυ ἔτη· καὶ παραλαμβάνει τὴν ἀρχὴν Οὔμαρος, ὃς παραλαμβάνει Βόστραν τὴν πόλιν μετὰ καὶ ἄλλων πόλεων. ἀπεδήμησαν δὲ μέχρι τῶν Γαβιθᾶ. τούτοις συμβαλὼν Θεόδωρος ὁ τοῦ βασιλέως Ἡρακλείου ἀδελφὸς ἡττήθη, καὶ πρὸς τὸν βασιλέα ἐν Ἐδέσσῃ ἔρχεται. ὁ δὲ βασιλεὺς προχειρίζεται ἕτερον στρατηγὸν ὀνόματι Βαάνην, καὶ Θεόδωρον Σακελλάριον μετὰ μεγάλης δυνάμεως πέμπει κατὰ Ἀράβων· παραγενόμενος δὲ εἰς τὴν Ἔμεσαν συναντᾷ πλῆθος Σαρακηνῶν, καὶ ἀποκτείνας αὐτὰς, καὶ τὸν ἀμηρεύοντα αὐτῶν καὶ τοὺς λοιποὺς ἀπελαύνει ἕως Δαμασκοῦ. κἀκεῖσε παρὰ τὸν Βαρδανήσιον ποταμὸν παρεμβάλλει. Ἡράκλειος δὲ τὴν Συρίαν καταλιπὼν, ὡς ἀπελπίσας, ἄρας καὶ τὰ τίμια ξύλα ἀπὸ Ἱερουσαλὴμ

E ἐπὶ τὴν ΚΠ. ἀπῄει. Βαάνην δὲ ἀπὸ Δαμασκοῦ εἰς Ἔμεσαν κελεύει στρέφεσθαι, καὶ Θεόδωρον Σακελλάριον ἔχοντα στρατὸν χιλιάδας μ'. καὶ διώκουσιν Ἄραβας ἀπὸ Ἐμέσης ἕως Δαμασκοῦ.

Περσῶν βασιλεὺς Ὁρμίσδας ἔτη ια'.

Κόσμου ἔτη ϛρκϛ'.	Τῆς θείας σαρκ. ἔτ. χκϛ'.	Ρωμ. Βασιλ. Ηράκλειος ἔτη λα'.	Αράβ. ἀρχηγ. Οὔμαρος ἔτη ιβ'.		ΚΠ. ἐπίσκ. Σέργιος ἔτη κθ'.	Ιεροσ. ἐπίσκ. Σωφρόνιος ἔτη γ'.	Αλεξ. ἐπίσ. Κῦρος ἔτη ι'.	
		κε'	ε'		κϛ'	β'	β'	

Anni mundi 6126.	Divinæ Incarn. 626.	Rom. Imp. Heraclius annis 31.	Arabum Dux Umarus annis 12.		Constant. Episc. Sergius annis 29.	Hierosol. Episc. Sophronius annis 3.	Alex. Episc. Cyrus annis 10.	
		25	5		26	2	2	

Τούτῳ τῷ ἔτει ἐβασίλευσε Κωνσταντῖνος σὺν τοῖς ἀδελφοῖς αὐτοῦ. καὶ ἀπεστράτευσαν Σαρακηνοὶ τὴν Ἀφρικὴν· καὶ ᾐχμαλώτευσαν χιλιάδας ὀγδοήκοντα, ὡς φασίν. οἱ δὲ τοῦ θέματος τῶν Ἀνατολικῶν ἦλθον ἐν Χρυσοπόλει, λέγοντες· ὅτι, εἰς τὴν τριάδα πιστεύομεν· τοὺς τρεῖς στέψωμεν. ἐταράχθη ὁ Κωνσταντῖνος, ὅτι μόνος ἦν ἐστεμμένος. οἱ δὲ ἀδελφοὶ αὐτοῦ οὐδεμίαν ἀξίαν εἶχον· καὶ ἀποστείλας Θεόδωρον Πατρίκιον τὸν Κολωνείας ἐτροπώσατο αὐτούς, ἐπαινέσας αὐτούς. καὶ ἔλαβε τὰ πρωτεῖα αὐτῶν τοῦ ἀνελθεῖν ἐν τῇ πόλει, καὶ μετὰ τῆς συγκλήτου βουλεύσασθαι, καὶ ποιῆσαι τὸ θέλημα αὐτῶν. εὐθέως δὲ ὁ βασιλεὺς αὐτοὺς ἐφούρκισεν ἀντίπεραν ἐν Συκαῖς. καὶ τοῦτο ἰδόντες, καὶ καταισχυνθέντες εἰσῆλθον ἐν ὀδύνῃ εἰς τὰ ἴδια. ὁ δὲ βασιλεὺς τοὺς ἀδελφοὺς αὐτοῦ ἐρινοκόπησεν.

Hoc anno Constantinus cum fratribus imperium administravit. Saraceni vero comparato exercitu in Africam excurre- D runt, & octoginta hominum millia, ut ferunt, in captivitatem miserunt. Thematis porro Orientalium milites Chrysopolim accesserunt, dicentes: In Trinitatem credimus: Imperatores tres coronemus. Constantinus, qui solus imperii coronam susceperat, his auditis turbatus est: quamvis ejus fratres nulla imperii dignitate penes populum essent conspicui. Misso itaque Theodoro Coloniæ Patricio, propositaque laudis & consilii eorum alibi probandi specie, sententiam eorum devertit & elusit. Primores enim eorum & clamoris auctores in Urbem transire jussos, & ut postulatis fieret satis, Senatus consultum expetere persuasos, trans por- E tum in Sycæna regione patibulis affixos sceleris pœnam ferre Imperator decrevit. Reliqui viso hujusmodi spectaculo, pudore suffusi domum redierunt. Post hæc fratres naribus mutilari Imperator edixit.

Anni mundi 6163.	Divinæ Incarn. 663.	Rom. Imp. Constans annis 17.	Arabum Dux Mavias annis 22.		CP. Episc. Joannes annis 6.			
		2	15		3			

A

Κόσμου ἔτη ,ϛρξγ´.	Τῆς θείας σαρ. ἔτ. χξγ´.	Ρωμ. Βασιλ. Κωνσταντῖνος ἔτη ιζ´.	Ἀράβ. ἀρχηγ. Μαυίας ἔτη κβ´.		ΚΠ. ἐπίσκ. Ἰωάννης ἔτη ϛ´.			
		β´	ιε´		γ´			

Hoc anno hyems adeo vehemens terris incubuit: ut multi homines atque animalia periclitata sint. Porro Phadalas ad Cyzicum hyemavit.

Τούτῳ τῷ ἔτει χειμὼν μέγας ἐγένετο, καὶ πολλοὶ ἐκινδύνευσαν ἄνθρωποι, καὶ θηρία. καὶ ἐχείμασε Φαδαλᾶς εἰς Κύζικον.

		3	16		4			

		γ´	ιϛ´		δ´			

Edit. Paris. pag. 294.

Hoc anno Busur expeditione suscepta, captivorum multitudinem abegit, & ad suos se recepit.

B Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Βοσοὺρ, καὶ ᾐχμαλώτευσε πολλοὺς, καὶ ὑπέστρεψεν.

		4	17		5			

		δ´	ιζ´		ε´			

Hoc anno Iris in cælo conspecta carni omni tremorem incussit mense Martio Dystro: adeo ut omnes rerum universarum consummationem advenisse prædicarent. Eodem anno qui Christi fide negata Saracenorum acies ducebant Muamed & Caisus classe maxima præparata, cum ea Ciliciam præternavigaverunt, egeruntque hyberna, Muamed quidem filius Abdelæ Smyrnæ, Caisus vero in Cilicia & Lycia. Horenda quoque mortalitas universam Ægyptum incessit. Porro Ameram alium Chale nomine cum classe ad ferendum auxilium, quod & pugnare & aliquid audere valeret, summisit. Memoratus autem Constantinus comperto Dei adversariorum in CP. proposito, biremes etiam cacabos igne oppletos ferentes, & dromones siphonibus eumdem ignem spirantes, ad Proclianisium Cæsarii portum in hostes impressionem facturos præparari jussit.

Τούτῳ τῷ ἔτει ἐφάνη ἶρις ἐν τῷ οὐρανῷ, καὶ ἔφριξε πᾶσα σάρξ, ἐν μηνὶ Μαρτίῳ Δύστρῳ, ὥστε λέγειν πάντας· ὅτι συντέλεια ἐστί. τούτῳ τῷ χρόνῳ στόλον μέγαν ἐξαρτύσαντες οἱ ἀρνηταὶ τοῦ Χριστοῦ, καὶ παραπλεύσαντες Κιλικίαν, παρεχείμασαν εἰς Σμύρνην Μωαμὲδ ὁ τοῦ Αβδελᾶ, Καΐσος δὲ εἰς Κιλικίαν καὶ Λυκίαν. καὶ ἐγένετο θανατικὸν ἐν Αἰ-C γύπτῳ. ἀπέστειλε δὲ Χαλὲ τὸν Αμηραῖον μετὰ καὶ ἑτέρου στόλου πρὸς βοήθειαν αὐτῶν, ὡς ἱκανώτατον καὶ πολεμικὸν εἰς μάχην. ὁ δὲ προλεχθεὶς Κωνσταντῖνος τὴν τοιαύτην τῶν θεομάχων κατὰ ΚΠ. ἐγνωκὼς, κατασκεύασε καὶ αὐτὸς διήρεις δὶμεγέθεις * κακκαβοπυρφόρους καὶ δρόμωνας σιφωνοφόρους· καὶ τούτοις προσορμίσαι ἐκέλευσεν ἐν τῷ Προκλιανισίῳ τοῦ Καισαρίου λιμένι.

* κακκαβοπυρφόρους

		5	18		6			

		ε´	ιη´		ϛ´			

Hoc anno belli maritimi renovatrix illa Dei adversariorum classis ad Thraciæ fines appulit, ab Occidentali nimirum promontorio, cui alias Magnauræ cognomentum, adusque rursus Orientis promontorium, quod vulgus Cyclobium vocat. Singulis itaque diebus a diluculo ad vesperam, ab Auræ portæ Armilla ad prænominatum Cyclobium armis se se impellentium ac vicissim bellica vi repulsorum creber, imo quotidianus, excitabatur & reparabatur conflictus. Hujusmodi vero cœptis insistebant, & in singulos annos priores renovabant conatus a mense Aprili ad Septembrem usque: Reversi vero Cyzicum aggrediuntur, & ea capta, illic hyberna ducunt. Porro vere redeunte applicata rursum classe novum pariter bellum cum Christianis mari restaurabant. Bello tandem per annos septem in hunc modum protracto, & amissa virorum bellicorum innumera multitudine, vulneribus insuper & lue maxima ipsis inflicta, Deo Deique genitrice auxiliarem manum conferentibus, cum dedecore & animi dolore recessere. Ea igitur classis Dei manu submergenda vela faciens, ad Sylæi plagam adverso fluctu jactata, & procella vehementi appetita, fractis ad saxa, vel in profundum absorptis ratibus tota disperiit. Suphiam autem filius, Ayph minor frater cum Floro, Petrona, & Cypriano, Romanorum militum armatam manum secum ducentibus manus conse-

Τούτῳ τῷ ἔτει ὁ προλεχθεὶς τῶν θεομάχων στόλος ἀναβάλας προσώρμισεν ἐν τοῖς Θρακῴοις μέρεσιν ἀπὸ τῆς πρὸς δύσιν ἀκρότητος τοῦ Εβδόμου, D ἤτοι τῆς λεγομένης Μαγναύρας μέχρι πάλιν τοῦ πρὸς ἀνατολὴν ἀκρωτηρίου τοῦ λεγομένου Κυκλοβίου. κατὰ πᾶσαν οὖν ἡμέραν συμβολὴ πολέμου ἐκροτεῖτο ἀπὸ πρωῒ ἕως ἑσπέρας, ἀπὸ βραχιολίου τῆς Χρυσῆς πόρτης μέχρι τοῦ Κυκλοβίου ἑαυτοὺς ὠθοῦντες καὶ ἀντωθούμενοι. ἐν τούτοις δὲ διετέλεσαν ἀπὸ τοῦ Απριλλίου μηνὸς μέχρι τοῦ Σεπτεμβρίου. καὶ ὑποστρέψαντες ἀπέρχονται ἐν Κυζίκῳ, καὶ ταύτην παραλαβόντες, ἐκεῖσε παρεχείμαζον. καὶ κατὰ τὸ ἔαρ ἀναβάλλων ὁμοίως πόλεμον διὰ θαλάσσης συνῆπτε μετὰ τῶν Χριστιανῶν. ἐπὶ ἑπτὰ ἔτη δὲ τοῦτο τελέσαντες, τῇ τοῦ Θεοῦ E βοηθείᾳ καὶ τῆς Θεομήτορος, πλῆθος τε ἀποβαλόντες ἀνδρῶν μαχίμων, καὶ τραυματίας μεγίστους εἰς αὐτοὺς γεγεννημένους, ἀνθυπέστρεψαν μετὰ μεγάλης λύπης. ἐκπορίζων δὲ ὁ αὐτὸς θεοβύθιστος στόλος, κατελήφθη ὑπὸ χειμερίου ζάλης καὶ πνεύματος καταιγίδος ἐπὶ τὰ μέρη τοῦ Συλαίου· καὶ συντριβεὶς ὁλοσχερῶς ὤλετο. Σουφιὰν δὲ ὁ υἱὸς, τοῦ Αὺφ ὁ δεύτερος ἀδελφὸς. συνέβαλε πόλεμον μετὰ Φλώρου, καὶ Πετρωνᾶ, καὶ Κυπριανοῦ ἐχόντων Ρωμαϊκὴν δύνα-

μιν· καὶ ἀπτείνονται Ἄραβες χιλιάδες λ'. τότε Καλλίνικος ἀρχιτέκτων ἀπὸ Ἡλίου πόλεως Συρίας προσφυγὼν τοῖς Ῥωμαίοις πῦρ θαλάσσιον κατασκευάσας τὰ τῶν Αράβων σκάφη ἐνέπρησε, καὶ σύμψυχα κατέκαυσε. καὶ οὕτως οἱ Ῥωμαῖοι μετὰ νίκης ὑπέστρεψαν, καὶ τὸ θαλάσσιον πῦρ εὗρον.

A

ruit: eaque pugna Arabum triginta milia cæsa fuere. Tum vero Callinicus Heliopolensis in rebus arte parandis strenuus, Syria ad Romanos deficiens, igne marino excogitato, Arabum navigia, ipsis hominibus vivis consumptis, succendit. Sicque Romani victores reversi sunt: ignemque marinum invenere.

Edit Paris. pag. 295.

Τούτῳ τῷ ἔτει ἐχείμασεν Ἀβδελᾶς υἱὸς Καΐς, καὶ Φαδαλᾶς εἰς Κρήτην.

B

Hoc anno Abdelas filius Caisi, & Phadalas Cretæ hyemaverunt.

			ζ'	ι'		β'			

			7	10		2			

Τούτῳ τῷ ἔτει ἐφάνη σημεῖον ἐν οὐρανῷ ἐν ἡμέρᾳ σαββάτῳ.

Hoc anno quodam sabbati die signum in cælo apparuit.

					ΚΠ ἐπίσ. Θεόδωρος ἔτη β'.			
			ι'	κα'	β'			

Τούτῳ τῷ ἔτει ἐγένετο ἀκρὶς μεγάλη κατὰ τε Συρίαν, καὶ Μεσοποταμίαν.

Hoc anno magna locustarum vis Syriam & Mesopotamiam infestavit.

C

Κόσμου ἔτη ςρξθ'.	Τῆς θείας σαρκ. ἔτη χξθ'.	Ῥωμ. βασ. Κωνσταντῖνος ἔτ. ιζ'.	Ἀράβ. ἀρχηγὸς Μαυΐας ἔτη κδ'.		Κωνσ. ἐπίσκ. Θεόδωρος ἔτη β'.			
		θ.	κβ'		β'			

Anni mundi 6169.	Divinæ incarn. anni 669.	Rom. Imp. Const. annis 17.	Arab. dux Mavias annis 24.		Const. Episc. Theodorus annis 2.			
		9	21		2			

Τούτῳ τῷ ἔτει εἰσῆλθον Μαρδαΐται εἰς τὸν Λίβανον καὶ ἐκράτησαν ἀπὸ τοῦ Μαύρου ὄρους ἕως τῆς ἁγίας πόλεως· καὶ ἐχειρώσαντο τὰς τοῦ Λιβάνου περιωπάς· καὶ πολλοὶ δοῦλοι, καὶ αἰχμάλωτοι, καὶ αὐτόχθονες πρὸς αὐτοὺς κατέφυγον· ὥστε δι᾽ ὀλίγου χρόνου εἰς πολλὰς χιλιάδας γενέσθαι. καὶ ταῦτα μαθὼν Μαυΐας καὶ οἱ σύμβουλοι αὐτοῦ ἐφοβήθησαν σφόδρα· συλλογισάμενοι ὅτι τὸ βασίλειον τῶν Ῥωμαίων ὑπὸ Θεοῦ φρουρεῖται. καὶ ἀποστέλλει πρέσβεις πρὸς τὸν αὐτοκράτορα Κωνσταντῖνον ζητῶν εἰρήνην. ὁ δὲ βασιλεὺς τοὺς τοιούτους πρέσβεις δεξάμενος, καὶ τὴν αἴτησιν αὐτῶν ἀκηκοὼς, ἀπέστειλε σὺν αὐτοῖς ἐν Συρίᾳ Ἰωάννην τὸν Πατρίκιον, τὸν ἐπίκλην Πιτζιγαύδην, ὡς ἀρχαιογενῆ τῆς πολιτείας, καὶ πολύπειρον ὄντα, καὶ μεγάλης ἀντεχόμενον φρονήσεως, ἐπὶ τὸ ἁρμοδίως διαλεχθῆναι τοῖς Ἄραψι, καὶ τὰ τῆς εἰρήνης συμφωνῆσαι. τοῦ δὲ καταλαβόντος ἐν Συρίᾳ, ὁ Μαυΐας σύρρευμα πεποιηκὼς τῶν τε Ἀμηραίων, καὶ Κορασηνῶν ἐδέξατο αὐτὸν μετὰ μεγάλης τιμῆς. πολλῶν οὖν λεχθέντων ἀναμεταξὺ αὐτῶν εἰρηνικῶν λόγων, συνεφωνήθη πρὸς ἑκατέρας ἔγγραφον εἰρήνης γενέσθαι μεθ᾽ ὅρκου λόγον ἐπὶ συμφώνῳ ἐτησίῳ πάκτῳ παρέχεσθαι τῇ Ῥωμαϊκῇ πολιτείᾳ παρὰ τῶν Ἀγαρηνῶν χρυσοῦ χιλιάδας τρεῖς, καὶ ἄνδρας αἰχμαλώτους ν'. καὶ ἵππους εὐγενεῖς ν'. ταῦτα στοιχηθέντα μεταξὺ τῶν δύο μερῶν ἐπὶ χρόνους λ'. φυλάττεσθαι πλατεῖαν εἰρήνην ἀνὰ μέσον Ῥωμαίων καὶ Ἀράβων καὶ τῶν τοιούτων καθολικῶν δύο ἐγγράφων λόγων πρὸς ἀλλήλους μεθ᾽ ὅρκων, καὶ ἀλλήλοις ἐπιδοθέντων, ὁ πολλαχῶς λεχθεὶς πανεύφημος ἀνὴρ

D

Hoc anno Mardaitæ Libanum aggressi tenuerunt quicquid a Mauro monte est, usque ad sanctam urbem, & Libani cacumina quæque occupavere: multique tam servi & captivi quam indigenæ ad eos se adjunxerunt; ita ut intra breve admodum temporis spatium ad multa millia excreverint. Quo audito, Mavias ejusque consiliarii valde extimuere, adeo ut imperium Romanum sub Dei tutela consistere reputantes, Legatos de pace habenda ad Imperatorem Constantinum summiserint. Imperator hos benigne excipiens, precibus illorum admissis, delegavit cum ipsis in Syriam Joannem Patricium cognomento Pitsigaudem, ut seniorem in Rep. multæque experientiæ & prudentiæ virum, qui videlicet apte & commode cum Arabibus colloqueretur, pacisque conditiones componeret. Is ubi venit in Syriam, Mavias collecto Ameræorum & Corasenorum concilio ipsum perhonorifice excepit. Posteaquam vero multa super pace agitata & hinc inde disceptata fuissent, tandem inter utrosque convenit, ut pacis conditiones interposito jurejurando seriberentur: nimirum ut pro vectigali annuo auri pondo tria millia, homines item captivos quinquaginta, & equos generosos quinquaginta Agareni Rom. Reip. penderent. Quibus demum utrinque pactis, pace firma inter Romanos atque Arabes ad annos triginta constituta, publicisque duobus instrumentis ad utramque partem invicem datis, celebris ille, ac sæpius laudatus vir cum muneribus maximis ad Imperatorem reversus est. Hoc ubi per cepere qui occa-

pag. 296.

E

sum incolebant, Chaganus Abarum Princeps, cæterique illarum provinciarum Reges, Duces, & Castaldi, virique Occidentalium nationum Primores, Legatos una cum muneribus ad Imperatorem pacis concordiæque cum ipso ineundæ firmandæque gratia, misere. Imperator eorum precibus concedens, pacem, qua se testaretur dominum, cum ipsis firmavit. Atque ita quies & tranquillitas maxima tam in Oriente, quam in Occidente obtinuit.

A πρὸς τὸν βασιλέα ἀπέστρεψε μετὰ καὶ δώρων πολλῶν. ταῦτα μαθόντες οἱ τὰ ἑσπέρια οἰκοῦντες μέρη. ὅτε Χαγάνος τῶν Ἀβάρων, καὶ οἱ ἐπέκεινα ῥῆγες, ἐξαρχοίτε, καὶ Κάσαλδοι, καὶ οἱ ἐξοχώτατοι τῶν πρὸς τὴν δύσιν ἐθνῶν διὰ πρεσβευτῶν δῶρα τῷ βασιλεῖ στείλαντες, εἰρηνικὴν πρὸς αὐτοὺς ἀγάπην κυρωθῆναι ᾐτήσαντο, εἴξας οὖν ὁ βασιλεὺς ταῖς αὐτῶν αἰτήσεσι, ἐκύρωσε καὶ πρὸς αὐτοὺς δεσποτικὴν εἰρήνην. καὶ ἐγένετο ἀμεριμνία μεγάλη ἔν τε τῇ ἀνατολῇ, καὶ ἐν τῇ δύσει.

B

Hoc anno magnus terræ motus per Mesopotamiam extitit, quo Ambo, & Ecclesiæ Edessenæ Trullus corruit: eum vero Mavias suasu atque precibus Christianorum restaurat.

Τούτῳ τῷ ἔτει γέγονε σεισμὸς μέγας κατὰ τὴν Μεσοποταμίαν, ἐν ᾧ πίπτει τὸ Βατὸν, καὶ ὁ Τροῦλλος τῆς ἐκκλησίας Ἐδέσσης, καὶ κτίζει αὐτὸν Μαυΐας σπουδῇ τῶν Χριστιανῶν.

| | | 12 | 24 | | 2 | | | |

| | | ια' | κδ' | | β' | | | |

Hoc anno mensis Aprilis die sexto, Indictione prima, Mavias primus Saracenorum rex letho extinctus est. Gentis suæ Duceon se gessit annos viginti, Ameram se renunciavit annos viginti quatuor: Izid vero ejus filius post eum principatum obtinuit. Sub id vero tempus Bulgarorum gens in Thraciam irrupit. Sane de Unnobundobulgarorum & Contragorum antiquitate nonnihil hic delibare operæ pretium duco. Ad Euxini ponti partes trans mare positas, & Septentrioni subjectas, ad Mæotidem nimirum paludem, in quam fluvius ingens ex Oceano per Sarmatarum terram procurrens Atalis nomine exoneratur, in quem etiam fluvius alter Tanais dictus, ipse pariter ab Iberiis portis ad Caucasios montes fixis profluens; ex concursu vero Tanais & Atalis (Hic enim Atalis supra memoratam Mæotidem paludem ab altero diffinditur) emergit amnis, cui Cuphis nomen impositum, qui in maris Pontici finem juxta Necropylas ad promontorium, quod Arietis facies vocatur, prorumpit. A designata vero palude mare fluminis instar latum, in ipsius Euxini ponti sinum per Bosphorum & Cimmerii regionem exundat; in eo flumine Murzulium, & huic similes expiscantur; & ad Orientalem quidem præjacentis paludis plagam, Phanaguriam nuncupant, & Hebræos istic degentes, hominum nationes pleræque numerantur; ab ipsa vero palude ad fluminis Cuphis limites, in quibus Xystus Bulgaricus piscis capitur, ipsa antiqua magnaque Bulgaria sita est, & quæ Cotragorum Bulgaris contribulium vocatur regio. Cæterum Constantini temporibus, qui in Occidente * * * * * Crobatus quidam præfatæ Bulgariæ Cotragorumque Dominus letho vicinus filios quinque post se relinquens, iis condito testamento præcepit, uniuscujusque dominio firmo ac stabili retinendo, & ab exterarum gentium servitute vindicando ne seorsim a se invicem habitarent: at cum post breve tempus a patris obitu quinque liberi illi ad distribuendas ad invicem dominii por-

Edit. Paris. pag. 297.

C Τούτῳ τῷ ἔτει ἀπεβίω Μαυΐας τῶν Σαρακηνῶν πρῶτος βασιλεὺς μηνὶ Ἀρτεμισίῳ ϛ'. ἰνδικτιῶνι α'. γέγονε δὲ στρατηγὸς ἔτη κ'. καὶ ἀμηρεύσεν ἔτη κδ'. καὶ ἦρξεν Ἰζὶδ ὁ υἱὸς αὐτοῦ· ἐν τούτῳ τῷ χρόνῳ τὸ τῶν Βουλγάρων ἔθνος ἐπῆλθε τῇ Θρᾴκῃ. ἀναγκαῖον δὲ εἰπεῖν καὶ περὶ τῆς ἀρχαιότητος τῶν Οὐννοβουνδοβουλγάρων καὶ Κοτράγων. ἐν τοῖς ἀρκτῴοις περατικοῖς μέρεσι τοῦ Εὐξείνου πόντου, ἐν τῇ λεγομένῃ Μαιώτιδι λίμνῃ, εἰς ἣν εἰσάγεται ποταμὸς μέγιστος ἀπὸ τοῦ Ὠκεανοῦ καταφερόμενος διὰ τῆς τῶν Σαρματῶν γῆς, λεγόμενος Ἀτάλις, εἰς ὃν εἰσάγεται ὁ λεγόμενος Τάναις ποταμὸς καὶ αὐτὸς ἀπὸ τῶν Ἰβηρίων πυλῶν ἐξερχόμενος τῶν ἐν τοῖς Καυκασίοις ὄρεσιν, ἀπὸ δὲ τῆς μίξεως τοῦ Τάναι καὶ τοῦ Ἀτὰλ, (ἄνωθεν τῆς προλεχθείσης Μαιώτιδος λίμνης σχιζομένου τοῦ Ἀτὰλ) ἔρχεται ὁ λεγόμενος Κοῦφις ποταμὸς, καὶ ἀποδίδει εἰς τὸ τέλος τῆς Ποντικῆς θαλάσσης πλησίον τῶν Νεκροπυλῶν εἰς τὸ ἀκρωμα τὸ λεγόμενον Κριοῦ πρόσωπον. ἀπὸ δὲ τῆς προσημανθείσης λίμνης ἴσα ποταμῷ θάλασσα, καὶ εἰσάγεται εἰς τὴν τοῦ Εὐξείνου πόντου θάλασσαν διὰ τοῦ Βοσπόρου καὶ Κιμμερίου, ἐξ οὗ ποταμοῦ ἀγρεύεται τὸ λεγόμενον Μυρζούλιο, καὶ τὰ τούτου ὅμοια, καὶ εἰς μὲν τὰ πρὸς ἀνατολὴν μέρη τῆς προκειμένης λίμνης ἐπὶ Φαναγουρίαν, καὶ τοὺς ἐκεῖσε οἰκοῦντας Ἑβραίους παράκεινται ἔθνη πλεῖστα· ἀπὸ δὲ τῆς αὐτῆς λίμνης εἰς τὸν λεγόμενον Κοῦφιν ποταμὸν, ἔνθα τὸ Ξυστὸν ἀγρεύεται Βουλγαρικὸν ὀψάριον, ἡ παλαιὰ Βουλγαρία ἐστὶν ἡ μεγάλη, καὶ οἱ λεγόμενοι Κότραγοι ὁμόφυλοι αὐτῶν καὶ οὗτοι τυγχάνοντες. ἐπὶ τῶν χρόνων Κωνσταντίνου τοῦ εἰς τὴν δύσιν **** Κροβάτου τοῦ κυρίου τῆς λεχθείσης Βουλγαρίας καὶ τῶν Κοτράγων τὸν βίον μεταλλάξαντος, καὶ πέντε καταλιπόντος υἱοὺς, καὶ διατυπώσαντος μηδαμῶς τούτους ἀποχωρισθῆναι ἐκ τῆς πρὸς ἀλλήλους διαίτης διὰ τὸ πάντῃ κυριεύειν αὐ-

D

E

τῆς, καὶ ἑτέρῳ μὴ δουλωθῆναι ἔθνει. μετ' ὀλίγον δὲ χρόνον τῆς ἐκείνου τελευτῆς εἰς διαίρεσιν ἐληλυθότες οἱ πέντε αὐτοῦ υἱοὶ, διέστησαν ἀπ' ἀλλήλων μετὰ τοῦ ἐν ὑπεξουσιότητι αὐτῶν ὑποκειμένου λαοῦ· καὶ ὁ μὲν πρῶτος υἱὸς ὁ λεγόμενος * Βατβαϊὰν τὴν ἐντολὴν τοῦ οἰκείου φυλάξας πατρὸς, διέμεινεν ἐν τῇ προγονικῇ αὐτοῦ γῇ μέχρι τῆς δεῦρο. ὁ δὲ δεύτερος τούτου ἀδελφὸς, ὁ λεγόμενος Κοτράγος, τὸν Τάναϊν διαβὰς ποταμὸν ἀπέναντι τοῦ πρώτου ᾤκησεν ἀδελφοῦ. ὁ δὲ τέταρτος καὶ ὁ πέμπτος τὸν Ἴστρον, ἤτοι Δάνουβιν, περαιωθέντες ποταμὸν, ὁ μὲν εἰς Παννονίαν τῆς Ἀραβίας ὑποταγεὶς τῷ Χαγάνῳ τῶν Ἀβάρων, ἔμεινεν ἐκεῖ μετὰ τῆς δυνάμεως αὐτοῦ. ὁ δὲ τὴν πρὸς τῇ Ῥαβέννῃ Πεντάπολιν καταλαβὼν, ὑπὸ τὴν βασιλείαν τῶν Χριστιανῶν γέγονεν. ἔπειτα τούτων ὁ τρίτος, Ἀσπαρούχ λεγόμενος, τὸν Δάναπριν καὶ Δάναστριν περάσας, καὶ τὸν Ὄγκλον καταλαβὼν βορειοτέρους τοῦ Δανούβεως ποταμοὺς, μεταξὺ τούτων κἀκείνου ᾤκησεν, ἀσφαλῆ καὶ δυσμάχητον εἶναι τὸν τόπον στοχασάμενος ἐξ ἑκάστου μέρους, τελματώδης ὢν ἔμπροσθεν, καὶ ἄλλοθεν τοῖς ποταμοῖς στεφανούμενος, πολλὴν τῷ ἔθνει τεταπεινωμένῳ διὰ τὸν μερισμὸν τὴν ἐκ πολεμίων παρεῖχεν ἄνεσιν. τούτων δὲ οὕτως εἰς πέντε μέρη διαιρεθέντων, καὶ ἐν βραχύτητι καταστησάντων, ἐξῆλθε τὸ μέγα ἔθνος τῶν Χαζάρων ἀπὸ τοῦ ἐνδοτέρου βάθους Βερζιλίας τῆς πρώτης Σαρματίας, καὶ ἐδέσποσε πάσης τῆς περατικῆς γῆς μέχρι τῆς Ποντικῆς θαλάσσης· καὶ τὸν πρῶτον ἀδελφὸν Βατβαϊὰν τῆς πρώτης Βουλγαρίας ἄρχοντα ὑποτελῆ καταστήσας, φόρους παρ' αὐτοῦ κομίζεται μέχρι τοῦ νῦν. ὁ δὲ βασιλεὺς Κωνσταντῖνος μεμαθηκὼς, ὅτι ἐξάπινα ἔθνος ῥυπαρὸν καὶ ἀκάθαρτον ἐκεῖθεν τοῦ Δανούβεως εἰς τὸν Ὄγκλον ἐσκήνωσε, καὶ τὰ πλησιάζοντα τῷ Δανούβει ἐκτρέχει καὶ λυμαίνεται, τουτέστι τὴν νῦν παρ' αὐτῶν κρατουμένην χώραν, ὑπὸ Χριστιανῶν τότε κρατουμένην, ἠνιάθη σφόδρα. καὶ κελεύει πάντα περάσαι τὰ θέματα ἐν τῇ Θρᾴκῃ. καὶ ἐξοπλίσας στόλον διά τε γῆς καὶ θαλάσσης ἀπεκίνησε, πολέμῳ τούτους ἐκδιῶξαι πειρώμενος· καὶ διὰ μὲν τῆς πρὸς τῷ Ὄγκλῳ καλουμένῳ, Δανούβει ἠπείρου τὰ πεζικὰ διατάξας, διὰ δὲ τῆς πλησιαζούσης ὄχθης τὰς ναῦς προσορμίσας· τοῦτο δὲ τὸ ἄθροον καὶ παμπληθὲς τῆς παρατάξεως οἱ Βούλγαροι θεασάμενοι τῆς ἑαυτῶν ἀπεγνωκότες σωτηρίας, εἰς τὸ προλεχθὲν ὀχύρωμα καταφεύγουσι, καὶ ἑαυτοὺς ἀσφαλίζονται. ἐν τρισὶ δὲ καὶ τέτρασιν ἡμέραις ἐκ τοῦ τοιούτου ὀχυρώματος αὐτῶν μὲν ἐξελθεῖν μὴ τολμησάντων, τῶν δὲ Ῥωμαίων πόλεμον μὴ συναψάντων διὰ τὴν προκειμένην τῶν τελμάτων πρόφασιν, στοχασάμενον τὸ μιαρὸν ἔθνος τὴν χαυνότητα τῶν Ῥωμαίων ἀνελάβετο, καὶ προθυμότερον γέγονε. τοῦ δὲ βασιλέως ἐν ποδαλγίᾳ ὀξυπαθήσαντος, καὶ ἐπὶ Μεσημβρίαν βιασθέντος ὑποστρέψαι, διὰ συνήθειαν λουτροῦ, ἅμα πέντε δρομώνων, καὶ τῶν οἰκείων αὐτοῦ ἀνθρώπων, κατέλιπε τοὺς στρατηγοὺς, καὶ τὸν λαὸν, κελεύσας παρακονδακίζειν καὶ ὑποσύραι αὐτοὺς ἐκ τοῦ ὀχυρώματος, καὶ πόλεμον πρὸς αὐτοὺς κροτῆσαι, εἰ τύχοι αὐτοὺς ἐξελθεῖν· εἰ δὲ μὴ παρακαθίσαι αὐτοῖς, καὶ φυλάττειν ἐν τοῖς ἐρύμασιν, οἱ δὲ τοῦ καβαλλαρικοῦ τὸν βασιλέα φεύγειν διαφημίσαντες, καὶ φόβῳ συναχθέντες, τοιαύτῃ φυγῇ ἐχρή-

* Βατβαιαγάν

tiones singulas processissent, ad invicem rursus cum subjecto suæ potestati populo segregandos se decreverunt. Et primogenitus quidem filius nomine Batbajas, paterni mandati tenax in avito solo ad hunc usque diem constitit. Secundus natu frater, Cotragum dixerunt, Tanai flumine trajecto, ex adverso fratris primogeniti sedes posuit: quartus autem & quintus, flumen Istrum, intellige Danubium, prætervecti, ille quidem in Pannoniam Abaricam Chagano Abarum Principi postmodum subdendus cum omnibus suis copiis transit: hic vero Pentapolim ad Ravennam perveniens, Christianorum imperio pariter subjectus remansit. Fratrum deinde istorum tertius Asparuch vocatus Danapri & Danastri fluminibus prænavigatis, & ad Onclum alium amnem jam profectus (hi sunt fluvii Danubio magis Boreales) inter hunc & illos, tutum & inexpugnabilem ex utraque parte locum conjectatus, sedem & habitationem mediam habere constituit. Cum sit enim in anteriore parte paludibus munitus locus, & hinc & inde fluminibus circumcingatur, maximam genti, quæ alioqui propter hanc divisionem imminuta fuerat, ab hostibus securitatem præstitit. His ita in quinque partes divisis, & ad parvum & infirmum quidpiam redactis, numerosa Chazarorum gens ex interiori Berzeliæ, quæ est primæ Sarmatiæ, recessu, prorupit; omnibusque usque ad mare Ponticum sub ditionem suam redactis trans flumen positis provinciis, a Barbaja primæ Bulgariæ Principe (is erat quinque fratrum primus) vectigali sibi reddito, tributum ab eo in hanc usque diem exigit. Imperator Constantinus ubi gentem sordidam & immundam Danubio superato ad Onclum tentoria ex improviso fixisse, & per regionem Danubio adjacentem grassari & stragem inferre (eam nimirum nunc ipsi occupant terram, quæ tum Christianorum ditionis erat) maximum inde concepit dolorem. Jubet itaque legiones omnes in partes Thraciæ migrare: armataque tum mari tum terra militum manu expeditionem suscepit, armorum vi hostes locis occupatis deturbare meditatus: & per continentem quidem, & Onclo sic vocato, Danubioque vicinas terras pedestres copias composuit, & ad vicinas fluminis oras naves applicuit. Porro Bulgari tam repentinum atque numerosum belli ordinem conspicati, in salutis desperationem conjecti, in memoratum præsidium se recipientes, in tuto se se composuere. Tres itaque vel etiam dies quatuor ex hujusmodi præsidio pedem efferre non ausi, sed nec Romani propter adjacentium paludum occasionem ad conflictum descendere confisi, hærent ex parte utraque: tum certe impura gens Romanorum imbecillitate & mollitie conspecta, animos recepit, & ad bellum committendum alacrior effecta est. Interim Imperator acri pedum dolore vexatus balnei facilius & commodius habendi gratia cum solis dromonibus quinque nonnullisque Palatii domesticis Mesembriam redire coactus, exercitus Ducibusque velitari jussis, & hostes e præsidio pellicere, & tandem cum eis rigido Marte, si tamen foras auderent prorumpere; sin minus, obsidione circumcingere, & in suis munimentis occlusos observare, castris abscessit. Equites Imperatorem fugere rati, timore animis concepto in unum glo-

Edit. Paris. pag. 298.

bum collecti, pari quoque fuga nullo persequente aut excitante usi sunt. Bulgari eo spectaculo exciti, fugientes retro insequuntur, & his quidem necem, aliis vulnera gladiis inferunt, reliquos ad Danubium usque coram se fugant. Tum vero flumine trajecto, Barnam ita dictam urbem Odysso vicinam, & mediterraneos agros perveniunt. Cumque locum omnem retrorsum ab amne Danubio, ante vero & ab utroque latere clusuris, sive montium angustiis & mari Pontico probe munitum conspexissent, & Sclavinorum illic degentium septem generationes, quæ dicuntur, in potestatem redegissent; Seberenses quidem ab anteriore Beregaborum clusura ad Orientales plagas, meridiem vero & Occidentem versus ad Abarum usque reliquas gentes septem sibi vectigales factas illuc transtulit, ac collocavit. In hunc itaque modum dilatatis & expansis ditionis eorum terminis, Romanæ Reip. urbes & oppida animis in superbiam elatis diruere ac deprædari cœperunt. Ex quo Imperator coactus pacem cum eis agere, & exigente delictorum nostrorum numero, non sine magno Romani nominis dedecore, pactam annuatim pecuniam eisdem persolvere. Et sane res auditu mirabilis tum nostratibus extitit, tum exteris, eos, qui universas gentes, qua ab ortu ad occasum, rursusque a meridie ad septentrionem longe lateque excurrit orbis, vectigales olim sibi fecere, nunc ab ista abominanda & nuper enata gente esse superatos. Verumtamen Imperator istud ex Dei providentia contingere arbitratus, ceu Evangelii sensu mente probe percepto, pacem fecit: atque ita demum reliquum vitæ suæ spatium sine ullis bellorum tumultibus tranquillum exegit, id præ cæteris summo studio procurans, ut sanctæ Dei Ecclesiæ dissidium ubique passæ a temporibus Heraclii Imperatoris proavi sui, & væsani Sergii, & Pyrrhi, qui CP. throno indigne præfecti unam voluntatem, unamque item actionem in Domino & Deo & Salvatore nostro Jesu Christo docebant, in unionem atque concordiam revocaret. Istorum insanas atque impias opiniones Christianissimus Imperator omnino subvertere cum maxime studeret, universale Concilium Episcoporum ducentorum & octoginta novem congregans, decreta a prioribus sanctis & Oecumenicis Conciliis antea sancita confirmavit, piumque ac rectum de duabus voluntatibus atque actionibus dogma per istud sanctum atque accuratissimum sextum Oecumenicum Concilium promulgari atque statui decrevit. Concilio præfuere piissimos Imperator Constantinus, piique sacrorum Antistites.

Edit. Paris. pag. 299.

σαντο μηδενὸς διώκοντος. οἱ δὲ Βούλγαροι τοῦτο θεασάμενοι ἐπεδίωκον ὀπίσω αὐτῶν, καὶ τοὺς πλείστους ξίφει ἀνεῖλον· πολλοὺς δὲ ἐτραυμάτισαν, καὶ καταδιώξαντες αὐτοὺς μέχρι τοῦ Δανούβεως, καὶ τοῦτον περάσαντες, καὶ ἐλθόντες εἰς τὴν λεγομένην Βάρναν, πλησίον Ὀδύσσου, καὶ τοῦ ἐκεῖσε μεσογείου, καὶ τὸν τόπον ἑωρακότες ἐν πολλῇ ἀσφαλείᾳ διακείμενον, ἐκ μὲν τῶν ὄπισθεν διὰ Δανούβεως ποταμοῦ, ἔμπροσθεν δὲ, καὶ ἐκ πλαγίων τῶν κλεισουρῶν, καὶ τῆς Ποντικῆς θαλάσσης· αὐθεντησάντων δὲ αὐτῶν καὶ τῶν παρακειμένων Σκλαβίνων ἐθνῶν τὰς λεγομένας ἑπτὰ γενεάς· τοὺς μὲν Σεβέρεις κατῴκισαν ἀπὸ τῆς ἔμπροσθεν κλεισούρας Βερεγάβων ἐπὶ τὰ πρὸς ἀνατολὴν μέρη· εἰς δὲ τὰ πρὸς μεσημβρίαν καὶ δύσιν μέχρι Ἀβαρίας τὰς λοιπὰς ἑπτὰ γενεὰς ὑπὸ πάκτον ὄντας· ἐν τούτοις οὖν πλατυνθέντων αὐτῶν ἐπαγαυρίασαν, καὶ ἤρξαντο τὰ ὑπὸ τὴν Ῥωμαϊκὴν πολιτείαν ὄντα κάστρα τε, καὶ χωρία ἐπιῤῥίπτειν, καὶ αἰχμαλωτίζειν. ὅθεν ἀναγκασθεὶς ὁ βασιλεὺς εἰρήνευσε μετ᾽ αὐτῶν ἐτήσια αὐτοῖς συμφωνήσας παρέχειν πάκτα ἐπ᾽ αἰσχύνῃ Ῥωμαίων διὰ πλῆθος πταισμάτων· θαυμαστὸν γὰρ ἦν ἀκοῦσαι τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς, ὅτι ὁ πάντας ἑαυτοῦ ὑποτελεῖς καταστησάμενος, τούς τε κατὰ τὴν ἕω, καὶ δύσιν, καὶ ἄρκτον, καὶ μεσημβρίαν, ὑπὸ τοῦ μυσαροῦ καὶ νεοφανοῦς ἔθνους ἡττήθη. ἀλλ᾽ οὗτος μὲν ἐκ προνοίας Θεοῦ τοῦτο συμβεβηκέναι Χριστιανοῖς πιστώσας, εὐαγγελικῶς διανοησάμενος, εἰρήνευσε· καὶ ἦν ἕως τελευτῆς αὐτοῦ ἠρεμῶν ἐκ παντὸς πολέμου σπουδὴν ἔχων ἐξαίρετον ἑνῶσαι τὰς ἁπανταχοῦ διῃρημένας ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ἀπὸ τῶν χρόνων Ἡρακλείου τοῦ βασιλέως καὶ προπάππου αὐτοῦ, καὶ Σεργίου τοῦ κακόφρονος, καὶ Πύῤῥου τῶν ἀναξίως ἡγησαμένων τοῦ θρόνου ΚΠ. μίαν δὲ θέλησιν καὶ μίαν ἐνέργειαν ἐπὶ τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δογματισάντων, ὧν τὰς κακοδοξίας ἀνατρέψαι σπουδάζων ὁ Χριστιανικώτατος βασιλεὺς σύνοδον οἰκουμενικὴν συναθροίσας ἐπισκόπων σπθʹ. ἐν ΚΠ. τά τε προσταυρωμένα ἐν ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς συνόδοις ἐπεβεβαίωσε δόγματα, καὶ τὸ τῶν θελημάτων καὶ ἐνεργειῶν εὐσεβὲς θεοπνευσθὲν δόγμα συνεψηφίσατο κατὰ τὴν αὐτὴν ἁγίαν καὶ ἀκριβεστάτην ἕκτην οἰκουμενικὴν σύνοδον, ἧς ἐξῆρχεν ὁ αὐτός τε πανευσεβὴς βασιλεὺς Κωνσταντῖνος, καὶ οἱ εὐσεβεῖς ἱεράρχαι.

6172.	672	12	Arabum Dux Iazid annis 3. 1	.	3			

,ϛροβʹ.	χοβʹ.	ιβʹ	Ἀραβ. ἀρχηγὸς Ἰζιδ ἔτη γʹ. αʹ		γʹ			

Hoc anno sanctum & universale Concilium sextum ducentorum octoginta novem Episcoporum & Patrum pii Imperatoris Constantini nutu CP. congregatum est.

pag. 300.

Τούτῳ τῷ ἔτει συναθροίζεται ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος ἐν ΚΠ. τῶν σπθʹ. ἐπισκόπων καὶ πατέρων κατ᾽ ἐπιτροπὴν τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου.

Κόσμου ἔτη ςροε'.	Τῆς θείας σαρ. χοε'.	Ρωμ. βασιλ. Κωνσταντῖνος ἔτη ιζ'.	Αραβ. ἀρχηγ. Ιζίδ ἔτη γ'.		Κωνσ. ἐπίσκ. Γεώργιος ἔτη ς'.			
		ιγ'	β'		δ'			

Τούτῳ τῷ ἔτει ἀπώσατο Κωνσταντῖνος τοὺς ἀδελφοὺς αὐτοῦ τῆς βασιλείας Ηράκλειον καὶ Τιβέριον, καὶ μόνος ἐβασίλευσε σὺν Ιουστινιανῷ τῷ υἱῷ αὐτοῦ.

		ιδ'	γ'		ε'			

Τούτῳ τῷ ἔτει Μιχὰρ ὁ ψεύστης τυραννήσας ἐπικρατὴς γέγονε τῆς Περσίδος. ἐπεκάλει δὲ ἑαυτὸν προφήτην. ἐξ οὗ ἐταράχθησαν οἱ Αραβες.

			Αραβ. ἀρχηγ. Μαρουάμ ἔτος α'					
		ιε'	α'		ς'			

Τούτῳ τῷ χρόνῳ ἀπεβίω Ιζίδ, καὶ ταραχθέντες οἱ Αραβες τοῦ Αἰθρίβου διηγέρθησαν, καταστήσαντες ἀρχηγὸν ἑαυτοῖς Αβδελᾶν τινὰ υἱὸν Ζουβίρ· καὶ συναχθέντες οἱ Φοίνικας καὶ οἱ Παλαιστίνης, ἔρχονται ἐπὶ τὴν Δαμασκὸν, καὶ ἕως τοῦ Γαβιθᾶ πρὸς Ασὰν Αμηρᾶν Παλαιστίνης· καὶ δίδουσι χεῖρας δεξιὰς τῷ Μαρουάμ καὶ ἱστῶσιν αὐτὸν ἀρχηγὸν, καὶ ἀμηρεύει μῆνας ἐννέα. καὶ τελευτήσαντος αὐτοῦ, Αβιμέλεχ ὁ υἱὸς αὐτοῦ διαδέχεται τὴν ἀρχὴν, ἀμηρεύσας ἔτη κα'. καὶ χειροῦται τοὺς τυράννους, καὶ ἀποκτείνει τὸν Αβδελᾶν υἱὸν Ζουβὶρ καὶ διάδοχον.

			Αραβ. ἀρχηγ. Αβιμέλεχ ἔτη κα'		ΚΠ. ἐπίσκ. Θεόδωρος πάλιν ἔτη γ'.			
		ις'	α'		α'			

Τούτῳ τῷ ἔτει ἐγένετο λοιμὸς καὶ θανατικὸν μέγα ἐν Συρίᾳ, καὶ Αβιμέλεχ ἐκράτησε τοῦ ἔθνους. τῶν δὲ Μαρδαϊτῶν ἐπιτιθεμένων τοῖς μέρεσι τοῦ Λιβάνου, καὶ λοιμοῦ ἐπικρατοῦντος ὁ αὐτὸς Αβιμέλεχ τὴν ἐπὶ Μαυΐου ζητηθεῖσαν εἰρήνην αἰτεῖται, ἀποστείλας πρέσβεις πρὸς τὸν βασιλέα τὰς τξε' χιλιάδας τοῦ χρυσοῦ νομισμάτων συνθέμενος τελεῖν, καὶ τοὺς τξε'. δούλους, καὶ ὁμοίως εὐγενεῖς ἵππους τξε'.

		ιζ'	β'		β'			

Τούτῳ τῷ ἔτει ἀνεπαύθη ὁ εὐσεβὴς βασιλεὺς Κωνσταντῖνος κρατήσας ἔτη ιζ'. καὶ ἐβασίλευσεν Ιουστινιανὸς ὁ υἱὸς αὐτοῦ.

Ιστέον ὅτι μάτην λαρυδῶς φλυαροῦσί τινες λέγοντες, μετὰ τέσσαρα ἔτη γεγονέναι τοὺς παρ' αὐτοῖς φημιζομένους τῆς ἕκτης συνόδου κεφαλαιώδεις τύπους. ὡς γὰρ ἐν πᾶσι ψευδηγοροῦντες ἐλέγχονται· ἀποδείκνυν-

Anni mundi 6175.	Divinæ Incarn. 675.	Rom. Imp. Constant. annis 17.	Arabum Dux Iaid annis 3.		Constant. Episc. Georgius annis 6.			
		13	2		4			

Hoc anno Constantinus fratres suos Heraclium & Tiberium ab imperii dignitate removit: solusque cum Justiniano filio imperavit.

		14	3		5			

Hoc anno Muchar impostor tyrannide excitata, Persidem in potestatem accepit. Is Prophetam se prædicabat: ex quo tumultus inter Arabes emerserunt.

			Arabum Dux Marvam anno uno.					
		15	1		6			

Hoc anno Iaid fato extinctus est. E quo Arabes ad Æthribum positi tumultuati sunt: tamdem uno impetu moti, Abdelam quendam filium Zuber Ducem sibi præfecerunt: Qui vero Phœnicem & Palæstinam incolunt, in unum convenientes, Damascum, deinde Gabetham ad Asan Palæstinæ Ameram proficiscuntur: manusque dexteras Marvam dantes Ducem constituerunt: qui etiam Ameræ dignitatem menses novem sustinuit: eoque mortuo Abimelech ejus filius principatum assequitur declaratus Ameras annos viginti & unum: tyrannosque subegit, & Abdelam Zuber filium & successorem potestatis occidit.

			Arabum Dux Abimelech annis 22.		CP. Episc. Theodorus secundo annis 3.			
		16	1		1			

Hoc anno fames & pestilentia magna Syriæ incubuit: & gentis imperium Abimelech obtinuit. Mardaitis autem circa Libani regionem excurrentibus, & invalescente pestilentia, pacem prius sub Mavia expetitam ipse denuo requirit per Legatos ad Imperatorem missos, & trecentas sexaginta quinque chiliades nummorum aureorum, servos totidem, & generosorum equorum gregem numero non imparem daturum se annuatim paciscitur.

Edit. Paris. pag. 301.

		17	2		2			

Hoc anno pius Imperator Constantinus, cum annos septemdecim imperasset, in pace obdormivit. Filius autem ejus Justinianus imperium collegit.

Observandum hominum delirium mentis passorum instar in vanum eos nugari, qui scriptis suis celebratos sexti Concilii Capitulares typos, exactis postmodum annis quatuor, editos affirmant. Ut enim in plerisque mendacia effutire deprehenduntur, ita & in illis nihil sani verique

asserere. Accurata quippe temporum ratio & designatio sanctum universale sextum Concilium verum Monothelitarum excidium Imperatoris Constantini Heraclii pronepotis anno duodecimo celebratum affirmat, anno a mundi conditu sexies millesimo centesimo septuagesimo secundo: ipsumque Constantinum annos postbac quinque imperasse; eoque vivis erepto, Justinianum ejus filium Monarchiam tenuisse annos decem: ejecto Justiniano, Leontium tyrannide potitum annos tres; post hunc Tiberium, qui etiam Apsimarus, annos septem regnasse, ejectumque prius Justinianum denuo restitutum imperio annos sex: adeo ut ex ipsis editis Concilii typis sive Canonibus anno secundo imperii Justiniano naribus mutilato restituti, eos primum promulgatos aperte comperiamus. Tertio siquidem Canone in hæc verba legimus. Matura consilii discussione præhabita, eos, qui duobus conjugiis implicati fuere, & ad præteriti mensis Januarii diem decimum quintum, præteritæ quartæ indictionis, anni sexies millesimi centesimi nonagesimi noni peccati servituti obnoxios se voluere, nec ullo pacto resipiscere, Canonicæ depositioni subjicere decrevimus. Et quibusdam interpositis. Eos vero qui post ordines susceptos uno licet conjugio se devinxerint, id est Presbyteros, Diaconos, & Subdiaconos, brevi temporis spatio sacris ministeriis prohibitos & pœnis castigatos propriis demum gradibus denuo restitui, alio superiore nuiquam promovendos, nimirum illegitimo contubernio palam prius dissoluto. Ex ipsa itaque temporum designatione a celebrata sanctæ universali sexta Synodo, usque ad editos Canones ejus nomine promulgatos, aperte colliguntur anni viginti septem, Patriarcham nimirum agente in sancta Oecumenica Synodo Georgio, cujus Patriarchatus annus tertius numerabatur; cuique post Synodum alii tres in dignitate exacti sunt. Post hunc vero Theodorus annos tres: Paulus annos septem: Callinicus annos duodecim: Cyrus denique annos duos sedit: adeo ut ex ipsis Patriarcharum ætatibus anni viginti septem dilucide computentur. A Canonum vero promulgatione usque ad annum quartum Philippici anni quinque intercedant: Primo autem imperii ipsius Philippici anno, insanum Conciliabulum adversus sanctum Oecumenicum Concilium celebratum sit. Cyroque expulso sub sextum Patriarchatus sui annum Joannes CP. Patriarcha factus fuerit: Andreas autem Cretæ Metropolita, & Germanus Cyzici pariter Metropolita insano alii Concilio manifesto subscripserunt, & cum omnibus ejusdem ætatis Episcopis celebratum adversus Monothelitas præfato more sanctum sextum Concilium anathemare proscripserunt. Post annos tres vero mortuo Joanne, Germanus Cyzico translatus est CP. & Patriarchatum tenuit annos quindecim: eodemque sub Imperatoris Leonis annum decimum tertium sede pulso, Anastasius fuerit institutus, & annos viginti quatuor in Patriarchatu numeraverit: Hunc Constantinus excepit annos duodecim: deinde Nicetas quatuordecim: mox Paulus quinque: tum Tarasius uno & viginti. Nicephorus octo: Theodotus sex: Antonius sexdecim: denique Joannes Lecanomantes annos sex & mensem unum.

Edit. Paris. pag. 301.

τας καὶ ἐν τούτοις μηδὲν ἀληθὲς λέγοντες. ἡ γὰρ ἀκριβὴς ἀποσημείωσις τῆς κατὰ τῶν Μονοθελητῶν ἁγίας οἰκουμενικῆς ἕκτης συνόδου ἐν τῷ δωδεκάτῳ ἔτει τῆς βασιλείας Κωνσταντίνου ἐκγόνου Ἡρακλείου γενέσθαι λέγει, ἐν ἔτει ἀπὸ κτίσεως κόσμου ,ςροβ΄. καὶ ὅτι μετὰ τοῦτο ἐβασίλευσεν ὁ αὐτὸς Κωνσταντῖνος ἔτη πέντε, καὶ τελευτήσαντος αὐτοῦ, ἐμονάρχησεν Ἰουστινιανὸς ὁ υἱὸς αὐτοῦ ἔτη δέκα. ἐκβληθέντος δὲ Ἰουστινιανοῦ ἐκράτησε Λεόντιος ἔτη γ΄. καὶ μετὰ Λεόντιον Τιβέριος, ὁ καὶ Ἀψίμαρος ἔτη ζ΄. καὶ πάλιν ὁ Ἰουστινιανὸς ὁ ἐκβληθεὶς ἔτη ς΄. ὡς εὑρίσκεσθαι ἐξ αὐτῶν τῶν δεδομένων τύπων τῷ β΄. ἔτει τῆς ἐσχάτης βασιλείας τοῦ αὐτοῦ ῥινοκοπημένου Ἰουστινιανοῦ ἐκτεθεῖσθαι αὐτοὺς περιέχοντα ἐν τῷ γ΄. τύπῳ τῇ λέξει οὕτω. συνορῶμεν ὅτι τοὺς μὲν δυσὶ γάμοις περιπαρέντας, καὶ μέχρι τῆς ιε΄. παρελθόντος Ἰανουαρίου μηνὸς τῆς παρελθούσης δ΄. ἰνδικτιῶνος ἔτους ,ςρϟθ΄. δουλωθέντας τῇ ἁμαρτίᾳ, καὶ μὴ ἐκνήψαντες, προλόμεθα καθαιρέσει κανονικῇ ὑποβαλεῖν. καὶ μεθ' ἕτερα. τοὺς δὲ μετὰ τὴν χειροτονίαν γάμῳ ἑνὶ παρανόμως προσομιλήσαντας, τοῦτ' ἔστι πρεσβυτέρους, καὶ διακόνους, καὶ ὑποδιακόνους, ἤδη ἐπὶ βραχύ τινα χρόνον εἰρχθέντας τῆς ἱερᾶς λειτουργίας, καὶ ἐπιτιμηθέντας, αὖθις αὐτοὺς τοῖς οἰκείοις ἀποκαταστῆναι βαθμοῖς, μηδαμῶς ἑτέρῳ μείζονι προκόπτοντας βαθμῷ, προδήλως διαλυθέντος αὐτοῖς τοῦ ἀθέσμου συνοικεσίου. ὥστε ἐξ αὐτῆς τῆς χρονικῆς ἀποσημειώσεως ἀριδήλως φαίνεσθαι συναγόμενα ἀπὸ τῆς ἁγίας οἰκουμενικῆς ἕκτης συνόδου ἕως τῶν ἐκδεδομένων τύπων ἔτη κζ΄. πατριαρχοῦντος ἐν τῇ ἁγίᾳ οἰκουμενικῇ συνόδῳ Κωνσταντινουπόλεως Γεωργίου ἔτος ἄγοντος τῆς πατριαρχίας γ΄. καὶ μετὰ τὴν σύνοδον πατριαρχήσαντος ἄλλα ἔτη γ΄. μετὰ δὲ τοῦτον Θεοδώρου ἔτη γ΄. καὶ Παύλου ἔτη ζ΄ καὶ Καλλινίκου ἔτη ιβ΄. καὶ Κύρου ἔτη β΄. ὡς συνάγεσθαι καὶ ἐξ αὐτῶν τῶν Πατριαρχῶν ἔτη κζ΄. ἀπὸ δὲ τῶν ἐκδεδομένων τύπων ἕως τοῦ τετάρτου Φιλιππικοῦ ἔτη πέντε· καὶ ἐν τῷ αὐτοῦ πρώτῳ ἔτει Φιλιππικοῦ γενέσθαι ἐμμανῆ σύνοδον κατὰ τῆς ἁγίας ἕκτης συνόδου· καὶ ἐξωθέντος Κύρου τῷ ς΄. ἔτει τῆς πατριαρχίας αὐτοῦ, γενέσθαι Ἰωάννην Πατριάρχην τῆς Κωνσταντινουπόλεως, Ἀνδρέαν δὲ μητροπολίτην Κρήτης, καὶ Γερμανὸν μητροπολίτην Κυζίκου, ὑπογράψαντας προδήλως, καὶ ἀναθεματίσαντας μετὰ πάντων τῶν κατὰ τοὺς αὐτοὺς χρόνους τὴν προῤῥηθεῖσαν κατὰ τῶν Μονοθελητῶν ἁγίαν οἰκουμενικὴν ς΄. σύνοδον. μετὰ δὲ ἔτη γ΄. τελευτήσαντος Ἰωάννου, μετατεθεῖσαι Γερμανὸν ἀπὸ Κυζίκου, καὶ πατριαρχῆσαι Κωνσταντινουπόλεως ἔτη δεκαπέντε, καὶ τῷ ιγ΄. τῆς βασιλείας Λέοντος ἐξωθέντος γενέσθαι Ἀναστάσιον. καὶ πατριαρχῆσαι ἔτη κδ΄. καὶ μετ' αὐτὸν Κωνσταντῖνον ἔτη δώδεκα, καὶ Νικήταν τεσσαρισκαίδεκα, καὶ Παῦλον πέντε, καὶ Ταράσιον κα΄. καὶ Νικηφόρον η΄ καὶ Θεόδοτον ς΄. καὶ Ἀντώνιον ις΄. καὶ Ἰωάννην τὸν Λεκανομάντην ἔτη ς΄. καὶ μῆνα α΄.

Τούτῳ

Κόσμου ἔτος ,ςροη'.	Τῆς θείας σαρ. ἐν. χοη'.	Ῥωμ. Βασιλ. Ἰουστινιανὸς ἔτη ι'.	Ἀράβ. ἀρχηγ. Ἀβιμέλεχ ἔτη κβ'.		ΚΠ. ἐπίσκ. Θεόδωρος ἔτη γ'.			
		α'	γ'		γ'			

Τούτῳ τῷ ἔτει ἀποστέλλει Ἀβιμέλεχ πρὸς Ἰουστινιανὸν βεβαιῶσαι τὴν εἰρήνην· καὶ ἐστοιχήθη εἰρήνη οὕτως. ἵνα ὁ βασιλεὺς παύσῃ διὰ τῶν Μαρδαϊτῶν τάγμα ἐκ τοῦ Λιβάνου, καὶ διακωλύσῃ τὰς ἐπιδρομὰς αὐτῶν. καὶ Ἀβιμέλεχ δώσῃ τοῖς Ῥωμαίοις καθ' ἑκάστην ἡμέραν νομίσματα χίλια, καὶ ἵππον, καὶ δοῦλον· καὶ ἵνα ἔχωσιν κοινὰ κατὰ τὸ ἴσον τοὺς φόρους τῆς Κύπρου, καὶ Ἀρμενίας, καὶ Ἰβηρίας, καὶ ἔπεμψεν ὁ βασιλεὺς Παῦλον Μαγιστριανὸν πρὸς Ἀβιμέλεχ ἀσφαλίσασθαι τὰ στοιχηθέντα· καὶ γέγονεν ἔγγραφος ἀσφάλεια μετὰ μαρτύρων. καὶ φιλοτιμηθεὶς ὁ Μαγιστριανὸς ὑπέστρεψε. καὶ πέμψας ὁ βασιλεὺς προσελάβετο τοὺς Μαρδαΐτας χιλιάδας ιβ'. τὴν Ῥωμαϊκὴν δυναστείαν ἀκρωτηριάσας. πᾶσαι γὰρ νῦν οἰκούμεναι παρὰ τῶν Ἀράβων εἰς τὰ ἄκρα πόλεις ἀπὸ Μόψου ἑστίας, καὶ ἕως τῆς δ'. Ἀρμενίας ἀνίσχυροι καὶ ἀοίκητοι ἐτύγχανον διὰ τὴν ἔφοδον τῶν Μαρδαϊτῶν τῶν παρασταλέντων. πάνδεινα κακὰ πέπονθεν ἡ Ῥωμανία ὑπὸ τῶν Ἀράβων μέχρι τοῦ νῦν.

Τῷ δ' αὐτῷ ἔτει πέμπει Ἀβιμέλεχ Ζίαδον τὸν ἀδελφὸν Μαυΐου εἰς Περσίδα κατὰ Μουχὰρ τοῦ ψεύστου καὶ τυράννου. καὶ ἀνῃρέθη Ζίαδος ὑπὸ Μουχάρ. καὶ ἀκούσας Ἀβιμέλεχ ἔρχεται εἰς Μεσοποταμίαν καὶ τυραννεῖται ὑπὸ Σαΐδου· ὃν ἐπανελθὼν διὰ λόγου τὴν Δαμασκὸν πέπεικεν ἀνοῖξαι τὴν προκαταληφθεῖσαν ὑπ' αὐτοῦ, καὶ μετὰ τοῦτο δολοφονεῖ αὐτόν. Ἰουστινιανὸς δὲ νεώτερος ὢν ὡς ιϛ'. χρόνων, καὶ ἀβούλως τὰ κατ' αὐτὸν διοικῶν ἀποστέλλει Λεόντιον τὸν στρατηγὸν κατὰ τὴν Ἀρμενίαν μετὰ Ῥωμαϊκῆς δυνάμεως, καὶ τοὺς ἐκεῖσε Σαρακηνοὺς ἀνελὼν, ὑποτάσσει Ῥωμαίοις ὡσαύτως καὶ Ἰβηρίαν. καὶ Ἀλβανίαν, * Βουκανίαν, καὶ Μηδίαν, καὶ φορολογήσας τὰς χώρας, πάμπολλα χρήματα τῷ βασιλεῖ ἀπέστειλεν· Ἀβιμέλεχ δὲ ταῦτα μεμαθηκὼς, καταλαμβάνει τὸ Κιρκήσιον, καὶ τὴν Θεούπολιν ὑπέταξεν.

* Βουκανίαν

					ΚΠ. ἐπίσκ. Παῦλος ἔτη ζ'.			
		β'	δ'		α'			

Τούτῳ τῷ ἔτει ἐγένετο λιμὸς ἐν Συρίᾳ· καὶ πολλοὶ εἰσῆλθον εἰς Ῥωμανίαν. καὶ ἐλθὼν ὁ βασιλεὺς εἰς Ἀρμενίαν ἐκεῖ ἐδέξατο τοὺς ἐν τῷ Λιβάνῳ Μαρδαΐτας χάλκεον τεῖχος διαλύσας. παρέλυσε δὲ τὴν μετὰ τῶν Βουλγάρων παγιωθεῖσαν εἰρήνην, διαταράξας τοὺς ὑπὸ τοῦ οἰκείου πατρὸς ἐνορδίνους γεγονότας τύ-

Theophanis Chron.

Anni mundi 6178.	Divinæ Incarn. 678.	Imp. Rom. Justinianus annis 10.	Arabum Dux Abimelech annis 22.		Constant. Episc. Theodorus annis 3.			
		1	3		3			

Hoc anno Abimelech firmandæ pacis ergo ad Justinianum Legatos misit: His autem conditionibus paa inita. Ut Imperator Mardaitarum agmen e Libano prorumpens comprimeret & impediret eorum excursiones: Abimelech vero in singulos dies mille nummos aureos, & equum, & servum Imperatori penderet; & uterque Princeps justa & æquali portione Cypri, Armeniæ, & Iberiæ vectigalia inter se dividerent. Imperator Paulum Magistrianum confirmandæ pacis causa ad Abimelech delegavit: cautioque in scriptis coram testibus facta est. Et Magistrianus honorifice eaceptus ad Imperatorem revertit. Et misso edicto Mardaitas ad duodecim millia Imperator Romanam potentiam eo facto mutilaturus, e loco priore sustulit. Quas enim civitates in montium cacuminibus sitæ incoluntur ab Arabibus a Mopsuestiæ termino ad quartam usque Armeniam cunctæ ob Mardaitarum, qui deinceps repressi sunt, excursiones munimentis infirmæ & habitatoribus vacuæ eaistebant. Generum sane omnium calamitates & adversa quævis in Romanam ditionem ab ea die in hanc usque horam Arabum opera inundaverunt.

Edit. Paris. pag. 303.

Hoc etiam anno Abimelech Ziandum fratrem Maviæ adversus impostorem & tyrannum Muchar in Persidem misit: Muchar vero Ziandum interfecit. Accepto nuncio Abimelech in Mesopotamiam progreditur. Interea Saidus adversus eum rebellavit: Abimelech festine regressus Damascum, quam Saidus sibi præoccupaverat, data securitatis fide aperiri suadet, cujus ille oblitus perduelli dolo mortem intulit. Justinianus porro cum junior adhuc annorum videlicet sexdecim existeret, & suis inconsultis Reip. oegotia quævis administraret, Leontium Ducem cum Romanis copiis in Armeniam misit. Hic Saracenis qui illic aderant, occisis, Armeniam Romanæ ditioni subjicit, quemadmodum & Iberiam, & Albaniam, & Bulcaciam, & Mediam: & vectigalibus per singulas quasque provincias collectis, ingentem divitiarum acervum ad Imperatorem transmisit. His auditis Abimelech Cercisium profectus Theopolim sisubet.

					CP. Episc. Paulus annis 7.			
		2	4		1			

Hoc anno fames Syriæ incubuit: ejusque plurimi incolæ in Romanam ditionem migraverunt. Imperator autem in Armeniam profectus Mardaitarum agmen, æreum illum imperii Romani murum in Libano prius consistentem, & a se eversum illic suscepit. Pacem quoque cum Bulgaris firmatam solvit, fœderum conditiones a patre concessas, ipse perturbans

ae omnino violans. Et Bulgaros & Sclaviniæ provincias in servitutem mittere meditatus, equestres legiones in Thraciam transire jussit.

6180.	680.	3	5		2				

Hoc anno Justinianus in Bulgariam & Thraciam eduxit exercitum. Bulgarosque sibi obviam eum armis factos tum primum repulit. Et excursionibus subinde Thessalonicam usque habitis, immensum Sclavorum numerum, qua belli virtute domitum, qua sponte ad se transeuntem & deditum e patria educens, ad Opsicii partes trajecto Abydi freto habitare decrevit. At in reditu intra compressos montes & Clusuræ angustias a Bulgaris interceptus, multis ex exercitu quum cæsis, tum vulneratis, vix periculum superare, & in oppositam partem transire valuit.

Edit. Paris. pag. 304.

Eodem anno Abdelas Zuber filius Musabum fratrem germanum adversus Muctarum mittit: qui cum eo pugna congressus, Muctarum fugam arripere, & in Syriam se recipere coegit: eumque tandem in itinere prævertens, e medio sustulit. Abimelech vero adversus Musarum expeditione suscepta, & victoria potitus, hostem neci dat: & universam Persidem suo subjugat imperio.

Anni mundi 6181.	Divinæ incarn. 681.	Rom. Imp. Justinian. annis 10.	Arabum Dux Abimelech annis 21.		CP. Episc. Paulus annis 7.				
		4	6		3				

Hoc anno Abimelech misit Chagan in Acca adversus Zumir arma motorum. Chagan autem Zumir deleto, provinciam Chagan ipsi inimicam sub Abimelech potestatem redegit: & idoli ejus ædem igne succendit, sed & idolum summa religione ab eis cultum extinxit: Eam ob rem Abimelech Chagan Persiæ Ducem instituit: atque ita Persis, Mesopotamia, magna Arabia, quæ Æthribi, Abimelech imperio substernuntur: omniaque inter Arabes variis ætatibus agitata bella civilia cessavere.

			5	7		4			

Hoc anno dissidiorum finem & præliorum omnium exitum Arabum principatus obtinuit. Et cum reliquos Principes suo subjecisset imperio, & populos in pace continuisset, ipse Abimelech pacem prosequi studuit.

			6	8		5			

Hoc anno compositam cum Abimelech pacem ex animi dementia Justinianus solvit. Cypri quippe incolas in aliam regionem transportare stolide nulloque sano consilio meditatus est: nummosque figura recenter excogitata, & hactenus omnino non visa ab Abimelech conflatos, & in vectigal missos admittere recusavit. Cypriorum subinde multitudo ingens, cum mare trajiceret, submersa est, pars etiam Cyprum redierunt. Horum accepto nuncio satanica vafritie Abimelech instructus, ac dolos parans, pacem a Justiniano nusquam solvi precabatur: Arabi-

pag. 305.

A τυς. καὶ κελεύει περάσαι ἐπὶ τὴν Θρᾴκην τὰ καβαλλαρικὰ θέματα, βουλόμενος τούς τε Βουλγάρους, καὶ τὰς Σκλαβινίας αἰχμαλωτίσαι.

,ςρπ'.	,χπ'.	γ'	ε'		β'				

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Ἰουστινιανὸς κατὰ Σκλαβινίας, καὶ Βουλγαρίας. καὶ τοὺς μὲν Βουλγάρους πρὸς τὸ παρὸν ὑπαντηκότας ὤθησε. μέχρι δὲ Θεσσαλονίκης ἐκδραμὼν, πολλὰ πλήθη τῶν Σκλάβων τὰ μὲν πολέμῳ, τὰ δὲ προσρυέντα παραλαβὼν, εἰς τὰ τοῦ Ὀψικίου διὰ τῆς Ἀβύδου περάσας κατέστησε μέρη. B ἐν δὲ τῷ ὑποστρέφειν ὁδοστατηθεὶς ὑπὸ τῶν Βουλγάρων ἐν τῷ στενῷ τῆς κλεισούρας μετὰ σφαγῆς τοῦ οἰκείου λαοῦ καὶ τραυματίας πολλῆς μόλις ἀντιπαρελθεῖν ἠδυνήθη.

Τῷ δ' αὐτῷ ἔτει καὶ Ἀβδελᾶς ὁ Ζύβερ Μούσαβον τὸν ἴδιον ἀδελφὸν πέμπει κατὰ Μουκτάρου, καὶ συμβαλὼν μετ' αὐτοῦ τρέπεται ὁ Μούκταρος, καὶ φεύγει εἰς Συρίαν· καὶ φθάσας αὐτὸν, κτείνει αὐτόν. Ἀβιμέλεχ δὲ στρατεύει κατὰ Μουσάρου, καὶ νικήσας κτείνει αὐτόν· καὶ ὑπέταξε πᾶσαν τὴν Περσίδα.

C

Κόσμου ἔτη ,ςρπα'.	Τῆς θείας σαρ. ,χπα'.	Ῥωμ. βασ. Ἰουστινιανὸς ἔτ. ι'.	Ἀράβ. ἀρχηγὸς Ἀβιμέλεχ ἔτη κβ'.		Κωνστ. ἐπίσκ. Παῦλος ἔτη ζ'.				
		δ'.	ς'		γ'				

Τούτῳ τῷ ἔτει ἀπέστειλεν Ἀβιμέλεχ κατὰ τοῦ Ζουμεὶρ Χαγὰν εἰς τὸν Ακκα, καὶ κτείνει αὐτὸν ἐκεῖ ὁ Χαγάν. καὶ ὑποτάξας τῷ Ἀβιμέλεχ τὴν χώραν τοῦ Χαγὰν ἐναντιουμένην αὐτῷ, ἐνέπρησε τὸν οἶκον τοῦ εἰδώλου αὐτοῦ σὺν τῷ εἰδώλῳ τῆς σεβασμιότητος αὐτῶν· δι' ἣν αἰτίαν τὸν Χαγὰν στρατηγὸν τῆς Περσίδος προεβάλετο. καὶ ὑποτάγη τῷ Ἀβιμέλεχ D ἡ Περσὶς, καὶ ἡ Μεσοποταμία, καὶ ἡ μεγάλη Ἀραβία τοῦ Αἰθρίβου· καὶ οἱ ἐμφύλιοι πόλεμοι αὐτῶν ἔπαυσαν.

			ε'	ζ'		δ'			

Τούτῳ τῷ ἔτει τέλος ἔσχεν, καὶ ἀπαλλαγὴν παντὸς πολέμου ἡ Ἀράβων ἀρχή. καὶ εἰρήνευσεν Ἀβιμέλεχ, ὑποτάξας, καὶ εἰρηνεύσας πάντας.

			ς'	η'		ε'			

Τούτῳ τῷ ἔτει τὴν πρὸς Ἀβιμέλεχ εἰρήνην Ἰουστινιανὸς ἐξ ἀνοίας ἔλυσε· καὶ γὰρ τὴν Κυπρίων νῆσον ἀλόγως μετοικῆσαι ἐσπούδασε, καὶ τὸ σταλὲν E χάραγμα παρὰ Ἀβιμέλεχ νεοφανὲς ὂν, καὶ μηδέποτε γεγονὸς οὐ προσεδέξατο. πλῆθος δὲ Κυπρίων περώντων κατεποντίσθη, καὶ ἀπὸ ἀρρωστίας ἀπώλοντο· καὶ οἱ λοιποὶ ἐστράφησαν εἰς Κύπρον. καὶ ἀκούσας ταῦτα Ἀβιμέλεχ ὑποκριθεὶς σατανικῶς παρεκάλει μὴ λυθῆναι τὴν εἰρήνην, ἀλλὰ διαχθῆναι τὴν αὐτοῦ μονὴν, ὡς τῶν Ἀράβων μὴ

καταδεχομένων τὴν τῶν Ῥωμαίων χαραγὴν ἐν τοῖς ἰδίοις νομίσμασι, τῆς ὁλκῆς τοῦ χρυσοῦ διδομένης ἐκ τοῦ νέου χαράσσειν Ἄραβας. ὁ δὲ τὴν παράκλησιν εἰς φόβον νομίσας, οὐκ ἐννοήσας, ὅτι τὸ σπουδαζόμενον αὐτοῖς ἦν παῦσαι τὴν τῶν Μαρδαϊτῶν ἐπαγωγὴν, καὶ οὕτω διὰ δοκουμένης εὐλόγου προφάσεως λῦσαι τὴν εἰρήνην. ὃ καὶ ἐγένετο. καὶ ἀπέστειλεν Ἀβιμέλεχ οἰκοδομῆσαι τὸν τοῦ Μαχὰ ναόν. καὶ ἠθέλησεν ἐπᾶραι τοὺς κίονας τῆς ἁγίας Γεθσημανῆς. καὶ παρεκάλεσεν αὐτὸν Σέργιός τις ἀνὴρ Χριστιανικώτατος ὁ τοῦ Μανσοὺρ γενικὸς Λογοθέτης, καὶ λίαν οἰκειούμενος τῷ αὐτῷ Ἀβιμέλεχ, καὶ Πατρίκιος ὁ τούτου ἐφάμιλλος τῶν κατὰ τὴν Παλαιστίνην Χριστιανῶν προύχων, ὁ ἐπίκλην Κλαισὸς, αἰτούμενοι μὴ γενέσθαι τοῦτο, ἀλλὰ δι' ἱκεσίας αὐτῶν πεῖσαι Ἰουστινιανὸν ἄλλους ἀποστεῖλαι ἀντ' αὐτῶν· ὃ καὶ γέγονεν.

bus insuper sculptam a Romanis figuram in consueto nummorum suorum usu vel conflatione non approbantibus, monetam a se cusam admitti rogabat, maxime cum ex nova apud Arabes signata debitum in vectigal auri pondus Romani acciperent. Ille Arabum preces metum existimans, nec id eis esse consilio ut Mardaitarum cohibitis impressionibus ipsi verosimilis causæ obtentu pacem solverent, non animadvertit: quod demum factum est. Misitque Abimelech qui templum Mechæ construerent: Jamque sanctæ Gethsemanes columnas tollere paratum, Sergius vir Christiana pietate conspicuus Mansur Logotheta Generalis, & ipsi Abimelech summa necessitudine conjunctus, & Patricius quidam ejus collega, cognomento Clæsus, Christianorum in Palæstina degentium præstantissimus, ambo ne id faceret deprecati sunt, polliciti se potius precibus suis cum Justiniano acturos, ut alias in earum locum transmitteret: quod ita postmodum actum est.

| | | ζ | θ | | ς | | | |

| | | 7 | 9 | | 6 | | | |

Τούτῳ τῷ ἔτει Ἰουστινιανὸς ἀπελέξατο ἐκ τῶν μετοικισθέντων ὑπ' αὐτοῦ Σκλάβων, καὶ ἐστράτευσε χιλιάδας λʹ. καὶ ὁπλίσας αὐτοὺς ἐπωνόμασεν αὐτοὺς λαὸν Περιούσιον· ἄρχοντά τε αὐτῶν Νέβουλον τοὔνομα. θαρρήσας δὲ εἰς αὐτοὺς γεγράφηκε τοῖς Ἄραψι μὴ ἐμμένειν αὐτὸν τῇ ἐγγράφως συμφωνηθείσῃ εἰρήνῃ. καὶ παραλαβὼν τὸν Περιούσιον λαὸν, καὶ πάντα τὰ καβαλλαρικὰ θέματα ἐπορεύθη ἐν Σεβαστοπόλει τῇ παρὰ θάλασσαν. τῶν δὲ Ἀράβων ὑποκρινομένων, καὶ μὴ αἱρουμένων τὴν εἰρήνην, ἀλλὰ τῇ βασιλικῇ αἰτίᾳ καὶ προπετείᾳ τοῦτο πρᾶξαι ἀναγκαζομένων· ὁπλισθέντες καὶ αὐτοὶ παρεγένοντο ἐν Σεβαστοπόλει προμαρτυρόμενοι τῷ βασιλεῖ τὰ μεθ' ὅρκον ἀναμεταξὺ αὐτῶν στοιχηθέντα μὴ σφαλῆναι· ἐπεί τοιγε ἔκδικος καὶ κριτὴς ὁ Θεὸς τῶν αἰτίων γενήσεται. τοῦ δὲ βασιλέως μετ' ἀκοῆς ταῦτα μὴ ἀνεχομένου, ἀλλὰ πρὸς μάχην μᾶλλον κατεπείγοντος, τὸν τῆς εἰρήνης ἔγγραφον λόγον λύσαντες, καὶ ἐπὶ ὑψηλῆς ἄσας ἀντὶ φλαμούλου προάγειν κρεμάσαντες, κατὰ τῶν Ῥωμαίων ὥρμησαν, Μουαμὲδ στρατηγὸν ἔχοντες, καὶ συνέβαλον πόλεμον. καὶ τὸ μὲν πρῶτον ἐττήθησαν οἱ Ἄραβες. ὑποβαλὼν δὲ Μουαμὲδ τῷ συμμαχοῦντι Ῥωμαίοις στρατηγῷ τῶν Σκλάβων πέμπει αὐτῷ κουρκουρὸν γέμον νομισμάτων, καὶ πολλαῖς ὑποσχέσεσι τοῦτον ἀπατήσας πείθει προσφυγεῖν πρὸς αὐτοὺς μετὰ καὶ κʹ. χιλιάδων, καὶ οὕτω Ῥωμαίοις τὴν φυγὴν περιεποιήσατο· τότε Ἰουστινιανὸς ἀνεῖλε τὸ τούτων ἐγκατάλειμμα σὺν γυναιξὶ καὶ τέκνοις παρὰ τῷ λεγομένῳ Λευκάτῃ τόπῳ κρημνώδει καὶ παραθαλασσίῳ κατὰ τὸν Νικομηδειάσιον κόλπον κειμένῳ.

Hoc anno ex deportatis in Asiam Sclavis viros bello idoneos elegit Justinianus, & in exercitum ad triginta millia adlectos armis instruxit, quos Aciem Superabundantem nuncupavit, & eorum Ductorem Nebulum. Eorum robori confidens Arabibus scripsit, se pacis a se scriptæ conditionibus non amplius stare posse. Ex superabundanti illa Acie, equestribusque legionibus eductis, Sebastopolim, quæ ad mare est, contendit. Arabes ex adverso pacis se studiosos simulare, nec eam velle infringere: illius violandæ causam ex Imperatore stare, & ex ejus præcipiti animo ad bellum renovandum cogi: deinde & ipsi arma induentes, Sebastopolim accedunt: ibique Imperatorem obtestantur, ne pacta quæ inter se invicem interposito jusjurando firmaverant, solveret: Deum alioquin ultorem atque judicem injuriarum futurum. Imperatore neque tantum auditu hæc ferre passo, quinimmo ad prælium quantocyus procurrente, Arabes scriptas de pace tabulas in aerem expansas, & ex longa hasta flammuli vice suspensas præcedere jubentes, ipsi, Muamed Duce, in Romanos irruunt, & bellum committunt. Et primo quidem conflictu vincuntur Arabes. At Muamed Sclavorum, qui cum Romanis auxiliares militabant, Ducem clam tentans, transmissa ad eum pharetra nummis aureis plena, pluribus etiam pollicitis delinitum cum sociorum viginti millibus ad suas partes transire suadet. Ita fugam, quam Romani tulerunt, ille mercatus est. Sub id tempus Sclavorum reliquias, etiam mulieres & pueros Justinianus e medio sustulit ad Leucatam locum præruptum atque maritimum, & ad Nicomediæ situm littora.

Edit. Paris. pag. 306.

| | | η | ι | | ζ | | | |

| | | 8 | 10 | | 7 | | | |

Τούτῳ τῷ ἔτει Συμβάτιος ὁ Πατρίκιος Ἀρμενίας μαθὼν τὴν τῶν Ἀρμενίων ἧτταν, τὴν Ἀρμενίαν παρέδωκε τοῖς Ἄραψι, καὶ ὑπετάγη αὐτοῖς, καὶ ἡ ἔσω Περσὶς ἡ λεγομένη Χωρασὰν, καὶ φύεται ἐκεῖσε παράβολος ὀνόματι Σαβῖνος, καὶ πολλοὺς τῶν Ἀράβων ἀπέκτεινε, καὶ αὐτὸν τὸν Χαγάνον

Hoc anno Symbatius Armeniæ Patricius cognita Armenorum clade, Armeniam Arabibus tradidit: Quibus etiam interior ad Orientem Persia, Chorasan dicta, subjugata est: Porro istic emersit novator nomine Sabinus, qui multos Arabes ad necem deduxit, ipsumque etiam Chaganum in amnem dejectum tantum

non suffocavit. Ex eo tempore Agareni ferociores & audentiores effecti per ditionem omnem Romanam grassati sunt.

Anni mundi 6186.	Divinæ Incarn. ann. 686.	Rom. Imp. Justinianus annis 10.	Arabum Dux Abimelech annis 21.		Const. Episc. Callinicus annis 12.			
		9	13		3			

Hoc anno mensis Hyperberetæi die quinto, prima hebdomadis feria, hora diei tertia defectus solis contigit: adeo ut astra nonnulla manifeste apparerent. Muamed etiam in Romanum imperium expeditionem suscepit, & profugis Sclavis, seu Romanorum locorum probe expertis sibi adjunctis, magnam hominum copiam abduxit captivam. In porcos magna cæde desævitum est in Syria. Porro Justinianus erigendis Palatii ædificiis studium adhibuit: Triclinium Justiniani nomine deinceps vocatum, & Palatii mœnia condidit. Huic operi præpositum, & cum plena potestate dominantem Stephanum Persam Sacellarium suum, & Eunuchorum Antesignanum præfecit. Is vir sanguinarius, & summe crudelis erat, cui non satis fuit ipsos operas sive manuarios injuriis ac verberibus afficere, sed ipsos, & qui operarum duces, lapidabat. Quinetiam cum aliquando Imperator peregre profectus esset, agrestis illa fera Anastasiam Imperatricem Augustam matrem loris puerorum more flagellare ausa est. Idem cum multa majoraque mala in universam Remp. admisisset, civium odia in Imperatorem suscitavit. Similiter & Generalis Logothetæ muneri præfecit Monachum quemdam cognomento Theodotum qui prius in Thraciæ finibus ad Freti angustias Inclusus vixerat, homo pariter ferox & immitis, qui in multos Imperii Rom. primores virosque spectatissimos, non qui ærarium modo administrarent, sed ex Urbis incolis tributa, impositiones atque proscriptiones, temere, sine ulla justa causa, vel saltem prætextu exigebat: adeo ut etiam funibus suspensos palearum inferius accensarum fumo vexare auderet. Præterea Urbis Præfectus plurimos Imperatoris mandato in carceres compulsos etiam per multos annos vinculis detinuit. Quibus omnibus populi odia in Imperatorem excrevere. Ad hæc Imperator a Callinico Patriarcha contendebat, ut preces conciperet, ad Ecclesiam sanctæ Dei Genitricis, cui Metropolitæ nomen, juxta Palatium sitam destruendam: in ejus quippe solo fontis machinam, & Venetæ factionis Imperatorem illic excepturæ sedilia extruere annitebatur. Respondit Patriarcha. Preces in templi conditum conceptas habemus: subruendo templo nullas a majoribus accepi. Imperatore ardentius instante, & preces fieri etiam vi exposcente: dixit Patriarcha. Gloria Deo qui etiam hæc patitur, jugiter, nunc, & semper, & in sæcula sæculorum. Amen. Eo audito subverterunt Ecclesiam, & fontem excitaverunt: istamque Metropolitæ Ecclesiam ad Petrium transtulerunt.

Edit. Paris. pag. 307.

		10	14		2			

A παρ' ὀλίγον τελείως ποταμόπνικτον ἐποίει. ἐκ τότε ἐπὶ πλεῖον θρασυνθέντες οἱ Ἀγαρηνοὶ, τὴν Ῥωμανίαν ἐλυμήναντο.

Κόσμου ἔτη ςρπϛ΄.	Τῆς θείας σαρκ. χπϛ΄.	Ῥωμ. βασιλ. Ἰουστινιανὸς ἔτη ι΄.	Ἀράβ. ἀρχηγὸς Ἀβιμέλεχ ἔτη κβ΄.		ΚΠ. ἐπίσκ. Καλλίνικος ἔτη ιβ΄.			
		θ΄	ιγ΄		α΄			

Τούτῳ τῷ ἔτει ἔκλειψις ἡλίου γέγονε μηνὶ Ὑπερβερεταίῳ πέμπτῃ, ἡμέρᾳ πρώτῃ, ὥρᾳ τρίτῃ, B ὥστε φανῆναι τινὰς λαμπροὺς ἀστέρας. καὶ ἐπεστράτευσε Μουαμὲδ τῇ Ῥωμανίᾳ, ἔχων μεθ' ἑαυτοῦ πρόσφυγας Σκλάβους ὡς ἐμπείρους τῆς Ῥωμανίας, καὶ πολλοὺς ᾐχμαλώτευσεν. ἐγένετο δὲ καὶ ἀναίρεσις τῶν χοίρων ἐν Συρίᾳ. Ἰουστινιανὸς δὲ εἰς τὰ τοῦ παλατίου κτίσματα ἐπεμελεῖτο. καὶ ἔκτισε τὸ Ἰουστινιανοῦ τρικλίνιον λεγόμενον, καὶ τὰ τοῦ παλατίου περιτειχίσματα· καὶ ἐπέστησεν ἐπ' αὐτῶν Στέφανον τὸν Πέρσην, Σακελλάριον αὐτοῦ, καὶ πραιποσίτου χρυσοῦ, κύριον, καὶ ἐξουσιαστὴν λίαν ὄντα αἱμοβόρον, καὶ ἀπηνῆ· ὅστις ἀνηλεῶς τοὺς μὲν ὀπέρας αἰκίζειν οὐκ ἠρκεῖτο, ἀλλὰ καὶ λιθοβολεῖν αὐτούς τε, καὶ τούτων ἐπιστάτας. τοῦ δὲ βασιλέως ἐπιδημήσαντος κατετόλμησεν ὁ ἄγριος θὴρ C ἐκεῖνος, καὶ τὴν αὐτοῦ μητέρα Ἀναστασίαν τὴν Αὐγοῦσταν παιδικῶς δι' ἀβίνων μαστιγῶσαι. ἐν τούτοις δὲ εἰς ἅπαν τὸ πολιτικὸν πλῆθος πολλὰ κακὰ ἐνδειξάμενος, μισητὸν τὸν βασιλέα πεποίηκεν. ὁμοίως καὶ εἰς τὰ τοῦ Γενικοῦ Λογοθεσίου πράγματα Ἀββᾶν τινα ὀνόματι Θεόδοτον Ἔγκλειστον τὸ πρότερον ὄντα ἐν τοῖς Θρᾳκῴοις τοῦ στενοῦ μέρεσι, καὶ αὐτὸν δεινότατον, καὶ ἀτίθασσον λίαν ὑπάρχοντα, ὅστις πλείστους τῆς πολιτείας ἄρχοντας καὶ ἐμφανεῖς ἄνδρας οὐκ ἐκ τῶν διοικητῶν μόνον, ἀλλὰ ἐκ τῶν τῆς πόλεως οἰκητόρων, εἰσπράξεις μάτην, ἀποφασίσεις, ἀπαιτήσεις, καὶ ἐπαγωγὰς, καὶ δημεύσεις ποιούμενος, σχοίνοις τε τούτους κρεμνῶν καὶ ἀχύροις ὑποD καπνίζων. ἔτι δὲ καὶ ὁ Ὕπαρχος βασιλικῇ κελεύσει πλείστους ἄνδρας ἐν εἱρκταῖς κατακλείσας, ἐπὶ χρόνους τηρεῖσθαι πεποίηκε. ταῦτα πάντα ηὔξησε τὸ μῖσος τοῦ λαοῦ πρὸς τὸν βασιλέα. ὁ δὲ βασιλεὺς ᾔτει Καλλίνικον Πατριάρχην ποιῆσαι εὐχὴν, ἵνα καταλύσῃ τὴν ἐκκλησίαν τῆς ἁγίας Θεοτόκου τῶν Μητροπολίτου τὴν οὖσαν πλησίον τοῦ παλατίου, θέλων ἐν τῷ τόπῳ ποιῆσαι φιάλην, καὶ βάθρα κτίσαι τοῦ δήμου τῶν Βενέτων, ὅπως ἐκεῖ δέχωνται τὸν βασιλέα. ὁ δὲ Πατριάρχης ἔλεγεν. ὅτι εὐχὴν ἐπὶ συστάσει ἐκκλησίας ἔχομεν, ἐπὶ δὲ καταλύσει ἐκκλησίας οὐ παρέλαβον. βιαζομένου δὲ αὐτὸν τοῦ βασιλέως, καὶ πάντως ἀπαιτοῦντος τὴν εὐχήν. ἔφη ὁ E Πατριάρχης. δόξα τῷ Θεῷ ἀνεχομένῳ, πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. καὶ τοῦτο ἀκούσαντες κατέλυσαν τὴν ἐκκλησίαν, καὶ ἐποίησαν τὴν φιάλην. καὶ ἐποίησαν τὴν ἐκκλησίαν τὴν Μητροπολίτου εἰς τὸ Πετρίον.

		ι΄	ιδ΄		β΄			

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μουάμεδ τὴν τετάρτην Ἀρμενίαν, καὶ αἰχμαλωτεύσας πολλοὺς ἀνέστρεψεν. ἐν αὐτῷ δὲ τῷ ἔτει Ἰουστινιανὸς ἐξεβλήθη τῆς βασιλείας τρόπῳ τοιούτῳ. ἐκέλευσε Στεφάνῳ τῷ Πατρικίῳ καὶ στρατηγῷ, τῷ ἐπίκλην Ρουσίῳ, νυκτὸς ἀποκτεῖναι τὸν δῆμον ΚΠ. ἄρξασθαι δὲ ἀπὸ τοῦ Πατριάρχου. Λεόντιος δὲ ὁ Πατρίκιος καὶ στρατηγὸς τῶν Ἀνατολικῶν γενόμενος ἐν πολέμοις εὐδοκιμήσας, ἐν φρουρᾷ τε χρόνους τρεῖς ποιήσας, κατηγορηθεὶς ἐξάπινα ἀνεκλήθη, καὶ στρατηγὸς Ἑλλάδος προεβλήθη. καὶ ἐκελεύσθη δὲ εἰς τρεῖς ἐμβληθῆναι δρόμωνας, καὶ αὐθημερὸν ἀποκινῆσαι τῆς πόλεως. τῇ δὲ αὐτῇ νυκτὶ ἐν τῷ Ἰουλιανισίῳ λιμένι τῆς Σοφίας πλησίον τῶν Μαύρου πρὸς τὸ ἐκπλεῦσαι τῆς πόλεως μεθορμίσαντος, συνετάσσετο τοῖς πρὸς αὐτὸν ἀπερχομένοις φίλοις, ἐν οἷς πρὸς αὐτὸν παρεγένοντο καὶ οἱ γνήσιοι αὐτοῦ φίλοι, Παῦλος μοναχὸς τοῦ Καλλιστράτου, ὁ καὶ ἀστρονόμος, Γρηγόριος ὁ Καππαδὸξ ὁ ἐκ Κλεισουράρχης γενόμενος, ἔπειτα δὲ μοναχὸς, καὶ ἡγούμενος τῶν Φλώρου· οἵ τινες ἐν τῇ φυλακῇ πυκνοτέρως αὐτὸν σκεπτόμενοι, διεβεβαιοῦντο αὐτὸν βασιλεύσειν τῶν Ῥωμαίων. ὁ δὲ Λεόντιος λέγει πρὸς αὐτούς. ὑμεῖς διεβεβαιώσασθέ με ἐν τῇ φυλακῇ περὶ βασιλείας· καὶ νῦν ἡ ζωή μου ἐν κακοῖς τελευτᾷ. ὄπισθεν γάρ μου ἔσομαι κατὰ πᾶσαν ὥραν ἐκδεχόμενος θάνατον. οἱ δὲ εἶπον αὐτῷ. μὴ ὀκνεύσῃς, καὶ τοῦτο ἀληθῶς πληροῦται. ἐπάκουσον ἡμῖν μόνον· καὶ ἀκολούθησον ἡμῖν. καὶ λαβὼν ὁ Λεόντιος τοὺς ἀνθρώπους αὐτοῦ, καὶ ἅρματα ὅσα εἶχεν, ἀνῆλθεν εἰς τὸ Πραιτώριον σιγῇ πολλῇ, καὶ κρούσαντες τὴν πύλην, προεφασίσαντο τὸν βασιλέα παραγεγονέναι ἐπὶ τὸ διοικῆσαί τινας τῶν ἐκεῖσε ὄντων. μηνυθέντος δὲ τοῦ τηνικαῦτα Ὑπάρχου, καὶ συντόμως ἐλθόντος, καὶ τὰς πύλας ἀνοίξαντος, χειροῦται ὑπὸ Λεοντίου· καὶ ῥαπισθεὶς ἐπεδήθη χεῖρας καὶ πόδας. εἰσελθὼν δὲ ὁ Λεόντιος καὶ τὰς φυλακὰς ἀνοίξας, λύσας τε τοὺς καθειργμένους ἄνδρας πολλοὺς καὶ γενναίους, ἀπὸ ἓξ καὶ ὀκτὼ χρόνων κεκλεισμένους, στρατιώτας τοὺς πλείονας τυγχάνοντας· ἐκ τούτους ὁπλίσας εἰς τὸν φόρον ἐξῆλθε σὺν αὐτοῖς κράζων. ὅσοι Χριστιανοὶ εἰς τὴν ἁγίαν Σοφίαν. καὶ πέμψας καθ᾽ ἕκαστον ῥεγεῶνα, τὴν αὐτὴν φωνὴν ἀνακράζειν προσέταξε. τὸ δὲ πλῆθος τῆς πόλεως θορυβηθὲν, σπουδῇ εἰς τὸν λουτῆρα τῆς ἐκκλησίας ἠθροίσθη. αὐτὸς δὲ ἅμα τοῖς δυσὶ μοναχοῖς καὶ φίλοις αὐτοῦ σὺν καί τινων ἐκ τῆς φυλακῆς ἐξελθόντων ἐκφανεστέρων ἀνδρῶν εἰς τὸ Πατριαρχεῖον ἀνῆλθε πρὸς τὸν Πατριάρχην. εὑρὼν δὲ καὶ αὐτὸν τεταραγμένον διὰ τὰ κελευσθέντα τῷ Πατρικίῳ Στεφάνῳ τῷ Ρυσίῳ, πείθει αὐτὸν κατελθεῖν εἰς τὸν λουτῆρα, καὶ φωνῆσαι οὕτως· αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος. ἅπαν δὲ τὸ πλῆθος ἦραν φωνήν. ἀνασκαφῇ τὰ ὀστέα Ἰουστινιανοῦ. καὶ οὕτως ἐν τῷ ἱπποδρομίῳ ἐξέδραμε πᾶς ὁ λαός. ἡμέρας δὲ γενομένης ἐξάγουσι τὸν Ἰουστινιανὸν εἰς τὸ ἱπποδρόμιον διὰ τῆς σφενδόνης. καὶ ῥινοκοπήσαντες ἅμα καὶ γλωσσοκοπήσαντες ἐξώρισαν ἐν Χερσῶνι. ὁ δὲ ὄχλος συλλαβόμενοι τόν τε Θεόδοτον τὸν μο-

Hoc anno Muamed in quartam Armeniam exercitum eduxit, & captivis pluribus collectis domum regressus est. Hoc etiam anno Justinianus imperio ex hujusmodi causa dejectus est. Stephano Patricio & exercitus Duci, illi Rusius cognomentum, præceperat ut in Urbis plebem multa cæde per noctem grassaretur; stragis vero impressio ab ipso Patriarcha duceret exordium. Porro Leontius Patricius & Orientalium copiarum quondam Dux, vir belli gloria conspicuus, qui annos jam tres custodia detentus eaegerat, ex improviso vinculis eductus fuit, & per Græciam militiæ Dux institutus. In tres autem celoces cum comitatu deportatus, eodem die Urbe solvere jussus est. Insequenti igitur nocte ad Julianisium Sophiæ portum, ad eam, cui Mauri nomen, plagam, navigationis ab Urbe suscipiendæ causa trajiciens, ultimam salutem amicis ad se confluentibus precabatur, & Vale dicebat: Inter eos præcipui accesserunt amici Paulus Callistrati Monasterii Cœnobita, Astrologiæ peritus, Gregorius Cappadox, olim clusuræ Custos, nunc vero Monachus, & Flori Cœnobii præpositus; qui eum adhuc carcere detentum invisentes solito crebrius Romanorum Imperatorem brevi futurum prænunciaverant. Ad eos Leontius. Vos, inquit, in carcere adhuc positum de imperio consequendo certiorem me semper fecistis: nunc autem inter ærumnarum angustias vita mihi transigitur; retro quippe insequentem me mortem propediem expecto. Cui illi: Ne despondeas animo, ajunt: brevi post promissa succedent. Dictis tantum attende, & sequere nos. Eductis itaque domesticis, & armis, quæ præ manibus habuit, sumptis, in Prætorium silentio Leontius perrexit, pulsatisque foribus, simulat eo Imperatorem accedere, ut de quibusdam in carcere detentis sententiam ferat. Re ad Præfectum delata, ipse festinus accedit, ac ubi fores reserat, mox a Leontio comprehenditur, ac deinde frequentibus alapis cæsus manus ac pedes devincitur. Leontius intus penetrans, carceribus reclusis, præclaros sane ac fortunæ non contemnendæ viros plerosque vinculis compeditos, & carceris horrore a sex, vel etiam ab annis octo conclusos, quorum plerique militiam sequebantur, liberat: Ubi armorum facta copia, cum illis in forum excurrit, ac vociferatur. Cuncti Christiani ad sanctam Sophiam convenite: Ac simul summisit, qui per Urbis singulas regiones voces easdem cum clamore spargerent. Conferta plebs hoc tumultu excita ad Ecclesiæ lavacrum accelerans congregatur. Leontius cum Monachis duobus, & amicis suis, nec non aliis quibusdam ex illustrioribus viris, qui ex carceribus prodierant, Pontificem ad Patriarchalem suam ædem convenit. Cumque ipsum etiam Patriarcham conturbatum, ob ea nimirum quæ ipsi a Patricio Stephano Rusio jussa fuerant, comperisset: hortatur, ut ad baptisterii lavacrum descendat, & voce magna exclamet: Hæc dies, quam fecit Dominus. Tum populus clamore sublato vociferatur. Effodiantur Justiniani ossa. His vocibus auditis, in Circum plebs universa tumultuans concurrit. Mox adventante die Justinianum per metam in Circum producunt: & naso linguaque truncatum Chersonam relegari decernunt. Post hæc plebs Theodotum Monachum Genera-

Edit. P. vris. pag. 308.

lemque Logothetam, & Stephanum Sacellarium origine Persam comprehendit: eosque funibus ad pedes alligatis per viam publicam ad Bovem locum ita dictum pertractos igne damnavit: atque ita demum Leontius populi felicitatem precantis vocibus Imperator est salutatus.

A ναχὸν καὶ Γενικὸν Λογοθέτην, καὶ Στέφανον τὸν Σακελλάριον τὸν Πέρσην, σχοίνοις τε ἐκ ποδῶν τούτους δήσαντες, σύρουσι διὰ τῆς μέσης λεωφόρου, καὶ εἰς τὸν Βοῦν ἀπαγαγόντες κατέκαυσαν. καὶ οὕτω Λεόντιον βασιλέα εὐφήμησαν.

Edit Paris. pag. 309.

		Ρωμ. βασιλ. Λεόντιος ἔτη γʹ.						
		αʹ	ιγʹ		γʹ			

Hoc anno Leontius imperavit, & pacem undequaque habuit.

Τούτῳ τῷ ἔτει Λεόντιος ἐβασίλευσε, καὶ πάντοθεν B εἰρηνικῶς διέμεινεν.

		2	54		4			

		βʹ	δʹ		δʹ					

Hoc anno Alidus armata manu Romanum imperium invasit, & collecta captivorum multitudine recessit: Sergius quoque Lazicæ & Barnucii Patricius perduellis in Imperatorem extitit, & ea loca Arabibus prodidit.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Ἀλιδος τὴν Ῥωμανίαν. καὶ πολλοὺς αἰχμαλωτεύσας ὑπέστρεψε. καὶ ἐστασίασε Σέργιος ὁ Πατρίκιος τῆς Λαζικῆς, καὶ τοῦ Βαρνουκίου, καὶ ταύτην τοῖς Ἄραψιν ὑπέταξεν.

		3	15		5			

		γʹ	αʹ		εʹ			

Hoc anno Arabes impressione in Africam facta, armorum vi eam ceperunt, & ex proprio sibi exercitu præsidiarios milites in ea constituerunt Eo comperto Patricium Joannem virum rebus agendis idoneum cum Romana classe omni Leontius in auxilium misit. Is cum Carthaginem appulisset, & bellica virtute catenam portum occludentem perrupisset, hostibus demum in fugam versis & ejectis, omnes Africæ munitas urbes in libertatem restituit: & præsidio ex suis militibus relicto, Imperatorem de iis quæ acciderant certiorem facit; ibique hyemavit mandata Imperatoris expectans. Protosymbulus vero (qui Arabici consilii princeps) ubi hæc gesta rescivit, potentiorem & numerosiorem classem adversus Romanos instruxit, & memoratum Joannem ejusque classem e portu mutata belli fortuna ejecit: eumque levi & humili terræ vallo circumcinctum reperiens, exercitu applicato eum undequaque obsidere decrevit. Præfatus tamen Joannes periculo expeditus in Romaniam reversus est; majores & robustiores copias ab Imperatore quæsiturus. Cretam igitur appulit, ad Imperatorem dirigens iter. Exercitus autem ex Ducum consilio ad Imperatorem reverti recusans, metu enim non minus quam pudore retinebantur, in damnosum omnino propositum deflexit. Leontii siquidem nomine repudiato, Apsimarum Cibyræotarum Drungarium apud Curiciotas tunc agentem, Tiberii nomine eidem imposito, Imperatorem renunciant. Leontio vero Neoresii portum CP. expurgante, bubonum lues in Urbem grassata, quatuor mensium spatio magnum hominum numerum sustulit. Porro Apsimarus comitante secum classe advectus ex adverso Urbis ad portum Sycænam appulit. Cum vero longo satis intervallo temporis aciei adversæ Leontium prodere cives Urbis recusarent, intercessit proditio composita a Principibus Extraneorum in unico eoque levi Blachernarum muro collocatis, quibus claves muri terrestris horrendo prorsus jurejurando ex sacra mensa interposito commissæ fuerant. Ii sane deditionis auctores, & stru-

pag. 310.

C Τούτῳ τῷ ἔτει ἐπεστράτευσαν οἱ Ἄραβες τὴν Ἀφρικὴν, καὶ ταύτην παρέλαβον, καὶ ἐκ τοῦ οἰκείου στρατοῦ πακτιῶνα ἐν ταύτῃ κατέστησαν. ὁ δὲ Λεόντιος ταῦτα μαθὼν ἀποστέλλει τὸν Πατρίκιον Ἰωάννην ἄνδρα ἱκανὸν μετὰ πάντων τῶν Ῥωμαϊκῶν πλωϊμάτων. τούτου δὲ ἐν Καρθαγένῃ φθάσαντος, καὶ πολέμῳ τὴν τοῦ ἐκεῖσε λιμένος ἅλυσιν ἀνοίξαντος, καὶ τοὺς ἐχθροὺς τρέψαντος, καὶ ἐκδιώξαντος, ἅπαντα τὰ τῆς Ἀφρικῆς κάστρα ἠλευθέρωσε· καὶ καταλιπὼν πακτιῶνα ἴδιον, τῷ βασιλεῖ ταῦτα ἀνήγαγε. καὶ ἐκεῖσε ἐχείμασε ἀκολουσιν παρ' αὐτοῦ ἐκδεχόμενος. ὁ δὲ Πρωτοσύμβολος ταῦτα μαθὼν δυνατώτερον καὶ πολλὺν στόλον κατ' αὐτῶν ἀποστέλλει. καὶ τὸν προλεχθέντα Ἰωάννην σὺν τῷ αὐτοῦ στόλῳ πολέμῳ τοῦ λιμένος διώκει. καὶ εἰς περίδρο- D μον λεπτὸν ἔνδον παραλαβὼν, ἔξωθεν φοσσατικῶς ἐπλήκευσεν. ὁ δὲ προλεχθεὶς ἐπὶ Ῥωμανίαν ἀνέκαμψε, πλειοτέραν δύναμιν παρὰ τοῦ βασιλέως βουλόμενος κομίσασθαι. καὶ ἦλθεν ἕως Κρήτης ἐπὶ τὸν βασιλέα πορευόμενος. ὁ δὲ στρατὸς ὑπὸ τῶν ἰδίων ἀρχόντων εἰς τὸν βασιλέα ἀναβαλεῖν μὴ βουλόμενος (εἶχε γὰρ αὐτοὺς φόβος καὶ αἰσχύνη) εἰς βουλὴν πονηρὰν ἐξετράπη. καὶ τοῦτον ἀνίσκαψαν ψηφισάμενοι βασιλέα Ἀψίμαρον Δρουγγάριον τῶν Κιβυῤῥαιωτῶν εἰς Κουρικιώτας ὑπάρχοντα, Τιβέριον αὐτὸν μετονομάσαντες. τοῦ δὲ Λεοντίου ἐν Κωνσταντινουπόλει τὸν Νεωρήσιον λιμένα ἐκκαθαίροντος, ἡ τοῦ βουβῶνος λύμη ἐπέσκηψε τῇ πόλει, καὶ πλῆθος λαοῦ ἐν τέσσαρσι μησὶ διέφθειρε. E καταλαμβάνει δὲ Ἀψίμαρος ἅμα τῷ συνόντι αὐτῷ στόλῳ, καὶ προσώρμησεν ἀντικρὺ τῆς πόλεως ἐν Συκαῖς. ἐπὶ χρόνον δέ τινα τῆς πόλεως παραδοῦναι Λεόντιον μὴ βουλομένης, προδοσία γέγονε διὰ τοῦ μονοτείχους Βλαχερνῶν ὑπὸ ἐξωτικῶν ἀρχόντων τῶν τὰς κλεῖς τοῦ χερσαίου τείχους μεθ' ὅρκου φρικτοῦ ἐκ τῆς ἁγίας τραπέζης ἐμπιστευθέντων.

οὗτοι δὲ ἐπιβουλῆς παρέδωκαν τὴν πόλιν. εἰσελθόντες δὲ οἱ τῶν πλωΐμων στρατιῶται εἰς τοὺς οἴκους τῶν πολιτῶν ἐγύμνωσαν τοὺς οἰκήτορας αὐτῶν· ὁ δὲ Ἀψίμαρος τὸν μὲν Λεόντιον ἐῤῥινοκόπησε, καὶ ἐν τῇ μονῇ τοῦ Δαλμάτου ὑπὸ φυλακὴν εἶναι προσέταξε. τοὺς δὲ ἄρχοντας καὶ φίλους αὐτοῦ ὡς συναποθανόντας αὐτῷ τύψας καὶ δημεύσας ἐξώρισεν. Ἡράκλειόν τε τὸν γνήσιον αὐτοῦ ἀδελφὸν ὡς λίαν ἱκανώτατον μονοστράτηγον πάντων τῶν ἔξω Καβαλλαρικῶν θεμάτων προβαλόμενος ἐπὶ τὰ μέρη Καππαδοκίας, καὶ τῶν κλεισουρῶν διατρέχειν, καὶ τὴν κατ᾽ ἐχθρῶν ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν ἀπέστειλεν.

A ctarum Leontio insidiarum fuerunt opifices. Milites porro Apsimari classe advecti, civium domos penetrantes bona eorum cuncta diripuerunt. Apsimarus autem Leontium naribus mutilatum in Dalmatæ Monasterio sub custodia servandum mandavit: ejus vero optimates velut commortuos & fortis ejusdem participes, partim verberibus, partim proscriptionibus mulctatos in exilium agi imperavit. Tum germanum fratrem suum Heraclium tamquam bello gerendo idoneum omnibus exteris equestribus copiis singularem ac supremum Ducem instituit: misitque ut partes Cappadociæ, & clusuras sive montium angustias percurreret, & hostium molimina observaret, & quod in adversum foret agendum, decerneret.

B

Κόσμου ἔτη ςρϟϛ΄.	Τῆς θείας σαρκώσεως ἔτη χϟϛ΄.	Ῥωμ. βασιλ. Ἀψίμαρος ἔτη ζ΄.	Ἀράβων ἀρχηγὸς Ἀβιμέλεχ ἔτη κβ΄.		Κωνσταντ. ἐπίσκ. Καλλίνικος ἔτη ιβ΄.			
		α΄	ιϛ΄		ϛ΄			

Anni mundi 6196.	Divinæ incarn. 696.	Rom Imp. Apsimarus annis 7.	Arabum Dux Abimelech annis 22.		Constant. Episc. Callinicus annis 12			
		1	16		6			

Τούτῳ τῷ ἔτει Ἀψίμαρος τῆς βασιλείας ἐκράτησε. καὶ ἐστασίασεν Ἀβδεραχμὰν ἐν Περσίδι, καὶ ἐκυρίευσεν αὐτῆς, καὶ ἐδίωξε Χαγάνον ἀπ᾽ αὐτῆς.

Hoc anno Apsimarus imperium obtinuit. Abderachman vero in Persia rebellionem excitavit, & ea potitus Chaganum illinc eliminavit.

		β΄	ζ΄		ζ΄			

		2	17		7			

C

Τούτῳ τῷ ἔτει γέγονε θανατικὸν μέγα. καὶ ἐπεστράτευσε Μωάμεδ σὺν τῷ πλήθει τῶν Ἀράβων κατὰ τοῦ Ἀβδεραχμὰν, καὶ καταλαβὼν τὴν Περσίδα ἑνοῦται τῷ Χαγάνῳ, καὶ πολεμήσας τὸν Ἀβδεραχμὰν, ἀναιροῦσιν αὐτὸν, καὶ πάλιν τῷ Χαγὰν τὴν Περσικὴν ἐγχειρίζουσιν. οἱ δὲ Ῥωμαῖοι κατέδραμον Συρίας, καὶ ἔρχονται ἕως τὸ Σαμόσατον, καὶ προνομεύσαντες τὴν περίχωρον πολλοὺς ἀπέκτειναν, ὥς φασι χιλιάδας σ΄. Ἀράβων· καὶ σκῦλα πλεῖστα λαβόντες καὶ αἰχμαλωσίαν πολλὴν Ἀράβων, ὑπέστρεψαν φόβον μέγαν ἐμποιήσαντες εἰς αὐτούς.

Hoc anno lues maxima extitit. Muamed vero cum Arabum copiis bello Abderachman aggressus est, ac in Persidem ingressus Chagano adjungitur: & communi Marte Abderachman adorti eum interficiunt, & Chagan rursum Persidis recipit principatum. Romani autem impressione in Syriam facta, Samosatum usque penetrant, vicinasque regiones populati, Arabum ad ducenta, ut narrant, millia trucidant, spoliaque opima innumerosque captivos abducentes, valido metu Arabum animis incusso, domum reversi sunt.

		γ΄	ιη΄		η΄			

		3	18		8			

D

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Ἀβδελᾶς εἰς Ῥωμανίαν, καὶ πολιορκήσας Τάραντον, καὶ μηδὲν ἀνύσας, ὑπέστρεψε τὴν Μοψουεστίαν, καὶ ἔθετο ἐν αὐτῇ φύλακας.

Hoc anno Abdelas copias in Romaniam eduxit. Et obsessa Taranto non valens potiri, Mopsuestiam rediit, & præsidium in ea constituit.

Edit. Parif. pag. 311.

		δ΄	ιθ΄		θ΄			

		4	19		9			

Τούτῳ τῷ ἔτει Βαάνης, ὁ ἐπίκλην Επταδαίμων, τὴν τετάρτην Ἀρμενίαν τοῖς Ἄραψιν ὑπέταξεν. Ἀψίμαρος δὲ Φιλιππικὸν τὸν υἱὸν Νικηφόρου τοῦ Πατρικίου εἰς Κεφαλληνίαν ἐξώρισεν, ὡς ὀνειροπολούμενον βασιλεύειν. ἔφασκε γὰρ ἑωρακέναι κατ᾽ ὄναρ, ὅτι ἡ κεφαλὴ αὐτοῦ ἐσκιάζετο ὑπὸ ἀετοῦ. ἀκούσας δὲ ταῦτα ὁ βασιλεὺς, παραχρῆμα αὐτὸν ἐξώρισεν.

Hoc anno Baanes, cognomento Eptadæmon, quartam Armeniam Arabibus fecit subjectam. Apsimarus autem Philippicum Nicephori Patricii filium in Cephaloniam relegavit, quod imperio se quandoque potiturum somniasset. Caput enim suum aquilæ pennis obumbratum per somnium se vidisse asserebat. His auditis Imperator eum confestim in exilium deportari sanxit.

E

		ε΄	κ΄		ι΄			

		5	20		10			

Τούτῳ τῷ ἔτει ἐστασίασαν οἱ ἄρχοντες Ἀρμενίας κατὰ τῶν Σαρακηνῶν, καὶ τοὺς ἐν Ἀρμενίᾳ Σαρακηνοὺς ἀπέκτειναν. καὶ αὖθις πρὸς τὸν Ἀψίμαρον πέμπουσι, καὶ Ῥωμαίους εἰς τὴν αὐτῶν χώραν φέρουσιν. ὁ δὲ Μωάμεδ ἐπιστρατεύσας κατ᾽

Hoc anno Armeniæ Primores tumultu in Saracenos excitato, Saracenos per Armeniam universos occiderunt: & Legatione rursus ad Apsimarum destinata, Romanos in suam provinciam inducunt. Muamed autem expeditione in eos suscepta

plurimos ex eis delet, & Armeniam iterum Saracenis subjicit, Armenosque proceres unum in locum collectos omnes vivos combussit. Sub id tempus Azar armatorum millibus decem secum ductis Ciliciæ bellum intulit: Cui cum Heraclius Imperatoris frater obviam factus fuisset, plurimos ex ejus copiis prostravit, reliquos vero vinctos ad Imperatorem transmisit.

| | | 6 | 21 | | 22 | | | |

Hoc anno Azibus Chunee filius in Ciliciam arma movit, Sisiumque castrum obsidione expugnatum subvertit: eum Heraclius Imperatoris frater paribus armis aggreditur, pugnaque conserta Arabum duodecim millia profligat. Interim Justinianus Chersonæ degens, imperii sceptra denuo sibi cum potestate committenda enuncians, ejus loci incolas dictis hujusmodi terret. Quare periculum ab Imperatore sibi metuentes, de inferenda illi nece, vel eo ad Imperatorem deportando consilium ineunt. Ille machinas præsentiens, fugam solerter capessit, & festino gressu Daras profectus, Chagani Chazarorum congressum & colloquium sibi concedi expostulat. Eo nuncio accepto, Chaganus virum honore cumulatum excipit, & germanam sororem Theodoram ei conjugem locat. Brevi tempore interjecto venia a Chagano expetita Phanaguriam se confert, & ibi cum conjuge Theodora moratur. His auditis Apsimarus Chaganum per Legatos maxima munera pollicitos hortatur, ut Justinianum vivum, vel saltem ipsius caput ad se mittendum curet. Chaganus promissorum spe illectus postulatis morem gerit, & satellitii custodia ad Justinianum deputata, insidias a gentilibus suis ipsi struendas se vereri simulat: simul autem Papatzem, qui illic vices ejus gerebat, & Balgitzem Bosphori Præfectum mandatis instruit, ut cum ipsis significaretur, Justinianum e medio tollerent. Istis a Chagani famulo Theodoræ denunciatis, ac subinde Justiniano revelatis, ipse prædictum Papatzem ut remotis arbitris colloqueretur, ad se vocavit; eumque chorda confestim strangulavit, quemadmodum & Balgitzem Bosphori Præfectum: quo simul facto, & Theodora in Chazariam remissa, ipse fuga Phanaguriam versus clanculum arrepta, ad freti fauces pervenit. Ibi piscatoriam scapham forte nactus, eam conscendit, & Asadem prætervectus, ad Symbolum juxta Chersonam appulit. Nunciis vero Chersonam latenter missis, Barbacurium, & ejus fratrem, Salbanum, Stephanum, Moropaulum, & Theophilum secum tollit: & Chersonæ pharum prætergressus cum eis enavigat. Inde Necropyla præterlapsi, & Danapris, Danastrisque fluminum ostia emensi, procella de repente exorta, cuncti de salute desperant. Tum Myaces ejus domesticus homo ita eum alloquitur. Viden, Domine, periculo mortique nos proximos? Voto itaque pro salute tua concepto, si Deus imperium reddiderit, in nullum hostium tuorum te desæviturum pollicere. Ille etiamnum ira percitus: Si veniam, respondet, ulli concessero, hic jam Deus me mittat in maris profundum. Tempestatis postmodum periculo ereptus in Danubii ostia penetrat. Tum vero Stephanum ad Terbelem Bulgariæ dominum delegat, ut avitum recuperet imperium,

Edit. Paris. pag. 322.

αὐτῶν, πολλοὺς κτείνει· καὶ τὴν μὲν Ἀρμενίαν Σαρακηνοῖς ὑποτάσσει· τοὺς δὲ μεγιστᾶνας Ἀρμενίας συναθροίσας ἐν τόπῳ ἑνὶ, ζωοκαύστους ἐποίησε. κατ' αὐτὸν δὲ τὸν χρόνον ἐπεστράτευσεν Ἀζὰρ τὴν Κιλικίαν μετὰ χιλιάδων δέκα· καὶ περιτυχὼν αὐτῷ ὁ Ἡράκλειος ὁ ἀδελφὸς τοῦ βασιλέως τοὺς πλείστους ἀπέκτεινε, καὶ τοὺς λοιποὺς δεσμίους τῷ βασιλεῖ ἀπέστειλεν.

| | | ϛ' | κα' | | ιε' | | | |

Τούτῳ τῷ ἔτει Ἀζίβος ὁ τοῦ Χωνὴ ἐπεστράτευσε τὴν Κιλικίαν, καὶ πολιορκήσας τὸ Σίσιον κάστρον κατέβαλεν· ὃν κατέλαβεν ὁ τοῦ βασιλέως ἀδελφὸς Ἡράκλειος, καὶ πολεμήσας αὐτὸν κτείνει δώδεκα χιλιάδας Ἀράβων. τοῦ δὲ Ἰουστινιανοῦ ἐν Χερσῶνι διάγοντος, καὶ δημηγοροῦντος ἑαυτὸν πάλιν βασιλεύειν μέλλοντα, οἱ τῶν ἐκεῖσε οἰκήτορες τὸν ἐκ τῆς βασιλείας κίνδυνον φοβηθέντες, ἐβουλεύσαντο τοῦτον ἀνελεῖν, ἢ τῷ βασιλεῖ παραπέμψαι. αὐτὸς δὲ διεγνωκὼς ἀδιωνήτως ἐκφυγεῖν, καὶ εἰς τὸ Δαρᾶς καταδραμὼν, ᾐτήσατο τῷ τῶν Χαζάρων Χαγάνῳ συνοψισθῆναι. αὐτὸς δὲ μαθὼν ἐδέξατο αὐτὸν μετὰ τιμῆς μεγάλης, καὶ ἐξέδοτο αὐτῷ εἰς γυναῖκα Θεοδώραν τὴν γνησίαν αὐτοῦ ἀδελφήν. μετ' ὀλίγον δὲ χρόνον αἰτησάμενος τῷ Χαγάνῳ κατῆλθεν εἰς Φαναγουρίαν· κἀκεῖσε διέτριβε μετὰ Θεοδώρας. ἀκούσας ταῦτα Ἀψίμαρος, πέμπει πρὸς τὸν Χαγάνον ὑποσχόμενος αὐτῷ παρέχειν πολλὰ δῶρα, εἰ τὸν Ἰουστινιανὸν ζῶντα αὐτῷ παραπέμψῃ· εἰ δὲ μὴ, κἂν τὴν αὐτοῦ κεφαλήν. εἴξαντος δὲ τοῦ Χαγάνου τῇ τοιαύτῃ αἰτήσει παραφυλακὴν αὐτῷ ἔπεμψεν, ὡς δῆθεν διὰ τὸ μὴ ὑπὸ τῶν ἰδίων ὁμοφύλων ἐπιβουλευθῆναι· ἐντειλάμενος τὸν Παπάτζην ὡς ἐκ τοῦ προσώπου αὐτοῦ ἐκεῖσε ὄντα, καὶ Βαλγίτζην τὸν ἄρχοντα Βοσφόρου, ἵνα ὅταν δηλωθῇ αὐτοῖς ἀνέλωσι Ἰουστινιανόν. τούτου δὲ δι' οἰκέτου Χαγάνου τῇ Θεοδώρᾳ μηνυθέντος, καὶ τῷ Ἰουστινιανῷ γνωσθέντος, προσκαλεσάμενος τὸν λεχθέντα Παπάτζην κατ' ἰδίαν ὁμιλῆσαι, χορδῇ τοῦτον ἀπῆγξεν· ὁμοίως δὲ καὶ Βαλγίτζην τὸν ἄρχοντα Βοσφόρου. εὐθέως δὲ ἀποστέλλει Θεοδώραν ἐν Χαζαρίᾳ, αὐτὸς δὲ ἐπὶ Φαναγουρίαν λάθρα δραπετεύσας εἰς * σόμιον κατῆλθε. καὶ εὑρηκὼς ἁλιάδα ἐξηρτισμένην ἐπέβη ἐπ' αὐτήν. καὶ παραπλεύσας τὴν Ἀσαδα, ἦλθε μέχρι Συμβόλου πλησίον τῆς Χερσῶνος. καὶ ἀποστείλας κρυπτῶς ἐν Χερσῶνι ἐπῆρε Βαρβακούριον, καὶ τὸν ἀδελφὸν αὐτοῦ, τόν τε Σαλβανὸν, καὶ τὸν Στέφανον, καὶ τὸν Μωρόπαυλον σὺν Θεοφίλῳ· καὶ σὺν αὐτοῖς ἀποπλεύσας διέβη τὸν φάρον Χερσῶνος. εἶθ' οὕτω παραπλεύσας τὰ Νεκρόπυλα, τὸ στόμιόν τε τοῦ Δανάπρεως, καὶ τοῦ Δανάστρεως, κλύδωνος γεγονότος ἀπέγνωσαν πάντες τὴν ἑαυτῶν σωτηρίαν. Μυάκης δὲ ὁ οἰκειακὸς αὐτοῦ ἄνθρωπος ἔφη αὐτῷ. ἰδοὺ ἀποθνήσκομεν, δέσποτα, τάξαι τῷ Θεῷ περὶ τῆς σωτηρίας σου, ἵνα ὁ Θεὸς, ἐὰν ἀποδώσῃ σοι τὴν βασιλείαν σου, μηδένα ἀμύνασθαι τῶν ἐχθρῶν σου. ὁ δὲ ἀποκριθεὶς ἐν θυμῷ λέγει αὐτῷ. ἐὰν φείσωμαι τινὶ ἐξ αὐτῶν, ὁ Θεὸς ἐνταῦθά με καταποντίσῃ. καὶ ἀκινδύνως ἐκ τοῦ κλύδωνος ἐκείνου ἐξῆλθε, καὶ εἰσῆλθεν εἰς τὸν Δάνουβιν ποταμόν. ἀποστείλαντος δὲ αὐτοῦ Στέφανον πρὸς Τερβέλην τὸν κύριον Βουλγαρίας ἐπιζητῆσαι αὐτῷ συνάρσιν, ὅπως κρατήσῃ τὴν προ-

* στόμιον

τὴν προγονικὴν αὐτοῦ βασιλείαν, ὑπέσχετο αὐτῷ πλεῖστα παρέχειν δῶρα, καὶ τὴν ἑαυτοῦ θυγατέρα εἰς γυναῖκα. αὐτὸς δὲ πάντα ὑπακούειν καὶ συντρέχειν ἐνομόταις ὑποσχόμενος, καὶ μετὰ τιμῆς δεξάμενος, συγκινεῖ τὸν ὑποκείμενον αὐτῷ πάντα λαὸν τῶν Βουλγάρων καὶ Σκλάβων· καὶ τῷ ἐρχομένῳ χρόνῳ ὁπλισθέντες ἐπὶ τὴν βασιλεύουσαν πόλιν παρεγένοντο.

auxiliarem manum ab eo postulat, plurimis muneribus beneficium, ajebat, compensaturus, etiam propria filia in uxorem data. Terbeles ei se in omnibus obediturum, auxiliumque daturum adhibito jurejurando pollicitus, Justinianumque perhonorifice suscipiens, omnes Bulgarorum & Sclavorum copias collegit: qui demum omnes anno insequenti arreptis armis ad Imperatoriam Urbem profecti sunt.

Κόσμου ἔτη ͵ςρϟζʹ.	Τῆς θείας σαρ. ἔτη χϟζʹ.	Ῥωμ. Βασιλ. Ἀψίμαρος ἔτη ζʹ.	Ἀράβ. ἀρχηγ. Ἀβιμέλεχ ἔτη κβʹ.		ΚΠ. ἐπίσκ. Καλλίνικος ἔτη ιβʹ.			
		ζʹ.	κβʹ		ιβʹ			

Anni mundi 6197.	Divinae Incarn. 697.	Rom. Imp. Apsimarus annis 7.	Arabum Dux Abimelech annis 22.		CP. Episc. Callinicus annis 12.			
		7	22		12			

Τούτῳ τῷ ἔτει τέθνηκεν Ἀβιμέλεχ ὁ τῶν Ἀράβων ἀρχηγός. καὶ ἐκράτησεν Οὐαλὶδ ὁ υἱὸς αὐτοῦ. Τῷ δ' αὐτῷ ἔτει Ἰουστινιανὸς τὴν βασιλίδα πόλιν καταλαβὼν ἅμα Τερβέλῃ, καὶ τῶν σὺν αὐτῷ Βουλγάρων ἀπλήκευσεν εἰς τὴν Χαρσίου πόρταν, καὶ ἕως Βλαχερνῶν. καὶ ἐπὶ τρεῖς ἡμέραις προσλαλοῦντες τοῖς ἐν τῇ πόλει ὑβρίζοντο παρ' αὐτῶν, καὶ οὐδὲ λόγον κατεδέχοντο. ὁ δὲ Ἰουστινιανὸς μετ' ὀλίγων ὁμοφύλων πολέμου χωρὶς διὰ τοῦ ἀγωγοῦ εἰσελθὼν, καὶ θόρυβον ἀνασκαφῆς βαλὼν, τὴν πόλιν παρέλαβε, καὶ πρὸς βραχὺ ἐσκήνωσεν ἐν τῷ παλατίῳ Βλαχερνῶν.

Hoc anno Arabum Dux Abimelech mortuus est: & Valid ejus filium principatum obtinuit. Eodem etiam anno Justinianus Terbelis & Bulgarorum ipsi adjunctorum auxilio fretus Urbium Reginam armis impetit, & ad Charsii portam castris locatis totum spatium ad Blachernas usque occupat. Per dies autem tres colloquio cum civibus habito, nonnisi contumelias, & dicteria ab ipsis retulerunt, quibus etiam incassum pacis conditiones obtulerunt. Porro Justinianus cum paucis admodum gentilibus suis citra pugnam per cuneum in Urbem subiens, sparso cædis & stragis tumultu ejus compos effectus, paulo post in Blachernarum Palatio sedem ac simul castra posuit.

Edit. Paris pag. 313.

		Ῥωμ. βασιλ. πάλιν Ἰουστινιανὸς ἔτη ϛʹ.	Ἀράβ. ἀρχηγ. Οὐαλὶδ ἔτη θʹ		ΚΠ. ἐπίσκ. Κῦρος ἔτη ϛʹ			
		αʹ	αʹ		αʹ			

		Rom. Imp. Justinianus secundo annis 6.	Arabum Dux Valid annis 9.		CP. Episc. Cyrus annis 6.			
		1	1		1			

Τούτῳ τῷ ἔτει Ἰουστινιανὸς πάλιν τὴν βασιλείαν παραλαμβάνει, καὶ πολλὰ δῶρα δοὺς τῷ Τερβέλῃ καὶ βασιλικὰ σκεύη, ἀπέλυσεν αὐτὸν ἐν εἰρήνῃ. Ἀψίμαρος δὲ καταλιπὼν τὴν πόλιν εἰς Ἀπολλωνιάδα φεύγει. καταδιωχθεὶς δὲ συλλαμβάνεται, καὶ εἰς Ἰουστινιανὸν ἄγεται. καὶ Ἡράκλειος δὲ ἀπὸ Θρᾴκης δεδεμένος ἤχθη σὺν πᾶσι τοῖς συνασπιζομένοις αὐτοῖς ἄρχουσιν, οὓς ἐν τῷ τείχει πάντας ἐφούρκισεν. Ἀποστείλας δὲ εἰς τὰ μεσόγεια ἅπαντα πλείστους ἐξ αὐτῶν εὗρεν ἐμπράκτους τε, καὶ ἀπράκτους πάντας ἀπέκτεινε. τὸν δὲ Ἀψίμαρον καὶ Λεόντιον ἁλύσεσι δεδεμένους εἰς πᾶσαν τὴν πόλιν πομπεῦσαι πεποίηκε· καὶ τοῦ ἱππικοῦ ἀγομένου, καὶ ἐν τῷ σένζῳ καθεζομένου ἔχθεσαν συρόμενοι δημοσίᾳ, καὶ ἐρρίφησαν ὑποπιάδην αὐτῷ. καὶ ἐπάτησε τὸν τράχηλον αὐτῶν, ἄχρις ἀπολύσεως τοῦ πρώτου βαΐου τοῦ δήμου βοήσαντος· ὅτι, ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπέβης, καὶ ἐπάτησας λέοντα καὶ δράκοντα. καὶ τούτους ἀποστείλας ἐν τῷ Κυνηγίῳ ἀπεκεφάλισε· Καλλίνικον δὲ Πατριάρχην τυφλώσας ἐν τῇ Ῥώμῃ ἐξώρισε· καὶ ἀντ' αὐτοῦ Κῦρον ἐν τῇ νήσῳ Ἀμάστρεις ἔγκλειστον ὄντα, ὡς προσημάναντα αὐτῷ τὴν τῆς

Hoc anno Justinianus in imperium restitutus, præclaris muneribus & regia supellectile Terbeli oblata, inito cum eo fœdere, pacifice dimisit. Apsimarus Urbe relicta, Apolloniadem fuga se recipit: & in ipsa fuga comprehensus ad Justinianum adducitur. Heraclius quoque vinculis compeditus Thracia extractus, cum cæteris, qui sub eo merebantur, proceribus eidem præsentatur: quos omnes laqueis e muro suspendit. Dimissis etiam per mediterranea ministris, multos ex Apsimari militibus repertos, tum eos qui pro ipso aliquid moliebantur, quam qui quietem agerent, omnes interfecit. Apsimarum autem & Leontium catenis vinctos per universas Urbis regiones ignominiose traduci mandavit: & Circensibus ludis celebratis, ipso propria sibi sede composito, illi publice cum dedecore tracti, ad pedes ejus prosternendi humili more projecti sunt. Inclinatorum & pronorum in terram cervices pedibus terebat & calcabat Justinianus, donec Circi munus primum exhiberetur, populo vociferante: Super aspidem & basiliscum ambulasti, & conculcasti leonem & draconem. Demum in Cynegium missis caput amputari præcepit: Callinicum Patriarcham oculis orbatum Romam relegavit: & in ejus locum Cyrum quemdam in Amastris insula Monachum Inclusum, quod imperii se-

cundo gerendi vaticinium edidisset, sufficit. Ex civium posthac militumque ordine numerum propemodum infinitum coegit perire: plurimos quoque saccis inclusos amara morte interemit: Nonnullos etiam ad prandii cœnæve epulum invitatos, si quando surgerent e mensa, hos patibulo, alios gladio damnabat. Ex his horror metusque cunctorum animos invasit. Classem porro quæ e Chazaria conjugem deveheret, misit, cujus navigia quamplurima una cum iis, qui conscenderant, hominibus submersa sunt. His Chaganus motus, significat. Fatue, nonne duabus vel tribus navibus conjugem tuam repetere oportuit, tantæque multitudinis vitæ parcere? Num eam bello recipere parabas? Vide, etiam filius natus est tibi: mitte ergo qui eos ad te adducant. Ille misso Theophylacto Cubiculario Theodoram conjugem recepit, & ejus filium Tiberium: utrumque vero imperii corona ornavit, unaque cum eo imperii dignitate potiti sunt.

Edit. Parif. pag. 314.

A δευτέρας βασιλείας ἀποκαταστασιν προεβάλετο. ἀναιρεθῆναι δὲ πλῆθος ἐκ τοῦ πολιτικοῦ καὶ στρατιωτικοῦ καταλόγου ἀπώλεσε. πολλοὺς δὲ καὶ ἐν σάκκοις ἐμβάλλων ἐν τῇ θαλάσσῃ παραθανάτους ἐποίει. ἄλλους δὲ πρὸς ἀριστόδειπνον κληθορῶν ἅμα τῷ ἀναστῆναι, οὓς μὲν ἐφούρκιζεν, οὓς δὲ ἀπέτεμνε. κἀντεῦθεν μέγας φόβος συνεῖχε πάντας. ἀπέστειλε δὲ στόλον πρὸς τὸ ἀγαγεῖν ἐκ Χαζαρίας τὴν ἑαυτοῦ γυναῖκα, καὶ πολλὰ σκάφη ὑποντίθησαν σύμψυχα. ἀκούσας δὲ ὁ Χαγάνος δηλοῖ αὐτόν. ὦ ἀνόητε, οὐκ ἔδει σε διὰ δύο, ἢ τριῶν σκαφῶν λαβεῖν σου τὴν γυναῖκα, καὶ μὴ ἀποκτεῖναι τοσοῦτον πλῆθος; ἢ δοκεῖς καὶ ταύτην πολέμῳ λαμβάνειν; ἰδοὺ ἐτέχθη σοι καὶ υἱὸς, καὶ ἀπόστειλον λάβε αὐτούς. ὁ δὲ ἀποστείλας Θεοφύλακτον Κουβικουλάριον ἔλαβε τὴν Θεοδώραν, B καὶ Τιβέριον τὸν υἱὸν αὐτῆς, καὶ ἔστεψεν αὐτούς· καὶ συνεβασίλευσαν αὐτῷ.

						Hierosol. Episc. Joannes annis 30.		
		2	2		2	2		

						Ἱεροσ. ἐπίσκ. Ἰωάννης ἔτη λ'.		
		β'	β'		β'	β'		

Hoc anno Valid, qua ferebatur in Christianos invidia, publicam & communem sanctissimam Damasci Ecclesiam, ob apparatum & illius ædis amplitudinem, Christianis eripuit. Publicos etiam Logothesiorum sive publici ærari codices Græce describi vetuit, sed Arabice exarari jussit, exceptis numeris: quandoquidem unitatem, vel binarium, aut ternarium, vel octo cum medio, ternariumve ea lingua describi non sit possibile: Quamobrem Notarii Christiani usque in hunc diem apud eos remanserunt.

Τούτῳ τῷ ἔτει Οὐαλὶδ ἁρπάσας τὴν καθολικὴν Δαμασκοῦ ἁγιωτάτην ἐκκλησίαν φθόνῳ πρὸς τοὺς Χριστιανοὺς ὁ ἀλιτήριος διὰ τὸ ὑπερβάλλον κάλλος τοῦ τοιούτου ναοῦ· καὶ ἐκώλυσε γράφεσθαι ἑλληνιστὶ τοὺς δημοσίους τῶν Λογοθεσίων κώδικας, ἀλλ' Ἀραβίοις αὐτὰ παρασημαίνεσθαι· χωρὶς τῶν ψήφων. ἐπειδὴ ἀδύνατον τῇ ἐκείνων γλώσσῃ μονάδα, ἢ δυάδα, ἢ τριάδα, ἢ ὀκτὼ ἥμισυ, ἢ τρία γράφεσθαι· διὸ καὶ ἕως σήμερον εἰσὶ σὺν αὐτοῖς Νοτάριοι Χριστιανοί.

Anni mundi 6203.	Divinæ Incarn. 703.	Rom. Imp. Justinian. annis 6.	Arabum Dux Valid annis 9.		CP. Episc. Cyrus annis 6.	Hierosol. Episc. Joannes annis 30.		
		3	3		3	3		

Κόσμου ἔτη ςσγ'.	Τῆς θείας σαρκ. ψγ'.	Ῥωμ. βασ. Ἰουστινιανὸς ἔτ. ς'.	Ἀράβ. ἀρχηγὸς Οὐαλὶδ ἔτη θ'.		Κωνσ. ἐπίσκ. Κῦρος ἔτη ς'.	Ἱεροσ. ἐπίσκ. Ἰωάννης ἔτη λ'.		
		γ'.	γ'.		γ'.	γ'.		

Hoc anno Justinianus pacem Romanos inter & Bulgaros compositam violavit, & equitum legionibus in Thraciam transire jussis, etiam classem adversus Bulgaros instruxit, & in Terbelem irrupit. Anchialum vero profectus, classem quidem ad urbem applicuit; equestres vero copias ad campos urbi imminentes, omni custodia remota, & citra periculi suspicionem castra metari præcepit. Exercitu itaque pecudum instar per campos errante, & ad pabula equis colligenda disperso, e montium culminibus inanem & levem rei militaris apud Romanos disciplinam Bulgarorum exploratores conspicati, ipsi ferarum more in agmen unum collecti, Romanum gregem uno impetu disjecerunt, & captivorum multitudinem non contemnendam, equos, & currus plurimos, postposito cæsorum numero ceperunt. Justinianus cum residuis ex exercitu in arcem fuga se recipiens, occlusis dies tres portis in ea remansit. Sed cum Bulgaros illic pertinacius instantes cerneret, ipse primus

pag. 315.

Τούτῳ τῷ ἔτει Ἰουστινιανὸς τὴν ἀναμεταξὺ Ῥωμαίων καὶ Βουλγάρων εἰρήνην διέστρεψε, καὶ περάσας τὰ καβαλλαρικὰ θέματα εἰς τὴν Θρᾴκην, καὶ ἐξώπλισε πλώϊμον κατὰ Βουλγάρων, καὶ Τερβέλη ὥρμησε. καταλαβὼν δὲ τὴν Ἀγχίαλον τὸ μὲν πλώϊμον ἔμπροσθεν τοῦ κάστρου προσώρμισε, τὰ δὲ καβαλλαρικὰ εἰς τοὺς ἄνωθεν κάμπους ἀπαραφυλάκτως καὶ πάσης ὑποψίας ἐκτὸς ἀπληκεῦσαι προσέταξε. τοῦ δὲ λαοῦ σκορπισθέντος ὡς πρόβατα εἰς τοὺς κάμπους πρὸς τὸ συλλέξαι χόρτον, εἶδον αὐτοὺς ἐκ τῶν ὀρέων οἱ κατάσκοποι τῶν Βουλγάρων τὴν τῶν Ῥωμαίων ματαίαν διοίκησιν· καὶ συναθροισθέντες ὡς θῆρες ἐξάπινα ἐπιρρίψαντες μεγάλως διέφθειραν τὸ Ῥωμαϊκὸν ποίμνιον, πολλήν αἰχμαλωσίαν τε, καὶ ἵππους, καὶ ἅρματα, δίχα τῶν ἀναιρεθέντων λαβόντες. ὁ δὲ Ἰουστινιανὸς ἐν τῷ κάστρῳ καταφυγὼν σὺν τοῖς περισωθεῖσιν ἐπὶ τρισὶν ἡμέραις ἀπέκλεισε τὰς πύλας. θεασάμενος γὰρ τὴν τῶν Βουλγάρων ἐπιμονὴν αὐτὸς πρῶτος τὸν ἑαυτοῦ ἵππον νευροκοπήσας πάντας τὸ αὐτὸ ποιῆσαι παρεκαλέσατο. ξέπαια δὲ ἐπὶ τῶν

τειχῶν θέμενος διὰ νυκτὸς εἰς τὰ σκάφη ἐπιβὰς A εὐθέως ἀπέπλευσε, καὶ μετ' αἰσχύνης τῇ πόλει παραγίνεται.

equi sui nervos incidit, cæterosque idem facere jussit: armisque bellicis quasi trophæis muris impositis, noctu navigia conscendens, CP. cum dedecore reversus est.

| | | δ' | | δ' | | | δ' | | δ' | | | | |

| | | 4 | | 4 | | | 4 | | 4 | | | | |

Τούτῳ τῷ ἔτει ἐπιστρατεύσας Μασαλμᾶς, καὶ Ἀββᾶς τῇ Τυάνῳ διὰ τὴν μανίαν τοῦ ἀποκτανθέντος στρατοῦ σὺν τῷ Μαιουμᾷ ἀπὸ Μαριανοῦ, καὶ ταύτην πολιορκοῦντες παρεχείμασαν ἐκεῖ. καὶ ἀποστέλλει πρὸς αὐτοὺς δύο στρατηγοὺς Θεόδωρον τὸν Καρτερούκαν, καὶ Θεοφύλακτον τὸν Σαλιβᾶν μετὰ στρατοῦ καὶ γεωργικοῦ λαοῦ χωρικοβοηθείας πρὸς τὸ πο- B λεμῆσαι καὶ ἐκδιῶξαι αὐτούς, αὐτοὶ δὲ εἰς ἔριν ἀλλήλων ἐλθόντες, καὶ ἀτάκτως συμβάλλοντες αὐτοῖς, τρέπονται, καὶ πολλαὶ χιλιάδες ἀπώλοντο, καὶ ᾐχμαλωτεύθησαν πολλοί. λαβόντες δὲ τὸ τοῦλδον καὶ τὰ τούτων βρώματα, παρεκάθισαν ἕως οὗ παρέλαβον τὴν πόλιν. λειφθέντες γὰρ ἦσαν τὰ βρώματα, καὶ ἤμελλον ἀναχωρεῖν. οἱ δὲ τῆς πόλεως Τυάνων ταῦτα ἰδόντες καὶ ἀπογνόντες, ἔλαβον λόγον τῆς ἑαυτῶν ἀπαθείας· καὶ ἐξῆλθον πρὸς αὐτούς, καταλιπόντες τὴν πόλιν ἔρημον ἕως τοῦ νῦν. οἱ δὲ τὸν λόγον μὴ φυλάξαντες, C εἰς τὴν ἔρημον τούτους ἐξώρισαν, καὶ πολλοὺς δούλους ἐκράτησαν.

Hoc anno Masalmas & Abbas ob cæsum a Mariano cum Majuma Duce exercitum insania perciti Tyanam urbem bello vexaverunt: & ad eam stricta obsidione cinctam hyberna sustinuerunt. Justinianus autem Duces duos Theodorum Carterucam, & Theophylactum Salibam hostibus expugnandis & ab instaurata obsidione repellendis cum instructo exercitu, & ex agricolarum grege rusticis auxiliariis summittit. Isti primum divisis animis dissidentes, tum vero nullo militari servato ordine in hostem irruentes, vertuntur in fugam, & ex iis pluribus desideratis millibus, reliqui non pauci in manus adversariorum captivi devenere. Hostes itaque eorum castris & commeatu potiti, donec urbem caperent, constanter in ea circumvallanda perstiterunt: jam enim ciborum patiebantur defectum, & de obsidione solvenda & recessu ipsos incesserat cogitatio. His visis Tyanenses in desperationem acti, accepta salutis fide, in hostium partes transierunt, urbe, prout etiamnunc visitur, habitatoribus vacua relicta. Illi violata protinus fide Tyanenses in deserta loca relegaverunt, & ex eis plurimos sibi retinuerunt captivos.

| ϛσγ' | ψγ' | ε' | ε' | | ε' | ε' | | |

| 6203 | 703 | 5 | 5 | | 5 | 5 | | |

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Ἀββᾶς τὴν Ῥωμανίαν, καὶ πολλοὺς αἰχμαλωτεύσας ὑπέστρεψε. καὶ ἤρξατο κτίζειν τὸ Γαρὶς εἰς τὴν χώραν Ἡλιουπόλεως.

Hoc anno Abbas eductos in Romanorum ditionem exercitu, plurimos captivos abegit, & ad suos reversus, in Heliopoleos regione Garis urbem ædificare cœpit.

| | | ϛ' | ϛ' | | ϛ' | ϛ' | | |

| | | 6 | 6 | | 6 | 6 | | |

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Οὐθμὰν τὴν Κιλικίαν, καὶ πολλὰ κάστρα ὑπὸ λόγον παρέλαβε. D προεδόθη αὐτοῖς καὶ τὸ Κάμαχον σὺν τοῖς παρακειμένοις τόποις. Ἰουστινιανὸς δὲ ἀπέλυσε Μαῦρον τὸν Πατρίκιον εἰς Χερσῶνα διὰ μνησικακίαν σὺν Στεφάνῳ Πατρικίῳ, τὸ ἐπίκλην Ἀσμίκτῳ, ἐξοπλίσας στόλον πολύν, μνησθεὶς τῆς κατ' αὐτοῦ γενομένης ἐπιβουλῆς ὑπό τε Χερσωνιτῶν καὶ Βοσφοριανῶν, καὶ τῶν λοιπῶν κλιμάτων, πάσαν ναυῶν δρομώνων τε, καὶ τριηρῶν, καὶ σκαφῶν * μιοζοβόλων, καὶ ἁλιάδων, καὶ ἕως χελανδίων, ἀπὸ διανομῆς τῶν οἰκούντων τὴν πόλιν, συγκλητικῶν τε, καὶ ἐργαστηριακῶν, καὶ δημοτῶν, καὶ παντὸς E ὀφφικίου. καὶ τούτους ἀποστείλας παρήγγειλε πάντας τοὺς οἰκοῦντας ἐν ἐκείνοις τοῖς κάστροις τῷ ξίφει ὀλοθρεῦσαι, καὶ μηδένα ζωογονῆσαι, παραδεδωκὼς αὐτοῖς τὸν Ἡλίαν τὸν Σπαθάριον ὀφείλοντα ἄρχοντα Χερσῶνος καταστῆναι. οἱ δὲ Χερσῶνα καταλαβόντες, μηδενὸς αὐτοῖς ἀντιστάντος τὰ κάστρα παρέλαβον, καὶ πάντας τῷ ξίφει ἀνεῖλον, χωρὶς τῶν μειρακίων, ὡς νηπίων, τούτων φεισάμενοι, καὶ πρὸς δου-

* Forsan μιοζοβόλων

Hoc anno Uthman in mediam Ciliciam D exercitum induxit, multasque urbes data securitatis fide subjectas sibi fecit: quinetiam Camachum cum locis adjacentibus ipsi proditum fuit. Justinianus autem acceptarum quondam injuriarum memor, Maurum cum Stephano, cui cognomen Asmictus, ambos Patricios valida & apprime apparata classe illis commissa, in Chersonam delegavit. Insidiæ quippe a Chersonitis, Bosphorianis, & aliis regionum illarum incolis ipsi structæ ejus animo remanserant profundius repositæ. Quare bello iis inferendo universi generis navigia, dromones, triremes, scaphas, onerarias, piscatorias, naves, ipsosque etiam lintres, omnium Urbis incolarum, E ordinis Senatorii, officinariorum plebejorum, & officii cujuscumque collatis expensis paravit. Iis itaque dimitti & e portu solvere dispositis, ut cunctos urbium illarum incolas, nullo in vivis relicto, gladio delerent injunxit, Heliamque Spatharium, qui Gubernatorem apud Chersonam institueret, aggregavit. Isti porro Chersonam appellentes, urbes nullo resistente invaserunt omnes, & cædibus & sanguine cuncta repleverunt, & exceptis adolescentioribus, quibus, ut & infantibus, parcendum putaverunt, velut ad

Edit. Paris. pag. 316.

servitutem reservatis, universos occiderunt. Tudunum autem Chersonæ Præfectum, ceu qui Chaganum referret, & Zoilum, qui a stemmate & origine civium Primarius erat, & alios quadraginta illustres & spectatos viros ligneis verubus confixos vivo igne assaverunt. Alios viginti vinctis retro manibus ad lembum lapidibus oppletum alligatos, in mare demerserunt. Accepto rerum gestarum nuncio Justinianus servatos juvenes ægre ferens, & in insaniam versus, eos ad se sollicite advehi curavit. Cum vero classis mense Octobri solvisset, procellarum turbinibus in pelago jactata, sub ortum astri, cui Taurus nomen, tota ferme in mari periit; adeo ut qui naufragio immersi fuerint, ad septuaginta tria millia numerentur. Illa calamitate cognita, tantum abfuit, ut condoleret, quin potius lætitia perfusus eo insaniæ processit, ut elatis in altum clamoribus novas etiam adjecerit comminationes, & alteram illuc iterum classem transmiserit, cum mandatis ut omnia solo æquaret, solumque aratro proscinderet, atque universos usque ad mingentem ad parietem interficeret. Istorum rumore divulgato, qui castra illa obtinebant, communierunt & concluserunt se, & ad res novandas contra Imperatorem coacti, ad Chaganum in Chazariam delegaverunt, qui præsidium ad sui defensionem exposcerent. Interim suscepti propositi conscius advenit Elias Spatharius, & Bardanes prius exul, nunc vero postliminio revocatus e Cephalonia, & classis Dux apud Chersonam forte repertus.

Edit. Paris. pag. 317.

Ubi res hujusmodi tractari percepit Justinianus, Georgium Patricium cognomento Syrum, Generalem Logotheram, Joannem Præfectum, & Christophorum Thracicorum agminum Ductorem cum militibus ad ter centum armatis mittit, Tudunumque & Zoilum res Chersonæ in priorem statum reposituros, & per Apocrisiarium apud Chaganum rem gestam excusaturos, ac tandem Eliam & Bardanem ad se CP. transmissuros adjungit. Cum Chersonam migrassent, Chersonitæ cives cum iis tractatum habere dedignati sunt. Postera die solis iisdem in consilii locum ingredi permissis, confestim portas cives occluserunt. Et Generalem quidem Logothetam cum Præfecto peremerunt, Tudunum vero una cum Zoilo, & memorato Turmarcha, & militibus trecentis traditum Chazaris ad Chaganum miserunt. Tuduno in itinere defuncto, funereum epulum litaverunt Chazari, nimirum Turmarchæ & trecentorum militum cædem. Tum vero Chersonæ reliquorumque oppidorum cives Justiniani nomine abrogato, exulem illum Bardanem, & Philippicum, unaque Imperatorem felicibus acclamationum votis exceperunt. His auditis Justinianus majori furore insaniens, Spatharii quidem Eliæ liberos in matris ipsius sinu trucidavit, eamdemque ipsam proprio coquo in India nato subactam constuprari jussit. Mox classe denuo reparata, Maurum Patricium, is etiam Bæsus dicebatur, mittit, unaque simul apparatu omni bellico, & ad castra diruenda machinis, arietibus, & omnimodis vastatoriis instruit; eo maxime injuncto, ut Chersonæ mœnibus ad solum usque destructis, & universa civitate diruta, nemini civium vitam condonaret. Ante omnia de rerum successu per frequentiores litteras eum certiorem redderet. Is mari trajecto, cum jam admoto ariete tur-

λείαν περιποιηθέντων. Τούδουνον δὲ ἄρχοντα Χερσῶνος, ὡς ἐκ προσώπου Χαγάνου ὄντα, καὶ Ζώϊλον τὸν ἐκ σειρᾶς καὶ γένους ὄντα πρωτοπολίτην, καὶ ἑτέρους τεσσαράκοντα ἐμφανεῖς καὶ πρωτεύοντας τῆς Χερσῶνος εἰς σούβλας ξυλίνας προσαναρτήσαντες, ἐπὶ πυρὸς ὤπτησαν. ἄλλους δὲ εἴκοσιν ἐξάγκωνα δήσαντες, καὶ εἰς χελανδίους προσδήσαντες καὶ λίθοις τοῦτο γεμίσαντες, εἰς βυθὸν κατεπόντισαν. τοῦ Ἰουστινιανοῦ δὲ τοῦτο μαθόντος καὶ ἐπὶ τῇ σωτηρίᾳ τῶν μειρακίων μανέντος, ἐκέλευσε σπουδαίως αὐτοὺς πρὸς αὐτὸν παραγενέσθαι. ἀποκινήσαντος δὲ τοῦ στόλου τῷ Ὀκτωβρίῳ μηνὶ, καὶ ἐν τῷ πελάγει φθασθέντος ἐν τῇ τοῦ ἄστρου ἐπιτολῇ, τοῦ λεγομένου Ταυρουρᾶ, μικροῦ δεῖν ἅπας ὁ στόλος κατεποντίσθη· καὶ ἠριθμήθησαν οἱ ἐν τῷ ναυαγίῳ ἀποθανόντες χιλιάδες ογ΄. τοῦ δὲ Ἰουστινιανοῦ τοῦτο μαθόντος, καὶ μὴ λυπηθέντος, μᾶλλον μὲν οὖν χαρᾶς πλησθέντος, καὶ τῆς τοιαύτης μανίας ἀμέτρως ἐχομένου, καὶ κραυγικῶς ἐπαπειλοῦντος, πάλιν ἕτερον ἐκπέμπει στόλον, καὶ ἀροτριᾶν ἅπαντας καὶ ἐξεδαφίζειν ἕως οὐροῦντα πρὸς τοῖχον. ἀκούσαντες ταῦτα οἱ τῶν κάστρων ἐκείνων, καὶ ἑαυτοὺς ἠσφαλίσαντο, καὶ ἀναγκασθέντες κατὰ βασιλέως φρονῆσαι, ἀπέστειλαν πρὸς τὸν Χαγάνον εἰς Χαζαρίαν αἰτούμενοι λαὸν πρὸς φυλακὴν αὐτῶν. ἐπὶ τούτοις οὖν διαγίνεται καὶ Ἠλίας, ὁ Σπαθάριος, καὶ Βαρδάνης ὁ ἐξόριστος τὸ τηνικαῦτα ἀνακληθεὶς ἀπὸ Κεφαλληνίας, καὶ σὺν τῷ στόλῳ εἰς Χερσῶνα ὤν. ὁ δὲ Ἰουστινιανὸς ταῦτα μαθὼν, ἀπέστειλε μετ' ὀλίγων δρομώνων Γεώργιον τὸν Πατρίκιον, τὸν ἐπίκλην Σύρον, καὶ γενικὸν Λογοθέτην, καὶ Ἰωάννην τὸν Ὕπαρχον, καὶ Χριστοφόρον Τουρμάρχην τῶν Θρακησίων μετὰ τριακοσίων ἐξωπλισμένων, παραδεδωκὼς αὐτοῖς Τούδουνόν τε, καὶ Ζώϊλον ὀφείλοντας ἀποκατασταθῆναι κατὰ τὸ πρότερον ἐν Χερσῶνι, δι' Ἀποκρισιαρίου δὲ ἀπολογήσασθαι τῷ Χαγάνῳ, ἀγαγεῖν δὲ πρὸς αὐτὸν Ἠλίαν, καὶ Βαρδάνην. τῶν δὲ περασάντων ἐν Χερσῶνι οἱ τῆς πόλεως Χερσῶνος τούτοις περιλογὴν οὐκ ἐποίησαν. τῇ δὲ ἐπαύριον τούτους μόνους εἰσελθεῖν οἱ τῆς πόλεως προτρεψάμενοι, τὰς πύλας ἀπέκλεισαν· καὶ τὸν μὲν γενικὸν Λογοθέτην ἅμα τῷ Ὑπάρχῳ ξίφει ἀνεῖλον, τὸν δὲ Τούδουνον ἅμα Ζωΐλῳ, καὶ τοῦ λεχθέντος Τουρμάρχου σὺν τοῖς τριακοσίοις στρατιώταις τοῖς Χαζάροις παρέδωκαν, καὶ πρὸς τὸν Χαγάνον ἀπέστειλαν. τοῦ δὲ Τουδούνου κατὰ τὴν ὁδὸν τεθνηκότος, οἱ Χάζαροι δοχὴν αὐτῷ ἀπέκτειναν τὸν Τουρμάρχην σὺν τοῖς τριακοσίοις στρατιώταις. τότε οἱ Χερσῶνος καὶ τῶν λοιπῶν κάστρων τὸν μὲν Ἰουστινιανὸν ἀνέσκαψαν, τὸν δὲ ἐξόριστον ἐκεῖσε Βαρδάνην καὶ Φιλιππικὸν βασιλέα εὐφήμησαν. ταῦτα μαθὼν Ἰουστινιανὸς ἐπὶ πλέον ἐμμανεὶς τὰ μὲν τέκνα τοῦ Σπαθαρίου Ἠλία εἰς τὸν τῆς μητρὸς ἀπέσφαξε κόλπον· ταύτην δὲ ἠνάγκασε τῷ οἰκείῳ αὐτῆς ζευχθῆναι μαγείρῳ Ἰνδῷ ὄντι· εἶθ' οὕτω τε πλώϊμον ἕτερον κατασκευάσας, ἀποστέλλει Μαῦρον τὸν Πατρίκιον, τὸν ἐπίκλην Βαῖσον, παραδεδωκὼς αὐτῷ πρὸς καστρομαχίαν, κριούς, μαγγανικά τε, καὶ πᾶσαν ἑλέπολιν. ἐντειλάμενος αὐτῷ τὰ μὲν τῆς Χερσῶνος τείχη ἐδαφίσαι, καὶ πᾶσαν τὴν πόλιν· μηδεμίαν δὲ ψυχὴν ἐξ αὐτῶν ζωογονῆσαι. πυκνότερος δὲ δι' ἀναφορῶν τὰ αὐτῷ

Imperatorem rebellavere, Cosmam quemdam, qui partes eorum sequebatur, Imperio destinantes. Aciem ducebant Agallianus Græcanicorum Turmarcha, & Stephanus. Isti mensis Octobris die decimo octavo indictione decima ad Urbem Imperatricem appellentes, commisso cum Byzantinis prælio, navibus artefacto igne combustis superantur: adeo ut alii circa profundum submersi sint: Inter quos ipse Agallianus ut erat armatus seipsum præcipitavit: superstitibus vero ad victorem Imperatorem ultro se conferentibus, Cosmas & Stephanus capite plexi sunt: Ex quo impii Leonis sectariorumque ejus malitia oppido crevit, adeo ut susceptum adversus pietatem bellum latius promoverint. Porro circa æstivum solstitium hujus indictionis decimæ post perniciosam illam de propriis civibus reportatam a Leone victoriam, duo Ameræi Saracenicum exercitum adversus Nicæam Bithyniensium urbem deduxere: Amer videlicet cum quindecim millibus expeditorum militum præcurrens, urbem ex improviso & impræmunitam obsedit; Mavias autem cum octoginta quinque millibus subsequutus est. Verum ii post longam obsidionem, murorumque ad sanctorum Patrum ibidem cultorum ædem factam oppugnationem & dejectionem, urbe tamen minime potiti sunt, cum ob acceptas eorum apud Deum preces; tum ob veneranda eorumdem lineamenta, quæ ab sententiæ illorum sequacibus ad hanc usque diem erecta, & piis honoribus cumulata perseverant. Porro cum quidam Constantinus Artabasdi Strator imaginem Deiparæ erectam cernens, arreptum lapidem in ipsam projecisset, eamque contritam & in humum lapsam pedibus conculcasset, Dominam sibi astantem per visum conspexit, quæ eum ita alloquuta est. Vides quam egregium facinus in me commisisti? Id certe in caput tuum recidet. Postridie Saracenis murum oppugnantibus, commissaque pugna, Constantinus militem fortem se præbens, cum ad murum accurrisset, lapide a tormento in eum immisso, caput faciemque contritus, dignam impietate referens mercedem infelix interiit. Saraceni vero captivos innumeros & spolia diripientes, reversi sunt: In quo quidem Deus impio Imperatori ostendit, non ob contribulium suorum pietatem ac religionem, ut ipse gloriabatur, sed ob divinam quamdam virtutem & secretum suum judicium hæc contigisse: cum nimirum Sanctorum precibus, propter accuratas veraque eorum imagines illic ab oppidanis excultas, idque in tyranni confutationem & inexcusabile adversus eum judicium, contra vero in piorum confirmationem, Arabicum istum impetum a Sanctorum Patrum urbe ipse depulit. Enimvero impius ille non tantum in errore de respectiva venerandarum imaginum adoratione versatus est, sed etiam de sanctissimæ Deiparæ sanctorumque omnium intercessionibus: eorumque reliquias homo scelestissimus, in Arabum præceptorum suorum morem, abominatus est. Ab eo itaque tempore inimicitias cum Beato Patriarcha CP. Germano imprudenter suscepit, omnes decessores suos Imperatores, Præsules, Christianosque populos, tamquam idololatras, ob sanctarum venerandarumque imaginum adorationem condemnans, cum ille præ nimia incredulitate atque rusticitate de respectivo

Edit. Paris. pag. 340.

Κυκλάδων νήσων Κοσμᾶν τινα συνεπόμενον ἔχοντες εἰς τὸ στεφθῆναι. Ἀγαλλιανὸς δὲ Τουρμάρχης τῶν Ἑλλαδικῶν ἡγεῖτο τῆς στρατιᾶς, καὶ Στέφανος οἳ καὶ προσπελάσαντες τῇ βασιλίδι πόλει ιη΄. τοῦ Ὀκτωβρίου μηνὸς τῆς ι΄. ἰνδικτ. ἡττῶνται συμβαλόντες τοῖς Βυζαντίοις ἐμπρησθέντων αὐτῶν τῶν νηῶν τῷ σκευαστῷ πυρί. καὶ οἱ μὲν βυθίζονται περὶ τὸν λάκκον, ἐν οἷς καὶ Ἀγαλλιανὸς ἔνοπλον ἑαυτὸν ἐπάνωσεν· οἱ δὲ ζῶντες τῷ κρατοῦντι προσφύονται, καὶ ἀποτέμνονται τὰς κεφαλὰς Κοσμᾶς τε καὶ Στέφανος. αὔξει τε τῇ κακίᾳ Λέων ὁ δυσσεβὴς, καὶ οἱ τούτῳ σύμφρονες τὸν κατὰ τῆς εὐσεβείας διωγμὸν ἐπιτείναντες. κατὰ δὲ τὴν θερινὴν τροπὴν ταύτης τῆς ι΄. ἰνδικτιῶνος κατὰ τὴν τῶν ὁμοφύλων κακὴν νίκην, καὶ κατὰ τὴν Βιθυνῶν Νικαίας παρατάττεται τῶν Σαρακηνῶν δύο Ἀμηραίων στῖφος Ἀμὲρ ἐν χιλιάσι μονοζώνων δεκαπέντε προδραμὼν, καὶ ἀπαρασκεύαστον κυκλώσας τὴν πόλιν, καὶ Μαυΐας παρακολουθῶν ἐν ἄλλαις ὀκτὼ ἥμισυ μυριάδαις, αἱ μετὰ πολιορκίαν πολλὴν καὶ καθαίρεσιν τῶν τειχῶν μερικὴν τῶν τιμωμένων ἁγίων πατέρων αὐτόθι τεμένει, ταύτης μὲν οὐ περιγεγόνασι διὰ τῶν εὐπροσδέκτων αὐτῶν λιτῶν πρὸς Θεὸν, ἔνθα καὶ σεβάσμιοι αὐτῶν χαρακτῆρες ἀνεστήλωντο μέχρι τοῦ νῦν ὑπὸ τῶν ὁμοφρόνων αὐτοῖς τιμώμενοι. Κωνσταντῖνος δέ τις Στράτωρ Ἀρταβάσδου ἰδὼν εἰκόνα τῆς Θεοτόκου ἑστῶσαν, λαβὼν λίθον ἔρριψε κατ' αὐτῆς, καὶ συνέτριψεν αὐτὴν, καὶ πεσοῦσαν κατεπάτησε. καὶ θεωρεῖ ἐν ὁράματι τὴν δέσποιναν παρεστῶσαν, καὶ λέγουσαν αὐτῷ. οἶδας ποῖον γενναῖον πρᾶγμα εἰργάσω εἰς ἐμέ; ὄντως κατὰ τῆς ἑαυτοῦ κεφαλῆς τοῦτο πεποίηκας. τῇ δὲ ἐπαύριον προσβαλλόντων Σαρακηνῶν τῷ τείχει καὶ πολέμου κροτηθέντος, δραμὼν εἰς τὸ τεῖχος, ὡς γενναῖος στρατιώτης, ὁ ταλαίπωρος ἐκεῖνος βάλλεται ὑπὸ λίθου τοῦ ἐκ τοῦ μαγγανικοῦ πεμφθέντος, καὶ συνέτριψεν αὐτοῦ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ἄξιον τῆς ἑαυτοῦ δυσσεβείας κομισάμενος ἀνταπόδομα. αἰχμαλωσίαν δὲ πλείστην καὶ λάφυρα συναγαγόντες ὑπέστρεψαν, δεικνύντος καὶ τοῦτο τοῦ Θεοῦ τῷ ἀσεβεῖ, ὅτι οὐ δι' εὐσέβειαν γέγονε τῶν ὁμοφύλων, ὡς ἐκεῖνος ηὔχει, ἀλλὰ διά τινα αἰτίαν θείαν καὶ ἀπόρρητον κρίσιν, ἀποκρουομένης μὲν τὴν τοιαύτην Ἀραβικὴν ἰσχὺν τῆς τῶν ἁγίων πατέρων πόλεως ταῖς αὐτῶν πρεσβείαις, διὰ τῶν ἐν αὐτῇ τιμωμένων ἀκριβεστάτων αὐτῶν χαρακτήρων· εἰς ἔλεγχον δὲ καὶ ἀναπολόγητον κρίσιν τοῦ τυράννου, καὶ βεβαίωσιν τῶν εὐσεβούντων. οὐ μόνον γὰρ περὶ τὴν σχετικὴν τῶν σεπτῶν εἰκόνων ὁ δυσσεβὴς ἐσφάλλετο προσκύνησιν, ἀλλὰ καὶ περὶ τὰς πρεσβείας τῆς παναγίου Θεοτόκου, καὶ πάντων τῶν ἁγίων· καὶ τὰ λείψανα αὐτῶν ὁ παμμίαρος, ὡς οἱ διδάσκαλοι αὐτοῦ Ἄραβες, ἐβδελύττετο. ἐκ τοῦδε τοίνυν τοῦ χρόνου τῷ μακαρίῳ Γερμανῷ Πατριάρχῃ ΚΠ. προσετρίβετο, μεμφόμενος πάντας τοὺς πρὸ αὐτοῦ βασιλεῖς, καὶ Ἀρχιερεῖς, καὶ Χριστιανοὺς, καὶ λαοὺς, ὡς εἰδωλολατρήσαντας τῇ προσκυνήσει τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων, μὴ χωροῦντος

αὐτοῦ δι' ἀπιστίαν καὶ πολλὴν ἰδιωτείαν τὸν περὶ σχετικῆς προσκυνήσεως λόγον.

earum cultu sationem ac sermonem minime capere valeret.

		ιε'	δ'	γ'	ιγ'	κβ'		

		55	4	3	53	22		

Τούτῳ τῷ ἔτει Μαυΐας παρέλαβε τὸ κάστρον Ἀτεῦς, καὶ ὑπέστρεψεν.

Hoc anno Mavias castrum Ateus expugnavit, ac reversus est.

		ιϛ'	ε'	δ'	ιδ'	κγ'		

		55	5	4	14	23		

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν ὁ υἱὸς Χαγάνου τοῦ δυνάστου Χαζαρίας τὴν Μηδίαν καὶ Ἀρμενίαν, καὶ εὑρὼν Γάραχον τὸν τῶν Ἀράβων στρατηγὸν εἰς τὴν Ἀρμενίαν, ἀνεῖλεν αὐτὸν μετὰ τοῦ συνόντος αὐτῷ πλήθους· καὶ ληϊζόμενος τὴν τῶν Ἀρμενίων χώραν καὶ τὴν Μήδων, ἀνέκαμψε, φόβον μέγαν ἐμποιήσας τοῖς Ἄραψι.

Hoc anno filius Chagani Chazariæ Principis Mediam & Armeniam infestis armis vexavit: & Garachum Arabum Ducem in Armenia obviam factum una cum adjuncto exercitu dejecit: tum vero Armeniorum & Medorum provincias depopulatus, magno sui nominis terrore Arabibus relicto, domum rediit.

Edit. Paris. pag. 341.

		ιζ'	ϛ'	ε'	ιε'	κδ'		

		53	6	5	55	24		

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μασαλμᾶς τὴν τῶν Τούρκων γῆν, καὶ συναφθέντες ἀλλήλοις εἰς πόλεμον, πίπτουσιν ἐξ ἀμφοτέρων μερῶν. καὶ δειλανδρήσας Μασαλμᾶς φυγῇ χρησάμενος διὰ τῶν ὀρέων Χαζαρίας ὑπέστρεψε. τῷ δ' αὐτῷ ἔτει ἀπομανεὶς Λέων ὁ παράνομος βασιλεὺς κατὰ τῆς ὀρθῆς πίστεως, καὶ ἐνέγκας τὸν ἅγιον Γερμανὸν, ἤρξατο αὐτὸν θεοπνεύστοις λόγοις δελεάζειν. ὁ δὲ μακάριος Ἀρχιερεὺς λέγει πρὸς αὐτόν. τὴν μὲν καθαίρεσιν τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἀκούομεν ἔσεσθαι, ἀλλ' οὐκ ἐπὶ τῆς σῆς βασιλείας. τούτου δὲ ἐπαναγκάσαντος εἰπεῖν ἐπὶ τίνος βασιλείας; ἔφη. Κόνωνος. ὁ δὲ ἔφη. τὸ βαπτιστικόν μου ὄνομα ἐν ἀληθείᾳ Κόνων ἐστί. ὁ Πατριάρχης ἔφη. μὴ γένοιτο, δέσποτα, διὰ τῆς σῆς βασιλείας τὸ κακὸν τοῦτο πληρωθῆναι· Ἀντιχρίστου γάρ ἐστι πρόδρομος ὁ τοῦτο πληρῶν, καὶ τῆς ἐνσάρκου θείας σαρκώσεως ἀνατροπεὺς, ὡς Ἡρώδης ποτὲ τοῦ προδρόμου. ἀνεμίμνησκε δὲ αὐτὸν ὁ Πατριάρχης τῶν πρὸ τῆς αὐτοκρατορίας αὐτοῦ συνθηκῶν, ὅπως αὐτῷ Θεὸν ἐγγυητὴν δέδωκεν ἐν μηδενὶ σαλεῦσαι τὴν ἐκκλησίαν τοῦ Θεοῦ τῶν αὐτῆς Ἀποστολικῶν καὶ θεοπαραδότων θεσμῶν. ἀλλ' οὐδ' οὕτως ᾐσχύνθη ὁ ἄθλιος. ἐπιτηρῶν δὲ καὶ καθυποβάλλων τινὰς ἠγωνίζετο λόγους. εἴ που τοῦτον εὕροι κατὰ τῆς βασιλείας αὐτοῦ ποιούμενον, ἵνα ὡς φρατριαστὴν, καὶ οὐχ ὡς ὁμολογητὴν καταθέλῃ τοῦ θρόνου, ἔχων εἰς τοῦτο σύμμαχον καὶ συμμέτοχον Ἀναστάσιον μαθητὴν καὶ Σύγκελλον αὐτοῦ, συνταξάμενος αὐτῷ, ὡς τῆς ἀσεβείας ὁμόφρονι καὶ τοῦ θρόνου μοιχὸν καὶ διάδοχον γενέσθαι. ὃν ὁ μακάριος οὐκ ἀγνοῶν οὕτω στρεβλῶς διακείμενον μιμούμενος τὸν ἑαυτοῦ δεσπότην, ὡς πρὸς ἄλλον Ἰσκαριώτην, σοφῶς καὶ πράως τὰ περὶ προδοσίας ἀνεμίμνησκεν. ἐπεὶ δὲ ἀνεπιστρόφως αὐτὸν ἑώρα πλανώμενον, ἐπιστραφεὶς πρὸς αὐτὸν πατήσαντα ποτὲ τὰ ὀπίσθια τῆς στολῆς αὐτοῦ· εἰσιόντος γὰρ αὐτοῦ πρὸς τὸν βασιλέα, ἔφη. μὴ σπεῦδε, φθάσεις γὰρ εἰσελθεῖν εἰς τὸ δίππιν. ὁ δὲ ταραχθεὶς τῷ λόγῳ σὺν ἄλλοις ἀκούσασιν, ἠγνόει τὴν πρόρρησιν, ἥτις πέρας λαβοῦσα μετὰ ιε'. ἔτη τῷ τρίτῳ ἔτει Κωνσταντίνου τοῦ διώκτου ἰνδικτιῶνι ιβ'. πάντας ἔπεισεν ἐκ θείας χάριτος προφητευθῆναι. Κωνσταντῖνος

Hoc anno Masalmas in Turcorum terras expeditionem suscepit: consertoque ad invicem prælio, plures ex utraque parte cecidere: Quare Masalmas terrore prostratus fuga saluti consulit, & per Chazariæ montes ad suos revertitur. Hoc eodem anno nefarius Imperator adversus rectam fidem insaniens, sanctum Germanum ad se accersitum verbis divinitus inspiratis cœpit inescare. Beatus itaque Præsul sic eum alloquitur. Sanctarum quidem imaginum futuram proscriptionem audimus, haud tamen te imperante. Eo cujus ætate vel imperio res foret exequenda sollicitius exquirente: respondit Germanus. Cononis tempore. Dixit ille. Atqui Cononis mihi nomen est in ipso baptismo vere inditum. Subinfert Patriarcha. Absit, Domine, ut te imperante malum illud perpetretur. Antichristi quippe præcursor est, qui sceleris isthuc adimplebit, & divinæ Incarnationis eversor & hostis, qualis quondam Herodes in Præcursorem invectus. Fidei vero cautionem ante susceptum imperium oblatam in memoriam Patriarcha revocavit, ut nimirum Deo in fidejussorem dato, nihil Apostolicorum & traditorum a Deo sancitorum, circa ipsam Dei Ecclesiam penitus se innovaturum promisisset. Sed tantum abfuit ut eccepti miserum Leonem puderet; ut præterea in hoc incubuerit, Patriarchæ sermones captando, aliosque dolose miscendo, ut eum læsæ majestatis reum convinceret, quo eum tamquam seditiosum, non vero tamquam Confessorem throno depulsaret. Eam ad rem adjutorem atque participem nactus Anastasium Germani discipulum & Syncellum, ut sensuum suorum æmulo ac per omnia conscio sedis adulterum ac successorem eum fore pollicitus est. Hunc cum ita adversum se prave affectum Beatus non ignoraret, Dominum suum imitatus, tamquam alterum Iscariotam, aperte quidem, sed leniter ipsum de proditione commonuit. Cum vero ab errore illum revocari non posse cerneret, quadam die eidem Anastasio Germani Imperatorem adeuntis posteriorem vestis oram calcanti, ipse Patriarcha dixit: Noli festinare; in Circi etenim stadium citius quam voles ingredieris. At ille hisce verbis turbatus, nec alii præsagium intellexere: quod tamen quindecim post annos, tertio videlicet Persecutoris Constantini, indictione duodecima, exitum tandem habuit, ac non sine divino impulsu prolatum fuisse con-

pag. 342.

stitit. Etenim Constantinus Artabasdo genero expulso, cum solus imperio potitus esset, Anastasium una cum aliis suis inimicis verberibus cæsum, deinde nudum asinoque facie retro versa insidentem per Circi stadium palam circumduci jussit: ut pote qui una cum inimicis suis se Imperatoris munere abrogatum imperio ejecerat, atque Artabasdum coronaverat: quemadmodum inferius suo loco demonstrabitur. Porro sacer ille ac divinus Germanus decretorum veræ religionis defensor Byzantii floruit adversus Leonem ex re nomen habentem, ejusque satellites tamquam adversus feras depugnans: quemadmodum in veteri Roma vir undequaque sacer & Apostolicus, Petri Apostolorum Coryphæi consessor eruditione præclarisque facinoribus clarebat Gregorius: qui Romam atque Italiam totumq; Occidentem a Leonis obedientia, tam civili, quam Ecclesiastica, & ab ejus imperio subtraxit. Tum vero Damasci Syriæ Joannes Chrysorrhoas, Mansur filius, Doctor egregius sanctitate vitæ æque ac doctrina fulgebat. Porro Germanum ut suæ potestati subditum Patriarchali solio dejecit; Gregorius autem epistolis, quas omnes norunt, ad eum datis, ipsi succensuit: ac denique Joannes una cum totius Orientis Episcopis impium Leonem anathemate devinxit. Cæterum die septima mensis Januarii, indictione decima tertia, feria hebdomadis tertia, irreligiosus Leo Silentium contra sanctas venerandasque imagines in novemdecim Accubitorum Tribunalio celebravit, Germano sanctissimo Patriarcha advocato, cui persuadendum arbitrabatur, ut suo de abolendis sacris imaginibus decreto tandem subscriberet. At fortis Christi servus abominando Leonis consilio nequaquam cedens, imo veritatis verbum recto sensu distribuens, Episcopatu se se abdicavit; quinetiam pallium Pontificium sponte deponens post satis longum meræ doctrinæ plenum sermonem demum dixit. Si ego sum Jonas, in mare me projicite: Absque universalis etenim Concilii auctoritate, Imperator, circa fidem quidquam innovare non valeo. Tum vero in locum, qui Platanius dicitur, in paternam domum se recipiens, vitæ reliquum summo silentio transegit. Tenuit Pontificatum annos quatuordecim, menses quinque, dies tres: Die autem septima ejusdem mensis Januarii Anastasium falsi nominis virum, ipsius Beati Germani discipulum & Concellaneum in ejus locum suffecerunt, qui videlicet dominii sæcularis ambitione motus, cum Leonis impietati assentiretur, falsus CP. Episcopus creatus est. Cæterum Gregorius sacer Romæ Præsul, quemadmodum jam præmisi, Anastasium una cum libellis ejus abjudicavit, Leonemque ipsum tamquam irreligiosum per Epistolas redarguit: ac Romam cum universa Italia ad defectionem ab ejus imperio concitavit: Ex quo tyrannus majori in dies furore percitus, persecutionem adversus sanctas imagines movit: adeo ut multi Clerici & Monachi, & devoti Laici ob recta fidei decreta periclitati, Martyrii corona fuerint redimiti.

Edit. Paris. pag. 143.

A γὰρ μετὰ τὴν τοῦ γαμβροῦ αὐτοῦ Ἀρταβάσδου ἀνατροπὴν, τῆς βασιλείας ἐπικρατήσας, Ἀναστάσιον τοῦτον τύψας σὺν ἄλλοις ἐχθροῖς ἐν ἱπποδρομίῳ διὰ τοῦ διιππίου γυμνὸν μὲν ἐπ' ὄνῳ καθήμενον ἐξανάστροφα ἐπόμπευσεν, ὡς τοῖς ἐχθροῖς συνασπίσαντα αὐτὸν, καὶ τὸν Ἀρτάβασδον στέψαντα, ὡς δηλωθήσεται ἐν τῷ ἰδίῳ τόπῳ. καὶ ἐν μὲν τῷ Βυζαντίῳ πρόμαχος τῶν ὑπὲρ εὐσεβείας δογμάτων ὁ ἱερὸς οὗτος καὶ θεσπέσιος ἤκμαζε Γερμανὸς θηριομαχῶν πρὸς τὸν φερώνυμον Λέοντα, καὶ τοὺς αὐτοῦ συνασπιστάς. ἐν δὲ τῇ πρεσβυτέρᾳ Ῥώμῃ ὁ Γρηγόριος ὁ πανίερος Ἀποστολικὸς ἀνὴρ, καὶ Πέτρου τοῦ κορυφαίου σύνθρονος, λόγῳ καὶ B πράξει διαλάμπων, ὃς ἀπέστησε Ῥώμην τε, καὶ Ἰταλίαν, καὶ πάντα τὰ ἑσπέρια τῆς πολιτικῆς, καὶ ἐκκλησιαστικῆς ὑπακοῆς Λέοντος, καὶ τῆς ὑπ' αὐτὸν βασιλείας. ἐν δὲ τῇ κατὰ Συρίαν Δαμασκῷ Ἰωάννης ὁ Χρυσορρόας πρεσβύτερος καὶ μοναχὸς, ὁ τοῦ Μανσοὺρ, διδάσκαλος ἄριστος, καὶ βίῳ καὶ λόγῳ προέλαμπεν. ἀλλὰ Γερμανὸν μὲν ὡς ὑπ' αὐτὸν ὄντα ἐκβάλλει τοῦ θρόνου. Γρηγόριος δὲ δι' ἐπιστολῶν ἀριδήλως αὐτὸν ἐλέγχει τῶν τοῖς πολλοῖς ἐγνωσμένων. καὶ Ἰωάννης σὺν τοῖς τῆς ἀνατολῆς ἐπισκόποις τοῖς ἀναθέμασι τὸν ἀσεβῆ ὑποβάλλει. τῇ δὲ ζ'. τοῦ Ἰανουαρίου μηνὸς τῆς ιγ'. ἰν- C δικτιῶνος ἡμέρᾳ γ'. τῆς ἑβδομάδος Λέων ὁ δυσσεβὴς Σελέντιον κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἐκρότησεν ἐν τῷ Τριβουναλίῳ τῶν ιθ'. ἀκκουβίτων. προσκαλεσάμενος καὶ τὸν ἁγιώτατον Πατριάρχην Γερμανὸν, οἰόμενος πείθειν αὐτὸν ὑπογράψαι κατὰ τῶν ἁγίων εἰκόνων. ὁ δὲ γενναῖος τοῦ Χριστοῦ δοῦλος μηδ' ὅλως πεισθεὶς τῇ μυσαρᾷ κακοβουλίᾳ αὐτοῦ, τὸν λόγον τῆς ἀληθείας ὀρθοτομήσας, ἀπετάξατο τὴν ἀρχιερωσύνην ἐπιδοὺς τὸ ὠμοφόριον, καὶ εἰπὼν μετὰ πολλοὺς διδασκαλικοὺς λόγους. ἐὰν ἐγώ εἰμι Ἰωνᾶς, βάλετέ με εἰς τὴν θάλασσαν. χωρὶς γὰρ οἰκουμενικῆς συνόδου καινοτομῆσαι πίστιν ἀδύνατόν μοι, ὦ βασιλεῦ, καὶ ἀπελθὼν ἐν τῷ λεγομένῳ Πλατανίῳ D εἰς γονικὸν αὐτοῦ οἶκον ἡσύχασεν, ἀρχιερατεύσας ἔτη ιδ'. μῆνας ε'. ἡμέρας γ'. τῇ δὲ * ζ'. τοῦ αὐτοῦ Ἰανουαρίου μηνὸς χειροτονοῦσιν Ἀναστάσιον τὸν ψευδώνυμον μαθητὴν καὶ Σύγκελλον τοῦ αὐτοῦ μακαρίου Γερμανοῦ συνθέμενον τῇ Λέοντος ἀσεβείᾳ διὰ φιλαρχίαν κοσμικὴν προχειρισθεὶς ΚΠ. ψευδεπίσκοπος. Γρηγόριος δὲ ὁ ἱερὸς πρόεδρος Ῥώμης, ὡς προέφην, Ἀναστάσιον ἅμα τοῖς λιβέλλοις ἀπεκήρυξεν, ἐλέγξας τὸν Λέοντα δι' ἐπιστολῶν, ὡς ἀσεβοῦντα. καὶ τὴν Ῥώμην σὺν πάσῃ Ἰταλίᾳ τῆς βασιλείας αὐτοῦ ἀπέστησεν. ἐμμανὴς οὖν ὁ τύραννος ἐπέτεινε τὸν κατὰ τῶν ἁγίων εἰκόνων διωγμόν· πολλοί τε κληρικοὶ καὶ μονασταὶ, E καὶ εὐλαβεῖς λαϊκοὶ ὑπερεκινδύνευσαν τοῦ ὀρθοῦ τῆς πίστεως λόγου τὸν μαρτυρικὸν ἀναδησάμενοι στέφανον.

* κβ'.

Τῶν

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μασαλμᾶς τῇ Ῥωμανίᾳ, καὶ ἐλθὼν εἰς Καππαδοκίαν παρέλαβε δόλῳ τὸ Χαρσιανοῦ κάστρον.

Hoc anno Masalmas Romanam ditionem armis infestavit: & in Cappadociam profectus, Charsiani castrum sibi dolo subjecit.

| | | ιε' | η' | ζ' | β' | κε' | | | |

| | | 15 | 8 | 7 | 2 | 26 | | | |

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν ὁ Μασαλμᾶς τὴν Τουρκίαν, καὶ φθάσας τὰς Κασπίας πύλας φοβηθεὶς ὑπέστρεψεν.

Hoc anno Masalmas in Turciam exercitum eduxit, & cum jam Caspias portas attigisset, metu correptus, retro cessit.

| | | ις' | θ' | η' | γ' | κζ' | | | |

| | | 16 | 9 | 8 | 3 | 27 | | | |

Τούτῳ τῷ ἔτει Λέων ὁ βασιλεὺς τὴν θυγατέρα Χαγάνου τοῦ τῶν Σκυθῶν δυνάστου τῷ υἱῷ Κωνσταντίνῳ ἐνυμφεύσατο, ποιήσας αὐτὴν Χριστιανὴν, καὶ ὀνομάσας αὐτὴν Εἰρήνην, ἥτις μαθοῦσα τὰ ἱερὰ γράμματα διέπρεπεν ἐν εὐσεβείᾳ, ἐλέγχουσα τὴν τούτων δυσσέβειαν. Μαυίας δὲ ὁ υἱὸς Ἰσὰμ ἐπεστράτευσε τὴν Ῥωμανίαν· καὶ ἐλθὼν ἕως Παφλαγονίας, ἀνέκαμψε μετὰ αἰχμαλωσίας πολλῆς. ὁ δὲ βασιλεὺς ἐμαίνετο κατὰ τοῦ Πάπα, καὶ τῆς ἀποστάσεως Ῥώμης, καὶ Ἰταλίας· καὶ ἐξοπλίσας στόλον μέγαν ἐξώπλισε κατ᾽ αὐτῶν· Μάνην στρατηγὸν τῶν Κιβυρραιωτῶν στρατηγὸν ποιήσας εἰς αὐτούς. ᾐσχύνθη δὲ ὁ μάταιος ναυαγήσαντος τοῦ στόλου εἰς τὸ Ἀδριακὸν πέλαγος. τότε ὁ θεομάχος ἐπὶ πλεῖον ἐμμανεὶς, Ἀραβικῷ τε φρονήματι κρατούμενος, φόρους κεφαλικοὺς τῷ τρίτῳ μέρει Καλαβρίας καὶ Σικελίας τοῦ λαοῦ ἐπέθηκε. τὰ δὲ λεγόμενα πατριμόνια τῶν ἁγίων καὶ κορυφαίων Ἀποστόλων τῶν ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ τιμωμένων ταῖς ἐκκλησίαις ἔκπαλαι τελούμενα χρυσίου τάλαντα τρία ἥμισυ τῷ δημοσίῳ λόγῳ τελεῖσθαι προσέταξεν· ἐποπτεύειν τε καὶ ἀναγράφεσθαι τὰ τικτόμενα κελεύσας ἄρρενα βρέφη, ὡς Φαραὼ ποτὲ τὰ τῶν Ἑβραίων· ὅπερ οὐδ᾽ αὐτοί ποτε οἱ διδάσκαλοι αὐτοῦ Ἄραβες ἐποίησαν εἰς τοὺς κατὰ τὴν ἑῴαν Χριστιανούς.

Hoc anno Leo Imperator filiam Chagani Scytharum Principis Constantino filio suo uxorem duxit, cum Christianam prius eam fecisset, appellassetque Irenem. Hæc sacris litteris erudita, pietate fuit illustris, & Leonis Constantinique impietatem arguebat. Porro Mavias filius Isam bellum Romaniæ intulit: penetrataque cum armato milite Paphlagonia, multa captivorum præda ditatus, in patriam rediit. Imperator autem contra Papam, Romæque & Italiæ desertores insaniens & plane furiis invectus, classem ingentem extructam adversus eos misit, & Manem Cibyrrhæotarum Ducem ei præfecit. Summum tamen dedecus vanus ille Princeps retulit, classe in mari Adriatico naufragium passa. Ex quo in furorem actus Dei ille hostis Arabico sensu imbutus, auctiora Siculis ac Calabris populis parte tertia tributa in singula hominum capita imposuit. Patrimonia vero quæ dicuntur sanctorum & Coryphæorum Apostolorum, qui in veteri Roma coluntur, tria nimirum cum medio auri talenta eorum Ecclesiis ab antiquo assignata & pensa, in publicum ærarium conferri jussit. Inspici insuper atque describi masculos infantes, qui nascerentur, quemadmodum olim Pharao Hebræorum pueros, mandavit: quod tamen neque ipsi ejus doctores Arabes in Christianos Orientales admiserunt.

Edit. Paris. pag. 344.

| | | ιζ' | ι' | θ' | δ' | κη' | | | |

| | | 17 | 10 | 9 | 4 | 28 | | | |

Τούτῳ τῷ ἔτει ἐγένετο θανατικὸν ἐν Συρίᾳ, καὶ ἀπέθανον πολλοί.

Hoc anno pestifera lue in Syriam grassante, multi periere.

			Ῥωμ. ἐπισκ. Ζαχαρίας ἔτη ι'.					
		ιη'	ια'	α'	ε'	κθ'		

			Rom. Episc. Zacharias annis 10.					
		18	11	1	5	29		

Τούτῳ τῷ ἔτει ἐξωρίσθη Θεόδωρος ὁ τοῦ Μανσοὺρ εἰς τὰ κλίματα τῆς ἐρήμου· καὶ γέγονε σημεῖον ἐν τῷ οὐρανῷ πυρῶδες καταυγάζον· καὶ Μαυίας τὴν Ἀσίαν ἐλῄσατο.

Hoc anno Theodorus Mansuris filius ad deserti regionem relegatus est. Signum quoque igneum splendidissimum in cælo visum. Mavias denique Asiam deprædatus est.

| | | ιθ' | ιβ' | β' | ς' | λ' | | | |

| | | 19 | 12 | 2 | 6 | 30 | | | |

Hoc anno Suliman filius Isam in Armeniorum provinciam arma movit: at re infecta reversus est.

A Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Σουλειμὰν ὁ τοῦ Ἰσὰμ τὴν Ἀρμενίων χώραν, καὶ οὐδὲν ἤνυσεν.

			20	13	1	7			
			κ'	ιγ'	γ'	ζ'			

Hoc anno Mavias Romaniæ bellum intulit: at non post dies multos redire coactus, equo decidens animam efflavit.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μαυίας τὴν Ῥωμανίαν, καὶ ἐπανελθὼν οὐ μετὰ πολλὰς ἡμέρας τοῦ ἵππου πεσὼν ἀπέψυξεν.

			21	14	4	8			
			κα'	ιδ'	δ'	η'			

Hoc anno Suliman filius Isam plurimos ex Asia captivos abduxit: inter concaptivos quidam extitit Pergamenus genere, qui se Tiberium Justiniani filium prædicabat. Hunc Isam ad proprii filii honorem, & Imperatorum terrorem omni cultu regio instructum cum exercitu signis & vexillis Hierosolymam misit: indeque universam Syriam maximo cum apparatu obire jussit: quod spectaculo & admirationi cunctis extitit.

Τούτῳ τῷ ἔτει Σουλειμὰν υἱὸς Ἰσὰμ ᾐχμαλώτευσε πολλοὺς ἐκ Ἀσίας, συνῃχμαλώτευσε καί τινα Περγαμηνόν, ὃς ἔλεγεν ἑαυτὸν Τιβέριον Ἰουστινιανοῦ. τοῦτον Ἰσὰμ B εἰς τιμὴν τοῦ ἰδίου παιδὸς καὶ τὴν βασιλέων ἐκφόβησιν μετὰ τῆς ἁρμοζούσης βασιλικῆς τιμῆς, καὶ στρατευμάτων καὶ σκήπτρων καὶ βάνδων εἰς Ἱεροσόλυμα ἐκπέμπει, καὶ ὅλην τὴν Συρίαν περιάγειν κελεύει μετὰ πολλῆς τιμῆς πρὸς θέαν πάντων καὶ κατάπληξιν.

			22	15	5	9			
			κβ'	ιε'	ε'	θ'			

Hoc anno Suliman filius Isam Romanam ditionem armis aggressus, castrum cognomento Ferreum depopulatus est: ac Eustathium Mariani Patricii filium captivum abduxit.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Σουλειμὰν τὴν Ῥωμανίαν ὁ υἱὸς Ἰσάμ· καὶ ἐπόρθησε τὸ λεγόμενον σιδηροῦν κάστρον, καὶ Εὐστάθιον τὸν υἱὸν Μαριανοῦ τοῦ Πατρικίου αἰχμάλωτον ἔλαβεν.

Edit. Parif. pag. 345.

			23	16	6	10			
			κγ'	ιϛ'	ϛ'	ι'			

Hoc anno Suliman eductis hominum nonaginta millibus in Romaniam copias effudit, sub Ducibus quatuor, quorum summus fuit Gamer: qui cum mille levis armaturæ militibus ad Asiaticæ provinciæ varia loca in insidiis considebat: quibus socios se adjunxere Melich & Batal cum bis mille equitibus circa Acroinum: atque post eos ipse Suliman cum sex myriadibus circa Tyanam Cappadociæ: Et ii quidem qui Asiam & Cappadociam excurrerunt, numerosa virorum jumentorum & mulierum multitudine collecta, illæsi domos repetierunt: qui vero Melich & Batal ad Acroinum sequuti a Leone & Constantino oppugnati victoribus cessere. Plures etenim cum memoratis Ducibus duobus armis periere: octingenti vero supra sexies mille bellatores præcipui fortiter resistentes Synada confugerunt: quo profecti & Sulimani adjuncti, in Syriam redierunt. Eodem etiam anno multi per Africam ab eis cæsi cum ipsius aciei Duce cui nomen fuit Damascenus.

C Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Σουλειμὰν τὴν Ῥωμανίαν ἐν μυριάσιν θ'. στρατηγοῖς τε δ'. ὧν Γάμερ ἡγεῖτο. λοχίζων ἐν μυρίοις μονοζώνοις τὰ τῆς Ἀσιάτιδος γῆς μέρη, καὶ τούτῳ ἑπόμενοι Μελὶχ καὶ Βατὰλ ἐν δισμυρίοις ἱππεῦσι περὶ τὸν Ἀκροϊνόν· καὶ μετὰ τούτους Σουλειμὰν ἐν ἑξακισμυρίοις περὶ τὰ τῶν Καππαδοκῶν Τύανα. ἀλλ' οἱ μὲν κατὰ τὴν Ἀσίαν καὶ Καππαδοκίαν πολλὴν ἅλωσιν ἀνδρῶν, καὶ κτηνῶν, καὶ γυναικῶν ποιησάμενοι ἀβλαβεῖς ὑπέστρεψαν· οἱ δὲ περὶ τὸν Μαλὶχ καὶ Βατὰλ ἐν τῷ Ἀκροϊνῷ καταπολεμηθέντες ὑπὸ Λέοντος καὶ Κωνσταντίνου ἡττήθησαν. καὶ οἱ μὲν πλείονες ὅπλοις ἀπώλοντο σὺν τοῖς δυσὶν ἄρχουσιν· ὀκτακόσιοι δέ που μαχηταὶ ἐξ αὐτῶν D πρὸς ἓξ χιλιάδας ἐνστάντες εἰς Σύναδα καταφεύγουσι· καὶ διασωθέντες συνήφθησαν τῷ Σουλειμὰν, καὶ ἀνέκαμψαν εἰς Συρίαν. τῷ δ' αὐτῷ ἔτει καὶ κατὰ τὴν Ἀφρικὴν πολλοὶ παρ' αὐτῶν ὤλοντο σὺν τῷ στρατηγοῦντι ὀνόματι Δαμασκηνῷ.

			24	17	7	11			
			κδ'	ιζ'	ζ'	ια'			

Hoc anno qui Leonis tyranni & scelestissimi Isauri fuit vicesimus quartus ab Hieracitis igne supposito Damasci tabernæ combustæ: criminisque pœnas illi suspendio dederunt. Mensis Peritii die vicessimo octavo Edessam civitatem torrens inundavit. Eodem etiam anno terræ motus ingens & tremendus mensis Octobris die vicesimo sexto, indictione nona, feria quarta, hora diei octava CP. contigit, quo Ecclesiæ & Monasteria corruerunt, & e populo plurimi ruinis obruti. Magni quoque Theodosii statua portæ, nomine

Ταύτῳ τῷ ἔτει εἰκοστῷ τετάρτῳ τῆς βασιλείας Λέοντος τοῦ τυράννου καὶ παρανομωτάτου Σύρου ἐκάησαν ἀγοραὶ ἐν Δαμασκῷ ὑπὸ Ἱερακιτῶν, καὶ E ἐφουρκίσθησαν· καὶ εἰσῆλθεν ὁ χείμαρρος ἐν Ἐδέσσῃ μηνὶ Περιτίῳ κη'. καὶ τῷ αὐτῷ ἔτει σεισμὸς γέγονε μέγας καὶ φοβερὸς ἐν Κωνσταντινουπόλει μηνὶ Ὀκτωβρίῳ εἰκοστῇ ἕκτῃ, ἰνδικτιῶνι ἐνάτῃ, ἡμέρᾳ τετάρτῃ, ὥρᾳ ὀγδόῃ, καὶ ἐπτώθησαν ἐκκλησίαι καὶ μοναστήρια, λαός τε πολὺς τέθνηκε. ἔπεσε δὲ καὶ ἀνδριὰς

τοῦ μεγάλου Θεοδοσίου, ὁ ἐπὶ τῆς χρυσῆς πόρτης, τά τε χερσαῖα τῆς πόλεως τείχη καὶ πόλεις καὶ χωρία ἐν τῇ Θρᾴκῃ, καὶ ἡ Νικομήδεια ἐν Βιθυνίᾳ, καὶ ἡ Πραίνετος, καὶ ἡ Νίκαια, ἐν ᾗ μία διεσώθη ἐκκλησία. ἀνέφυγε δὲ ἡ θάλασσα τῶν ἰδίων ὅρων ἔν τισι τόποις, καὶ ἐκράτησεν ὁ σεισμὸς μῆνας δώδεκα· ὁ οὖν βασιλεὺς ἰδὼν τὰ τείχη πτωθέντα διελάλησε τῷ λαῷ λέγων· ὅτι ὑμεῖς οὐκ ἐκποιεῖτε τὰ τείχη κτίσαι, ἀλλ' ἡμεῖς διετάξαμεν τοῖς Διοικηταῖς· καὶ ἀπαιτοῦσιν εἰς κανόνα κατὰ ὁλοκοτίνου τὸ μιλιαρίσιον· καὶ λαμβάνει αὐτὰ ἡ βασιλεία, καὶ κτίζει τὰ τείχη. ἐντεῦθεν οὖν ἐπεκράτησεν ἡ συνήθεια δίδειν τὰ δύο Κέρατα τοῖς Διοικηταῖς. ἔτος ἦν ἀπὸ κτίσεως κόσμου κατὰ Ῥωμαίους ,ϛσμή. ἀπὸ Ἀδὰμ, κατὰ δὲ Αἰγυπτίους, ἤγουν Ἀλεξανδρεῖς ,ϛσλβ. ἀπὸ δὲ Φιλίππου τοῦ κατὰ Μακεδόνας ,αξγ´. ἐβασίλευσεν οὖν Λέων ἀπὸ κέ. τοῦ Μαρτίου μηνὸς τῆς ιέ. ἰνδικτιῶνος, ἕως μηνὸς Ἰουνίου ιή. τῆς θ´. ἰνδικτιῶνος· βασιλεύσας ἔτη κδ´. μῆνας β´. ἡμέρας κέ. ὁμοίως καὶ ὁ Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ, καὶ τῆς ἀσεβείας αὐτοῦ καὶ βασιλείας διάδοχος, ἀπὸ τῆς αὐτῆς ιή. τοῦ Ἰουνίου μηνὸς τῆς θ´. ἰνδικτιῶνος, ἕως τῆς ιδ´. τοῦ Σεπτεμβρίου μηνὸς τῆς ιδ´. ἰνδικτιῶνος. βασιλεύσας καὶ αὐτὸς, παραχωρήσαντος Θεοῦ, ἔτη τριάκοντα τέσσαρα, μῆνας γ´. ἡμέρας β´. οὗτος οὖν, ὡς προείρηται, τῷ αὐτῷ ἔτει τῆς θ´. ἰνδικτιῶνος μηνὶ Ἰουνίῳ ὀκτωκαιδεκάτῃ τέθνηκε Λέων σὺν τῷ ψυχικῷ τὸν σωματικὸν θάνατον. καὶ αὐτοκρατορεῖ ὁ Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ. καὶ ὅσα μὲν ἐπὶ Λέοντος τοῦ ἀσεβοῦς κατὰ Χριστιανοῖς συνέβη περί τε τὴν ὀρθόδοξον πίστιν, καὶ περὶ τῶν πολιτικῶν διοικήσεων αἰσχροῦ κέρδους καὶ φιλαργυρίας ἐπινοίᾳ, κατά τε Συρίαν, καὶ Καλαβρίαν, καὶ Κρήτην· ὅτε τῆς Ἰταλίας ἀποστασία διὰ τὴν αὐτοῦ κακοδοξίαν, σεισμοί τε, καὶ λιμοὶ, καὶ λοιμοὶ, καὶ ἐθνῶν ἐπαναστάσεις, ἵνα τὰ κατὰ μέρος σιγήσω, ἐν τοῖς προλαβοῦσι δεδήλωνται κεφαλαίοις. ἄξιον λοιπὸν ἐφεξῆς καὶ τοῦ δυσσεβεστάτου καὶ παναθλίου παιδὸς αὐτοῦ τὰς ἀθεμίτους διεξελθεῖν πράξεις, ἀνοσιουργοτέρας καὶ θεομισεῖς οὔσας· φιλαληθῶς δ' ὅμως, ὡς ἐφορῶντος καὶ ἐπιβλέποντος τοῦ πανόπτου Θεοῦ, καὶ ἀπερίττως, εἰς ὠφέλειαν τοῖς μετέπειτα, καὶ τοῖς νῦν πλανωμένοις ἀθλίοις καὶ ἀταθάλοις ἀνδραρίοις εἰς τὴν τοῦ παρανομωτάτου βδελυρὰν κακοδοξίαν, τὰ ἀπὸ τῆς δεκάτης λέγοντες ἰνδικτιῶνος ἔτους πρώτου τῆς αὐτοῦ βασιλείας. αὐτὸς γὰρ ὁ πανώλης, καὶ ἐμβρόντητος, αἱμοβόρος τε, καὶ ἀγριώτατος, τυραννικῶς καὶ οὐκ ἐννόμως τῷ κράτει χρησάμενος, πρῶτον μὲν ἐκ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς ἀχράντου καὶ παναγίας μητρὸς αὐτοῦ, καὶ πάντων τῶν ἁγίων διΐσταται μαγείαις, καὶ ἀσελγείαις, καὶ αἱμοχυσίαις, καβαλλίαις τε κόπροις, καὶ οὔροις ἀπατώμενος, μαλακίαις τε, καὶ μὴν καὶ δαιμόνων ἐπικλήσεσι χαίρων, καὶ πᾶσιν ἁπλῶς ψυχοφθόροις ἐπιτηδεύμασιν ἐκ νεα-

Chrysæ, imposita, murique Urbis continentem spectantes, urbes etiam aliæ & pagi per Thraciam, ad hæc Nicomedia in Bithynia, Prænetus, & Nicæa, in qua Ecclesia unica servata est, conciderunt: nonnullis in locis proprios limites mare deseruit: & menses duodecim motus ille terræ perseveravit. Imperator itaque visa mœnium Urbis ruina edictum hujusmodi promulgavit in populum. Muros Urbis reparare vos non valetis: quare nostris Administratoribus rem commisimus. Ipsi collatitiam ab unoquoque collectam exigent, ex Olocotino nimirum aureo, milliarisium argenteum. Imperium vero nostrum summam illam tollet, & una simul mœnium instaurandorum onus. Inde mos invaluit, ut Ceratia duo Administratoribus per singula capita conferantur. Erat is annus a mundi conditu & ætatis Adami 6248. juxta Romanorum computum: juxta Ægyptios, intellige Alexandrinos 6232. a Philippo Macedone 1063. Igitur a mensis Martii die vigesimo quinto decima quinta indictione, ad mensis Junii diem decimum octavum nona indictione, Leo imperavit. Tenuit autem imperium annos viginti quatuor menses duos dies viginti quinque: Constantinus pariter ejus filius impietatis æque ac imperii successor a præfato mensis Junii die decimo octavo nona indictione, ad mensis Septembris diem decimum quartum indictione decima quarta, Deo permittente, potestatem obtinuit annos quatuor supra triginta menses tres dies duos. Is ergo Leo, ut præmisimus, eodem anno ejusdem indictionis nonæ mensis Junii die decimo octavo simul cum animæ mortem obiit corporis: cui in tyrannidis summa potestate occupanda filius Constantinus suffectus est. Porro mala omnia quæ sub impio Leone Christianis contigerunt quod ad rectam fidei sententiam, & civilium rerum administrationem spectat, quæ videlicet excogitata in Syriam, Calabriam, & Cretem turpis lucri & avaritiæ arte: ad hæc ex prava ejus opinione orta Italiæ defectio, terræ motus, annonæ penuria, pestilentiæ, provinciarum rebelliones, ut privatas quasque calamitates prætercam, superioribus capitibus enarrata sunt. Nunc irreligiosissimi & infelicis undequaque filii ejus nefaria gesta, sceleratiora multo Deoque magis invisa decet recensere; ex veritatis tamen oraculis, ceu in Dei cuncta inspicientis ac intime penetrantis conspectu positi, nulla vel rei superfluæ accessione facta, quod nimirum quum posteris, tum misellis atque improbis homuncionibus secundum execrandam iniquissimi Imperatoris sententiam errantibus prodesse queat, quæ ab indictione decima & primo imperii ejus anno deinceps gesta sunt fideliter enarrabimus. Ipse siquidem perditissimus, ac mente plane stupefactus, sive potius sanguinaria ac crudelissima fera, tyranni, non legitimi Imperatoris more imperium administrans, a Deo imprimis, & Servatore nostro Jesu Christo, & ab immaculata, & sanctissimæ ejus matre, & a sanctis omnibus, mala præstigiarum arte affectata, impuritatibus, effuso victimarum cruore, equinis stercoribus & lotiis seductus, obscœnis tactibus, & Dæmonibus invocandis assuetus ab infantia, studiis deinceps omnibus, quæ animam perdunt, & perniciem ingerunt, a primis annis innutritus fuit. Postquam vero paternam potestatem ejusque simul impietatem

Edit. Paris. pag. 346.

hæreditario jure adiit, quis eaplicare valeat, quas malitiæ turbas ab ipsis primordiis scelestus ille ac piaculis omnibus infectus moverit, & quas per universum orbem, tamquam per aeris spatium, malorum evomuerit flammas? Non levis etenim incendiorum hujusmodi spectatores tristitia & animorum consternatio incessit: adeo ut ab imperii statim principio propter innatam truculentiam omnes eaotium habuerint, & in Artabasdum Curopalatem & Opsicii Comitem, & ob locatam sororem Annam ejus generum, ceu rectum de fide sensum jugiter retinentem bene affecti imperium studuerint transferendum. Cæterum eodem anno Isam Arabum Princeps Christianos captivos per singulas ditionis suæ urbes ad unum interfecit: inter quos Beatus Eustathius Marini spectabilis Patricii filius multa passus tormenta, nec sinceram suam fidem ob id ejurans, in Charan celebri Mesopotamiæ urbe, verus atque illustris Martyr eluxit: ubi venerandæ sanctæque ejus reliquiæ, gratia Dei opitulante, omnis generis præbent medelam. Sed & multi alii per martyrium effuso sanguine consummati sunt.

Edit. Paris. pag. 347.

Annus mundi 6233.	Divinæ Incarn. 733.	Imp. Rom. Constant. annis 35.	Arabum Dux Isam annis 19.	Romæ Episc. Zacharias annis 21.	Constant. Episc. Anastasius annis 24.
		1	18	2	12

Hoc anno Dei judicio ita ordinante, & offensarum nostrarum multitudine pœnas provocante, patriorum institutorum persecutor Constantinus imperium accepit. Mensis itaque Junii die vicesimo septimo ad insequentem indictionem decimam pertinente, adversus Arabes circa Opsicii regionem expeditione suscepta, ad urbem, quæ Crasus dicitur, venit: cum vero Artabaidus Opsicii militum manu comitatus Dorylæi versaretur, mutuam de se sibi invicem suspicionem ingerebant. Constantinus autem missis ad Artabasdum litteris, filios ejus, ceu nepotes ex sorore, & quasi videndi eos avidus, ad se transmitti postulavit. Id autem ejus animo inerat consilium, ut pueros retineret, & servaret sub custodia. Ille dolum subodoratus, & de rebus suis desperans, ceu ineaplicabilem ejus nequitiam expertus, eaercitum alloquitur, & ad res novandas inducit: ac mox cum copiis omnibus adversus eum suscipit profectionem: primoque belli impetu Beser Saracenica doctrina infectum sibi obviam factum ferro obtruncavit. Constantinus autem veredarium sella instructum ac forte repertum conscendit, & in Amorium se fuga surripit: tum vero ad Orientalium thema, cui tunc Longinus præerat, se recipiens, de salute securitatem accipit, ac vicissim magnis pollicitationibus eos demeretur: inde continuo ad Sisinnacium, ejusdem Thracensium thematis Ducem, mittit, qui secum eos militare suaderet. Hinc imperii in seipsum armati sævissimæ pugnæ, civiumque ad invicem conflictus, Imperatoribus duobus renunciatis, & ex æquo de potestate contendentibus. Interim Artabaidus Theophani Patricio & Magistro, qui Imperatoris vices in Urbe gerebat, omnia quæ gesta fuerant, per Thalassium Silentiarium denunciat. Is Artabaldo be-

pag. 348.

ρας ἡλικίας συζήσας. ἐπεὶ δὲ τὴν πατρικὴν ἀρχὴν σὺν τῇ κακίᾳ παρέλαβε, τί δεῖ λέγειν, ὅσην ἐκ προοιμίων ὁ παμμίαρος τῆς κακίας ἑαυτοῦ, καὶ εἰς πρόσωπον αὐτὴν καὶ ἐναέριον ἀνέῤῥιπτε φλόγα; οὐ μικρὰ γὰρ ταύτην βλέποντας τοὺς Χριστιανοὺς κατέλαβεν ἀθυμία, ὥστε πάντας ἐκ προοιμίων εὐθὺς δι' ἰταμότητα μισῆσαι αὐτὸν, καὶ Ἀρταβάσδῳ Κουροπαλάτῃ καὶ Κόμητι τοῦ Ὀψικίου προστεθῆναι γαμβρῷ τε αὐτοῦ ὄντι ἐπ' ἀδελφῇ Ἄννῃ, καὶ τὴν βασιλείαν αὐτῷ ὡς ὀρθοδόξῳ παραδοῦναι. τῷ δ' αὐτῷ ἔτει ἀνεῖλεν Ἰσὰμ ὁ τῶν Ἀράβων ἀρχηγὸς τοὺς κατὰ πόλιν πᾶσαν τῆς ὑπ' αὐτοῦ ἀρχῆς αἰχμαλώτους Χριστιανούς, ἐν οἷς Εὐστάθιος ὁ μακάριος υἱὸς Μαρίνου τοῦ περιβλέπτου Πατρικίου πολλὰ βιασθεὶς, καὶ τὴν αὐτοῦ εἰλικρινῆ πίστιν μὴ ἀρνησάμενος, μάρτυς ἀληθὴς ἀνεδείχθη εἰς Χαρὰν, πόλιν οὖσαν τῆς Μεσοποταμίας ἐπίσημον· ἔνθα καὶ τὰ τίμια αὐτοῦ καὶ ἅγια λείψανα ἰάσεις παντοίας ἐπιτελοῦσι Θείᾳ χάριτι· καὶ πολλοὶ ἕτεροι διὰ μαρτυρίου καὶ αἵματος ἐν Χριστῷ ἐτελειώθησαν.

Κόσμου ἔτη ͵ϛσλγʹ.	Τῆς θείας σαρκώσεως ἔτη ψλγʹ.	Ῥωμ. βασιλ. Κωνσταντῖνος ἔτη λεʹ.	Ἀράβ. ἀρχηγὸς Ἰσὰμ ἔτη ιθʹ.	Ῥωμ. ἐπίσκ. Ζαχαρίας ἔτη καʹ.	ΚΠ. ἐπίσκ. Ἀναστάσιος ἔτη κδʹ.
		α	ιη	β	ιβʹ

Τούτῳ τῷ ἔτει ὁ διώκτης τῶν πατροπαραδότων θεσμῶν Κωνσταντῖνος ἐβασίλευσε, θείοις κρίμασι, καὶ πλήθει πταισμάτων ἡμῶν. τῷ δὲ Ἰουνίῳ μηνὶ, εἰκοστῇ ἑβδόμῃ τῆς ἐπέκεινα δεκάτης ἰνδικτιῶνος, ἐξελθὼν ἐν τοῖς μέρεσι τοῦ Ὀψικίου κατὰ τῶν Ἀράβων, ἦλθεν ἐν τῇ λεγομένῃ Κράσῳ. τοῦ δὲ Ἀρταβάσδου ἐν τῷ Δορυλαίῳ μετὰ τοῦ Ὀψικίου λαοῦ ὄντος, ὑπεβλέποντο ἀλλήλους. ἀποστείλας δὲ Κωνσταντῖνος πρὸς αὐτὸν, ᾐτεῖτο τοὺς υἱοὺς αὐτοῦ πεμφθῆναι αὐτῷ ὡς ἂν ἀνεψιοὺς αὐτοῦ, ποθῶν ἰδεῖν αὐτούς. σκοπὸς δὲ ἦν αὐτῷ κατασχεῖν αὐτοὺς, καὶ φρουρῆσαι. ὁ δὲ τὸν δόλον νοήσας, καὶ ἀπογνοὺς ἑαυτοῦ, γιγνώσκων τε τὴν ἄμετρον πονηρίαν αὐτοῦ, προσλαλήσας τε τῷ λαῷ, καὶ πείσας, ὥρμησε κατ' αὐτοῦ σὺν παντὶ τῷ πλήθει· καὶ τὸν μὲν Πατρίκιον Βησὴρ τὸν Σαρακηνόφρονα προαπαντήσαντα ῥομφαίᾳ ἀνεῖλεν· ὁ δὲ Κωνσταντῖνος παρίππιον εὑρὼν ἐστρωμένον, καὶ ἐπιβὰς αὐτῷ, ἔφυγεν εἰς τὸ Ἀμώριον· καὶ προσδραμὼν τῷ θέματι τῶν Ἀνατολικῶν στρατηγουμένῳ τότε ὑπὸ τοῦ Λογγίνου περισώζεται ὑπ' αὐτῶν, δεξιοῦταί τε τούτους μεγάλαις ὑποσχέσεσι· καὶ πρὸς Σισιννάκιον ἀποστέλλει εὐθὺς στρατηγὸν ὄντα τοῦ τηνικαῦτα θέματος τῶν Θρακησίων, καὶ πείθει αὐτοὺς συμμαχῆσαι αὐτῷ. ἐντεῦθεν οὖν μάχαι δεινόταται καὶ ἀνθοπλισμοὶ γίγνονται τοῖς ὑπηκόοις, τῶν ἑκατέρων βασιλέων ἀναγορευομένων. Ἀρτάβασδος δὲ γράφει πρὸς Θεοφάνην Πατρίκιον καὶ Μάγιστρον ἐκ προσώπου ὄντα ἐν τῇ πόλει διὰ Θαλασσίου Σιλεντιαρίου τὰ πραχθέντα. ὁ δὲ προσκείμ-

νος Αρταβάσδῳ, σωρεύσας τὸν λαὸν ἐν τοῖς κατηχουμένοις τῆς μεγάλης ἐκκλησίας, καὶ διὰ τῶν γραμμάτων καὶ τοῦ λεχθέντος Θαλασσίου, πείθει πάντας ὡς ὁ βασιλεὺς τέθνηκεν, Αρτάβασδος δὲ ὑπὸ τῶν θεμάτων ἀνηγορεύθη βασιλεύς. τότε πᾶς ὁ λαὸς σὺν Αναστασίῳ ψευδωνύμῳ Πατριάρχῃ ἀναθέματι καὶ ἀνασκαφῇ ἔβαλλον αὐτὸν, ὡς ἀλάστορα καὶ ἄθεον, καὶ ἀσμένως αὐτοῦ ἐδέξαντο σφαγὴν, ὡς μεγίστου κακοῦ λυτρωθέντες, Αρτάβασδον ἀνεκήρυττον βασιλέα, ὡς ὀρθόδοξον καὶ θείων δογμάτων ὑπέρμαχον. εὐθέως οὖν ἀποστέλλει ὁ Μονοίτης ἐν τοῖς Θρᾳκώοις μέρεσι πρὸς Νικηφόρον τὸν ἴδιον υἱὸν στρατηγοῦντα τῆς Θρᾴκης τοῦ συναθλάσαι τὸ ἐκεῖσε στρατόπεδον πρὸς φυλακὴν τῆς πόλεως. κλείσας οὖν τὰς τῶν τειχέων πύλας, καὶ βίγλας θέμενος, τοὺς φίλους τοῦ Κωνσταντίνου χειρωσάμενος, τύψας, καὶ κουρεύσας, εἰς φυλακὰς ἀπέθετο. τοῦ δὲ Αρταβάσδου μετὰ τοῦ Οψικίου λαοῦ ἐν τῇ πόλει εἰσελθόντος, κατέλαβε καὶ Κωνσταντῖνος ἐν τῇ Χρυσοπόλει μετὰ τῶν δύο θεμάτων Θρᾳκησίων τε, φημὶ, καὶ Ανατολικῶν· καὶ μηδὲν ἰσχύσας ὑπέστρεψε· καὶ ἐχείμασεν εἰς τὸ Αμώριον. ὁ δὲ Αρτάβασδος κατὰ πᾶσαν τὴν πόλιν τὰς ἱερὰς εἰκόνας ἀνεστήλωσεν. οἱ δὲ Αραβες αἰσθόμενοι τὴν τούτων κατ' ἀλλήλων μάχην, πολλὴν αἰχμαλωσίαν ἐποιήσαντο εἰς Ρωμανίαν, τοῦ Σουλεϊμὰν στρατηγοῦντος αὐτοῖς. Αναστάσιος δὲ ὁ ψευδώνυμος Πατριάρχης κρατήσας τὰ τίμια καὶ ζωοποιὰ ξύλα ὤμοσε τῷ λαῷ· ὅτι μὰ τὸν προσηλωθέντα ἐν αὐτοῖς, οὕτως μοι εἶπε Κωνσταντῖνος ὁ βασιλεὺς, ὅτι μὴ λογίσῃ υἱὸν Θεοῦ εἶναι ὃν ἔτεκεν ἡ Μαρία, τὸν λεγόμενον Χριστὸν, εἰ μὴ ψιλὸν ἄνθρωπον. ἡ γὰρ Μαρία αὐτὸν ἔτεκεν, ὡς ἔτεκεν ἐμὲ ἡ μήτηρ μου ἡ Μαρία. καὶ τοῦτο ἀκούσαντες οἱ λαοὶ ἀνέσκαψαν αὐτόν.

ne affectus, ad magnæ Ecclesiæ Catechumeno populo collecto tum litteris tum prædicti Thalassii testimonio, Imperatorem fato functum & Artabasdum a Thematibus Imperatorem salutatum suadet. Confestim populus universus Anastasio falsi nominis Patriarcha duce diris & maledictis, ceu naturæ monstrum & a Deo alienum Constantinum insequitur, cædem ejus, quasi ingenti malo liberati gratanter excipit, & Artabasdum, velut Orthodoxum & Sacrorum dogmatum defensorem, Imperatorem proclamat. His ita gestis Monutes Nicephorum filium Thraciæ Ducem, ut ejus provinciæ exercitum ad Urbem custodiendam adduceret, misit: tum mœnium portis subinde firmiter obseratis, dispositisque ad ea vigiliis, mox Constantini amicos comprehendens verberibus & capillorum detonsione castigatos in carceres detrusit. Artabasdo vero cum Opsicii copiis Urbem jam ingresso, Constantinus Thematibus duobus Thracensium, dico, & Orientalium stipatus Chrysopolim advenit: cumque nil proficeret, retro cedere coactus, ad Amorium hyberna duxit. Interim Artabasdus sacras imagines per singulas civitates erexit. Occasione vero duorum Principum de rerum summa ad invicem contendentium, Arabes, Sulimane duce, infinitam captivorum prædam e Romanorum terris abduxerunt. Cæterum Anastasius falso nomine Patriarcha, veneranda ac vivifica crucis ligna manibus tenens, interposito jusjurando coram plebe dissernit: Per eum, qui lignis istis suffixus est, ita mihi dixit Imperator. Ne Dei filium, quem genuit Maria, quique Christus dicitur, uspiam reputaveris, quam simplicem ac nudum hominem. Eum etenim in lucem Maria protulit, in eum modum, quo me mater mea Maria genuit. His auditis populus universus eum imperio abdicatum pronunciavit.

									Αντ. ἐπίσκ. Στέφανος ἔτη β'.
			β	α	ς	η'			α

									Ant. Episc. Stephan. annis 2.
			a	19	9	13			1

Edit. Paris. pag. 349.

Τούτῳ τῷ ἔτει τέθνηκεν Ισὰμ ὁ τῶν Αράβων ἀρχηγός. οὗτος τὴν ἁγιωτάτην ἐκκλησίαν τῆς Αντιοχείας ἐπὶ μ'. χρόνους χηρεύουσαν, κωλυόντων τῶν Αράβων γενέσθαι Πατριάρχην ἐν αὐτῇ, ἔχων τινὰ προσφιλῆ μονάζοντα Σύρον, ὀνόματι Στέφανον, ἀγροικότερον μὲν, εὐλαβῆ δὲ, τοῖς κατὰ ἑῴαν Χριστιανοῖς, εἴπερ θέλοιεν συγχωρηθῆναι αὐτοῖς Πατριάρχην, ψηφίσασθαι αὐτὸν Στέφανον. οἱ δὲ θεόθεν τοῦτο νομίσαντες γενέσθαι χειροτονοῦσιν αὐτὸν ἐν τῷ θρόνῳ Θεουπόλεως. κἀκεῖθεν ἕως τοῦ νῦν διέδραμε τὸ ἀκώλυτον.

Τούτῳ τῷ ἔτει ἐπεκράτησεν Οὐαλὶδ υἱὸς Ισὰμ τῆς Αράβων ἀρχῆς· πρὸς ὃν Κωνσταντῖνος Ανδρέαν Σπαθάριον, Αρτάβασδος δὲ Γρηγόριον Λογοθέτην ἐξέπεμψαν, τὴν πρὸς συμμαχίαν ζητοῦντες ἀμφότεροι. ἀβροχίας δὲ πολλῆς γενομένης καὶ σεισμοῦ κατὰ τόπους, ὡς ἐνεχθῆναι ὄρη πρὸς ἄλληλα κατὰ τὴν ἐ-

Hoc anno Isam Arabum Dux mortuus est. Is sanctam Antiochiæ Ecclesiam pastore jam annos 40. viduatam, Arabibus nimirum Patriarcham eligi prohibentibus, in priorem statum reposuit. Quempiam etenim Monastici instituti Syrum, nomine Stephanum, sibi familiarem; rusticum quidem, at pietate clarum Christianis in Oriente positis, si modo hunc admitterent, Patriarcham eligendi liberam fecit potestatem. Illi divinitus hoc fieri arbitrati, ipsum Stephanum in Antiochensium Theupoleos sede Episcopum collocant: atque ita ad hodiernum usque diem eligendo Patriarchæ nullum impedimentum a Saracenis affertur.

Hoc anno Valid filius Isam Arabum principatu potitus est: ad quem Constantinus Andream Spatharium, Artabasdus vero Gregorium Logothetam, ambo suppetias sibi dari postulantes miserunt. Diuturna vero imbris penuria & terræ motus varia loca adeo concusserunt, ut in deter-

to Saba montium cacumina ad invicem collidereutur, & pagi terra absorberentur. Eodem etiam anno Cosmas Alexandriæ Patriarcha cum ipsa civitate, Monothelitarum pravitate a Cyri, qui sub Heraclio viatt, temporibus eam civitatem obtinente, abjurata, & errore cognito ad Orthodoxam Ecclesiam rediit. Porro Gamer Saracenorum copiis comitatus in Romaniam impressionem fecit, & collecta ingenti captivorum præda, in patriam remeavit. Mense Junio signum ad Septentrionalem cæli partem apparuit. Porro Valid Petro sanctissimo Damasci Metropolitæ, ceu Arabum, & Manichæorum impietatem palam arguenti linguam præscindi jussit, & in felicem Arabiam eaulem deportari: ibi pro Christo martyrium passus, distinctique apertæ loquelæ verbis sacrum celebrans, ut, qui retulerunt proprio auditu se percepisse, confirmant, morte consummatur. Ejus æmulus & ejusdem nominis consorts Petrus apud Majumam insigne pro Christo martyrium sub hæc tempora sponte tulit. Morbo quippe detentus, Arabum proceres, ceu ea Chartularii publicorum vectigalium munere ipsis notus, sibi familiares ad privatum colloquium invitavit. Tum is ad illos: Vestræ hujus, inquit, ad me visitandum profectionis mercedem a Deo recipiatis, precor: licet enim fidei luce privati, amici tamen estis censendi. Testamenti itaque mei, quod hujusmodi est, volo vos esse testes. Qui non credit in Patrem, Filium, & Spiritum sanctum, Consubstantialem & vivificam in unitate naturæ Personarum Trinitatem, is animæ oculis occæcatus est, & æterno supplicio dignus. Muamed falsus vester Vates, & Antichristi Præcursor, ejusmodi extitit. Quamobrem si mihi nunc cælum & terram coram vobis obtestanti aliquatenus fidem adhibetis, fabulosam & deliram ejus doctrinam ejurate. Hoc necessitudinis erga vos meæ præsens argumentum: benevolum hoc admittite consilium: ne parem cum eo cruciatum sustineatis. Arabes sacros istos & pares alios sermones explicantem audientes, & una simul stupore & insania correpti, virum bene valere jusserunt, tamquam in mentis delirium eum lapsum arbitrati. Is ubi vires ex infirmitate recepit, valida voce publice vociferari: Anathema Muamed & fabulosæ ejus doctrinæ, credentibusque in eum omnibus. Extemplo gladii pœnæ suppositus, Martyr declaratur. Eum orationum suarum encomiis sanctus Pater noster Joannes, ob eloquii sanctitatisque velut aureo fulgore radiantem spiritualem gratiam, Chrysorrhoas recte cognominatus celebravit. Joannem etiam illum Constantinus impius Imperator exsecrationibus annuatim renovatis ob eminentem illius in recta fide doctrinam subjicere solebat: & Mansur aviti nominis, quod vertitur Redemptus, vice, Manzerum novum Ecclesiæ Doctorem sensu plane Judaico vocitabat.

Ejusdem etiam anni mense Majo ad Opsicii regionem profectus Artabasdus, Asiam, dum iter ageret, sub potestatem redegit, & provinciam depopulatus est. Eo comperto Constantinus copias in eum eduxit. Ubi Sardium attigit fines a Celbiano redeuntem offendit, & manibus cum eo consertis, in fugam vertit, & ad Cyzicum usque insequitur. Ille Cyzicum ingressus, dromonem subinde conscendit, & in Urbem salvum se recipit. Mense au-

Edit. Paris. pag. 350.

A ρημον Σαβᾶ, καὶ κώμας ὑπὸ γῆν καταποθῆναι. τῷ δ' αὐτῷ ἔτει Κοσμᾶς ὁ Πατριάρχης Ἀλεξανδρείας ὠρθοδόξησε σὺν τῇ πόλει αὐτῇ ἐκ τῆς τῶν Μονοθελητῶν κακοδοξίας, ἀρξαμένης ἀπὸ Κύρου τοῦ ἐπὶ Ἡρακλείου ἐπισκόπου Ἀλεξανδρείας. ἐπεστράτευσε δὲ Γάμερ τὴν Ῥωμανίαν μετὰ πλήθους Ἀράβων, καὶ πολλοὺς αἰχμαλωτεύσας, ὑπέστρεψεν. ἐφάνη δὲ σημεῖον κατὰ βοῤῥᾶν μηνὶ Ἰουνίῳ. Οὐαλὶδ δὲ Πέτρον τὸν ἁγιώτατον μητροπολίτην Δαμασκοῦ γλωττοτμηθῆναι κελεύσας, ὡς ἀναφανδὸν ἐλέγχοντα τὴν τῶν Ἀράβων, καὶ Μανιχαίων δυσσέβειαν. ἐξώρισε δὲ αὐτὸν κατὰ τὴν εὐδαίμονα Ἀραβίαν, ἔνθα καὶ τελειοῦται μαρτυρήσας ὑπὲρ Χριστοῦ, καὶ τρανῶς ἐκφωνήσας τὴν θείαν λειτουρ-

B γίαν, ὡς οἱ διηγησάμενοι φασὶν ἰδίαις ἀκοαῖς πεπληροφορεῖσθαι. τούτου ζηλωτὴς καὶ ὁ ὁμώνυμος Πέτρος, ὁ κατὰ τὸν Μαϊουμᾶν ἐν τοῖς αὐτοῖς ἀνεδείχθη χρόνοις, μάρτυς ὑπὲρ Χριστοῦ αὐτομόλως. νόσῳ γὰρ συσχεθεὶς, προσεκαλέσατο τοὺς τῶν Ἀράβων ἄρχοντας, ὡς συνήθεις αὐτῷ ὄντας, Χαρτουλάριον τε πλοῦντι τῶν δημοσίων φόρων· καὶ φησὶ πρὸς αὐτούς. τὸν μὲν ὑπὲρ τῆς ἐπισκέψεως μισθὸν παρὰ Θεοῦ λάβοιτε, κἂν ἄπιστοι τυγχάνητε φίλοι. διαθήκης δέ μου μάρτυρας ὑμᾶς εἶναι βούλομαι τοιαύτης οὔσης. πᾶς ὁ μὴ πιστεύων εἰς πατέρα, καὶ υἱὸν, καὶ πνεῦμα ἅγιον, τὴν ὁμοούσιον καὶ ζωαρχικὴν ἐν μονάδι τριάδα, πεπήρωται τὴν ψυ-

C χὴν, καὶ τῆς αἰωνίου κολάσεως ἐστὶν ἄξιος. τοιοῦτος ἐστὶν ὁ Μουαμὲδ ὁ ψευδοπροφήτης ὑμῶν, καὶ τοῦ Ἀντιχρίστου πρόδρομος· ἀπόστητε οὖν, εἰ ἐμοὶ πείθεσθε μαρτυρομένῳ ὑμῖν σήμερον τὸν οὐρανὸν καὶ τὴν γῆν τῆς ἐκείνου μυθολογίας. εὐνοῶ γὰρ ὑμῖν σήμερον, ἵνα μὴ σὺν ἐκείνῳ κολασθῆτε. ταῦτα καὶ ἄλλα πλεῖστα θεολογοῦντος αὐτοῦ ἀκούσαντες θάμβει τε καὶ μανίᾳ συσχεθέντες, μακροθυμεῖν ἔδοξαν, ὡς ἐκ τῆς νόσου παραφρονοῦντα τοῦτον οἰόμενοι· μετὰ δὲ τὸ διαγενέσθαι αὐτὸν ἐκ τῆς νόσου, ἤρξατο μεγαφωνότερον ἀνακράζειν. ἀνάθεμα Μουαμὲδ καὶ τῇ μυθογραφίᾳ αὐτοῦ, καὶ πᾶσι τοῖς πιστεύου-

D σιν αὐτῷ. τότε τὴν διὰ ξίφους τιμωρίαν ὑποστὰς, μάρτυς ἀνεδείχθη. τοῦτον ἐγκωμίοις λόγων τετίμηκεν ὁ ὅσιος πατὴρ ἡμῶν Ἰωάννης ὁ καλῶς ἐπικληθεὶς Χρυσοῤῥόας διὰ τὴν ἐπανθοῦσαν αὐτῷ (τοῦ πνεύματος ἔν τε λόγῳ καὶ βίῳ χρυσαυγῆ χάριν, ὃν Κωνσταντῖνος ὁ δυσσεβὴς βασιλεὺς ἐτησίῳ καθυπέβαλεν ἀναθέματι διὰ τὴν ὑπερβάλλουσαν ἐν αὐτῷ) ὀρθοδοξίαν· καὶ ἀντὶ τοῦ παππικοῦ ὀνόματος αὐτοῦ Μανσοὺρ, ὃ ἑρμηνεύεται λελυτρωμένος, Μανζηρὸν Ἰουδαϊκῷ φρονήματι μετονομάσας τὸν νέον τῆς ἡλικίας διδάσκαλον.

Τῷ δ' αὐτῷ ἔτει μηνὶ Μαΐῳ Ἀρτάβασδος ἐπὶ τὰ μέρη τοῦ Ὀψικίου ἐξελθὼν, τὴν Ἀσίαν

E στρατολογήσας, κατέλαβεν, ἐκπορθῶν αὐτήν. Κωνσταντῖνος δὲ τοῦτο μαθὼν, ἐκίνησε κατ' αὐτοῦ. καταλαβὼν δὲ εἰς τὰ μέρη τῆς Σάρδης ἀπὸ τοῦ Κελβιανοῦ ἀνερχόμενον, συμβαλὼν μετ' αὐτοῦ πόλεμον, τρέπει αὐτὸν, καὶ καταδιώκει μέχρι Κυζίκου. ὁ δὲ τὴν Κύζικον καταλαβὼν, καὶ εἰς δρόμωνα εἰσελθὼν, διασώζεται ἐν τῇ πό-

λει. μηνὶ δὲ Αὐγούστῳ τῆς αὐτῆς ια΄. ἰνδικτ. Νικήτας ὁ μονοστράτηγος υἱὸς Αρταβάσδου συμβαλὼν Κωνσταντίνῳ εἰς πόλεμον πρὸς τῇ Μοδρινῇ φεύγει τραπείς. καὶ τὸν μὲν Πατρίκιον Τηριδάτην τὸν Αρμένιον στρατιώτην γενναῖον ὑπάρχοντα καὶ ἐξάδελφον Αρταβάσδου σὺν ἄλλοις ἐπιλέκτοις ἄρχουσιν ἀνεῖλον. ἑκατέρων τῶν μερῶν πτῶσις οὐ μικρὰ γέγονεν Αρμενίων τε καὶ Αρμενιάκων μαχησαμένων πρὸς Ανατολικοὺς καὶ Θρακησίους τοὺς ὑπερμάχους τοῦ Κωνσταντίνου. ὁ δὲ ἀρχέκακος διάβολος τοιαύτην κατὰ τῶν Χριστιανῶν ἤγειρε μανίαν κατὰ τοὺς χρόνους, τούτους καὶ ἀλληλοσφαγίας, ὥστε τέκνα κατὰ γονέων καὶ ἀδελφοὺς κατὰ ἀδελφῶν συγκινεῖσθαι ἀφειδῶς εἰς σφαγὴν, καὶ ἀνηλεῶς ἐμπυρίζειν τὰς ἀλλήλοις ὑπαρχούσας στάσεις, καὶ οἰκίας.

tem Augusto ejusdem undecimæ indictionis Artabasdi filius supremus copiarum ejus Ductor ad Modrinem cum Constantino bello congressus fugam arripit: Tiridates Patricius Armenus miles generosus, Artabasdi consobrinus, cum selectis aliis proceribus cadit: Armenorum & Armeniacorum adversus Orientales & Thracenses Constantini jus defendentes depugnantium cædes utrimque haud minima facta. Calamitatis omnis auctor Diabolus talem inter Christianos dementationem & cædes reciprocas sub hæc tempora excitavit: ut filii adversus parentes, & fratres in fratres necem nullo sanguinis aut indulgentiæ discrimine irruerent: suasque invicem ipsorum domus atque facultates citra illati damni sensum flammis perderent.

			Αράβων ἀρχηγὸς Οὐαλὶδ ἔτη α΄.					
		γ΄	α΄	ι΄	ιδ΄		β΄	

			Arabum Dux Valid anno 1.					
		3	1	10	54			2

Τούτῳ τῷ ἔτει κατὰ βορρᾶν ἐφάνη σημεῖον, κόνις κατῆλθεν εἰς τόπους. γέγονε δὲ καὶ σεισμὸς εἰς τὰς Κασπίας πύλας· καὶ ἀνῃρέθη Οὐαλὶδ ὑπὸ τῶν Αράβων μηνὶ Απριλλίῳ ις΄. ἡμέρᾳ ε΄. ἄρξας ἔτος α΄. καὶ κρατεῖ τῆς ἀρχῆς Ιζὶδ ὁ Λεψός. οὗτος χρήματα πολλὰ σκορπίσας ἐκράτησε τὴν Δαμασκὸν, καὶ δεξιὰς ἔλαβε τοῦ ἄρχειν ἐκ τῶν κατὰ τὴν Δαμασκὸν καὶ Περσίδα καὶ Αἴγυπτον Αράβων. Μαρουὰμ υἱὸς Μουαμὲδ ὁ Αρμενίας δεσπότης ἀκούσας ταῦτα, καταλαμβάνει τὴν Μεσοποταμίαν, ὑπερμαχῶν τῷ δοκεῖν τῶν τέκνων Οὐαλὶδ, καὶ ἀντιτασσόμενος τῷ Ιζίδ. καὶ μετὰ μῆνας ε΄. θνήσκει ὁ Ιζὶδ καταλείψας Αβραὰμ τὸν ἑαυτοῦ ἀδελφὸν ἐπὶ τῆς Δαμασκοῦ διάδοχον. τούτῳ παρατασσόμενος Μαρουὰμ ἔχων τοὺς τῆς Μεσοποταμίας ἔρχεται εἰς Εδεσαν, ἐκεῖθεν εἰς τὰ μέρη Δαμασκοῦ, καὶ Αντιλιβάνου, εἰς κάμπον λεγόμενον Γαρίς. κἀκεῖ συμβαλὼν τῷ Σουλεϊμὰν παρὰ τῷ ποταμῷ Λιτᾷ, τουτέστι κακῷ, τρέπει αὐτὸν, καὶ ἀναιρεῖ χιλιάδας κ΄. καὶ μόνος Σουλεϊμὰν μετ' ὀλίγων φυγὰς κατὰ τὴν Δαμασκὸν διασώζεται. εἰσελθὼν δὲ ἐν αὐτῇ ἀνεῖλε τοὺς υἱοὺς Οὐαλὶδ, ὧν ὑπερμαχεῖν ἐδόκει Μαρουὰμ, καὶ ἐξῆλθε τῆς Δαμασκοῦ, χρήματα σφετερισάμενος ἱκανά. καταλαβὼν δὲ καὶ Μαρουὰμ τὴν Δαμασκὸν, ἀνεῖλε πολλοὺς τῶν ὑπερχόντων καὶ τοὺς συνεργήσαντας τῷ φόνῳ τοῦ Αλὶδ καὶ τῶν τέκνων αὐτοῦ, καὶ τοὺς ἄλλους ἠκρωτηρίασε. τὰ δὲ χρήματα καὶ τοὺς θησαυροὺς ἅπαντας μετέστησεν εἰς Χαρρὰν τὴν πόλιν Μεσοποταμίας.

Τῷ δὲ Σεπτεμβρίῳ μηνὶ δεκάτῃ καὶ δευτέρᾳ ἰνδικτιῶνι κατελθὼν Κωνσταντῖνος ἐπὶ τὰ μέρη Χαλκηδόνος, ἀντιπέρασεν ἐν τοῖς Θρᾳκώοις μέρεσι, Σισιννίου τοῦ στρατηγοῦ τῶν Θρᾳκησίων διὰ τῆς Αβύδου περάσαντος, καὶ τῷ χερσαίῳ τείχει παρακαθίσαντος. καὶ ἐλθὼν ἐπὶ τὴν Χαρσίου πόρτην διέδραμεν ἕως τῆς Χρυσῆς πόρτης ἑαυτὸν τοῖς ὄχλοις ἐπιδεικνύων· καὶ πάλιν ὑπέστρεψε, καὶ ἀπλήκευσεν εἰς τὸν ἅγιον Μάμαντα. οἱ δὲ τῆς πόλεως ἤρξαντο στενοῦσθαι εἰς τὰς δαπάνας, τῶν ἀποστείλας Αθανάσιον τὸν Ασηκρῆτις καὶ Αρτάβασδον τὸν Δομέστικον αὐτοῦ

Hoc anno in Boreali cæli parte signum apparuit, pulvisque imbris instar in diversa loca decidit. Ad Caspias etiam portas terræ motus contigit. Mensis Aprilis die decimo sexto, hebdomadis feria quinta Valid Arabum factione sublatus post imperii annum unicum: cui filius Izid cognomento Leipsus, id est Diminutus successit. Is maxima pecuniarum vi erogata, Damascum obtinuit: atque ab Arabibus, qui Damascum Persidem & Ægyptum incolebant, dextras in imperii confirmationem accepit. Marvam autem filius Muamed, Armeniæ Rector, his auditis Mesopotamiam occupat, filios Valid, ut videbatur, in tutelam accepturus, & Izid adversarium se oppositurus. Post menses vero quinque moritur Izid, fratre suo Abraim Damasci successore relicto: Adversus quem Marvam exercitum ex Mesopotamiæ Arabibus instruens Edessam venit: indeque versus Damascum, & Antilibanum, in campum, qui dicitur Garis: prælioque ibi ad fluvium Litam, id est Malum, inito cum Sulimane, ipsum fugat, & ex ejus copiis hominum viginti millia delet: adeo ut Suliman cum paucis ac ferme solus Damascum fugam arripuerit: Is urbem ingressus filios Valid, quorum partes tueri Marvam videbatur, e medio sustulit, & magna pecuniarum vi sibi addicta loco excedit. Marvam demum Damascum perveniens, multos ex proceribus, eosque etiamnum qui Valid & liberorum ejus mortis se præbuerant auctores interfecit, reliquos membris mutilatos vivere permisit: pecuniam autem omnesque thesauros Charram Mesopotamiæ urbem transportavit.

Mense vero Septembri duodecima indictione, Constantinus Chalcedonem versus profectus, trajecto freto in Thraciam perrexit: Sisinnio Thracensium Duce ad Abydum transfretante, ac subinde Byzantii muros, qui continentem spectant, obsidente. Is ubi Charsii portam attigit, exinde ad aliam, quæ Aurea nominatur, plebi seipsum palam ostendens excurrit; ac confestim reversus ad sanctum Mamantem applicuit. Cives interea annonæ penuria premi cœpere: quamobrem Athanasium a secretis & Artabasdum Dome-

Edit Paris. pag. 352.

fticum ad commeatum naviculis in Urbem advehendum Artabasdus misit : quos cum Cibyrrhæotarum classis extra Abydi angustias obviam habuisset, detentos ad Imperatorem conduxit : qui propriis quidem copiis comparatam ab illis annonam distribuit, Athanasium vero & Artabasdum extemplo lucis jacturam luere jussit. Postmodum Artabasdus terrestris muri portas ejusque vias sibi liberas reddere, & cum Constantino manus conserere decrevit. Quare inito prælio, fusus est Artabasdi exercitus, plurimique, inter quos Monutes, desiderati. Tum Artabasdus biremes in cacabis Græcum ignem ferentes instruens, ad sanctam Mamantem adversus Cibyrrhæotarum classem summisit : quæ etiamnum repulsæ sunt, & retrorsum actæ. Porro fames ingens Urbem oppressit, adeo ut hordei modius nummis duodecim, milii lupinorumque octo æstimaretur : olei quinque libræ nummo integro, vini sextarius dimidio væniret. Populo itaque penuria cibi pereunte, coactus est Artabasdus publicam ex Urbe migrandi potestatem facere : verum exeuntium observatis vultibus, quosdam detinuit : unde nonnulli vel facie velata, vel ementita mulierum larva usi exitum sibi facilem meruere : illi Monasticum habitum, alii fœminarum cultum sibi composuerunt : atque ita sub eo latere, & egressum suffurari valuerunt. Cæterum Nicetas militiæ supremus Dux copiis ad Modrinem prius dispersis, iterum collectis, Chrysopolim usque venit. Cumque inde pedem referret, trajiciens Imperator ipsum a tergo insequutus est, cumque ad Nicomediam tandem assequutus, vivum cepit, una cum Marcellio, qui ex Episcopo, Curator evaserat, quem illico capitis damnavit : at supremum militiæ Ducem vinculis de muro suspensum patri videndum ostentabat. Demum Novembris die secundo aciebus ex improviso sub vesperam instructis, Urbem per terrestrem murum invasit. Artabasdus autem una cum Bactagio Patricio chelandium conscendens, ad Opsicium in præsens tempus recessit : exindeque ad Puzanæ castrum digressus in eo inclusum se communivit : quos cum Imperator comprehendisset, Artabasdum quidem una cum ejus duobus filiis excæcavit, Bactagium vero ad ferarum venatum capite truncari, caputque per dies tres in Milio publice suspendi jussit. Demum vero post annos triginta injuriarum memor & inclemens Imperator, in Choræ Monasterium uxorem ejus se conferre, in eo siquidem sepultus jacebat Bactagius, & ejus ossa tumulo eruta proprio pallio deportata ad ea quæ Pelagii vocitantur monumenta una cum iis qui sibi ipsis conscias manus intulerant projicere compulit. O factum prorsus inhumanum! Multos insuper alios ex proceribus qui Artabasdi partes sequuti sunt, interfecit, innumeris oculos effodit, manus istis, aliis pedes abscidit. Ad hæc extraneis quos secum in Urbem introduxit nobilibus civium domos penetrare, & eorum facultates pro arbitratu sibi abripere permisit : ac denique infinita damna civitati intulit. Celebratis etiam in Circo ludis equestribus Artabasdum una cum filiis & amicis vinculis alligatum, nec non Anastasium falsi nominis Patriarcham oculis privatum, & asino facie ad caudam versa insidentem publice per medium Circi stadium invexit, & de iis ludibrii trium-

Edit. Paris. pag. 353.

πρὸς τὸ κομίσαι δαπάνας διὰ σκαφῶν εὗρε τούτους ὁ στόλος τῶν Κιβυῤῥαιωτῶν ἔξω τῆς Ἀβύδου, καὶ τούτους αἰχμαλώτους πρὸς τὸν βασιλέα ἀνήγαγε· καὶ τὸν μὲν σῖτον τοῖς ἰδίοις λαοῖς ἐδωρήσατο, Ἀθανάσιον δὲ καὶ Ἀρτάβασδον παραυτὰ ἐτύφλωσε. μετὰ ταῦτα ἐδοκίμασεν Ἀρτάβασδος ἀνοῖξαι τὰς τοῦ χερσαίου τείχους πόρτας, καὶ συμβαλεῖν πόλεμον μετὰ τοῦ Κωνσταντίνου. καὶ γενομένης συμβολῆς, ἐτράπησαν οἱ τοῦ Ἀρταβάσδου, καὶ πολλοὶ ἀπέθανον, ἐν οἷς καὶ Μονούτης· κατασκευάσας δὲ Ἀρτάβασδος κακκαβοπυρφόρους ἀπέστειλεν εἰς τὸν ἅγιον Μάμαντα κατὰ τοῦ στόλου τῶν Κιβυῤῥαιωτῶν, καὶ ἀπήλασαν αὐτούς. ἐγένετο δὲ λιμὸς ἰσχυρὸς ἐν τῇ πόλει, ὥστε πραθῆναι τὸν μόδιον τῆς κριθῆς νομίσματα δώδεκα, τοῦ δὲ κέγχρου, καὶ τοῦ λυπίνου νομίσματα ὀκτώ· τὸ δὲ ἔλαιον πέντε λίτρας τοῦ νομίσματος, καὶ ὁ ξέστης τοῦ οἴνου τοῦ ἡμισείου. τοῦ δὲ λαοῦ θνήσκοντος ἠναγκάσθη Ἀρτάβασδος ἀπολύειν αὐτοὺς, πρὸς τὸ ἐξέρχεσθαι τῆς πόλεως. ἐπιτηρῶν δὲ τὰ πρόσωπα, τοὺς μὲν ἐκώλυσεν. ὅθεν τινὲς τὰ ἑαυτῶν πρόσωπα ἐκάλυπτον, καὶ γυναικείαν στολὴν προσεβάλλοντο. οἱ δὲ μοναδικὸν σχῆμα, καὶ γυναικείαν στολήν· καὶ οὕτως ἠδυνήσαντο λαθεῖν, καὶ ἐξελθεῖν. Νικήτας δὲ ὁ μονοστράτηγος ἐπισυνάξας τὸν ἴδιον λαὸν, τὸν ἀπὸ Μοδρινῆς σκορπισθέντα, ἦλθεν ἕως Χρυσοπόλεως, καὶ ὑποστρέφοντος αὐτοῦ, περάσας ὁ βασιλεὺς κατεδίωξεν ὀπίσω αὐτοῦ, καὶ καταλαβὼν αὐτὸν ἐν Νικομηδείᾳ, ἐχειρώσατο αὐτὸν σὺν τῷ ἀποεπισκόπῳ κουράτωρι Μαρκελλίῳ, ὃν παραυτὰ ἀποτμηθῆναι ἐκέλευσε. τὸν δὲ μονοστράτηγον πεδήσας διὰ τοῦ τείχους τῷ πατρὶ ἐπεδείκνυε. τῇ δὲ δευτέρᾳ τοῦ Νοεμβρίου μηνὸς ἄφνω παραταξάμενος τῇ δείλῃ διὰ τοῦ χερσαίου τείχους τὴν πόλιν παρέλαβεν. ὁ δὲ Ἀρτάβασδος ἅμα τῷ πατρικίῳ Βακταγγίῳ εἰς χελάνδιον εἰσελθὼν πρὸς τὸ παρὸν ἐξῆλθεν εἰς τὸ Ὀψίκιον, καὶ ἀπελθὼν εἰς τὸ κάστρον Πουζάνης ἑαυτὸν ἐνέκλεισεν. οὓς χειρωσάμενος ὁ βασιλεὺς τὸν μὲν Ἀρτάβασδον σὺν τοῖς δυσὶν υἱοῖς αὐτοῦ ἐτύφλωσε, τὸν Βακτάγγιον δὲ ἐν τῷ Κυνηγίῳ ἀπεκεφάλισε, καὶ τὴν τούτου κεφαλὴν ἐν τῷ Μιλίῳ ἐκρέμασεν ἐπὶ τρεῖς ἡμέρας. μετὰ δὲ τριάκοντα ἔτη ὁ μνησίκακος καὶ ἄσπλαγχνος βασιλεὺς ἐπέταξεν ἀπελθεῖν τὴν αὐτοῦ γυναῖκα ἐν τῇ μονῇ τῆς Χώρας, ἐκεῖσε γὰρ ἦν ταφεὶς, καὶ ἀνασκάψαι αὐτοῦ τὰ ὀστᾶ, καὶ ἐν τῷ ἰδίῳ παλλίῳ βαστάσαι, καὶ εἰς τὰ λεγόμενα Πελαγίου μνήματα μετὰ τῶν βιοθανάτων ῥῖψαι. ὢ τῆς ἀπανθρωπίας. πολλοὺς δὲ καὶ ἄλλους Ἀρταβάσδῳ συμμαχήσαντας τῶν προυχόντων ἀνεῖλεν· ἀναριθμήτους δὲ ἐτύφλωσε, καὶ ἄλλους ἐχειροκόπησε καὶ ἐποδοκόπησεν. ἐπέτρεψε δὲ τοῖς σὺν αὐτῷ εἰσελθοῦσιν ἐξωτικοῖς ἄρχουσιν εἰσελθεῖν εἰς τοὺς οἴκους καὶ διαρπάσαι τὰς οὐσίας τῶν πολιτῶν· πολλὰ δὲ καὶ ἀναρίθμητα δεινὰ ἐπεδείξατο τῇ πόλει. ἱππικὸν δὲ ποιήσας εἰσήγαγεν Ἀρτάβασδον σὺν τοῖς υἱοῖς αὐτοῦ καὶ τοῖς φίλοις δεδεμένους

διὰ

καὶ τὸ δυσσεβὲς ἅμα Ἀναστασίῳ τῷ ψευδωνύμῳ Πατριάρχῃ τυφλωθέντι δημοσίως καὶ ἐπὶ ὄνου ἐξανάστροφα καθημένῳ, ὃν εἰς τὸ ἱππικὸν ἐξαγαγὼν ἐπόμπευσε. πάλιν δὲ ὡς ὁμόφρονα αὐτοῦ ἐκφοβήσας καὶ δουλώσας ἐν τῷ θρόνῳ τῆς ἱερωσύνης ἐκάθισε. Σισίννιον δὲ τὸν Πατρίκιον καὶ στρατηγὸν τῶν Θρακησίων πολλὰ συνδραμόντα αὐτῷ καὶ συναγωνισάμενον, ἐξάδελφόν τε αὐτοῦ ὄντα, μετὰ μ'. ἡμέρας ἐτύφλωσε τῇ τοῦ Θεοῦ δικαίᾳ κρίσει. ὁ γὰρ βοηθῶν τὸν ἀσεβῆ ἐμπεσεῖται εἰς τὰς χεῖρας αὐτοῦ κατὰ τὸ γεγραμμένον.

A phum egit. Cæterum Anastasium ceu sententiæ suæ sectatorem probe subactum & renovandæ pœnæ timore emendatum in Sacerdotii sedem restituit. Sisinnium etiam Patricium & Thracensium Ducem (quo adjutore ac simul præliante imperium recepit) consobrinum licet & amicum post dies quadraginta justo Dei judicio oculis damnavit. Qui enim impio fert suppetias, in manus ejus, ut Scriptura testatur, incidet.

Κόσμου ἔτη ϛσλϛ'.	Τῆς θείας σαρ. ψλϛ'.	Ῥωμ. βασιλ. Κωνσταντῖνος ἔτη λδ'.	Ἀμιβ. ἀρχηγὸς Μαρουὰμ ἔτη ϛ'.	Ῥωμ. ἐπίσκ. Ζαχαρίας ἔτη κα'.	ΚΠ. ἐπίσκ. Ἀναστάσιος ἔτη κδ'.			Ἀντ. ἐπίσκ. Θεοφύλακτος ἔτη ζ'.
		δ'	α'	ια'	ιε'			α'

B

Anni mundi 6236.	Divinæ Incarn. 736.	Rom. Imp. Constant. annis 34.	Arabum Dux Marvam annis 6.	Rom. Episc. Zacharias an. 21.	CP. Episc. Anastasius annis 24.			Antioch. Episc. Theophylactus annis 7.
		4	1	11	15			1

Τούτῳ τῷ ἔτει κομήτης μέγας κατὰ τὴν Συρίαν ἐφάνη. καὶ ἐστασίασε Θεβὶτ κατὰ τοῦ Μαρουὰμ, καὶ Δαχὰκ ὁ τῶν Ἀρουριτῶν. οὓς χειρωσάμενος Μαρουὰμ ἀνεῖλεν ἐν τοῖς ὁρίοις Ἐμέσης μετὰ πλήθους πολεμιστῶν χιλιάδας ιβ'. τῷ δ' αὐτῷ ἔτει παρακλήσει τῶν Χριστιανῶν συνεχώρησε χειροτονηθῆναι Θεοφύλακτον πρεσβύτερον Ἐδεσσηνὸν Πατριάρχην Ἀντιοχείας, κοιμηθέντος Στεφάνου, καὶ τοῦτον γράμμασι καθολικοῖς τιμᾶσθαι προσέταξε παρὰ τῶν Ἀράβων. χαρίσμασι γὰρ πνευματικοῖς ἐκεκόσμητο, μάλιστα δὲ σωφροσύνῃ. ἐν Ἐμέσῃ δὲ ρκ'. Χαλβανοὺς ἐφούρκισε· τὸν δὲ Ἀβὰς τὰ πολλὰ τῶν Χριστιανῶν αἱμάτων ἐκχύσαντα, καὶ πολλοὺς τόπους πορθήσαντα, καὶ αἰχμαλωτίσαντα ἀναιρεῖ ἐν τῇ φυλακῇ. σταλέντος γὰρ πρὸς αὐτὸν τινὸς Αἰθίοπος ὑπὸ Μαρουὰμ ἐπὶ τούτῳ θύλακα πλήσας ἀσβέστου ζώσης εἰσῆλθε πρὸς αὐτόν· καὶ τοῦτον τῇ κεφαλῇ καὶ ταῖς αὐτοῦ ῥισὶν περιθεὶς ἀπέπνιξεν αὐτόν, δίκαιαν ἐφαρμόζων τῷ γόητι τιμωρίαν. μαγείᾳ γὰρ καὶ δαιμόνων ἐπικλήσεσι πολλὰ κατὰ Χριστιανῶν κακὰ ἐτεκτήνατο. οὗτος καὶ τῷ αἵματι Οὐαλὶδ ἐκοινώνησεν.

Hoc anno cometes ingens penes Syriam in cælo visus est. Thebit & Dachac Aturitarum Princeps adversus Marvam seditionem excitavit. Marvam eos comprehensos cum viris militaribus ad duodecim millia circa limites Emesæ trucidavit. Hoc etiam anno idem Marvam Christianis postulantibus Theophylactum Presbyterum Edessenum Antiochiæ Patriarcham post Stephani obitum ordinari permisit: eumdemque publicis litteris honorifice ab Arabibus salutari sanxit: Spiri- C tualibus siquidem gratiis temperantiaque maxime ornatus erat. Chalbanos insuper centum & viginti suspendio damnavit apud Emesam: Abam autem effusi Christianorum sanguinis reum, multaque loca passim depopulatum & deprædatum in carcere occidit. Æthiops enim quidam a Marvam missus saccum viva calce oppletum ejus capiti naribusque adeo commode circumposuit, ut præstigiatori digno malitia supplicio applicato, virum facile suffocaverit. Magicis enim artibus dæmonumque invocationibus multorum Christianis malorum auctor fuerat, isque etiam Valid cædis particeps extiterat.

Edit. Paris. pag. 354.

		ε'	β'	ιβ'	ις'			β'

		5	2	12	16			2

D

Τούτῳ τῷ ἔτει Σουλεϊμὰν συνάξας τὰ στρατεύματα αὐτοῦ, αὖθις Μαρουὰμ συμβάλλει, καὶ ἡττᾶται ἀποβαλὼν τοῦ ἰδίου λαοῦ χιλιάδας ζ'. καὶ φυγὰς εἰς Παλμύραν διασώζεται, κἀκεῖθεν εἰς Περσίδα. ἐστασίασαν δὲ οἱ Ἐμεσηνοὶ (καὶ οἱ Ἡλιουπολῖται καὶ Δαμασκηνοὶ) τὰς πύλας τῷ Μαρουὰμ ἀποκλείσαντες· ὃς τὸν μὲν αὐτοῦ υἱὸν κατὰ τοῦ Δαχὰκ ἀποστείλας μετὰ δυνάμεως, αὐτὸς ἐπὶ τὴν Ἔμεσαν ἦλθεν, ἣν ἐν τέτρασι μησὶ παρέλαβεν. ὁ δὲ Δαχὰκ μετὰ πλείστης δυνάμεως ἤρχετο. ὁ δὲ Μαρουὰμ συμβαλὼν αὐτῷ κατὰ τὴν Μεσοποταμίαν μετὰ τὸ πολλοὺς ἀναιρεθῆναι τῶν σὺν αὐτῷ τοῦτον συλλαβὼν κτείνει· ἐν τούτοις Κωνσταντῖνος Γερμανίκειαν παρέλαβεν ἐπιστρατεύσας τὴν Συρίαν καὶ Δουλιχίαν ἄδειαν εὑρὼν διὰ τὴν τῶν Ἀράβων πρὸς ἀλλήλους μάχην. λόγῳ δὲ τοὺς ἐν αὐταῖς Ἄραβας ἀποστείλας ἀόπλους προσελάβετο, καὶ τοὺς πρὸς πατρὸς συγγενεῖς, καὶ ἐν Βυζαντίῳ μετῴκισε, σὺν καὶ πολλοῖς Σύροις Μονοφυσίταις αἱρετικοῖς, ὧν οἱ πλεῖστοι εἰς τὴν Θρᾴκην οἰκοῦντες, μέχρι τοῦ νῦν καὶ ἐν τῷ τρισαγίῳ τὴν τριάδα σταυροῦντες κατὰ

Hæc in Barber. lecta desunt in Reg.

Theophanis Chron.

Hoc anno collectis omnibus copiis cum Marvam bello confligit Suliman: militumque septem millibus ex exercitu desideratis superatur, & fugitivus Palmyram se recipit, atque inde in Persidem. Emeseni quoque, ut Heliopolitæ & Damasceni seditione adversus Marvam excitata, occlusis civitatum portis eidem ingressum negaverunt. Is filio adversus Dachac cum copiosa militum manu misso, ipse Emesam versus arma dirigit, & urbem mensium quatuor spatio in potestatem recipit. Interea Dachac ingentibus copiis stipatus accessit: cum quo Marvam in Mesopotamia prælio congressus, multis occisis, ipsum vivum captum neci tradidit. Dum hæc geruntur Constantinus Germaniciam invadit, exercitumque in Syriam E & Dulichiam emittit, commodam ex Arabum bellis vincendi occasionem nactus. Arabes etiam ex eis urbibus inermes eductos & in fidem suam receptos nec non patris consanguineos cum pluribus Syris Monophysitis Hæreticorum nota inustis Byzantium transtulit: quorum reliquiæ Thraciam incolentes in hodiernum usque diem Trinitatem in hymno Ter sancto crucifigentes Petri Fullonis mentem tenent, & in ea perseverant. Porro a die decima usque ad decimam

quintam Augusti tenebræ fuerunt caliginosæ. Eo tempore Marvam parta victoria, & Edessa recepta, consanguineos Isam & libertos omnes occidit: muris etiam Heliopoleos eversis, viros auctoritate præstantiores e medio sustulit, cæteros vero, qui in his urbibus superfuere, mutilavit.

A Πέτρον τὸν Γναφέα ἀνῄρησαν. ἀπὸ δὲ τοῦ Αὐγούστου μηνὸς δεκάτης ἕως πεντεκαιδεκάτης σκότος ἐγένετο ὁμιχλῶδες. τότε ὁ Μαρουὰμ ἐνικήσας, καὶ ἀπολαβὼν Ἔδεσαν, ἀναιρεῖ πάντας τοὺς συγγενεῖς καὶ ἀπελευθέρους Ἰσάμ. καθαιρεῖ δὲ καὶ τὰ τείχη Ἡλιουπόλεως, ἀναιρῶν πολλοὺς δυνατούς, καὶ ἀκρωτηριάσας τοὺς ἐν αὐταῖς ταῖς πόλεσι περιλειφθέντας.

| | | 6 | 3 | 13 | 17 | | | 3 |

| | | ϛ΄ | γ΄ | ιγ΄ | ιζ΄ | | | γ΄ |

Hoc anno mensis Januarii die decimo octavo hora quarta magnus terræ motus in Palæstina, circa Jordanem, & in omni Syria factus est, adeo ut multæ hominum myriades ac pene infinitæ perierint, & Ecclesiæ Monasteriaque conciderint, & maxime circa sanctæ civitatis solitudinem. Hoc eodem anno lues pestilentialis a Sicilia & Calabria primum exorta, atque velut ignis sensim depascens per Monobasiam, & Græciam, adjacentesque insulas pervagata, tota indictione decima quarta irreligiosum Constantinum flagellavit, si modo potuisset ab ea qua in Ecclesias & venerandas imagines ferebatur insania retrahere & compescere, ipse tamen prout quondam Pharao in malis obduratus & inemendatus perseveravit. Pestilens illud bubonis virus ad Imperatricem usque urbem propagatum est indictione decima quinta. Ac primum quidem inviso quodam modo & de repente corpora invadebat; tum vero in hominum vestibus, & in Ecclesiarum sacris indumentis cruciculæ plurimæ oleagineo liquore conspersæ conspiciebantur. Quo signo quid portenderetur cum homines ignorarent, in magnum mœrorem animique angustias in circumvicina Urbis regione adducti sunt. Exinde plures hominum in mentis alienationem conjecti variis se se phantasiæ figuris, vel spectris, & sensuum stupore permiserunt illudi: adeo ut cum peregrinis & terriculantis faciei hominibus, ut sibi videbatur, societatem ac iter habere se putarent, quos etiam velut amicos, ubi occurrerent, compellarent, ac cum ipsis colloquerentur, & quæ ab ipsis dicerentur, observantes, aliis enarrabant. Eosdem insuper in domos penetrantes, quosdam ex obviis vel plane conficere, vel gladiis vulnerare conspiciebant. Sed & pleraque ex iis, quæ isti referebant, quemadmodum ipsi viderant, ita fieri contigit. Insequente autem primæ indictionis vere magis ac magis serpere & grassari contagium: circa messem vero ita ejus incendium exarsit, ut quamplurimæ domus incolis penitus orbæ clauderentur, ac sepeliendis mortuis amici vivi deficerent. Ex necessitatis igitur in hunc modum urgentis angustia animantibus in quadrum ad invicem junctis, ac suis clitellis instructis trabeculas, quibus affixi asseres, superponere, ac ita mortuorum cadavera in tumulum efferre excogitatum est: & cadavera rursus cadaveribus congesta concervabant curribus exportanda. Cum vero tam urbis quam suburbiorum monumenta mortuis corporibus oppleta exundarent, cisternas atque etiam piscinas exsiccatas, nec non vineas excavare & effodere coacti, hortos quoque veteribus muris cinctos ad hujusmodi humanorum cadaverum sepulturæ officium destinare compulsi sunt: ac ne vix quidem eo pacto hujusmodi necessitati exhauriendæ suffecerunt. Porro cum omnes familiæ ex ista calamitate, nimirum ob sacrarum imaginum impie jussam

Edit. Paris. pag. 355.

Τούτῳ τῷ ἔτει ἐγένετο σεισμὸς μέγας ἐν Παλαιστίνῃ, καὶ ἐν τῷ Ἰορδάνῃ, καὶ ἐν πάσῃ τῇ Συρίᾳ μηνὶ Ἰανουαρίῳ ιη΄ ὥρᾳ δ΄. καὶ πολλαὶ μυριάδες καὶ ἀναρίθμητοι τεθνήκασιν, ἐκκλησίαι τε B καὶ μοναστήρια πεπτώκασι, καὶ μάλιστα κατὰ τὴν ἔρημον τῆς ἁγίας πόλεως. τῷ δ᾽ αὐτῷ ἔτει λοιμώδης νόσος ἀπὸ Σικελίας καὶ Καλαβρίας ἀρξαμένη, οἷόν τι πῦρ ἐπινεμόμενον ἐπὶ τὴν Μονοβασίαν, καὶ Ἑλλάδα, καὶ παρακειμένας νήσους ἦλθε δι᾽ ὅλης τῆς ιδ΄. ἰνδικτιῶνος μαστίζων τὸν ἀσεβῆ Κωνσταντῖνον, καὶ ἀναστέλλων τῆς κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν σεπτῶν εἰκόνων μανίας, εἰ καὶ ἀδιόρθωτος ἔμεινεν, ὡς Φαραὼ τὸ πάλαι. ἡ δὲ αὐτὴ λοιμικὴ τῆς νόσου τοῦ βουβῶνος ἐπέδραμεν τῇ πεντεκαιδεκάτῃ ἐπινεμήσει, ἐν τῇ βασιλίδι πόλει. ἤρξατο δὲ ἄφνως ἀοράτως γίνεσθαι ἐν δὲ C τοῖς τῶν ἀνθρώπων ἱματίοις καὶ ἐν τοῖς τῶν ἐκκλησιῶν ἱεροῖς ἐνδύμασι σταυρία ἐλαιώδη πλεῖστα. ἐγένετο οὖν ἐντεῦθεν τοῖς ἀνθρώποις λύπη καὶ ἀθυμία πολλὴ τῇ ποιότητι σημείου ἀπορίᾳ ἐν πάσῃ τῇ περιχώρῳ αὐτῆς. ἐγένοντο δὲ αἱ φαντασίαι εἰς πολλοὺς τῶν ἀνθρώπων, καὶ ἐν ἐκστάσει γενόμενοι, ἐνόμιζον ξένοις τισίν, ὡς ἐδόκουν, καὶ βλοσυροῖς προσώποις συνοδεύειν, καὶ εἰς ἀπαντῶντας αὐτοῖς, ὡς δῆθεν φίλους προσαγορεύοντας, καὶ διαλεγομένους. σημειούμενοι δὲ τὰ παρ᾽ αὐτῶν λαλούμενα ἐξηγοῦντο. ἑώρουν τοὺς αὐτοὺς εἰς οἴκους εἰσερχομένους, καὶ τοὺς μὲν τοῦ οἴκου ἀναιροῦντας, τοὺς δὲ ξίφει τιτρώσκοντας. D συνέβαινε δὲ τὰ πλεῖστα τῶν παρ᾽ αὐτοῖς λεγομένων γενέσθαι οὕτω, καθὼς εἶδον. τῷ δὲ ἐαρινῷ καιρῷ τῆς πρώτης ἰνδικτιῶνος ἐπέτεινε μειζόνως, καὶ τῷ θερινῷ ἐξεκαύθη εἰς ἅπαξ, ὥστε ὁλοκλήρους οἴκους κλεισθῆναι παντελῶς, καὶ μὴ εἶναι τοὺς ὀφείλοντας θάπτειν τοὺς νεκρούς. ἐκ πολλῆς οὖν περιστάσεως ἐπενοήθη διὰ ζώων σαγματισμένων ὑπὸ πτερακανθίλων σανίδας ἐπιτιθέειν, καὶ οὕτως ἐκφέρειν τοὺς νεκρούς. ὁμοίως δὲ καὶ εἰς ἁμάξας ἐπάνω ἀλλήλων τούτους ἐπιτιθέειν. ἐν δὲ τῷ πληρωθῆναι πάντα τά τε ἐν ἄστει καὶ προαστείοις μνήματα, ἔτι μὴν καὶ γιστέρνας ἀνύδρους καὶ λάκκους, καὶ πλείστους ἀμπελῶ- E νας διασκαφῆναι· οὐ μὴν ἀλλὰ καὶ τοὺς ἔνδον τῶν παλαιῶν τειχῶν κήπους εἰς τὴν τοιαύτην προχωρῆσαι τῶν ἀνθρωπίνων σωμάτων ταφήν· καὶ οὕτω μόλις ὑπαντῆσαι εἰς τὴν τοιαύτην χρείαν. παντὸς δὲ οἴκου ἐκ τῆς τοιαύτης συμφορᾶς διαφθαρέντος διὰ τὴν ἀσεβῶς γεγενημένην εἰς τὰς ἱερὰς εἰκό-

νας ὑπὸ τῶν κρατούντων κατίσχειν, αὐτίκα ὁ τῶν Ἀγαρηνῶν στόλος κατέλαβεν ἀπὸ Ἀλεξανδρείας ἐν Κύπρῳ, ἔνθα ἦν ὁ Ῥωμαϊκὸς στόλος. ὁ δὲ στρατηγὸς τῶν Κιβυρραιωτῶν ἐπιπεσὼν αὐτοῖς ἄφνως ἐν τῷ λιμένι τῶν Κεραμαίᾳ, καὶ κρατήσας τὸ στόμιον τοῦ λιμένος χιλίων δρομώνων ὄντων τρεῖς μόνους ἐξυλῆσαι φασίν. A

| | | ζ | δ | ιδ | ιη | | | δ |

Τούτῳ τῷ ἔτει κτείνεται Γρηγόριος ὑπὸ τῶν Ἀρυρητῶν· καὶ ἐξενίκησε Μαρουὰμ ὁ τῶν Ἀράβων ἀρχηγός, ὡς προέφην.

| | | η | ς | ιε | ιθ | | | ε |

Τούτῳ τῷ ἔτει ἐκινήθη ἐκ τῶν Ἀνατολικωτέρων μερῶν τῆς Περσίδος λαοὶ λεγόμενοι * Χωρασανῖται καὶ Μαυροφόροι κατὰ τοῦ Μαρουὰμ καὶ πάσης τῆς συγγενείας τῶν προαρξάντων ἀπὸ Μουάμεδ τοῦ ψευδοπροφήτου ἕως τοῦ αὐτοῦ Μαρουάμ, τοῦτ᾽ ἔστι κατὰ τὸ λεγόμενον τέκνον τοῦ Οὐναία. τούτων γὰρ μετὰ τὴν ἀναίρεσιν τοῦ Οὐαλὶδ ἀλλήλους πολεμούντων καὶ ἀπασχολουμένων, οἱ λεγόμενοι υἱοὶ τοῦ Ἀχὶμ καὶ τοῦ Ἀλὶμ, συγγενεῖς μὲν καὶ τοῦ ψευδοπροφήτου τυγχάνοντες, κεκρυμμένοι δὲ καὶ φυγάδες ὄντες κατὰ τὴν μικρὰν Ἀραβίαν καὶ ἀθροισθέντες πρωτεύοντος ἐν αὐτοῖς Ἀβραῒμ, ἐκπέμπουσιν ἀπόδουλον αὐτῶν τινὰ λεγόμενον Ἀβουμουσλὶμ εἰς τὸ Χωρασὰν πρός τινας τῶν αὐτόθι πρωχόντων, αἰτούμενοι συμμαχῆσαι αὐτοῖς κατὰ Μαρουάμ. οἱ δὲ συναχθέντες πρὸς Χαχταβᾶν τινα βουλεύονται, καὶ ἐπανιστῶσι τοὺς δούλους κατὰ τῶν ἰδίων δεσποτῶν, καὶ ἀναιροῦσι πολλοὺς ἐν μιᾷ νυκτί, ὧν τοῖς ἅρμασι, καὶ ἵπποις καὶ χρήμασι καθοπλισθέντες, ἐγένοντο εἰς δυνατούς. διαιροῦνται δὲ εἰς φυλὰς δύο καὶ Καισινοὺς καὶ Ἰμανίτας, ὧν δυνατωτέρους σκοπήσας τοὺς Ἰμανίτας ὁ Ἀμουμουσλὶμ διεγείρει κατὰ τῶν Καισινῶν, καὶ ἀνελὼν αὐτοὺς, παραγίνεται ἐν Περσίδι σὺν τῷ Χαχταβᾷ, καὶ πολεμήσας τὸν Βινδάρα, καὶ παραλαβὼν νίκας ἅπαντας, ὡς ἑκατόν που χιλιάδας ἀνδρῶν. καὶ ἐλθὼν ἐπὶ τὸν Ἰβινουβεῖρα στρατοπεδεύοντα σὺν χιλιάσι διακοσίαις, ἀφ[illegible] ἐξέλυσε, καὶ καταλαβὼν τὸν Μαρουὰμ εἰς τὸν Ζαβᾶν ποταμὸν ἔχοντα τριακοσίας χιλιάδας πολεμεῖ αὐτόν. καὶ πλῆθος ἄπειρον ἀναιρεῖ ἐξ αὐτῶν. καὶ ἦν ἰδεῖν κατὰ τὴν γραφὴν τότε ἕνα διώκοντα χιλίους, καὶ δύο μετακινοῦντας μυριάδας, ὡς οὗτος κατὰ κράτος νικῶντας ὁρῶν ὁ Μαρουάμ, ἔρχεται εἰς Χαρρὰν, καὶ περάσας τὸν ποταμὸν, ἔκοψε τὴν γέφυραν ἀπὸ πλοίων οὖσαν. καὶ συμπαραλαβὼν πάντα τὰ χρήματα καὶ τὸν οἶκον αὐτοῦ, μετὰ τρισχιλίων ἀνδρῶν οἰκογενῶν αὐτοῦ ἔφυγεν ἐπὶ τὴν Αἴγυπτον. B C D

* Barber. Χασσανῖται

| | | θ | ς | ις | κ | | | ς |

Τούτῳ τῷ ἔτει καταδιώκεται Μαρουὰμ ὑπὸ τῶν Μαυροφόρων, καὶ καταληφθεὶς ὑπ᾽ αὐτῶν, ἀναιρεῖται βαρυτάτου πολέμου κροτηθέντος. ἄρχει δὲ αὐτῶν Σαλὶχ υἱὸς Ἀλὶμ, εἷς ὢν τῶν προλεχθέντων φυγάδων τῶν καὶ ἐξαποστειλάντων τὸν Μουμουσλίμ. οἱ δὲ λοιποὶ ἀθροισθέντες κατὰ τὴν Σαμάρειαν καὶ Τραχωνῖτιν χώραν κλήρῳ τὴν E

Theophanis Chron.

a Principibus abrogationem, diminutæ vel penitus deletæ apparerent, de repente Agarenorum classis Alexandriæ instructa Cyprum, ubi Romana classis stationem agebat, appellere visa est. Cum vero Cibyrrhæotarum Dux Agarenos in Ceramæa portu occupatis ejus faucibus ex improviso strenue fuisset adortus, ea mille hostium dromonibus tres solos evasisse narrant.

| | | 7 | 4 | 54 | 58 | | | 4 |

Hoc anno Gregorius ab Aruritis occiditur: Marvam vero Arabum Dux, quemadmodum superius retuli, victoria potitus est.

Edit. Paris. pag. 356.

| | | 8 | 5 | 55 | 19 | | | 5 |

Hoc anno Chorasanitæ & Maurophori, populi eo nomine noti, adversus Marvam & omnem præcedentium Principum cognationem a Muamed Pseudopropheta usque ad Marvam, hoc est adversus Unajæ filium, ex postremis Persiæ Orientalis regionibus expeditionem moverunt. Post illatam quippe Valid necem Saracenis mutuis sese bellis conficientibus, & circa cædes reciprocas occupatis, qui filii Achim & Alim vulgo audiunt, Pseudoprophetæ quidem genere orti, occulti tamen & in minorem Arabiam prius fugitivi, nunc sub Abraim, ex familia Duce præcipuo, in unum collecti, quodam suo liberto, cui nomen Abumusulim, ad quosdam Chorasan regionis proceres, misso, sociis armis adversus Marvam convenire ab eis expetierunt. Illi convenientes apud Chactabam quemdam consilium ineunt, servisque in dominos suos concitatis, plurimos eorum una nocte trucidant: & eorum curribus equis & facultatibus ditati & instructi, potentes reputati sunt. Iidem porro in duas tribus distribuuntur, Caisinos nimirum, & Imanitas, quorum fortiores Imanitas Amumilim contemplatus, istos movet in Caisinos: iisdemque deletis, in Persidem Chactaba socio suscipit expeditionem: prælioque cum Bindara inito, victoria potitus ad centum circiter hominum millia cepit: inde profectus adversus Ibinubirem exercitum hominum ducentorum millium educentem, eumdem pariter fudit & prostravit: tum vero Marvam trecentis hominum millibus stipato ad Zabam fluvium obviam factus, eum aggreditur, & debellat, & innumeram hostium multitudinem delet. Cernere erat eo in conflictu unum hominem mille sibi adversarios fugantem, ut scriptura testatur, & duos solos myriades integras insequentes. Eos ubi virtute sua victoriam sibi peperisse Marvam conspicit, Charran contendit, & amne trajecto, pontem navibus compactum disrumpit: & ablatis, quas potuit, divitiis, ac tota familia, cum vernarum suorum ter millibus fuga secessit in Ægyptum.

| | | 9 | 6 | 16 | 20 | | | 6 |

Hoc anno Maurophori Marvam bello insequuntur, eumdemque obviam sibi factum nacti, gravi certamine inito, interficiunt. Salich autem Alim filius ex præfatis fugitivis, qui etiam Mumuslim miserant, Arabum imperium adeptus est. Reliqui apud Samariam & Trachonitidem regionem congregati, ditionem omnem sorte distribuendam decreverant: Om-

pag. 357.

nium quidem primo Abulabæ, tum vero Abdelæ ejus fratri post eum, ac deinde Ibi Musi. Et Syriæ quidem Abdelam Alimi fratrem, & una Alimi filium præesse statuerunt: ipsum vero Alim Ægypto Præfectum dederunt: Abdelam autem Abulasbæ fratrem ab eo imperii partem sortitum Mesopotamiam jusserunt tenere. Is porro Abulasbas, qui omnium præcipuus & potestate præibat, solium in Perside posuit, evocatis nimirum Damasco, qui sibi fuerant auxilio Persis, & translato in Persidem imperio, una cum omnibus thesauris, quos olim illuc Marvam importaverat. Filii vero Marvam, & reliqui ejus affines calamitatibus istis superstites, ex Ægypto migraverunt in Africam. Inde maris angusti fretum Libyam ab Europa juxta Oceanum disterminans trajicientes (Septe loco nomen factum est) Hispaniam Europæ partem ad hoc usque tempus tenuerunt: alii licet superstitionis ejusdem, & ex eadem stirpe nati, quos nimirum navibus deportatos illuc expoliit Mavias, eam regionem prius incoluerunt. Porro clades ista sub Marvam recepta per annos sex duravit, qua illustriorum omnium Syriæ civitatum mœnia in terram dejecta sunt, præter solius Antiochiæ, quod eam tutum sibi refugium victor destinasset. Innumeri insuper Arabes eo jubente periere: extitit enim in bellicis rebus versatissimus. Habitus est præterea Epicureorum, id est Automatitarum sectator, ea impietatis labe a Græcis, sive Gentilibus, qui apud Charran sedes fixerant, contracta. Tertia vero Indictione mensis Januarii die vicesimo quinto Imperatori Constantino ex filia Chagani Chazariæ susceptus est filius nomine Leo. Eodem quoque anno vehemens terræ motus, & ingens tremendaque ædificiorum ruina extitit in Syria: qua nonnullæ urbes integræ funditus absorptæ sunt, aliæ media sui parte corruerunt, quædam denique a montibus in subjectas planities cum muris atque ædificiis citra ullum damnum ad passuum sex millia, & longius etiam spatium ex integro transportatæ sunt. Narraverunt etiam qui de visu miraculi testes extiterunt, Mesopotamiæ tellurem ad duo milliaria disruptam hiatum duxisse, & hiatus profundo tellurem aliam candidissimam & arenosam emersisse, ex cujus meditullio animal mulo non absimile, nullæ variatum macula, humana voce præditum emersisse, & adversus Arabes prænunciasse gentis alterius e deserto irruptionem; quod demum accidit. Eodem autem anno, qui fuit indictionis quartæ proprius, sanctæ Pentecostes festo die, impius Constantinus Anastasii falsi nominis Patriarchæ & pravitatis ejusdem conscii opera filium suum Leonem in Imperii coronæque consortium admisit.

Edit. Paris. pag. 358.

ἀρχὴν ἀπένειμαν. τῷ Ἀβουλασβάν, καὶ μετ' ἐκεῖνον τῷ ἀδελφῷ αὐτοῦ Ἀβδελλᾷ, καὶ μετὰ τοῦτον τῷ Ἰβὶν Μουσαί· καὶ τῆς μὲν Συρίας στρατηγεῖν ἔταξαν Ἀβδελλᾶν τὸν ἀδελφὸν τοῦ Ἀλίμ, καὶ υἱὸν τοῦ Ἀλίμ· τὸν δὲ αὐτὸν Ἀλὶμ τῆς Αἰγύπτου ἄρχειν· τὸν δὲ Ἀβδελλᾶν τοῦ Ἀβουλασβᾶς ἀδελφὸν ἀπ' ἐκείνου ἔχοντα τὸν κλῆρον τῆς ἀρχῆς ἐπὶ τῆς Μεσοποταμίας ἔταξαν. ὁ δὲ αὐτὸς Ἀβουλασβᾶς, ὁ καὶ πάντων ἐξάρχων, ἐν Περσίδι ἐκάθηκε, μετατεθείσης ὑπ' αὐτοῦ καὶ τῶν συμμαχησάντων Περσῶν ἀπὸ Δαμασκοῦ τῆς ἀρχῆς, καὶ πάντων τῶν συλληφθέντων θησαυρῶν, ὧν ὁ Μαρουὰμ ἐπεφέρετο. οἱ δὲ περισωθέντες υἱοί τε καὶ συγγενεῖς τοῦ Μαρουὰμ ἐλθόντες ἀπ' Αἰγύπτου εἰς Ἀφρικὴν, κἀκεῖθεν ἀντιπεράσαντες τὸ διορίζον μεταξὺ Λιβύης καὶ Εὐρώπης τῆς κατὰ τὸν Ὠκεανὸν στενῆς θαλάσσης, τὸ λεγόμενον Σέπται, τὴν τῆς Εὐρώπης Σπανίαν ᾤκησαν μέχρι τοῦδε τοῦ χρόνου, ἔχοντες τινὰς προκατοικήσαντας αὐτόθι, τῶν ἀπὸ Μαυΐου διὰ πλοίων ἐνεχθέντων ἐκεῖσε συγγενεῖς αὐτῶν, καὶ τῆς αὐτῆς θρησκείας. ἐκράτησε δὲ ἡ ἐπὶ Μαρουὰμ ἅλωσις ἔτη ϛ'. ἐν ᾗ πᾶσαι μὲν αἱ κατὰ τὴν Συρίαν περιφανεῖς πόλεις ἀπετειχίσθησαν, πλὴν Ἀντιοχείας, διότι καταφύγιον ἔχειν αὐτὴν ἐμελέτα. ἀναρίθμητοί τε Ἀράβων ὑπ' αὐτοῦ ὤλοντο. λίαν γὰρ ὑπῆρχε διεσκεμμένος περὶ τὰ πολεμικά. ἐτύγχανεν δὲ τῆς τῶν Επικουρείων, ἤτοι Αὐτοματιστῶν, αἱρέσεως, ἐκ τῶν οἰκούντων τὴν Χαῤῥὰν Ἑλλήνων μεταλαβὼν τὴν ἀσέβειαν. τῇ δὲ κε'. τοῦ Ἰανουαρίου μηνὸς τῆς τρίτης ἰνδικτιῶνος ἐτέχθη τῷ βασιλεῖ Κωνσταντίνῳ υἱὸς, ὃν ἐπωνόμασε Λέοντα ἐκ τῆς τοῦ * Χαρανοῦ τῆς Χαζαρίας θυγατρός. ἐν δὲ τῷ αὐτῷ χρόνῳ γέγονε σεισμὸς ἐν Συρίᾳ καὶ μεγάλη καὶ φοβερὰ πτῶσις· ὅθεν αἱ μὲν τῶν πόλεων ὁλοκλήρως ἠφανίσθησαν, αἱ δὲ μέσως πως, ἕτεραι ἀπὸ τῶν ὀρεινῶν εἰς τὰ ὑποκείμενα πεδία σὺν τῶν τειχῶν καὶ τῶν οἰκημάτων αὐτῶν ὁλοκλήρως μετέστησαν σῶαι ὡς ἀπὸ μιλίων ἕξ, οἱ καὶ μικρὸν πρός. ἔφησαν δὲ οἱ αὐτόπται θεασάμενοι τὴν γῆν Μεσοποταμίας εἰς μῆκος ῥαγῆναι ἐπὶ μίλια δύο, καὶ ἐκ τοῦ βυθοῦ αὐτῆς, ἀνενεχθῆναι ἑτέραν γῆν λευκοτάτην καὶ ἀμμώδη, ἧς ἐκ μέσου, ὡς φασὶν, ἀνῆλθε ζῶον μουλικὸν, ἄσπιλον, λαλοῦν ἀνθρωπίνῃ φωνῇ, προμηνύον τε ἔθνους ἐπιδρομὴν ἐκ τῆς ἐρήμου κατὰ τῶν Ἀράβων, ἃ καὶ γέγονε. τῷ δὲ ἐχομένῳ χρόνῳ τῆς τετάρτης ἰνδικτιῶνος τῆς ἑορτῆς τῆς ἁγίας Πεντηκοστῆς, ἔστεψε Κωνσταντῖνος ὁ δυσσεβὴς τὸν ἑαυτοῦ υἱὸν Λέοντα εἰς βασιλέα, διὰ Ἀναστασίου τοῦ ψευδωνύμου Πατριάρχου, καὶ συμφρονος αὐτοῦ.

* Χαγάνου

			Arabum Dux Muamed annis 9					
		10	1	17	21			7

		Ἀράβ. ἀρχηγὸς Μουαμὶδ ἔτη θ'					
	ι'	α'	ζ'	κα'			ζ

Hoc anno Chalcidenses adversus Maurophoros Persas tumultuati, in Emesæ

Τούτῳ τῷ ἔτει ἐστασίασαν οἱ Χαλκιδεῖς τοῖς Μαυροφόροις Πέρσαις, καὶ ἀνῃρέθησαν ὑπ'

αὐτῶν ἐν τοῖς ὁρίοις Ἐμέσης χιλιάδες δ'. τοῦτο δὲ γέγονε κατὰ τὴν Ἀραβίαν εἰς τοὺς Καισιανοὺς ὑπὸ τῶν αὐτῶν Περσῶν. ἐλθούσης δὲ τῆς κεφαλῆς τοῦ Μαρουὰμ ἐσμυρνισμένης ἐπαύσαντο αἱ πλείους τῶν στάσεων. καὶ τῷ αὐτῷ ἔτει ἐκοιμήθη ὁ ἁγιώτατος Πατριάρχης Ἀντιοχείας Θεοφύλακτος μηνὶ Δεσίῳ κθ'.

A confiniis ad hominum millia quatuor ab eis deleti sunt: atque idipsum in Arabia adversus Caisinos ab iisdem Persis commissum est. Producto vero Marvam capite aromatibus ingeniose condito ex maxima parte tumultus deinde sedati sunt. Eodem anno mensis Desii die vicesimo nono sanctissimus Antiochiæ Patriarcha Theophylactus morte obdormiit.

B

Τούτῳ τῷ ἔτει τοὺς πλείους τῶν Χριστιανῶν, ὡς συγγενεῖς τῶν προαρξάντων, ἀνεῖλον οἱ προσφάτως κρατήσαντες, δόλῳ τινὶ κρατησάμενοι, εἰς Ἀντιπατρίδα τῆς Παλαιστίνης. καὶ τῷ αὐτῷ χρόνῳ Κωνσταντῖνος τὴν Θεοδοσιούπολιν παρέλαβεν ἅμα τῇ Μελιτινῇ, καὶ ᾐχμαλώτευσε τοὺς Ἀρμενίους. ὁ Θεόδωρος δὲ υἱὸς τοῦ Βικαρίου τῆς μικρᾶς Ἀρμενίας ὁρμώμενος ἐχειροτονήθη Πατριάρχης Ἀντιοχείας.

Hoc anno Christianorum plurimos, ceu Principibus nuper dominium adeptis sanguine junctos, Antipatride Palæstinæ dolose comprehensos, Arabes Duces ad principatum recenter evecti sustulerunt e medio. Eodem anno Constantinus Theodosiopoli una cum Melitine capta, Armenios in servitutem misit. Theodorus autem Vicarii filius, e minori Armenia oriundus Antiochiæ Patriarcha consecratus est.

| | | 12 | 3 | 19 | 23 | | | 2 |

C

Τούτῳ τῷ ἔτει ἀρθεὶς φρονήματι Κωνσταντῖνος ὁ δυσσεβὴς πολλὰ κατὰ τῆς ἐκκλησίας καὶ ὀρθοδόξου πίστεως μελετῶν σιλέντια, καθ' ἑκάστην πόλιν τὸν λαὸν ἔπειθε πρὸς τὸ ἴδιον φρόνημα δολίως ἕπεσθαι, προοδοποιῶν τὴν μέλλουσαν αὐτοῦ ἔσεσθαι τελείαν ἀσέβειαν.

Hoc anno Constantinus impius Imperator vanis superbiæ flatibus elatus plerosque per singulas civitates adversus Ecclesiam & Orthodoxam fidem cœtus & consulta agitari commentus, populum ad suam sententiam amplexandam dolose pertraxit: & eo pacto viam ipsis ad impietatem, quæ summa futura erat, paravit.

Edit Paris. pag. 359.

| | | ιγ' | δ' | κ' | κδ' | | | | γ' |

| | | 13 | 4 | | 20 | 24 | | | 3 |

Τούτῳ τῷ ἔτει Ἀναστάσιος ὁ ἀνίερος τοῦ θρόνου τῆς ΚΠ. ἡγησάμενος τέθνηκε τῇ ψυχῇ σὺν τῷ σώματι οἰκτίστῳ πάθει τῷ λεγομένῳ χορδαψός· κόπρον διὰ στόματος ἐμέσας, ἀξίαν ἔτισε δίκην ὑπὲρ τῆς κατὰ Θεοῦ καὶ τοῦ διδασκάλου τόλμης. τῷ δ' αὐτῷ ἔτει Κωνσταντῖνος ὁ δυσσεβὴς κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων παράνομον συνέδριον τλη'. ἐπισκόπων συνέλεξεν ἐν τῷ τῆς Ἱερείας παλατίῳ, ὧν ἐξῆρχε Θεοδόσιος ὁ Ἐφέσου, υἱὸς Ἀψιμάρου, καὶ Πασιλλᾶς ὁ Πέργης· οἱ καθ' ἑαυτοὺς τὰ δόξαντα δογματίσαντες μηδενὸς παρόντος τῶν καθολικῶν θρόνων, Ῥώμης φημὶ, Ἀλεξανδρείας, καὶ Ἀντιοχείας, καὶ Ἱεροσολύμων, ἀπὸ δεκάτης τοῦ Φεβρουαρίου μηνὸς ἀρξάμενοι, διέμειναν ἕως η'. Αὐγούστου τῆς αὐτῆς ζ. ἰνδικτιῶνος. καθ' ἣν ἐν Βλαχέρναις ἐλθόντες οἱ τῆς Θεοτόκου πολέμιοι, ἀνῆλθε Κωνσταντῖνος ἐν τῷ ἄμβωνι κρατῶν Κωνσταντῖνον μοναχὸν ἐπίσκοπον γενόμενον τοῦ Συλαίου, καὶ ἐπευξάμενος ἔφη μεγάλῃ τῇ φωνῇ. Κωνσταντίνου οἰκουμενικοῦ Πατριάρχου πολλὰ τὰ ἔτη. καὶ τῇ κζ. τοῦ αὐτοῦ μηνὸς ἀνῆλθεν ὁ βασιλεὺς ἐν τῷ φόρῳ σὺν Κωνσταντίνῳ τῷ ἀνιέρῳ καὶ τοῖς λοιποῖς ἐπισκόποις, καὶ ἐξεφώνησαν τὴν ἑαυτῶν κακόδοξον αἵρεσιν ἐνώπιον παντὸς τοῦ λαοῦ, ἀναθεματίσαντες Γερμανὸν τὸν ἁγιώτα-

D

Hoc anno Anastasius sacrilegus throni CP. Antistes anima simul & corpore mortuus est infelicissimo morbo, qui Chordapsus dicitur, proprium stercus per os egerens, dignamque persolvit ultionem suorum in Deum ac præceptorem injuriarum. Eodem etiam anno impius Constantinus adversus sanctas & venerandas imagines illegitimum trecentorum triginta & octo Episcoporum in Hieriæ Palatio coegit conciliabulum, cujus Præses extitit Theodosius Ephesi Episcopus Apsimari filius, & Pastillas Pergensis Antistes. Isti privatas suas sententias privata auctoritate sancientes, nullo Catholicarum sedium, Romæ, dico, Alexandriæ, Antiochiæ, & Hierosolymorum præsente, a mensis Februarii die decimo facto initio, ad Augusti diem octavum cœptis institerunt eadem indictione: qua ad Blachernas convenientibus istis Deiparæ adversariis, Constantinus Constantinum Monachum, qui Sylæi Episcopus fuerat, manu tenens, conscendit ambonem: & clara elataque voce votis conceptis bene precatus; Constantino, inquit, Oecumenico Patriarchæ multi anni. Et vicesimo septimo mensis Augusti, Imperator in forum progressus cum sacrilego Constantino & reliquis Episcopis, qui omnes pravam suam hæresim coram universo populo promulgaverunt: & sanctissimum Ger-

E

manum, Georgium Cyprium, Joannem Chrysorrhoam Mansuris filium, viros sanctos, & venerandos Doctores anathemati ferire ausi sunt.

A τὸν, ἐ Γεώργιον τὸν Κύπριον, καὶ Ἰωάννην τὸν Χρυσοῤῥόαν Δαμασκηνὸν τὸν Μανσὺρ, ἄνδρας ἁγίους καὶ αἰδεσίμους διδασκάλους.

				CP. Episc. Constantinus an. 12			
	14	5	21	1			4

				ΚΠ. ἐπίσκ. Κωνσταντῖνος ἔτη ιβ'			
	ιδ'	ε'	κα'	α'			δ'

B

Hoc anno Muamed, qui Abulabas etiam dictus, moritur postquam principatu potitus est annos quinque. Abdelas autem frater ejus in loco blasphemiæ eorum dicato Mecha oppido morabatur. Is ad Abumuslim, qui in Persia degebat, scribit, ut sibi principatus partem, quæ forte obtigerat, servaret. Hic ex adverso Abdelam filium Ali, Salem vero Syri supremi Ducis fratrem principatum sibi procari cognoscens, ac ideo in Persiam, ut eam sibi subjiciat, accedere, Persis tamen adversari, & in Syriæ incolas propendere, qui etiam cum eo belli societatem injerant, de his certus, Syriæ copias in eum concitat, & ad Tyanam consertis invicem manibus, ex contraria parte pluribus occisis, Abusalim victor remansit. Etenim plerique Sclavi erant atque Antiocheni. Abdelas solus superstes & incolumis, post dies aliquot fidem sibi dari petiit ab alio Abdela Muamed fratre, qui e Mecha profectus in Persiam festine properaverat. Hic illum in domo ruinam minante inclusum, fundamentis latenter effodi jussis, interfecit. Abusbulim vero adversus Arabes Syriæ ferocientem & minas jactantem, ut pote qui Maurophororum rebellione inita jugum excussissent, multosque eorum per Palæstinam, Emesenos agros, & maritima loca sustulissent, & in reliquos irruere consiliati fuerant, exercitus copiis in eum eductis repressit. Is Abdelæ infensus, cum totis agminibus in secundam Persiam irruit; quare metu perculsus Abdelas ipsum verborum lenocinio precumque blanditiis revocavit, ac ipsis etiam imperii sui symbolis execrandis; virga, inquam, atque sandaliis falsi Prophetæ sui Muamed ad eum summissis, ab eo contendens, ut unius saltem diei itinere ad se divertere dignaretur, ut ei tamquam patri debitum grati animi officium persolveret. Ille lenociniis hujusmodi inescatus, equitibus centum millibus secum eductis, ad eum venit: utriusque vero copiis ad invicem conjunctis, propriis ejus, qui vocaverat, manibus interficitur. Turmæ autem dissipatæ summis licet honoribus cumulatæ reditum eodem die susceperunt. Hic fuit Abdelæ imperii ordo.

Edit. Paris. pag. 360.

Τούτῳ τῷ ἔτει Μουαμέδ, ὁ καὶ Ἀβουλαβᾶς, τέθνηκε, κρατήσας ἔτη ε'. ὢν δὲ Ἀβδελᾶς ὁ ἀδελφὸς αὐτοῦ εἰς τὸν τόπον τῆς βλασφημίας αὐτῶν * Τιμάχῃ. γράφει οὖν πρὸς τὸν Ἀβημουσλὶμ ὄντα κατὰ τὴν Περσίδα φυλάξαι αὐτῷ τὸν τόπον τῆς ἀρχῆς, καθὼς ἐκληρώθη αὐτῷ. ὁ δὲ μαθὼν Ἀβδελᾶν τὸν υἱὸν Ἀλὶ, ἀδελφὸν δὲ Σαλὴμ τοῦ μονοστρατήγου Συρίας τὴν ἀρχὴν αὐτῷ παραποιούμενον, καὶ ἐρχόμενον κρατῆσαι τὴν Περσίδα, ἐναντιούμενον δὲ τοῖς Πέρσαις, καὶ προσκείμενον τοῖς τῆς Συρίας, οἳ καὶ συνεμάχουν αὐτῷ, διεγείρας τὰ τῆς Συρίας στρατόπεδα, συμβάλλει αὐτῷ C κατὰ τὴν Τυάνην, ἐ νικήσας αὐτὸν ὁ Ἀβουσαλὶμ πολλοὺς ἔκτεινεν. ἦσαν γὰρ οἱ πλείους Σκλάβοι, καὶ Ἀντιοχεῖς. ὁ δὲ Ἀβδελᾶς μόνος περισωθεὶς, μετ' ὀλίγας ἡμέρας ᾐτήσατο λόγους λαβεῖν παρὰ τοῦ ἄλλου Ἀβδελᾶ, τοῦ ἀδελφοῦ Μουαμέδ, καταλαβόντος σπουδῇ πολλῇ τὴν Περσικὴν ἐκ τῆς Μέκκας. ὃν τινα φρουρήσας ἐν οἰκίσκῳ σαθρῷ, καὶ καθορυχθῆναι προστάξας τὰ θεμέλια λάθρα, τοῦτον ἀπέκτεινε. τὸν δὲ Ἀβουσβουλὶμ μηνιῶντα κατὰ τῶν τῆς Συρίας Ἀράβων, ὡς ἐπαναστάντων τοῖς Μαυροφόροις, καὶ πολλοὺς κατὰ τὴν Παλαιστίνην, καὶ Ἐμισαν, καὶ παραλίαν ἑλόντων, ἐπελθεῖν τε αὐτοῖς μελετώντων, μετὰ τῶν στρατευμάτων ἐκώλυσεν. ὁ δὲ ὀργισθεὶς τῷ Ἀβδελᾷ πρὸς τὴν δευ- D τέραν Περσίδα ὥρμησε σὺν τῷ πλήθει, ὃν δειλιάσας σφόδρα μεταστέλλεται αὐτὸν πειθανολογίαις, καὶ παρακλήσεσι, καὶ αὐτοῖς δὲ τοῖς μυσαροῖς συμβόλοις τῆς ἀρχῆς αὐτῶν. φημὶ δὴ τῇ ῥάβδῳ καὶ τοῖς σανδαλίοις τοῦ ψευδοπροφήτου Μουαμέδ, ἐξαιτῶν ὁδὸν ἡμέρας μιᾶς ἐκκλῖναι πρὸς αὐτὸν, ὅπως αὐτῷ τὴν πατρὶ πρέπουσαν εὐχαριστίαν ἀπονείμῃ. ὁ δὲ ἀπατηθεὶς, παραγίνεται σὺν χιλιάσιν ἱππέων ρ'. ἑνωθεὶς τε αὐτῷ κτείνεται ὑπ' αὐτοῦ χερσὶν ἰδίαις. οἱ δὲ ὄχλοι σκεδασθέντες αὐθημερὸν ᾤχοντο, φιλοτιμίαις ἀναριθμήτοις ἐφοδιασθέντες. καὶ οὕτω τὰ τῆς ἀρχῆς τοῦ Ἀβδελᾶ διεύθυνεν. E

* ἢ Μάχχων

			Arabum Dux Abdelas annis 25	Romæ Episc. Paulus annis 7			
		15	1	1	2		5

			Ἀράβ. ἀρχηγὸς Ἀβδελᾶς ἔτη κε'.	Ῥώμ. ἐπίσκ. Παῦλος ἔτη ζ'.			
		ιε'	α'	α'	β'		ε'

Hoc anno Nicetas Heliopoleos Epi-

Τούτῳ τῷ ἔτει Νικήτας ὁ Ἡλιουπόλεως ἀναθεμα-

τίθη ὑπὸ τῆς ἐκκλησίας πάσης. ὁ δὲ βασιλεὺς Κωνσταντῖνος Σύρους τε, καὶ Ἀρμενίους, οὓς ἤγαγεν ἀπὸ Θεοδοσιουπόλεως, καὶ Μελιτινῆς, εἰς Θρᾴκην μετῴκισεν, ἐξ ὧν ἐπληθύνθη ἡ αἵρεσις τῶν Παυλικιανῶν. ὁμοίως δὲ καὶ ἐν τῇ πόλει ὀλιγωθέντων τῶν οἰκητόρων αὐτῆς ἐκ τοῦ θανατικοῦ, ἐνέγκας συμφαμιλίους ἐκ τῶν νήσων, καὶ Ἑλλάδος, καὶ τῶν κατωτικῶν μερῶν, καὶ ἐποίησε κατοικῆσαι τὴν πόλιν, καὶ καταπύκνωσεν αὐτήν. τῷ δ' αὐτῷ χρόνῳ ἐζήτησαν οἱ Βούλγαροι πάκτα διὰ τὰ κτισθέντα κάστρα· καὶ τοῦ βασιλέως ἀτιμάσαντος τὸν Ἀποκρισιάριον, ἐξῆλθον φοσατικῶς, καὶ ἦλθον ἕως τοῦ μακροῦ τείχους κατὰ τῆς βασιλίδος πόλεως τὴν ὁρμὴν ποιησάμενοι. πολλὴν οὖν ἅλωσιν ἐργασάμενοι, καὶ αἰχμαλωσίαν λαβόντες, ὑπέστρεψαν ἀβλαβεῖς εἰς τὰ ἴδια.

scopus ab universo Ecclesiæ cœtu anathemate percussus est. Imperator autem Constantinus, quos Theodosiopoli & Melitine Syros & Armenios eduxit, in Thraciam transtulit: quibus Paulicianorum hæresis aucta est. Urbe pariter tota civibus peste sublatis destituta, ex Insulis, Græcia, & inferioribus aliis regionibus incolas alios cum integris etiam familiis asportatos, ut eam habitarent transtulit: atque ita civibus ut prius refertam ac populosam reddidit. Eodem etiam anno Bulgari ob nova castra extructa, nova quoque pacta postulant. Imperatore Apocrisiarium eorum spernente, ipsi ignominiam ulturi, ad Longum usque murum versus Urbem cum exercitu bene instructo irrumpunt: magnaque strage edita, & multitudine captivorum abducta, illæsi & incolumes proprias domos repetunt.

Edit. Paris. pag. 361.

| | | ιϛ' | β' | β' | γ' | | | ϛ' |

Τῷ δ' αὐτῷ ἔτει σεισμὸς γέγονε κατὰ τὴν Παλαιστίνην καὶ Συρίαν οὐ μικρὸς μηνὶ Μαρτίῳ ἐννάτῃ· καὶ ἐξωρίσθη Θεόδωρος ὁ Πατριάρχης Ἀντιοχείας φθόνῳ τῶν Ἀράβων, καὶ διαβληθεὶς, ὅτι συχνῶς τῷ βασιλεῖ Κωνσταντίνῳ δηλοποιεῖ τὰ τῶν Ἀράβων διὰ γραμμάτων· καὶ λοιπὸν ὁ αὐτὸς Σαλὴμ ὑπερόριον τίθησιν εἰς τὴν Μωαβῖτιν χώραν, πατρίδα τε αὐτοῦ. καὶ ἐπέτρεψεν ὁ αὐτὸς Σαλὴμ μὴ ἀνίζεσθαι νέας ἐκκλησίας, μηδὲ φανῆναι σταυρὸν, μηδὲ δογματίσαι περὶ πίστεως Χριστιανὸν μετὰ Ἀράβων. ἐπεστράτευσε δὲ κατὰ Ῥωμανίας σὺν χιλιάσι π'. καὶ ἐλθὼν εἰς τὴν Καππαδοκίαν ἤκουσε Κωνσταντῖνον κατ' αὐτοῦ ὁπλιζόμενον, καὶ φοβηθεὶς ὑπέστρεψεν ἄπρακτος μηδὲν λυμηνάμενος· μόνον δὲ ὀλίγους Ἀρμενίους προσρυέντας αὐτῷ λαβὼν ὑπέστρεψεν

| | | 16 | 2 | 2 | 3 | | | 6 |

Hoc anno terræ motus haud levis in Palæstina & Syria contigit mensis Martii die nono. Theodorus Antiochiæ Patriarcha in exilium deportatus est Arabum invidia, qui frequentioribus litteris ad Imperatorem Constantinum scriptis res Arabum eum manifestare criminati sunt. Quare Patriarchatus terminis extorrem in provinciam Moabitidem, quæ fuit ejus patria, transferendum Salem Arabum Dux edixit. Idem novas Ecclesias nuspiam instaurari, crucem publice videndam non exponi, Christianum cum Arabibus de fidei dogmatibus non disserere lata lege sanxit. Armatis hominum octoginta millibus in Romaniam expeditionem suscepit. In Cappadociam autem profectus ubi Constantinum arma in adversum parare audivit, metu pulsus, re penitus infecta, nullaque illata noxa domum rediit: tantum paucos Armenos sponte ad ejus castra transeuntes secum abduxit.

| | | ιζ' | γ' | γ' | δ' | | | |

Τούτῳ τῷ ἔτει Ἀβδελᾶς τὴν φορολογίαν ἐπέτεινε Χριστιανοῖς, ὥστε ἅπαντας μοναχούς τε, καὶ ἐγκλείστους, καὶ κιονίτας τοὺς τῷ Θεῷ εὐαρεστοῦντας φορολογῆσαι· ἐσφράγισε δὲ τὰ τῶν ἐκκλησιῶν κειμηλιαρχεῖα, καὶ ἤνεγκεν Ἑβραίους πρὸς τὸ πωλῆσαι αὐτά· καὶ ἠγόρασαν αὐτὰ οἱ ἀπελεύθεροι.

| | | 17 | 3 | 3 | 4 | | | |

Hoc anno Abdelas imposita Christianis tributa auxit: adeo ut omnes sive Monachi sive Inclusi, sive Columnicolæ Deo sua vita placiti vectigales describerentur. Ecclesiarum quoque sacras penus sigillo suo obseravit: & ad sacra vasa distrahenda emptores Hebræos induxit; emerunt autem ea Liberti.

| | | ιη' | δ' | δ' | ε' | | | |

Τούτῳ τῷ ἔτει Κωνσταντῖνος τὰς κατὰ Μακεδονίαν Σαλαβινίας ᾐχμαλώτευσε, καὶ τοὺς λοιποὺς ὑποχειρίους ἐποίησεν. ἐν αὐτῷ δὲ τῷ χρόνῳ τινὲς ἐκ τῶν Μαυροφόρων Περσῶν τῆς μαγικῆς ὄντες θρησκείας, ἀπάτῃ τοῦ διαβόλου κρατούμενοι, πωλήσαντες τὴν ὕπαρξιν αὐτῶν, καὶ γυμνοὶ ἀνελθόντες εἰς τὰ τείχη, ἔρριπτον ἑαυτοὺς, ὥστε πετασθῆναι εἰς τὸν οὐρανὸν, ὡς ἐνόμιζον. οἱ δὲ μηδὲν ἀξιόλογον τῆς ἐκεῖσε κληρουχίας ἔχοντες, εἰς γῆν ἀνθυπέστρεφον τὰ μέλη συντρίβοντες, ὧν τοὺς ἐξάρχοντας τῆς πλάνης Ἀβδελᾶς ἀνεῖλε διὰ τοῦ Σαλὴμ κατὰ τὴν Βέῤῥοιαν καὶ Χαλκίδα ὄντας τὸν ἀριθμὸν ἕξ.

| | | 18 | 4 | 4 | 5 | | | |

Hoc anno Constantinus Sclaviniæ provincias ad Macedoniam sitas in servitutem redegit, reliquos vero imperio Rom. plane subjici cogit. Eodem quoque anno ex Maurophoris Persis nonnulli facultatibus distractis, depositisque vestibus nudi, conscensis ædificiorum mœnibus, in capita præcipites se agebant, quo, ut magicæ superstitionis fallacia decepti, & a Diabolo potentius occupati rebantur, in cælum promptius evolarent. Illic porro hæreditatis & sortis sibi propositæ nil æstimabile dignum reportantes, membris omnibus conterendi in terram gravius dilabebantur. Hujus erroris antesignanos sex numero repertos, quum Berrhœæ, tum in Chalcide, opera Salem Abdelas e medio sustulit.

| | | ιθ' | ε' | ε' | ϛ' | | | |

Τούτῳ τῷ ἔτει φθόνῳ τοὺς Χριστιανοὺς ἐκώλυσαν Ἄραβες ἐκ τῶν δημοσίων χαρτοθεσίων πρὸς ὀλίγον χρόνον, αὖθις ἀναγκασθέντες ἐγχειρίζουσιν αὐτοῖς τὰ αὐτὰ, διὰ τὸ μὴ δύνασθαι αὐτοὺς γράφειν τὰς ψήφους· καὶ ἐπεστράτευσαν τὴν Ῥωμανίαν, καὶ ᾐχμαλώτευσαν πολλούς· καὶ Παῦλον τὸν στρατηγὸν τῶν Ἀρμε-

| | | 19 | 5 | 5 | 6 | | | |

pag. 362.

Hoc anno a publicis vectigalium actis conficiendis ad breve temporis spatium Saraceni invidia moti Christianos prohibuerunt: rursus autem necessitate compulsi, quod ipsi numeros & summas scribere non possent, eadem eis reposuerunt in manus: & irruptione in Romaniam facta plures abduxerunt captivos, Paulum-

que Armeniorum Ducem, inito ad Melam cum eo certamine, exercitusque partem non contemnendam, quadraginta duobus viris e Romana ditione spectatissimis, pluribusque aliis compedibus adstrictis in captivitatem secum abactis, prostraverunt. Imperator autem armis in Bulgariam motis, venit Beregabam: At Bulgari ad Clusuram obviam facti plurimos ex ejus militibus deleverunt, inter quos Leo Patricius & Thracensium Dux, alter Leo cursus publici Logotheta, & ex confusa plebe non pauci desiderati. Eorum arma acceperunt Bulgari: atque ita Romani cum dedecore redierunt.

A νίων πολεμήσαντες εἰς τὸν Μέλαν ἀνεῖλον μετὰ πλήθους στρατοῦ, καὶ μβ. ἄνδρας ἐπισήμους δεσμίους ἤγαγον, καὶ κεφαλὰς πολλάς. ὁ δὲ βασιλεὺς ἐπεστράτευσε τὴν Βουλγαρίαν, καὶ ἐλθὼν εἰς Βερέγαβαν εἰς τὴν κλεισούραν ὑπήντησαν αὐτῷ οἱ Βούλγαροι, καὶ πολλοὺς τῶν αὐτοῦ ἀνεῖλον, ἐν οἷς καὶ Λέοντα Πατρίκιον, καὶ στρατηγὸν τῶν Θρακησίων, καὶ Λέοντα ἕτερον Λογοθέτην τοῦ δρόμου, καὶ λαὸν πολύν· καὶ ἔλαβον τὰ ἅρματα αὐτῶν. καὶ οὕτως ἀδόξως ὑπέστρεψαν.

| | | 20 | 6 | 6 | 7 | | | | |

B

Hoc anno error in celebrando Paschatis festo admissus est, Orthodoxis per Orientales tractus mensis Aprilis die sexto, Hæreticis autem, quorum id fuit erratum, tertio decimo solemnitatem illam agentibus.

Eodem anno sancti Joannis Præcursoris & Baptistæ caput ex Antri Monasterio in proprium templum sumptuose constructum ad Emesenorum urbem translatum est. Confessio quoque sacræ reliquiæ reponendæ ædificata est, in qua in hunc usque diem a fidelibus adoratum, tam corporea, quam spirituali odoris fragrantia honoratur, & ab illo morborum omnium medela, velut e perenni fonte, in eos qui cum fide accedunt, scaturit. Hoc insuper anno cometa trabis in morem fulgidissimus ad Orientalem cæli plagam dies continuos decem, & ad Occidentalem rursum dies viginti & unum visus est. Theodorus autem quidam e monte Libano Syrus in Heliopoleos regione, quæ Libano adjacet, in Arabes rebellavit: & manibus cum eo consertis multi ex utraque parte desiderati: tandem ejus acie fusa in fugam versus est, quique illum sequebantur Libanitæ omnes occisi. Tumultus quoque per Africam exorti apparente solis defectu mensis Augusti die decimo quinto, feria sexta, hora diei decima. Porro quidam ex Maurophoris Dabeci emersere, qui Protosymbuli filium, quod eorum nutritium ageret, Deum esse prædicarent. In hanc quoque mentem promulgavere dogma. Maurophori subinde in fanum errori suo dicatum ingressi ædituos numero sexaginta mactaverunt. Quidam autem Basrasum profecti, plerisque in captivitatem abactis, ipsi opes innumeras abstulerunt.

Edit. Paris. pag. 363.

| | | κ' | ϛ' | ϛ' | ζ' | | | | |

Τούτῳ τῷ ἔτει γέγονε πλάνη τῆς Πασχαλίας· καὶ οἱ μὲν ὀρθόδοξοι κατὰ τὴν ἑώαν ἕκτῃ τοῦ Ἀπριλλίου μηνὸς ἐπάσχασαν· οἱ δὲ πεπλανημένοι αἱρετικοὶ τῇ ιγ'.

Τῷ δ' αὐτῷ ἔτει μετετέθη ἡ κάρα τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ Βαπτιστοῦ ἐκ τῆς μονῆς τοῦ Σπηλαίου εἰς τὸν ναὸν αὐτοῦ κατὰ τὴν Ἐμεσηνῶν πόλιν περιφανῆ ὄντα, καὶ ἡ κατάβασις ἐκτίσθη ἔνθα μέχρι τῆς σήμερον ὑπὸ τῶν πιστῶν προσκυνουμένη εὐωδίᾳ σωματικῇ τε, καὶ πνευματικῇ τιμᾶται, βλύζουσα πᾶσι τοῖς πίστει προστρέχουσι ἰάματα. καὶ τῷ αὐτῷ ἔτει δοκίτης ἐδείχθη λαμπρότατος κατὰ τὴν ἑώαν ἐπὶ δέκα ἡμέρας· καὶ αὖθις πρὸς δύσιν ἡμέρας κα'. Θεόδωρος δέ τις Λιβανίτης Σύρος κατὰ τὴν περίχωρον Ἡλιουπόλεως τὴν ἐπὶ Λίβανον ἐπανέστη τοῖς Ἄραψι· καὶ πολεμήσας αὐτοῖς ἔπεσον ἐξ ἀμφοτέρων πολλοί· ἔσχατον δὲ τραπεὶς ἔφυγεν, καὶ οἱ συνόντες αὐτῷ Λιβανῖται πάντες ἀνῃρέθησαν. ἐγένοντο δὲ ἐν Ἀφρικῇ ἀκαταστασίαι καὶ πόλεμοι, ἡλιακῆς γεγονυίας ἐκλείψεως μηνὶ Αὐγούστῳ πεντεκαιδεκάτῃ, ἡμέρᾳ ἕκτῃ, ὥρᾳ δεκάτῃ. ἀνέστησαν δέ τινες τῶν Μαυροφόρων ἐν τῷ Δαβεκῷ λέγοντες τὸν υἱὸν τοῦ Πρωτοσυμβούλου Θεὸν, ὡς τροφέα αὐτῶν. καὶ ἐξώνησαν δόγμα τοιοῦτον. καὶ εἰσῆλθον οἱ Μαυροφόροι εἰς τὸν οἶκον τῆς πλάνης αὐτῶν· καὶ ἀπέκτειναν τοὺς Κλειδούχους ὀνόματι ξ'. καὶ ἐξῆλθόν τινες ἐπὶ τὸν Βάσρασον, καὶ ᾐχμαλώτευσαν πολλοὺς, καὶ χρήματα ἔλαβον πολλά.

C

D

| | | 21 | 7 | 7 | 8 | | | | |

Hoc anno Casiotæ in Maurophoros tumultuati sunt fœminarum causa. In domo etenim in qua tres fratres habitabant ex illis nonnulli mansionem habentes conjuges eorum in illiciti concubitus cœnum voluerunt demergere: exciti vero fratres illi tres morte eis illata injuriam ulti sunt, & terra cæsa corpora occulcaverunt: & in unum collecti reliquos pariter dederunt neci. Salem vero missis insidiose militibus, impetuque in eos facto, cunctos in potestatem accepit: & fratres quidem illos tres laqueo plurimos, alios ferro confecit. Porro die solemnitati Paschali dicato Christiana plebe in cœtum collecta, Salem ille communem & præcipuam Ecclesiam ingressus est: Metropolitam vero sacris altaribus astantem, & elata voce exclamantem: Populus tuus te precatur,

| | | κα' | ζ' | ζ' | η' | | | | |

E

Τούτῳ τῷ ἔτει ἐστασίασαν οἱ Κασιῶται κατὰ τῶν Μαυροφόρων διὰ γυναῖκας. ἔμειναν γὰρ ἐξ αὐτῶν εἰς οἶκον, ἐν ᾧ ἔμενον ἀδελφοὶ τρεῖς, καὶ ἠθέλησαν τὰς γυναῖκας αὐτῶν πορνεῦσαι· ἐγερθέντες δὲ οἱ τρεῖς ἀδελφοὶ, ἀπέκτειναν, καὶ ἔχωσαν αὐτούς. οἱ δὲ συναχθέντες, ἀπέκτειναν καὶ τοὺς λοιπούς· καὶ πέμψας ὁ Σαλὶμ τὰ στρατεύματα διὰ δόλου, ἦλθον ἄνωθεν αὐτῶν· καὶ πιάσαντες αὐτοὺς ἐφούρκισαν τοὺς τρεῖς ἀδελφοὺς, καὶ πολλοὺς ἀπέκτειναν. καὶ τῇ ἑορτῇ τοῦ Πάσχα εἰσῆλθεν ἐν τῇ ἁγίᾳ συνάξει εἰς τὴν καθολικὴν ἐκκλησίαν, καὶ τοῦ μητροπολίτου παρισταμένου καὶ ἐκφωνήσαντος, τό. ὁ γὰρ λαός σου δυσωπεῖ σε,

καὶ

καὶ ἱκετεύει σε. ἐξώνειλαν αὐτὸν καὶ ἀπέκλεισαν ἐν φυλακῇ, καὶ ἄλλος ἐπλήρωσε τὴν ἁγίαν σύναξιν. καὶ ἐγένετο φόβος μέγας. καὶ εἰ μὴ ὁ μητροπολίτης κατεπράϋνεν αὐτὸν ἀθειότητι καὶ ταπεινοῖς λόγοις, κακὸν μέγα ἂν ἀπετελέσθη τῇ ὥρᾳ ἐκείνῃ. ἦν δὲ ὁ μακάριος Ἀναστάσιος.

Τῷ δ' αὐτῷ ἔτει Κωνσταντῖνος ὁ διώκτης Ἀνδρέαν τὸν ἀοίδιμον Μοναχὸν, τὸν λεγόμενον Καλυβίτην ἐν Βλαχέρναις διὰ μαστίγων ἐν τῷ ἱππικῷ τοῦ ἁγίου Μάμαντος ἀπέκτεινεν ἐλέγχοντα αὐτοῦ τὴν ἀσέβειαν, καὶ Οὐάλεντα νέον καὶ Ἰουλιανὸν ἀποκαλοῦντα αὐτόν· ὃν καὶ ἐν τῷ ῥεύματι ῥιφῆναι προσέταξεν, εἰ μὴ αἱ ἀδελφαὶ αὐτοῦ τοῦτον ἁρπάσασαι, ἐν τῷ ἐμπορίῳ τῶν Λευκαδίου ἔθαψαν.

A & te rogat: corripi jussit, & in carcerem detrudi, alio interim Sacerdote ad sanctam Synaxim complendam suffecto: Ex quo timor ingens in omnium animis excitatus. Ac nisi innata morum urbanitate & humili oratione ferocientem Principem Metropolita demulsisset, magnum prorsus malum ea occasione committebatur. Is porro erat Beatus Anastasius.

Eodem etiam anno Constantinus persecutor Andream venerabilem Monachum, Calybitem dictum, ad Blachernas habitantem verberibus contusum, quod ejus impietatem, eo Valente Juniore, & Juliano vocitato, arguisset, in sancti Mamantis Circo ad Blachernas interfecit: ejus autem corpus in maris fluentum projici jusserat, sed Andreæ sorores ipsum efferentes in Leucadii emporio sepulturæ mandarunt. B

				Ῥωμαίων Κωνσταντῖνος ἔτη ι´.				
		κβ´	ι´	α´	ϛ´			

				Romæ Episc. Constantinus annis 5.				
		22	8	1	9			

Τούτῳ τῷ ἔτει ἐφάνη δοκίτης κατὰ τὴν ἕω. καὶ ἀνῃρέθη ὁ υἱὸς τῆς Φατίμας. οἱ δὲ Βούλγαροι ἐπαναστάντες ἐφόνευσαν τοὺς κυρίους αὐτῶν, τοὺς ἀπὸ σειρᾶς καταγομένους, καὶ ἔστησαν ἄνδρα κακόφρονα, ὀνόματι Τελέτζιν, ἐτῶν ὑπάρχοντα λ´. Σκλάβων δὲ πολλῶν ἐκφυγόντων προσερρύησαν τῷ βασιλεῖ, οὓς κατέστησεν ἐπὶ τὸν Ἀρτάναν. τῇ δὲ ιζ´. τοῦ Ἰουνίου μηνὸς ἐξῆλθεν ὁ βασιλεὺς ἐπὶ τὴν Θρᾴκην ἀποστείλας καὶ πλώϊμον ἐπὶ τοῦ Εὐξείνου Πόντου ἕως δισχιλίων χελανδίων ἐπιφερομένων ἀνὰ ιβ´. ἵππων. ὁ δὲ Τελέτζης ἀκούσας τὴν διὰ γῆς καὶ θαλάσσης κατ' αὐτοῦ κίνησιν, λαβὼν εἰς συμμαχίαν ἐκ τῶν προσπαρακειμένων ἐθνῶν χιλιάδας κ´. καὶ τούτους εἰς τὰ ὀχυρώματα στήσας, ἠσφαλίσατο ἑαυτόν. ὁ δὲ βασιλεὺς ἐλθὼν ἀπλήκευσεν εἰς τὸν κάμπον Ἀγχιάλου. καὶ τῇ λ´. τοῦ Ἰουνίου μηνὸς τῆς α´. ἰνδικτιῶνος, ἡμέρᾳ ε´. ἐφάνη Τελέτζης μετὰ πλήθους ἐθνῶν ἐρχόμενος, καὶ συμβαλόντες πόλεμον, κόπτουσιν ἀλλήλους ἐπὶ πολὺ· καὶ τραπεὶς Τελέτζης ἔφυγεν. ἐκράτησε δὲ ἡ μάχη ἀπὸ ὥρας ε´. καὶ πολλὰ πλήθη Βουλγάρων ἀνηλώθησαν· πολλοὶ δὲ ἐχειρώθησαν, ἄλλοι δὲ καὶ προσερρύησαν. ὁ δὲ βασιλεὺς ἀρθεὶς ἐπὶ τῇ τοιαύτῃ νίκῃ, ἐθριάμβευσε ταύτην ἐπὶ τῆς πόλεως, ἁρματωμένος σὺν τῷ στρατῷ εἰσελθὼν, εὐφημούμενος ὑπὸ τῶν δήμων, καὶ ξυλοπανδούροις σύρων τοὺς χειρωθέντας Βουλγάρους, οὓς ἔξωθεν τῆς Χρυσῆς πόρτης ἀποτμηθῆναι ἐκέλευσεν ὑπὸ τῶν πολιτῶν. τὸν δὲ Τελέτζην στασιάσαντες οἱ Βούλγαροι ἀπέκτειναν σὺν τοῖς ἄρχουσιν αὐτοῦ, καὶ ἔστησαν Σαβῖνον γαμβρὸν ὄντα Κορμεσίου τοῦ πάλαι κυρίου αὐτῶν, τοῦ δὲ Σαβίνου εὐθέως ἀποστείλαντος πρὸς τὸν βασιλέα, καὶ ζητοῦντος ποιῆσαι εἰρήνην, κομμένδον ποιήσαντες οἱ Βούλγαροι ἀντέστησαν τῷ Σαβίνῳ στεῤῥῶς, λέγοντες ὅτι διὰ σοῦ Βουλγαρία μέλλει δουλωθῆναι τοῖς Ῥωμαίοις. στάσεως δὲ γενομένης, φεύγει Σαβῖνος ἐν τῷ κάστρῳ Μεσημβρίας, καὶ

Hoc anno cometa trabis instar ad Orientem visus. Fatimæ filius e vivis sublatus. Bulgari seditione mota propriis dominis continuata unius stirpis serie potestatem hucusque adeptis, illata cæde rejectis malignæ mentis hominem nomine C Telersim annos triginta natum sibi Ducem præfecerunt. Multi propterea Sclavi patria excedentes, ad Imperatorem ultro se contulere: quos ille Artanam incolere constituit. Mensis autem Junii die decimo septimo bis millium chelandiorum equos duodecim per singula vehentium classe per Euxinum Pontum missa, Imperator Thraciam versus perrexit. Teletses terra marique adversum se pararam audiens, vicinarum nationum viginti millibus in auxilium accitis, & per munita loca distributis, ipse præsidio se inclusit. Imperator vero in Anchiali agris castra metatus est. Porro Junii die trigesimo, indictione prima, feria hebdomadis quinta, Teletses cum numerosa auxiliariorum multitudine progredi tandem visus est: D consertaque pugna, mutua utriusque partis cædes ingens edita: fusisque demum Teletsis copiis ipse fugam arripuit: duravitque pugna ab hora quinta usque ad vesperam, & maximus Bulgarorum numerus certamine illo deletus: multi capti: alii ultro ad Romanos defecerunt. Imperator prospero victoriæ successu elatus, armis omnibus cum toto exercitu instructus, Urbem triumphum ducens ingressus est: lætisque totius civitatis vocibus exceptus, Bulgaros bello captos ayolopanduris vinctos in eam invexit: eosque demum extra Chrysen portam a civibus capite truncari jussit. Bulgari autem seditione in Teletsem mota ipsum ac cuncto ejus proceres dederunt neci, Sabi- E num vero Cormesii quondam Principis generum constituerunt Ducem. Cum vero Sabinus Legatos de pace ad Imperatorem confestim destinasset, Bulgari comitiis habitis Sabino pertinaciter se opposuerunt, clamantes. Bulgaria tui causa Romanorum potestati subjicienda est. Aucto demum tumultu, Sabinus in Mesembriæ præsidium fuga se subducit, & inde ad Imperatorem se confert. Alium vero Do-

Edit. Paris. pag. 364.

nilaum nomine Paganum Bulgari creaverunt.

A προσερρύη τῷ βασιλεῖ. ἔστησαν δὲ οἱ Βούλγαροι ἕτερον κύριον ὀνόματι Παγανόν.

		23	9	2	10			

		κγ΄	θ	β΄	ι΄			

Hoc anno habitatores Deserti, Barathonisque incolæ fratres duo in Abdelam rebellionem excitaverunt: quos ille misso exercitu cum copiarum octoginta millibus extinxit. Hoc eodem anno Turci Caspiis portis egressi, plurimis per Armeniam occisis, captivorum collegerunt turmas, & domos repetierunt. Porro quidam Epiphaniæ, quæ ad Apameam Syriæ posita est, Episcopus, cognomento Comanites, Epiphaniæ civibus quod sacra vasa distraxisset, apud Theodorum Antiochiæ Patriarcham accusationem passus, pretium eorum restituendi impotens, rectæ fidei desertor factus, in Constantini sententiam adversus sanctas imagines excitatam ipse contrariæ conscius transiit: Eum communibus calculis Theodorus Antiochiæ, Theodorus alter Hierosolymorum, Cosmas Alexandriæ Patriarchæ cum suffraganeis Episcopis die sanctæ Pentecostes sacrosancti Evangelii lectione peracta, in propria sede singuli concordibus animis ac vocibus anathemati subjecere.

Edit. Paris. pag. 365.

Eodem pariter anno a mensis Octobris exordio frigus ingens & asperrimum non in hac modo regione, sed & per Orientem, Septentrionem, & Occidentis plagam incubuit: adeo ut in Borealibus Ponti maritimis mare ad centum millia in longum, in profundum vero cubitus triginta præ frigore in lapidis duritiem concreverit: quod etiam in toto illo terrarum tractu, qui a Zecchia usque ad Danubium, & Cuphem fluvium, & Danastrim, & Danaprim, & Necropylas, reliquumque littus usque ad Mesembriam & Mediam interjacet, obtinuit. Hujusmodi vero glacies copiosa deinde nive cooperta, ad alios viginti cubitos excrevit: adeo ut mare solidæ continenti quam simillimum, ad Chazariæ, Bulgariæ, cæterarumque nationum adjacentium fines tutum iter hominum animaliumque quum sylvestrium tum domesticorum pedibus præbuerit. Indictionis autem secundæ mense Februario, glacies hujusmodi Dei jussu in multa ac varia frusta montium speciem referentia disrupta est, quæ ventorum vi ad Daphnusiam & Hierum delata, inde per Ponti fauces in Urbem delata & ad Propontidis terminos, insularum & Abydi maritimas omnes oras, cujus de visu testes extitimus, implevit. In unum quippe illius fragmentum quasi triginta ætatis ejusdem juvenes ludibundi ascendimus. Erant autem in fragmentis istis congesta ferarum domesticorumque animalium cadavera. A Sophianorum fane portu ad Urbem usque, & a Chrysopoli usque ad sancti Mamantis & Galatæ littus qui voluisset sicco pede & absque difficultate velut per solidam terram gradiebatur. Unum porro ex istis ad Acropoleos scalam allisum eam confregit. Aliud horrendum certe ac ingens ad murum cum impetu appellens, adeo valide concussit, ut commotionis tremorem, qui interius habitabant, experirentur. Illud demum in tres divisum partes a Manganis ad Bosphorum Urbem circumcinxit: cum alioquin ejus esset magnitudinis quæ Urbis muros superaret. Cuncti autem Urbis incolæ quum viri tum mulieres spectaculis istius-

Τούτῳ τῷ ἔτει ἀντῆραν οἱ τῆς ἐρήμου καὶ τοῦ Βαραθῶν τῷ Ἀβδελᾷ δύο ἀδελφοί, οὓς ἀποστείλας ἀνεῖλε σὺν χιλιάσι π΄. στρατοῦ. τῷ δ' αὐτῷ ἔτει ἐξῆλθον Τοῦρκοι ἐκ τῶν Κασπίων πυλῶν, καὶ ἀνεῖλον πολλοὺς εἰς Ἀρμενίαν, καὶ ἔλαβον αἰχμαλωσίαν πολλήν, καὶ ὑπέστρεψαν. Κοσμᾶς δέ τις ἐπίσκοπος Ἐπιφανείας τῆς κατὰ Ἀπάμειαν τῆς Συρίας, Κομανίτης ἐπιλεγόμενος, τῶν πολιτῶν Ἐπι-B φανείας πρὸς Θεόδωρον Πατριάρχην Ἀντιοχείας ἔγκλησιν ποιησαμένων κατὰ τοῦ αὐτοῦ Κοσμᾶ περὶ μειώσεως ἱερῶν, καὶ αὐτοῦ μὴ δυναμένου ταῦτα συστῆσαι, ἀπέστη τῆς ὀρθοδόξου πίστεως, καὶ ὁμόφρων τῆς αἱρέσεως Κωνσταντίνου κατὰ τῶν ἁγίων εἰκόνων γέγονεν. ὃν κοινῇ γνώμῃ Θεόδωρος ὁ Πατριάρχης Ἀντιοχείας, καὶ Θεόδωρος ὁ Ἱεροσολύμων, καὶ Κοσμᾶς ὁ Ἀλεξανδρείας σὺν τοῖς ὑπ' αὐτοὺς ἐπισκόποις τῇ ἡμέρᾳ τῆς ἁγίας Πεντηκοστῆς μετὰ τὴν ἀνάγνωσιν τοῦ ἁγίου εὐαγγελίου ὁμοφρόνως ἀνεθεμάτισαν, ἕκαστος κατὰ τὴν ἑαυτοῦ πόλιν.

Τῷ δ' αὐτῷ ἔτει ἀπ' ἀρχῆς τοῦ Ὀκτωβρίου μηνὸς γέγονε κρύος μέγα καὶ πικρότατον, οὐ κατὰ τὴν C ἡμετέραν γῆν μόνον, ἀλλὰ καὶ κατὰ τὴν ἀνατολήν, καὶ ἄρκτον, καὶ δύσιν· ὥστε τὴν ἀρκτῴαν τοῦ πόντου παραλίαν ἐπὶ ἑκατὸν μίλια τὸ πέλαγος ἀπολιθωθῆναι ἐκ τοῦ κρύους ἐπὶ τριάκοντα πήχεις τὸ βάθος. καὶ ἀπὸ Ζηκχίας μέχρι τοῦ Δανουβίου, καὶ τοῦ Κούφη ποταμοῦ καὶ τοῦ Δάναστρί τε, καὶ Δάναπρι, καὶ τῶν Νεκροπυλῶν, καὶ τῆς λοιπῆς ἀκτῆς, μέχρι Μεσημβρίας καὶ Μηδίας ὅμοια πεπονθότων. τοῦ δὲ τοιούτου πάγους ἐπιχιονισθέντος ηὐξήθη ἐπ' ἄλλας εἴκοσι πήχεις. ὥστε συμμορφωθῆναι τὴν θάλασσαν τῇ ξηρᾷ, καὶ πεζοβατεῖσθαι ὑπεράνω τοῦ κρύους, ἀπό τε Χαζαρίας, Βουλγαρίας, καὶ τῶν λοιπῶν παρακειμένων ἐθνῶν, παρά τε ἀνθρώπων, ἀγρίων τε, καὶ ἡμέ-D ρων ζώων. τῷ δὲ Φεβρουαρίῳ μηνὶ τῆς β΄. ἰνδικτιῶνος τοῦ τοιούτου πάγους κατὰ Θεοῦ κέλευσιν εἰς πλεῖστα καὶ διάφορα ὀροφανῆ τμήματα διαιρεθέντος, καὶ τῇ τῶν ἀνέμων βίᾳ ἐπὶ Δαφνουσίαν, καὶ τὸ Ἱερὸν διενεχθέντος, οὕτω διὰ τοῦ στενοῦ ἐπὶ τὴν πόλιν ἔφθασαν μέχρι τῆς Προποντίδος, καὶ τῶν νήσων, καὶ Ἀβύδου, πᾶσαν τὴν παραλίαν ἀκτὴν ἐπλήρωσαν, ὧν αὐτόπται ἡμεῖς γεγόναμεν ἐπιβάντες ἐπὶ ἑνὸς αὐτῶν σὺν καὶ νέοις ὁμήλιξι λ΄. καὶ παίζοντες ἐπάνω αὐτοῦ. εἶχον δὲ καὶ ζῶα ἄγρια τε, καὶ ἥμερα τεθνεῶτα. πᾶς δὲ ὁ βουλόμενος ἀπὸ Σοφιανῶν ἕως τῆς πόλεως, καὶ ἀπὸ τῆς Χρυσοπόλεως ἕως τοῦ ἁγίου Μάμαντος, καὶ τῶν Γαλάτου ἀκωλύτως διὰ ξηρᾶς ἐβάδιζον. ἓν δὲ ἐξ αὐτῶν προσραγὲν τῇ τῆς ἀκρο-E πόλεως σκάλᾳ συνέτριψεν αὐτήν. ἕτερον δὲ παμμέγεθες τῷ τείχει προσραγέν, τοῦτο μεγάλως ἐδόνησεν, ὡς καὶ τοὺς ἔνδοθεν οἰκοῦντας συμμετασχεῖν τοῦ σάλου. εἰς τρία δὲ διαρραγὲν ἔζωσε τὴν πόλιν ἀπὸ τῶν Μαγγάνων ἕως τοῦ Βοσφόρου, οὗ τινος τὸ ὕψος ὑπερεῖχε τῆς πόλεως τὰ τείχη· πάντες δὲ οἱ τῆς πόλεως ἄνδρες τε, καὶ γυναῖκες ἀδιαλείπτως τῇ

θέᾳ τούτων προσκαρτέρουν, καὶ μετὰ θρήνων, καὶ A δακρύων οἴκοι ἀνέκαμπτον, ἀποροῦντες τί εἴπειν πρὸς τοῦτο. τῷ δ' αὐτῷ ἔτει μηνὶ Μαρτίῳ ἀστέρες ἐκ τοῦ οὐρανοῦ πίπτοντες ὤφθησαν, ὡς πάντας τοὺς ὁρῶντας τὴν τοῦ παρόντος αἰῶνος ὑπολαμβάνειν εἶναι συντέλειαν· αὐχμός τε πολὺς γέγονεν, ὡς ξηρανθῆναι καὶ πηγάς. ἀγαγὼν δὲ ὁ βασιλεὺς τὸν Πατριάρχην λέγει αὐτῷ· ἄρτι τί ἡμᾶς βλάπτει, ἐὰν λέγωμεν τὴν Θεοτόκον, Χριστοτόκον; ὁ δὲ περιπτυξάμενος αὐτὸν λέγει. Ελέησον, Δέσποτα, μηδὲ εἰς ἔννοιάν σου ἔλθῃ οὗτος ὁ λόγος· οὐχ ὁρᾷς ὅσα σαλπίζεται, καὶ ἀναθεματίζεται Νεστόριος ὑπὸ πάσας τὰς ἐκκλησίας; καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπεν. ἐγὼ μαθεῖν θέλων ἠρώτησα· ἕως B σέ σου ὁ λόγος.

Κόσμου ἔτη ,ϛσνϛ΄.	Τῆς θείας σαρκ. ἔτ. ψνϛ΄.	Ῥωμ. βασιλ. Κωνσταντίνου ἔτη λε΄.	Ἀράβ. ἀρχηγ. Ἀβδελᾶς ἔτη κβ΄.	Ῥωμ. ἐπισκ. Κωνσταντίνου ἔτη ε΄.	Κωνσ. ἐπισκ. Κωνσταντίνου ἔτη ιβ΄			
		κδ΄	ι΄	γ΄	ια΄			

modi diutissime detenti, mox in gemitus & lachrymas soluti domos repetebant, quid vero de istis sentirent, prorsus ambigebant. Ejusdem quoque anni mense Martio stellæ quasi e cælo decidere visæ sunt: adeo ut cuncti portentorum hujusmodi spectatores effecti sæculi præsentis consummationem advenisse conjectarent. Siccitas subinde & ventorum ariditas talis incubuit, ut fontes ipsi exaruerint. Cæterum Imperator Patriarcham ad se accersitum ita alloquitur. Si Dei genitricem, Christi matrem asseruerimus, quid inde mali portendetur? Ille Imperatorem complexus: Miserere Domine, inquit: nec mentem tuam cogitatus hujusmodi umquam subeat. An non vides quam diffamatus & execrandus per universam Ecclesiam habetur Nestorius? Ad hæc Imperator: Discendi cupidus, ait, quæstionem proposui: apud te secretum hoc nulli revelandum permaneat

Edit. Paris. pag. 366.

Anni mundi 6256.	Divinæ Incarn. an. 756.	Imp. Rom. Constant. annis 35.	Alabum Dux Abdelas annis 22.	Romæ Episc. Constant. annis 5.	Constant. Episc. Constant. annis 12.			
		24	10	3	11			

Τούτῳ τῷ ἔτει ἐπῆλθον πάλιν οἱ Τοῦρκοι ἐπὶ τὰς Κασπίας πύλας, καὶ εἰς Ἰβηρίαν· καὶ πολεμήσαντες μετὰ τῶν Ἀράβων, καὶ ἐξ ἀμφοτέρων ἀπώλοντο πολλοί. ὁ δὲ Ἀβδελᾶς πανουργίᾳ τοιαύτῃ καθεῖλε τὴν ἀρχὴν τοῦ Ἰσσειβιμουσαί, εἰς ὃν ὡς ἀνωτέρω εἴρηται, ὁ τρίτος κλῆρος τοῦ κρατεῖν μετ' αὐτὸν ἔπεσε. κεφαλαλγούμενον γὰρ ἡμικρανικῶς ὁρῶν, καὶ σκοτοματικῶς πληρούμενον, πείθει θεραπευθήσεσθαι μέλλειν εἰ ταῖς ῥισὶν ἐμφυσηθῇ πταρμικῷ τινὶ κατασκευαζομένῳ τῷ αὐτοῦ ἰατρῷ, Μωσεῖ τινὶ τοὔνομα, Διακόνῳ τῆς Ἀντιοχέων ἐκκλησίας· ὃν ἤδη δωρεαῖς ἦν πεπεικὼς δριμύτατον κατασκευάσαι φάρμακον, μετὰ τοῦ καὶ ναρκῶδες εἶναι σφόδρα. καὶ δὴ πεισθεὶς ὁ αὐτὸς εἶξε τῷ Ἀβδελᾷ, καίπερ ἀσφαλιζόμενος τοῦ συμφαγεῖν αὐτῷ διὰ τὴν ἐπιβουλὴν, ἐδέξατο διάρινον. καὶ πληρωθεὶς περὶ τὴν κεφαλὴν πάσας τὰς αἰσθήσεις, * μετὰ τῶν ἡγεμονικῶν ἐνεργειῶν στερηθεὶς, ἄφωνος προέκειτο. προσκαλεσάμενος δὲ τοὺς ἡγεμόνας καὶ προύχοντας τοῦ γένους ὁ Ἀβδελᾶς, ἔφη. τί ὑμῖν δοκεῖ, περὶ τοῦ μελλοβασιλέως ὑμῶν; οἱ δὲ ὁμοφρόνως ἀρνησάμενοι αὐτὸν, δεξιὰς ἔδωκαν τῷ υἱῷ τοῦ αὐτοῦ Ἀβδελᾶ, Μονὰμ δὲ τῷ ἐπικληθέντι Μαδί. τὸν δὲ Ἰσαὰ ἀναίσθητον μετήνεγκαν οἴκαδε. τοῦτον δὲ μετὰ τρίτην ἡμέραν ἀναλαβόμενον, ἀπολογίαις ἐπιπλείσταις παραμυθήσατο. ταλάντοις χρυσίου ρ΄ τὴν ὕβριν ἀνταμειψάμενος.

* Redundat

Τῷ δ' αὐτῷ ἔτει ἀπέστειλε Παγανὸς ὁ κύριος Βουλγαρίας πρὸς τὸν βασιλέα, αἰτούμενος συνοψισθῆναι αὐτῷ, καὶ λαβὼν λόγον, ἐξῆλθε πρὸς αὐτὸν μετὰ τῶν Βοιλάδων αὐτοῦ, καὶ καθεσθέντος τοῦ βασιλέως, καὶ τοῦ Σαβίνου συγκαθεζομένου καὶ αὐτοῦ, ἐδέξατο αὐτούς. καὶ ὠνείδισατο τὴν ἀταξίαν αὐτῶν, καὶ τὸ κατὰ Σαβίνου μῖσος. καὶ ἐποίησαν, τὸ δοκεῖν, εἰρη-

Theophanis Chron.

Hoc anno Turci in Caspias portas & Iberiam irruptionem secundam fecerunt, pugnaque cum Arabibus conserta, ex C utraque parte cecidere non pauci. Porro Abdelas Iseibi Musæ, in quem, ut superius enarratum est, imperandi sors tertio ordine devolvebatur, principatu hac arte defraudavit. Cum enim eum Hemicranico ac vertiginoso capitis dolore laborare videret, ipsum sanatum iri persuasit, si in nares ejus insufflaretur medicamentum sternutamenta movens, confectum a quodam suo medico, Moyse nomine, Antiochenæ Ecclesiæ Diacono, quem jam ante ipse Abdelas muneribus corruperat, ut nimirum medicamentum violentum simul ac soporiferum præpararet. I. facile persuasus, morem Abdelæ gerit: ac licet ab insidiis cavens a conviviis quoque cum eo ineundis sibi temperandum putaret, hausit tamen naribus medicamentum. D Confestim vero capitis gravedine laborans ac sensibus occupatis turbatus, rationis etiam functionibus & principis partis ductu privatur, & exanimis jacebat. Abdelas subinde Ducibus & generis proceribus convocatis, ipse ceu frater eorum sententiam rogat. Quid vobis de futuro rege vestro videtur? Eo vero communibus suffragiis repudiato, Monam, cognomento Madi, Abdelæ filio, dextras & fidem dederunt: Isæ autem sensibus orbatum domum retulerunt: eumdemque tertium post diem reparatis sensibus & mente restituta bene valentem multis excusationum modis Abdelas placare contendit, & illatam injuriam talentis auri centum compensare.

pag. 367.

E Eodem etiam anno Paganus Bulgarorum dominus missis ad Imperatorem Legatis, ad colloquium & mutuum cum eo conspectum venire postulavit: & accepta fide, ipse cum suis Boiladis & optimatibus ad Imperatorem se contulit. Imperator autem sede sua recubans, Sabino ipsi pariter assidente, advenientes excepit. Tum rebellione, & quod in Sabinum conceperant, odio exprobrato, simulatam

pacem cum eis composuit. Missis porro latenter in Bulgariam militibus, Severum Sclavinum optimatem multorum pridem in Thracia malorum auctorem in potestatem recepit. Comprehensus est etiam Christinus Apostata fidei conspurcator, & inter prædones dictos Scamares antesignanus, qui in portus S. Thomæ mole præcisis manibus & pedibus accitis medicis commissus est, & a pube ad thoracem ab eis dissectus conspiciendæ humani corporis compositioni novum exhibuit spectaculum: ac demum in ignem conjectus est. Postmodum Imperator Urbe inexpectato egressus, Clusuras custodia destitutas, ob fraudulentæ pacis speciem reperiens, in Bulgariam Tunzas usque penetravit. Tum igne caulis & tuguriis forte repertis subjecto, nulla re præclare gesta, sed subito metu correptus CP. remeavit.

ειω. καὶ ἀποστείλας ὁ βασιλεὺς λάθρα εἰς Βουλγαρίαν ἐπίασε τὸν Σέβερον ἄρχοντα Σκλαβινῶν τὸν πολλὰ κακὰ ἐν τῇ Θρᾴκῃ ποιήσαντα, κατεσχέθη δὲ καὶ Χριστῖνος ἀπὸ Χριστιανῶν μαγαρίτης, καὶ πρῶτος τῶν Σκαμάρων, ὃν ἐν τῷ μόλῳ τοῦ ἁγίου Θωμᾶ χειροκοπήσαντες καὶ ποδοκοπήσαντες, ἐνέγκαντες τοὺς ἰατροὺς, καὶ τοῦτον ἀνατεμόντες ζῶντα ἀπὸ ἥβης ἕως τοῦ θώρακος πρὸς τὸ κατανοῆσαι τὴν τοῦ ἀνθρώπου κατασκευήν. καὶ οὕτως αὐτὸν τῷ πυρὶ παρέδωκαν· ἄφνω δὲ ὁ βασιλεὺς ἐξελθὼν τῆς πόλεως, καὶ ἀφυλάκτους εὑρὼν τὰς κλεισούρας, διὰ τὴν ἀπατηλὴν εἰρήνην, εἰσῆλθεν εἰς Βουλγαρίαν ἕως Τουύζας. καὶ βαλὼν πῦρ εἰς τὰς αὐλὰς ἃς εὗρε, μετὰ φόβου ὑπέστρεψε, μηδὲν γενναῖον ποιήσας.

| | | 25 | 21 | 4 | 12 | | | |

| | | κε | κα' | δ' | ιβ' | | |

Hoc anno mensis Novembris die vigesimo, indictione quarta, impius & irreligiosus Imperator adversus omnem, qui Dei timorem præ se ferret, furiis invectus, Stephanum juniorem Protomartyrem Inclusum ad sanctum Auxentium (is locus est ad montem Damatry vicinum) ad supplicium trahi jussit. Eum itaque pedem unum rudente alligatum, quod plerosque ad Monasticam vitam esset hortatus, & aulæ dignitates divitiasque contemnere suasisset, a Prætorio usque ad Pelagii monumenta, Scholarii cæterorumque ordinum milites, imo potius hostes, qui Constantini erroris, sensus, & imperitiæ participes fuerant effecti, tractum laceraverunt, & venerandas ejus reliquias membratim concisas in violenta morte sublatorum foveam projecerunt. Vir sane cunctis pretio fuit & honori, qui annos sexaginta in Clausura exegit, & virtutibus innumeris claruit. Procerum autem & militum non paucos imagines adorasse accusatos variis tormentis & acerbissimis suppliciis Imperator subjecit. Istud porro juramentum, quod generale fuit, ab omnibus imperio subditis exegit, ne quisquam imagini venerationem exhiberet: postmodum vero ipsum Constantinum falsi nominis Patriarcham ambonem conscendere & veneranda vivificaque ligna manibus tollentem, e numero eorum qui venerarentur imagines se nusquam existere, jurare compulit: ac confestim ex Monacho nuptiales coronas gestare, carnes delibare, & in Regia mensa cytharœdorum vocibus aures præbere persuasit. Sed non multo post divina vindicta hunc in manus Constantini sanguinarii homicidæ tradidit. Cæterum Januarii mensis die vigesimo primo indictione quarta, Imperator bello in Bulgaros moto, chelandiorum bis millia sexcenta Anchialum misit, copiis thematum omnium iis impositis. Cum autem littora navigando semper legerent, Boreali vento flante, cuncta paucis exceptis confracta sunt. Immensus sane suffocatorum numerus extitit: Cadaveribus autem colligendis uncos ferreos demisit Imperator, & mortuos undis extractos funereis honoribus prosequutus est. Mensis subinde Julii die decimo septimo nullo stipatus apparatu in Urbem rediit. Ejusdem porro indictionis quartæ mensis Augusti die vigesimo primo Monasticum habitum & institutum publice traduxit in Circo, & contemnendum oculis omnium

Edit. Paris. pag. 368.

Τούτῳ τῷ ἔτει τῇ κ΄. τοῦ Νοεμβρίου μηνὸς ἰνδικτ. δ΄. ἐμμανὴς γενόμενος ὁ δυσσεβὴς καὶ ἀνόσιος βασιλεὺς κατὰ παντὸς φοβουμένου τὸν Θεὸν, Στέφανον τὸν νέον Πρωτομάρτυρα συρθῆναι προσέταξεν Ἔγκλειστον ὄντα εἰς τὸν ἅγιον Αὐξέντιον εἰς τὸ πλησίον ὄρος τοῦ Δαματρύ· ὃν λαβόντες οἱ τῆς ἀπαιδευσίας αὐτοῦ μετέχοντες ἐχθροὶ, καὶ ὁμόφρονες αὐτῷ γεγονότες, Σχολάριοί τε, καὶ τῶν λοιπῶν ταγμάτων, καλωδίῳ δήσαντες αὐτοῦ τὸν πόδα, εἷλκον αὐτὸν ἀπὸ τοῦ Πραιτωρίου ἕως τῶν Πελαγίου, ἔνθα καὶ διασπάσαντες, ἔρριψαν τὰ τίμια αὐτοῦ λείψανα ἐν τῷ τῶν βιοθανάτων λάκκῳ, ὡς πολλοὺς νουθετοῦντα πρὸς τὸν μονήρη βίον, καὶ καταφρονεῖν πείθοντα τῶν βασιλικῶν ἀξιωμάτων, καὶ χρημάτων. αἰδέσιμος γὰρ ὁ ἀνὴρ ὑπῆρχε, διὰ τὸ ἑξήκοντα χρόνους αὐτὸν ποιῆσαι ἐν τῇ Ἐγκλείστρᾳ, καὶ ἀρεταῖς πολλαῖς διαλάμπειν· πολλῶν τε ἀρχόντων καὶ στρατιωτῶν διαβληθέντων προσκυνεῖν εἰκόνας διαφόροις τιμωρίαις, καὶ πικροτάταις αἰκίαις τούτους παρέδωκεν. ὅρκον δὲ καθολικὸν πάντας τοὺς ὑπὸ τὴν αὐτοῦ βασιλείαν ἀπῄτησεν εἰκόνι μὴ προσκυνῆσαί τινα, μεθ' ὃν καὶ Κωνσταντῖνον τὸν ψευδώνυμον Πατριάρχην ἐπὶ ἄμβωνος ἀνελθεῖν, καὶ ὑψώσαντα τὰ τίμια καὶ ζωοποιὰ ξύλα ὀμόσαι πεποίηκεν, ὡς οὐκ ἔστι τῶν προσκυνούντων τὰς εἰκόνας· καὶ τοῦτον παραυτὰ Στεφανίτην ἀντὶ μοναχοῦ ἔπεισε γενέσθαι, καὶ κρεῶν μεταλαμβάνειν, καὶ κιθαρῳδιῶν ἀνέχεσθαι ἐν τῇ βασιλικῇ τραπέζῃ. ἀλλ' οὐκ εἰς μακρὰν ἡ δίκη τοῦτον ταῖς τοῦ μιαιφόνου παρέδωκε χερσί. τῇ δὲ κα΄. τοῦ Ἰανουαρίου μηνὸς τῆς δ΄. ἰνδικτιῶνος ἐκίνησε κατὰ Βουλγάρων, καὶ ἀπέστειλεν εἰς Ἀγχίαλον δισχίλια ἑξακόσια χελάνδια, ἐξοπλίσας αὐτὰ ἐκ πάντων τῶν θεμάτων. τούτων δὲ ἐν ταῖς ἀκταῖς προσορμισθέντων, καὶ τοῦ βορρᾶ πνεύσαντος συνετρίβησαν μικροῦ δεῖν ἅπαντα· καὶ ἐπνίγη λαὸς πολὺς, ὥστε τὸν βασιλέα γρίποις ἐκτείνειν, καὶ τοὺς νεκροὺς ἀναλέγεσθαι, καὶ θάπτειν. καὶ τῇ ιζ΄. τοῦ Ἰουλίου μηνὸς εἰσῆλθεν ἀδόξως ἐν τῇ πόλει. καὶ τῇ κα΄. τοῦ Αὐγούστου μηνὸς τῆς αὐτῆς δ΄. ἰνδικτιῶνος ἐστηλίτευσε καὶ ἠτίμασε τὸ σχῆμα τῶν μοναχῶν ἐπὶ τοῦ ἱπποδρομίου, παρακελευσάμενος ἕνα ἕκαστον αὐ-

τὴν κρατεῖν γυναῖκα τῇ χειρὶ, καὶ οὕτω παρελθεῖν αὐτοὺς τὸ ἱπποδρόμιον, ἐμπτυομένους, καὶ ὑβριζομένους ὑπὸ παντὸς τοῦ λαοῦ. ὁμοίως καὶ τῇ κε'. τοῦ αὐτοῦ μηνὸς ἤχθησαν ἐπὶ ἱπποδρομίας ἐπίσημοι ἄρχοντες ιθ'. καὶ ἐπόμπευσαν, ὡς κατὰ τοῦ βασιλέως πονηρὰ βουλευσάμενοι, συκοφαντηθέντες ἐν ἀληθείᾳ, ἀλλὰ φθονῶν αὐτοῖς διὰ τὸ εἶναι αὐτοὺς εὐειδεῖς, καὶ ῥωμαλαίους, καὶ παρὰ πάντων ἐπαινουμένους· τινὰς δὲ αὐτῶν καὶ δι' εὐλάβειαν, καὶ ὡς εἰς τὸν προῤῥηθέντα Ἔγκλειστον ἀπερχομένους, καὶ τὰ πάθη αὐτοῦ θριαμβεύοντας, οὓς καὶ ἀπέκτεινεν, ὧν εἰσὶν οἱ ἀριστεύοντες α'. Κωνσταντῖνος Πατρίκιος καὶ Λογοθέτης τοῦ δρόμου γενόμενος, ὃν ἐπωνόμασε Ποδοπάγουρον. β'. ὁ τούτου ἀδελφὸς Στρατήγιος Πατρίκιος, καὶ Δομέστικος τῶν Ἐξσκουβιτόρων. γ'. Ἀντίοχος ὁ τοῦ δρόμου γεγονὼς Λογοθέτης, καὶ στρατηγὸς Σικελίας. δ'. Δαβὶδ Σπαθάριος κατὰ τὸν Βησήρ, καὶ Κόμης τοῦ Ὀψικίου. ε'. Θεοφύλακτος ὁ Ἰκονιάτης Πρωτοσπαθάριος, καὶ στρατηγὸς τῆς Θρᾴκης. ς'. Χριστοφόρος ὁ κατὰ τὸν Πατρίκιον Ἱμέριον Σπαθάριος. ζ'. Κωνσταντῖνος Σπαθάριος καὶ βασιλικὸς Πρωτοστράτωρ, ὁ υἱὸς τοῦ Πατρικίου Βαρδάνους. η'. Θεοφύλακτος Κανδιδάτος ὁ κατὰ τὸν Μαρινάκιον, καὶ ἕτεροι. Τούτους ἐπὶ τῆς ἱπποδρομίας στηλιτεύσας, καὶ ὑπὸ παντὸς τοῦ λαοῦ ἐμπτυσθῆναι καὶ ἀνασκαφθῆναι ποιήσας, ἔδωκεν ἀπόφασιν. καὶ τοὺς μὲν δύο ἀδελφοὺς Κωνσταντῖνον, φημὶ, καὶ Στρατήγιον ἐν τῷ Κυνηγίῳ ἀπεκεφάλισε, πολλοῦ θρήνου γενομένου ἐπ' αὐτοῖς ἐπὶ παντὶ τῷ λαῷ. ὥστε μαθόντα τοῦτο τὸν βασιλέα ἀγανακτῆσαι, καὶ τὸν Ὕπαρχον Προκόπιον τύψασθαι καὶ διαδέξασθαι, ὡς τοῦτο καταδεξάμενον. τοὺς δὲ λοιποὺς πάντας τυφλώσας ἐξώρισεν, οὓς καὶ καθ' ἕκαστον ἔτος ἀποστέλλων ὁ ἀπονοίας ἀνάμεστος ἐν οἷς ὑπῆρχον τόποις ἀνὰ ἑκατὸν βουνεύρων ἐκέλευσε τύπτεσθαι. τῇ δὲ λ'. τοῦ αὐτοῦ Αὐγούστου μηνὸς τῆς αὐτῆς ἰνδικτιῶνος ἐμάνη ὁ δυσώνυμος κατὰ τοῦ συνωνύμου αὐτοῦ καὶ σύμφρονος Πατριάρχου· καὶ εὑρὼν τινὰς μοναχούς τε κληρικοὺς καὶ λαϊκοὺς μύστας αὐτοῦ φίλους παρεσκεύασεν εἰπεῖν αὐτούς. ὅτι ἠκούσαμεν τοῦ Πατριάρχου λαλοῦντος μετὰ τοῦ Ποδομαγούλου κατὰ τοῦ βασιλέως, καὶ ἀπέστειλεν αὐτοὺς πρὸς αὐτὸν ἐν τῷ Πατριαρχείῳ, ἵνα ἐλέγξωσιν αὐτόν. ἐν δὲ τῷ ἐκεῖνον ἀρνεῖσθαι ἐποίησεν αὐτοὺς ὀμόσαι εἰς τὰ τίμια ξύλα· ὅτι ἐκ τοῦ Πατριάρχου ἠκούσαμεν τὰς λοιδορίας ταύτας. ἐν τούτοις οὖν ἀποστείλας ἐβούλλωσε τὸ Πατριαρχεῖον· καὶ τοῦτον ἐξώρισεν ἐν τῇ Ἱερείᾳ, καὶ πάλιν ἐν τῇ Πριγκίπῳ.

* Κωνσταντῖνος

					ΚΠ. ἐπίσκ. Οἰκουμ. ἔτη ιδ'			
		κε'	ιβ'	ε'	α'			

Τούτῳ τῷ ἔτει Ἀβδελᾶς Ἰβιναλὶ τέθνηκε, πεσόντος ἐπ' αὐτῷ τοῦ πύργου, ἐν ᾧ ἐφρουρεῖτο. ὁ δὲ Ἀβδελᾶς ἀμηρεύων πολλὰ κακὰ τοῖς ὑπὸ τῶν

A exposuit. Monachorum etenim singulos muliere manu apprehensa Circi spatium obire, atque ita totius spectantis populi sputis & ludibriis permissos obambulare præcepit. Mensis pariter ejusdem die vigesimo quinto ex spectatissimis proceribus novemdecim numero in Circum ducti ignominiosa pompa circumacti sunt, quasi mala consilia in Imperatorem iniissent: quæ quidem mera calumnia erat, cum re vera Imperator vultus elegantiam & corporis robur, veras affectus & laudis illecebras, ipsis invideret. Atenim in eosum nonnullos etiam eorum pietate, quod apud præfatum Inclusum frequentius convenissent, ac ejus in tormentis tolerantiam ac triumphos encomiis celebrassent, exasperatus sævit, & mortis reos egit: In-B ter quos insignes sunt isti. Primus Constantinus Patricius & publici cursus quondam Logotheta, quem Podopagurum cognominavit. Secundus, ejus frater Strategius Patricius, & Excubitorum Domesticus. Tertius, Antiochus, qui cursus etiam Logothetæ, & Siciliæ Ducis munus gessit. Quartus, Spatharius ad Beser missus, & Opsicii Comes. Quintus, Theophylactus Iconiensis Protospatharius, & Thraciæ Dux. Sextus, Christophorus, Himero Patricio Spatharius assignatus. Septimus, Constantinus Spatharius, & Imperatorius Protostrator, Bardanis Patricii filius. Octavus, Theophylactus Candidatus Marinaci deputatus; & alii. Istos omnes per Circum ignominiose traductos & ab universo populo sputis & maledictis impeti C jussos mortis damnavit sententia. Ac fratres quidem duos Constantinum, dico, & Strategium, populo lethum eorum multo luctu prosequente, in Cynegio capite truncavit. Enarratis populi lachrymis Imperator indignatus Procopium Præfectum, quod rem tolerasset, verberibus mulctavit, & successore suffecto Magistratu abrogavit. Reliquos omnes effossis oculis in exilium ejecit: eosdemque missis per annos singulos ministris, in locis quibus relegati consistebant, singulos singulis taureorum centenis plagis verberari væsania redundans jubebat. Mensis autem Augusti die tricesimo eademque indictione, in cognominem ipsi & ejusdem sententiæ consortem Constantinum ipse nominis putid. homo furiis invectus est, quibusdam D Monachis, Clericisque, nec non Laicis, quos magis fidos Patriarchæ amicos putabat, inventis & inductis, qui dicerent: Audivimus Patriarcham adversus Imperatorem cum Podomagulo loquentem. Mox eos criminis illum convicturos in Patriarchæ ædes summisit. Ille crimen admissum negans, ut illud in veneranda ligna jurati assererent, eos compulit: affirmaruntque: Ejusmodi convitia ex Patriarchæ ore audivimus. Missis igitur qui Patriarchales ædes regio sigillo obsignarent, ipsum Patriarcham primum Hieriam, tum in Principum insulam exulem deportari sanxit.

Edit. Parif. pag. 369.

E

					CP. Episc. Nicetas annis 14.			
		26	12	5	1			

Hoc anno Abdelas Ibinali turre, in qua custodiebatur, corruente extinctus est. Porro Abdelas Ameratum gerens Chri-

stianis imperio subjectis multa mala intulit. Crucibus enim Ecclesiarum fastigio superpositis deponi jussis, nocturnos conventus celebrare, & litteras doceri prohibuit. Arurita porro, intellige Zelotas, seditionem ad Palmyrenum desertum inter eos excitarunt. Et illorum quidem, ceu a fide alienorum, in Dei Ecclesias odium manifestum. Imperatoris vero secreto Dei judicio Christianis præpositi, furentis quondam apud Israelitas Achab omnino similis insaniæ, Arabes longe superans rabies crudeliora in Orthodoxos Episcopos, Monachos, & Populares, necnon in Optimates ac inferiores sibi subditos exercuit supplicia. Preces ad sanctam virginem Dei genitricem, & omnes sanctos tum scriptis tum mente conceptas, ex quibus auxilium omne nobis scaturit, tamquam inutiles, ex omni loco eliminavit: Sanctorum quoque reliquias ad animarum corporumque curandam salutem repositas, & pro Christiano more ab iis qui pietatem colunt, in pretio habitas, ubi cujuslibet sancti audirentur, ipse e sacris loculis effodit, & ne uspiam amplius extarent, penitus abolevit. In eos itaque qui venerarentur velut in impios, bonorum proscriptiones, exilia, supplicia comminabatur. Ubicumque reliquiæ Dei quam maxime favorem conciliantes, tamquam pretiosus possidentium thesaurus, habebantur, eas quam citius de reliquo non videndas e medio tollebat. Quippiam hujusmodi in pretiosissimum celeberrimæ Martyris Euphemiæ corpus irreligiosus Imperator exercuit, ubi nimirum illud in maris profundum cum ipso loculo demersit, Martyrem sub Christianæ plebis conspectum sanctis unguentis exsudantem videre, ac ita deliria contra sanctorum preces deblaterata coarguentem non ferens. Deus autem, qui, ex Scripturæ verbis, ossa sibi placitorum custodit, illæsum illud servavit, ipsum ad Lemnum insulam enatare faciens. Ad littus quippe projectum per nocturnam visionem tolli commonuit, & occultum teneri. Sub pientissimis vero Impp. Constantino & Irene, indictione quarta, cum debito honore in proprium sibi templum denuo relatum fuit. Iste quidem communis Ecclesiarum hostis æde illa sacra prophanata, armamentorum fecerat, & stercoribus excipiendis male dicaverat: locum autem expurgatum & expiatum denuo Ecclesiam consecraverunt; cum arguendæ Constantini unius impietatis, tum alterius in Deum religionis demonstrandæ monimentum. Hoc porro mirandum & relatu dignum portentum a morte nefarii istius Imperatoris circa annos duos & viginti una cum pientissimis Impp. & sanctissimo Patriarcha nos ipsi conspeximus, & quamvis indigni, ea tamen gratia a Deo cumulati, illud venerati sumus. Cæterum mensis Novembris die decimo sexto ejusdem quintæ indictionis Nicetas a Sclavis originem ducens Eunuchus, præter fas Canonum CP. Patriarcha Imperatoris suffragio consecratur. Ea vero contigit imbris penuria, ut neque ros leris e cælo decideret: & aqua CP. omnino deficiente, aquæductus & balnea ex integro exaruerunt, cum prius aquarum scaturigines & fontes perpetuo fluxu currentes aeris siccitate constitissent. His visis Imperator Valentiniani aquæductum, qui cum usque ad Heraclii tempora perdurasset, tum ab Arabibus eversus fuerat, instaurare

Edit. Paris. pag. 370.

pag. 371.

A ἀρχὴν αὐτοῦ Χριστιανοῖς ἐνεδείξατο. τοὺς γὰρ σταυροὺς τῶν ἐκκλησιῶν ἀφεῖλε, καὶ παννυχίζειν ἐκώλυσε, καὶ μανθάνειν τὰ ἑαυτῶν γράμματα. οἱ δὲ παρ' αὐτοῖς Αρουρῖται, ὃ ἑρμηνεύεται Ζηλωταὶ, κατὰ τὴν Παλμυρηνὴν ἐπανέστησαν ἔρημον. ἀλλ' ἐκείνων μὲν ἡ κακία πρὸς τὰς τοῦ Θεοῦ ἐκκλησίας, ὡς ἀπίστων προφανής. ὁ δὲ Χριστιανῶν βασιλεύων ἀφάτοις Θεοῦ κρίμασιν ἴσως, ὡς τοῦ Ισραὴλ ὁ μανιώδης Αχαὰβ, πολλῷ χείρονα τῆς τῶν Αράβων μανίας τοῖς ὑπὸ τὴν βασιλείαν αὐτοῦ ὀρθοδόξοις ἐπισκόποις, μοναχοῖς τε, καὶ λαϊκοῖς ἄρχουσί τε, καὶ ἀρχομένοις ἐπεδείξατο. πανταχοῦ μὲν τὰς πρεσβείας τῆς παρθένου καὶ Θεοτόκου B καὶ πάντων τῶν ἁγίων ἐγγράφως, ὡς ἀνωφελεῖς, καὶ ἀγράφως ἀποκηρύττων, δι' ὧν ἡμῖν πηγάζει πᾶσα βοήθεια. καὶ τὰ ἅγια λείψανα αὐτῶν κατορύττων, καὶ ἀφανῆ ποιῶν, εἴ που τινὸς ἁγίου ἠκούετο, πρὸς ὑγείαν ψυχῶν καὶ σωμάτων ἀνακειμένων, καὶ, ὡς ἔθος, ὑπὸ τῶν εὐσεβούντων τιμωμένων· αἰτίαι γοῦν ὁ θάνατος κατὰ τῶν τοιούτων, ὡς ἀσεβούντων, ἠπειλεῖτο, δημεύσεις τε, καὶ ἐξορίαι, καὶ βάσανοι. τὸ δὲ θεοχαρίτωτον λείψανον, οἷα τις θησαυρὸς τῶν ἐχόντων, ἐπαίρετο ἀφανὲς τοῦ λοιποῦ γενόμενον. τοιοῦτον γοῦν τι καὶ εἰς τὸ τι- C μαλφέστατον λείψανον τῆς πανευφήμου μάρτυρος Εὐφημίας ὁ ἀνόσιος βασιλεὺς διεπράξατο, βυθίσας αὐτὸ σὺν τῇ λάρνακι, μὴ φέρων ὁρᾶν μυροβλυτοῦσαν αὐτὴν ἐπὶ παντὸς τοῦ λαοῦ, καὶ ἐλέγχουσαν αὐτοῦ τὰ κατὰ τῶν πρεσβειῶν ληρήματα. ἀλλ' ὁ Θεὸς φυλάσσων τὰ ὀστᾶ τῶν εὐαρεστούντων αὐτῷ, κατὰ τὰ λόγια, ἀσινὲς τοῦτο διεφύλαξε, πάλιν ἀναδείξας αὐτὸ ἐν τῇ Λήμνῳ τῇ νήσῳ. διὰ γὰρ νυκτερινῆς ὁράσεως κείμενον ἀρθῆναι προσέταξε καὶ φυλάττεσθαι. ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης τῶν εὐσεβῶν βασιλέων, ἰνδικτιῶνι τετάρτῃ, μετὰ τῆς πρεπούσης τιμῆς ἐπανῆλθεν ἐν τῷ D τεμένει αὐτῆς. ὃ αὐτὸς μὲν ὁ τῶν ἐκκλησιῶν ἐχθρὸς κοινώσας, ἀρμαμέντον καὶ κοπροθέσιον ἐποίησεν. αὐτοὶ δὲ ἀνακαθάραντες τοῦτο, πάλιν καθιέρωσαν, πρὸς ἔλεγχον μὲν τῆς τούτου ἀθεότητος, ἔνδειξιν δὲ τῆς τούτων θεοσεβείας. τοῦτο δὲ τὸ θαυμαστὸν καὶ ἀξιόγραφον θαῦμα μετὰ χρόνους κβ´. τῆς τοῦ παρανόμου τελευτῆς σὺν τοῖς εὐσεβεστάτοις βασιλεῦσι καὶ ἁγιωτάτῳ Πατριάρχῃ ἡμεῖς ἐθεασάμεθα, καὶ σὺν αὐτοῖς κατησπασάμεθα, ὡς ἀνάξιοι, μεγάλης ἀξιωθέντες χάριτος. τῇ δὲ ἑκκαιδεκάτῃ Νοεμβρίου μηνὸς τῆς αὐτῆς πέμπτης ἰνδικτιῶνος ψήφῳ τοῦ E βασιλέως χειροτονεῖται Νικήτας ὁ ἀπὸ Σκλάβων εὐνοῦχος ἀθέσμως Πατριάρχης Κωνσταντινουπόλεως. καὶ ἐγένετο ἀβροχία, ὥστε μηδὲ δρόσον πεσεῖν ἐκ τοῦ οὐρανοῦ. καὶ ἐξέλιπε παντελῶς τὸ ὕδωρ ἐκ τῆς πόλεως. καὶ ἤργησαν τά τε δοχεῖα, καὶ τὰ λουτρά. οἱ μέν τε καὶ τὰ πηγαῖα νάματα τὰ ἀενάως ῥέοντα πρότερον· τοῦτο ἰδὼν ὁ βασιλεὺς ἤρξατο ἀνακαινίζειν τὸν Οὐαλεντινιανοῦ ἀγωγὸν μέχρι Ηρακλείου χρηματίσαντα, καὶ ὑπὸ τῶν Αρά-

βων καταστραφέντα, ἐκλεξάμενος ἐκ διαφόρων τόπων τεχνίτας, ἤγαγεν ἀπὸ μὲν Ἀσίας καὶ Πόντου οἰκοδόμους χιλίους, καὶ χρισὰς διακοσίους· ἀπὸ δὲ τῆς Ἑλλάδος καὶ νήσων ὀστρακαρίους πεντακοσίους· ἐξ αὐτῆς δὲ τῆς Θρᾴκης ὀπέρας πεντακισχιλίους, καὶ κεραμοποιοὺς διακοσίους· καὶ ἐπέστησεν αὐτοῖς ἄρχοντας ἐργοδιώκτας, καὶ ἕνα τῶν πατρικίων. καὶ οὕτω τελεσθέντος τοῦ ἔργου εἰσῆλθε τὸ ὕδωρ ἐν τῇ πόλει. τῇ δὲ αὐτῇ πέμπτῃ ἰνδικτιῶνι προβάλλεται στρατηγοὺς ὁμόφρονας αὐτῷ, καὶ τῆς κακίας αὐτοῦ ἐπαξίους ἐργάτας· Μιχαὴλ μὲν τὸν Μελισσηνὸν ἐν τῷ θέματι τῶν Ἀνατολικῶν, καὶ Μιχαὴλ τὸν Λαχανοδράκοντα εἰς Θρᾳκησίους, εἰς δὲ Βουκελλαρίους Μάνην τὸν κακίας ἐπώνυμον. καὶ τίς ἱκανὸς διηγεῖσθαι τὰ τούτων ἀποτελέσματα, ἃ μερικῶς ἐν τοῖς ἰδίοις τόποις συγγραψόμεθα; πάντα γὰρ κατὰ μέρος συγγράφειν τὰ τούτων ἔργα πρὸς θεραπείαν τοῦ κρατοῦντος γενόμενα, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρήσειν τὰ γραφόμενα βιβλία εὐαγγελικῶς εἰπεῖν οἰκειότερον.

coepit: quamobrem clectos ex variis locis artifices in unum collegit: ex Asiæ quidem & Ponto ædificatores mille, & lævigatores ducentos: a Græcia & adjacentibus insulis ostracarios quingentos: ex ipsa Thracia operarum millia quinque, & figulos ducentos: proceresque, qui opus urgerent, præfecit, & Patricium unum cujus curæ summa omnium demandata. Absoluto igitur opere aqua in Urbem deducta. Quinta porro indictione sensus ejusdem secum consortes Duces, & idoneos ejus nequitiæ promovendæ opifices ad imperii dignitates evexit: Michaelem quidem Melissenum Orientalium Themati, alium Michaelem Lachanodraconem Thracensium, Bucellariis Manetem quemdam, ex nomine væsaniæ dantem argumenta, præfecit. Quis vero horum scelera enarrando satis erit, quæ partim suis locis a nobis perstringentur? Nam si omnia singulatim, quæ ipsi ob amorem Imperatori gerentes admiserunt, conscriberentur, libros, qui de ea re compilandi essent, mundum ipsum vix posse capere, ut proprie cum Evangelista loquar, non arbitror.

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβ. ς'. ἤχθη Κωνσταντῖνος ὁ ψευδώνυμος Πατριάρχης ἀπὸ τῆς Πριγκίπου νήσου· καὶ ἔδειρεν αὐτὸν ὁ τύραννος Κωνσταντῖνος, ὡς μὴ δύνασθαι αὐτὸν βαδίσαι. ἐκέλευσε δὲ αὐτὸν εἰς φορεῖον βασταχθῆναι, καὶ ἀπελθόντα καθίσαι ἐν τῇ σολαίᾳ τῆς μεγάλης ἐκκλησίας. καὶ Ἀσηκρῆτις ἦν σὺν αὐτῷ βαστάζων τόμον χάρτου, ἐν ᾧ ἦν γεγραμμένα τὰ τούτου αἴτια. παντὸς δὲ τοῦ λαοῦ τῆς πόλεως ἐκ διαταγῆς βασιλικῆς ἐκεῖσε ἀθροισθέντος καὶ ὁρῶντος, ὑπαναγινώσκετο ὁ χάρτης εἰς ὑπήκοον παντὸς τοῦ λαοῦ. καὶ κατὰ ἓν κεφάλαιον ἔπαιεν αὐτοῦ τὸ πρόσωπον ὁ Ἀσηκρῆτις τοῦ Πατριάρχου Νικήτα ἐν τῷ συνθρόνῳ καθεζομένου καὶ ὁρῶντος. μετὰ δὲ τοῦτο ἀναβιβάσαντες ἐν τῷ ἄμβωνι, καὶ στήσαντες ὄρθιον, ἔλαβε Νικήτας τὸν χάρτην, καὶ ἀποστείλας ἐπισκόπους, καὶ λαβὼν τὸ ὠμοφόριον αὐτοῦ ἀνεθεμάτισεν αὐτὸν, καὶ ἐπονομάσαντες Σκοτίοψιν ἐξέωσαν αὐτὸν ἐπισθοφανῶς τῆς ἐκκλησίας. τῇ δὲ ἑξῆς ἡμέρᾳ ἱπποδρομίας οὔσης ἐψίλωσαν αὐτοῦ τὴν ὄψιν, καὶ ἐγύμνωσαν αὐτοῦ τὴν γενειάδα, καὶ τὰς τῆς κεφαλῆς τρίχας, καὶ τῶν ὀφρύων. καὶ ἐνδύσαντες αὐτὸν σηρικὸν καὶ ἀμανίκωτον κοντὸν ἐκάθισαν αὐτὸν ἐπὶ ὄνου σαγματωμένου ἐξανάστροφα κρατοῦντα τὴν οὐρὰν αὐτοῦ. καὶ ἐξήνεγκαν διὰ τοῦ διιππίου εἰς τὸ ἱπποδρόμιον τοῦ λαοῦ παντὸς καὶ τοῦ δήμου ἀνασκάπτοντος καὶ ἐμπτύοντος αὐτόν. ἔσυρε δὲ τὸν ὄνον Κωνσταντῖνος ἀνεψιὸς αὐτοῦ ῥινοκοπημένος. ἐλθόντος δὲ αὐτοῦ ἐν τοῖς Δήμοις, κατῆλθον καὶ ἐνέπτυσαν, καὶ κόνιν ἐπέρριπτον ἐπ' αὐτόν. ἐνέγκαντες δὲ αὐτὸν εἰς τὸ στάμα, ἔρριψαν αὐτὸν ἐκ τοῦ ὄνου, καὶ ἐπάτησαν τὸν τράχηλον αὐτοῦ· καὶ καθίσαντες αὐτὸν ἀπέναντι τῶν Δήμων, ἤκουε παρ' αὐτῶν σκωπτικοὺς λόγους, ἕως τῆς ἀπολύσεως τοῦ Ἱππικοῦ. καὶ τῇ ιε'. τοῦ Αὐγούστου μηνὸς πέμπει πρὸς

Hoc anno mensis Octobris die sexto, indictione sexta, Constantinus falsi nominis Patriarcha ex insula Principo in Urbem accitus, tot verbera a tyranno Constantino tulit, ut pedibus suis progredi non valeret. Eum itaque lecticæ efferri, & a se digressum in Ecclesiæ magnæ Solea considere jussit. Aderat porro unus A secretis præferens libellum, quo omnia accusationum capita descripta erant. Universo autem urbis populo Imperatoris jussu congregato & spectante, in omnium auditu libellus ille publice recitabatur: & ad singula capita faciem ejus A secretis percutiebat: Patriarcha Niceta in Throni consessu sedente, ac omnia prospiciente. Eo deinde in ambonem evecto, & recto in pedes constituto, libellum accipit Nicetas: mox Episcopo ad eum misso, & anathemate in eum pronunciato, pallium sustulerunt, Scotiopsimque sæpius vocitatum retrogrado passu ab Ecclesia jusserunt excedere. Sequenti vero luce ludis in Circo celebratis, universam ejus faciem depilantes, barbam, supercilia, atque capillitium abrasere: & serico brevi, & sine manicis vestimento indutum in asinum clitellis instructum, facie retro versa, adeo ut manibus caudam teneret, imposuere: atque per Diippiam in Circum produxere, plebe universa ipsisque factionibus eum conviciis atque sputis prosequentibus. Constantinus vero ejus nepos præcisis naribus deformis asinum trahebat. Cum autem ad factionum locum devenit, tum omnes sputis eum denuo respergere, & pulverem in eum projicere. Ad locum deinde quo consistunt equi adductum, asino præcipitem deturbaverunt; ejusque demum collo pedibus conculcato, e factionum regione confidentem sales, jocos, ludibria in se deblaterata, donec absolverentur ludi, coegerunt audire. Ad hæc mensis Augusti die decimo

Edit. Paris. pag. 372.

quinto, missis ad eum Patriciis interrogat. Quid de fide nostra, & ea quam habuimus Synodo sentis? Is vero animi plane vani homuncio: Optime, respondet, credis, & Synodum recte celebrasti: nimirum hoc pacto Imperatorem rursus placare sperans. Illi dato responso citius subinferunt: Hoc unum erat, quod ea impuro ore tuo audire volebamus. Nunc itaque in tenebras, & in malam horam perge. Itaque sententia in eum lata in Cynegio capite truncatus est. Ejus porro caput auribus devinctum in Milio per continuos tres dies populo spectandum suspendere: corpus autem rudente ad pedem alligata tractum cum morte violenta sublatorum cadaveribus projecere: ac pariter caput post idem dierum trium spatium suspendio solutum illuc eodem deportavere. O feritatem, o crudelitatem, & inhumanæ illius belluæ truculentiam. Numquid sacrum lavacrum revereri non debuerat homo perditus? Duos quippe ejus liberos ex tertia conjuge natos inter ulnas Patriarcha exceperat: verum ferinis moribus agitatus animæ prorsus ferinæ argumenta dedit. Cæterum ab hoc tempore majori væsania in sanctas Dei Ecclesias ferebatur. Misit enim qui Petrum venerabilem Columnicolam a petra exturbaret: eumque dogmatibus suis repugnantem vivum pedibus vinctum, ac per medias Urbis vias pertractum inter Pelagii cadavera projici jussit, alios vero saccis inclusos, lapidibusque degravatos in pelagi profundum demergi. Oculorum orbitates, concisiones narium, flagrorum lacerationes, & omne suppliciorum genus adversus religiosos molitus est. Et hæc quidem in Urbe ab Imperatore agebantur, & a cæteris qui cum eo sentiebant, per Antonium dico Patricium & Scholarum Domesticum, Petrum quoque Magistrum, & ordinum milites, qui ipsius impietatem animo penitus imbiberant: in cæteris vero provinciis per Duces supra nominatos eadem nefanda facinora perpetravit. Interim ipse cytharœdorum concentibus & conviviis genialiter indulgens, turpiloquiis & saltationibus familiares exercebat. Ac si nonnemo quandoque vel lapsus vel læsus usitatam Christianis vocem, o Dei Genitrix adjuva, emisisset; aut sacras vigilias ducere, aut Ecclesias frequentare deprehensus fuisset, confestim majestatis reus tormentis examinabatur, nec post lethum nomen ejus in Ecclesiasticis precibus memorabatur. Monasteria quoque, ædes illas sacras in Dei gloriam, & salvandorum refugia constructas, militum sententiæ sua pravitate infectorum communes & prophanas domos fieri declaravit. Ac Monasterium quidem Dalmatarum Cœnobiorum omnium Byzantii celeberrimum militibus diversorium assignavit: alia quoque sacra ædificia, qualia Callistrati, Dii, & Maaimini nominibus insignia laudantur, & alias Monachorum religiosas ædes, & virginum sedes a fundamentis evertit. Quos autem vel arte militari præstantes vel dignitate conspicuos, maxime prius sibi necessarios, & libidinum ejus secretarumque turpitudinum conscios & mystas, Monasticæ vitæ studiosos eam prosequi comperisset, certa morte damnabat, tamquam ex eorum confessionibus sibi pudorem incussum iri conjectans. Quare Strategium Podopaguri filium, ob decoram vultus formam sibi prius acceptum, in hujusmodi etenim ex libidinis petulantia affectu rapiebatur, insanientem illam Venerem, & nefarios adolescentum concubitus averso animo ferentem cum persensisset, & Macario san-

Edit. Paris. pag. 373.

αὐτὸν τοὺς Πατρικίους, καὶ λέγει αὐτῷ· ὅτι τί λέγεις περὶ τῆς πίστεως ἡμῶν, καὶ τῆς συνόδου, ἣν ἐποιήσαμεν; ὁ δὲ ματαιωθεὶς τὰς φρένας ἀπεκρίθη· ὅτι καλῶς καὶ πιστεύεις, καὶ τὴν σύνοδον πεποίηκας, οἰόμενος διὰ τούτου πάλιν ἐξευμενίσασθαι αὐτόν· οἱ δὲ ἀθυβόλως ἀποκριθέντες εἶπον. ἡμεῖς τοῦτο ἠθέλομεν ἀκοῦσαι ἐκ τοῦ μιαροῦ σου στόματος. ἀπὸ δὲ τοῦ νῦν ἄπελθε εἰς τὸ σκότος, καὶ εἰς τὸ ἀνάθεμα· καὶ οὕτω λαβὼν τὴν ἀπόφασιν ἀπεκεφαλίσθη εἰς τὸ Κυνήγιον. καὶ τὴν μὲν κεφαλὴν αὐτοῦ ἐκ τῶν ὤτων δήσαντες, ἐπὶ τρισὶν ἡμέραις ἐν τῷ Μιλίῳ ἐκρέμασαν εἰς τὴν ἔνδειξιν τοῦ λαοῦ. τὸ δὲ σῶμα αὐτοῦ δήσαντες καλωδίῳ τὸν πόδα μετὰ τῶν βιοθανάτων ἔρριψαν· ὁμοίως καὶ τὴν κεφαλὴν αὐτοῦ μετ' αὐτὰς τρεῖς ἡμέρας ἀπαγαγόντες ἔρριψαν. ὢ τῆς ἀλογίας, καὶ ὠμότητος, καὶ ἀσπλαγχνίας τοῦ ἀνημέρου θηρός. ἐα ᾐδέσθη τὴν ἁγίαν κολυμβήθραν ὁ ἄθλιος; δύο γὰρ τέκνα αὐτοῦ ἐκ τῆς τρίτης γυναικὸς ἐν ταῖς ἀγκάλαις αὐτοῦ δεξάμενος ἦν. πάντοτε οὖν θηριώδης τὸν τρόπον καὶ ἀνήμερος ἦν. ἀπὸ δὲ τούτου τοῦ χρόνου πλείονι μανίᾳ κατὰ τῶν ἁγίων ἐκκλησιῶν ἐχρήσατο. ἀποστείλας γὰρ κατήνεγκε Πέτρον τὸν ἀοίδιμον Στυλίτην, τὸν μὴ ὑπείξαντα τοῖς δόγμασιν αὐτοῦ ζῶντα δήσας τῶν ποδῶν, ἐν τοῖς Πελαγίοις, καὶ τοῦτον διὰ τῆς μέσης συρόμενον ἐκέλευσε ῥιφῆναι· ἄλλους ἐν σάκκοις δεσμῶν, καὶ λίθοις προσαρτίζων, ἐν τῷ πελάγει ῥίπτεσθαι προσέταττε· τυφλώνων, ῥινοκοπῶν, μάστιξι ξαίνων, καὶ πᾶν εἶδος κολάσεως κατὰ τῶν εὐσεβούντων ἐπινοῶν· καὶ ἐν μὲν τῇ πόλει δι' ἑαυτοῦ ταῦτα ἔδρα, καὶ τῶν ὁμοφρόνων αὐτοῦ, Ἀντωνίου, φημί, Πατρικίου καὶ Δομεστίκου τῶν σχολῶν, καὶ Πέτρου Μαγίστρου, καὶ τοῦ ἐκπαιδευθέντος ὑπ' αὐτοῦ λαοῦ τῶν ταγμάτων· ἐν δὲ τοῖς ἔξω θέμασι διὰ τῶν προρρηθέντων στρατηγῶν. αὐτὸς δὲ κιθαρῳδίαις ἔχαιρε, καὶ συμποσιασμοῖς, αἰσχρολογίαις τε, καὶ ὀρχισμοῖς ἐκπαιδεύων τοὺς περὶ αὐτόν. καὶ εἴπου τις συμπίπτων, ἢ ἀλγῶν τὴν συνήθη Χριστιανοῖς ἀνῆκε φωνήν, τό, Θεοτόκε βοήθει· ἢ παννυχίδων ἐφωράθη, ἢ ἐκκλησίαις προσεδρεύων, ὡς ἐχθρὸς τοῦ βασιλέως ἐκολάζετο, καὶ ἀμνημόνευτος ὠνομάζετο. μοναστήρια δὲ τὰ εἰς δόξαν Θεοῦ καὶ τῶν σωζομένων καταφύγια, οἴκους κοινοὺς καθίστα τῶν ὁμοφρόνων αὐτοῦ στρατιωτῶν. τὴν γοῦν Δαλμάτου πρώτιστον οὖσαν ἐν τοῖς κοινοβίοις τοῦ Βυζαντίου τοῖς στρατιώταις εἰς κατοικίαν ἔδωκε· τὰ Καλλιστράτου τὰ λεγόμενα, καὶ τὴν Δίου μονήν, καὶ τὰ Μαξιμίνου, ἄλλους τε μοναστῶν ἱεροὺς οἴκους καὶ παρθενῶνας ἐκ βάθρων κατέλυσε. τοὺς δὲ μοναχικὸν βίον ἀναλαβέσθαι ἐπιτηδεύσαντας ἐκ τῶν ἐπισήμων ἐν στρατείᾳ, ἢ ἐν τέλει, μάλιστα καὶ τοὺς ἐγγίζοντας αὐτῷ, καὶ μύστας γεγονότας τῶν αὐτοῦ ἀσελγειῶν καὶ ἀρρητοποιῶν, θανάτῳ καθυπέβαλεν. ὑπονοούμενος τὴν τῶν ἐξαγορεύσεων προσγινομένην αὐτῷ αἰσχύνην· διά τοι τοῦτο καὶ Στρατήγιον τὸν τοῦ Ποδοπαγούρου ἀστεῖον ὄντα τῷ εἴδει προσλαβόμενος, ἐφίλει γὰρ προσοικειοῦσθαι τοῖς τοιούτοις διὰ τὰς ἀκολασίας αὐτοῦ, αἰσθόμενός τε αὐτὸν ἀηδῶς ἔχοντα πρὸς τὰς ἀθεμίτους ἀνδρομανίας αὐτοῦ, καὶ

τῷ Μα-

τῷ Μακαρίῳ τῷ Εγκλείστῳ τοῦ ἁγίου Αὐξεντίου πάντας ἐξαγορεύοντα, σωτηρίας τε φάρμακα λαμβάνοντα, ὡς ἐπίβουλον αὐτοῦ τοῦτον διαφημίσας, σὺν τῷ Εγκλείστῳ, ὡς προλέλεκται, ἀνεῖλε. ἐποίησε δὲ εὐθυνῆσαι τὰ εἴδη ἐν τῇ πόλει τῷ χρόνῳ τούτῳ. νέος γὰρ Μίδας γενόμενος τὸν χρυσὸν ἀπεθησαύρισε, καὶ τοὺς γεωργοὺς ἐγύμνωσε. καὶ διὰ τὴν τῶν φόρων ἀπαίτησιν ἠναγκάζοντο οἱ ἄνθρωποι τὰς τοῦ Θεοῦ χορηγίας εὐώνως πιπράσκειν. τῷ δ' αὐτῷ ἔτει Νικήτας ὁ ψευδώνυμος Πατριάρχης τὰς ἐν τῷ Πατριαρχείῳ εἰκόνας τοῦ μικροῦ Σεκρέτου διὰ μουσαίου οὔσας ἔξεσε· καὶ τοῦ μεγάλου Σεκρέτου τῆς τρουλλαῖς ἐξ ὑλογραφίας οὔσας κατήνεγκε, καὶ τῶν λοιπῶν εἰκόνων τὰ πρόσωπα ἔχρισε· καὶ ἐν τῷ Αβραμιαίῳ δὲ ὁμοίως πεποίηκεν.

A cti Auxentii Incluso flagitia illa pro Christiana exomologesi expoluisse, & quæ ad salutem ducerent accepisse remedia nosset, tamquam io imperium conspirasset, cum Incluso, prout superius enarratum, morti addixit. Cæterum effecit ut omnis generis annona suis temporibus in Urbe abundaret. Novus enim Midas effectus, auri nimirum sitientissimus, divitias coacervavit immensas, agricolas summis laboribus exercuit, & ex tributorum conferendorum necessitate fruges a Deo liberaliter concessas & in convictum repositas vili pretio homines cogebat distrahere. Eodem etiam anno Nicetas falso nomine Patriarcha imagines in Patriarchalis ædis minore Secreto opere tessellato depictas erasit: magni quoque Secreti ambitum imaginibus ligneis dimidiata eminentia effictis ornatum deposuit, & reliquarum omnium imaginum facies alio colore perunxit: idemque prorsus in Abramiæo præstitit.

		κη'	ιδ'	β'	γ'			

		28	14	2	3			

Edit. Paris. pag. 374.

Τούτῳ τῷ ἔτει ἔστεψεν ὁ βασιλεὺς τὴν γυναῖκα αὐτοῦ Εὐδοκίαν ὁ τρίγαμος τρίτην οὖσαν Αὐγοῦσταν ἐν τῷ Τριβουναλίῳ τῶν ιθ'. ἀκουβίτων τῇ πρώτῃ τοῦ Απριλλίου μηνὸς Ινδικτ. ζ. ἡμέρᾳ σαββάτῳ, καὶ τοὺς ἐξ αὐτῆς δύο υἱοὺς αὐτοῦ Χριστοφόρον καὶ Νικηφόρον τῇ ἐπαύριον, ἥτις ἦν δευτέρα τοῦ Απριλλίου μηνὸς, ἡμέρα κυριακὴ τοῦ ἁγίου Πάσχα, προεβάλετο Καίσαρας ἐν τῷ αὐτῷ Τριβουναλίῳ τοῦ Πατριάρχου ποιήσαντος τὴν εὐχὴν, καὶ τοῦ βασιλέως ἐπιθέντος αὐτοῖς τὰς χλαίνας, καὶ τὰ Καισαρίκια περικεφάλαια· ὡσαύτως καὶ τὸν Νικήταν τὸν ἔσχατον ἀδελφὸν αὐτῶν ποιήσας Νωβελίσιμον, ἐπέθηκεν αὐτῷ χλαῖναν χρυσῆν καὶ τὸν στέφανον. καὶ οὕτω προῆλθον οἱ βασιλεῖς ῥίπτοντες ὑπατείαν τριμίσια, καὶ σιμίσια, καὶ νομίσματα καινούργια ἕως τῆς μεγάλης ἐκκλησίας.

Hoc anno Imperator trium uxorum vir Eudociam tertiam conjugem Aprilis mensis die primo, indictione septima, die sabbati in undeviginti Accubitorum Tribunalio corona imposita Augustam renunciavit. Sequenti vero luce, quæ Aprilis secunda fuit, dies nimirum Dominica sancti Paschatis, liberos duos ex ea susceptos Christophorum & Nicephorum in eodem Tribunalio Patriarcha sacras preces obeunte, C Cæsares declaravit, & subinde chiamydes & Cæsarum stemmata capitibus imposuit. Nicetæ pariter postremo eorum fratri in nobilissimum promoto chlamydem auro textam & coronam contulit. Atque ita Imperatores prodeuntes munera, trimisia nimirum, hemisia, & nummos recenter cusos per iter ad magnam usque Ecclesiam in populum sparsere.

		κθ'	νε'	γ'	δ'			

		29	55	3	4			

Τούτῳ τῷ ἔτει ἐγένετο καταλλαγὴ ἐν Συρίᾳ ἄνθρωπον πρὸς ἄνθρωπον, καὶ γυναῖκα πρὸς γυναῖκα, καὶ παιδίον ὁμοίως πρὸς παιδίον· καὶ ἐπέτρεψεν ὁ Αβδελᾶς τοὺς πώγωνας αὐτῶν ξυρισθῆναι, καὶ γενέσθαι καμαλαύκια πηχὸς μιᾶς ἥμισυ. παρεκάθισε δὲ Αβδελᾶς τὸ Κάμαχον μετὰ ὀγδοήκοντα χιλιάδων ὅλον τὸ θέρος, καὶ μηδὲν ἀνύσας, ὑπέστρεψε κατῃσχυμμένος. τῇ δὲ α'. τοῦ Σεπτεμβρίου μηνὸς τῆς η'. ἰνδικτ. εἰσῆλθεν Εἰρήνη ἐξ Αθηνῶν ἐλθοῦσα ἀπὸ τῆς Ιερείας ἐν τῇ βασιλίδι πόλει δρομώνων καὶ χελανδίων πλείστων ἐστολισμένων σηρικοῖς παλλίοις τῶν τῆς πόλεως προυχόντων σὺν ταῖς γυναιξὶ προϋπαντώντων καὶ προαγόντων αὐτῇ. καὶ τῇ γ'. αὐτοῦ τοῦ Σεπτεμβρίου μηνὸς τοῦ Πατριάρχου ἐλθόντος ἐν τῷ παλατίῳ ἐν τῇ ἐκκλησίᾳ τοῦ Φάρου ἐγένετο τὰ πρὸς τὴν αὐτὴν Εἰρήνην τοῦ βασιλέως Λέοντος σπόνζα· καὶ τῇ ιζ'. τοῦ Δεκεμβρίου μηνὸς ἐστέφθη ἐν τῷ τρικλίνῳ τοῦ Αὐγουστέως ἡ βασίλισσα Εἰρήνη, καὶ ἀπελθοῦσα ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Στεφάνου ἐν τῇ Δάφνῃ ἔλαβε τὰ τοῦ γάμου στέφανα σὺν τῷ κυρίῳ υἱῷ Λέοντι τῷ βασιλεῖ.

Hoc anno commutatio hominum in Syria facta est: homine pro homine, fœmina pro fœmina, & puero pro puero datis. D Præcepitque Abdelas ut barbas raderent, & pileos cubiti unius & semis gestarent. Porro ipse Abdelas cum octoginta hominum millibus Camachum per totam æstatem obsedit: verum irritis conatibus ignominia persusus pedem retulit. Mensis vero Septembris die primo indictione octava, Irene Athenis primo profecta, & ab Hieria in quam delata fuerat digressa ad Imperatricem Urbem cum dromonibus & chelandiis plurimis serica veste ornatis, primoribus quibasque Urbis viris ac mulieribus obviam progressis & præeundo comitantibus appulit. Die vero Septembris E tertio Patriarcha in Palatium se conferente ad Phari Ecclesiam Imperatoris Leonis cum Irene sponsalia celebrata sunt. Tum autem mensis Decembris die decimo septimo in Triclinio Augusteo Imperatrix Irene coronata est: indeque ad Oratorium sancti Stephani ad Daphnem arrepto itinere, nuptiales corollas cum Domino Leone excepit.

		30	16	Rom. Episc. Adrianus annis 27. 2	5				

		λ′	ις′	Ῥωμαϊκῶν. Ἀδριανοῦ ἔτη κζ′. β′	ε′				

Edit. Paris. pag. 375.

Hoc anno Banacas infestis armis Romanam ditionem vexavit, & captivorum turbam secum avexit. Romani vero quartam Armeniam aggressi provinciam totam circumierunt. Saulach porro defuncto Germanicia in Palæstinam transiata est. Hoc eodem anno Lachanodracon magistrum imitatus Monachos & Moniales omnes Thracensium Themati subjectos Ephesum advocavit: iisdemque io planitiem Tzucanisterium vocatam eductis, ait: Qui Imperatori, mihique morem gerere studet, candida veste induatur: haeque ipsa hora uxorem accipiat. Qui parere detrectaverit oculis privatus in Cyprum deportatur exul. Dicto citius opus ipsum perfectum est, & Martyrii coronam die illo plurimi retulerunt: Sed & multi ordinis sui desertores perierunt, quibus Draco familiariter usus est. Eadem indictione nona mensis Januarii die decimo quarto Leoni & Irenæ Impp. natus est filius, qui Constantino ejus avo inter vivos adhuc agente etiam Constantinus appellatus est.

Τούτῳ τῷ ἔτει συναγαγοῦσα ἡ βασίλισσα Εἰρήνη πάντα τὸν λαὸν εἰς τὴν Μαγναύραν, ἔφη πρὸς αὐτούς. γινώσκετε, ἀδελφοί, τί πεποίηκεν ὁ Παῦλος ὁ Πατριάρχης· καὶ εἰ μὲν ἔζη, οὐκ ἂν κατεδεξάμεθα τοῦτον ἀφεῖναι τὸν τῆς ἀρχιερωσύνης θρόνον, εἰ καὶ μοναδικὸν σχῆμα περιεβάλλετο. ἐπεὶ δὲ ὡς τῷ Θεῷ ἀρεστὸν ἦν, τοῦ βίου μετέστη· φροντίσωμεν ἄνθρωπον, ὅς τις δυνήσεται ποιμᾶναι ἡμᾶς καὶ τὴν ἐκκλησίαν τοῦ Θεοῦ ἐπιστηρίξαι λόγοις διδασκαλικοῖς. πάντες δὲ ὁμοφώνως εἶπον· μὴ εἶναι ἄλλον, εἰ μὴ Ταράσιον ἀσηκρῆτις. ἡ δὲ ἔφη πρὸς αὐτούς· καὶ ἡμεῖς τὸν αὐτὸν ψηφιζόμεθα. ἀλλ' ἀπειθεῖ. καὶ εἴπῃ δὲ τὴν αἰτίαν οὐ δέχεται τὴν ψῆφον τῆς βασιλείας, καὶ παντὸς τοῦ λαοῦ. ὁ δὲ ἀπελογίσατο τῷ λαῷ λέγων· οἱ τῆς ἀμωμήτου πίστεως ἡμῶν τῶν Χριστιανῶν φύλακες καὶ ζηλωταὶ τῶν εἰς δόξαν Θεοῦ γινομένων πιστοὶ βασιλεῖς ἡμῶν, πάντων τῶν εἰς ἀρέσκειαν αὐτοῦ καὶ συμφέρον ἡμῶν τὴν φροντίδα ποιούμενοι, μάλιστα δὲ τῶν ἐκκλησιαστικῶν καὶ νῦν ἐπιμελῶς διαμεριμνήσαντες, καὶ διανοηθέντες τοῦ Ἀρχιερέα προχειρισθῆναι ἐν ταύτῃ τῇ βασιλίδι αὐτῶν πόλει ἐπὶ τὸν εὐσεβῆ αὐτῶν νοῦν μὲ ἀνέλαβον, καὶ φανερῶς μοι τὸ βεβουλευμένον αὐτοῖς ἐξειπεῖν ἐκέλευσαν. ἐμοῦ δὲ πρὸς τοῦτο ἀνάξιον αὐτὸν ἀποφηναμένου, μηδεμίαν συγκατάθεσιν πεισαμένου εἰς τὸν ζυγὸν τοῦ φορτίου μὴ δυνάμενόν με βαστάσαι, ἢ ἐπενεγκεῖν, ἐκέλευσάν με προαγαγεῖν κατὰ πρόσωπον ὑμῶν· διότι καὶ σύμψηφοι γεγόνατε τῇ βουλῇ ταύτῃ. καὶ νῦν, ὦ ἄνδρες φοβούμενοι τὸν Θεόν, καὶ ἔχοντες αὐτὸν ἀεὶ ἐν ταῖς καρδίαις ὑμῶν, οἱ τοῦ Θεοῦ κλήσει, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ὀνομαζόμενοι, Χριστιανοὶ λέγω, ἀκούσατε βραχὺν λόγον ἀπολογίας παρὰ τῆς ἡμετέρας εὐτελείας καὶ οὐθενότητος. ἐγὼ μὲν εἴ τι τοῖς εὐσεβέσιν ἡμῶν βασιλεῦσι κατὰ πάντα οὖσιν ὀρθοδόξοις ἀπελογησάμην, καὶ ἐνώπιον ὑμῶν ἀπολογοῦμαι. φόβῳ συνέχομαι συγκατατίθεσθαι

Hoc anno Imperatrix Irene populum universum ad Magnauram congregatum in hunc modum alloquuta est. Quid Patriarcha Paulus egerit, Fratres, novistis. Ac si diutius vixisset, non eum sane Monastico licet habitu indutum Præsulatus thronum C deserere permisissemus. Verum quoniam ita Deo placitum fuit ut vita decederet: nunc hominem diligentius perquiramus, qui nos pastorali cura regere, & Ecclesiam Dei verborum doctrina confirmare valeat. Una voce omnes, alium a Tarasio, qui tunc A secretis erat, se nescire responderunt. Imperatrix iterum ad populum. Eumdem Patriarcham, inquit, decernimus: Verum onus recusat. Causam tamen propter quam imperii populique non admittit electionem, ipse palam exponat. Ille defensionem suam coram populo instituens, in hæc verba dixit. Inculpatæ fidei nostræ, id est Christianæ, defensores, eorumque omnium, quæ ad Dei gloriam pertinent vindices acerrimi D Imperatores nostri, dum res omnes quas Numini gratas, vel nobis utiles fore sciunt, maxime vero quæ spectant ad Ecclesiam procurant: idque nunc summo studio agentes, ut Pontifex in sua Urbe Imperante creetur, me pio animo concepere, meumque super ea re consilium, ut ipsis palam significaretur, jussere. Cum vere hoc munere prorsus indignum me profiterer, nec ullum super ea re consensum præstarem, ut pote qui tanti oneris jugum portare, ac sufferre minime valerem; jusserunt, ut in conspectum vestrum omnium prodirem, quod nimium consilium istiusmodi suffragio vestro universi comprobaveritis. Quamobrem, Viri qui E Deum timetis, ac eum semper præ cordibus vestris geritis, qui Dei appellatione, Dei, inquam, veri nostri nomine, Christianos intelligo, insigniti estis, brevissimum sermonem, quem pro me, qua animi angustia & vilitate instructus sum a natura, dicere institui, attente audiatis velim. Quæcumque enim prius religiosis, & undequaque Orthodoxis Impp. pro me dixi, omnia ad vos referam impræsentiarum. Me in hanc electionem consentire

Edit. Paris. pag. 387.

timor præpedit, Deique conspectum vereor, ut sic temere atque inconsulte in hanc concurram, ne horrendæ damnationi obnoxius fiam. Si enim vir ille, qui Dei voce pro magistro, & cælo pro schola usus est, spectator ille paradisi, secretorum verborum audiror, qui Dei nomen ad gentes palam & reges intulit Paulus divinus Apostolus Corinthiis scribens, dixit: Ne cum aliis prædicavero, ipse reprobus efficiar: Qui fiet umquam, ut ego mundo innutritus, & plebi annumeratus, qui etiam in imperii negotiis & militia merui, ita possim absque examine & attenta discussione ad Pontificatus fastigium me extollere? Is sane conatus, ceu meam superans infirmitatem, mihi periculosus: audax omnino facinus, cui vires meas impares experior. Timoris autem & excusationis, quam prætexo causa est istiusmodi. Video certe & attendo Ecclesiam, quæ supra petram Christum Deum nostrum fundata est, nunc misere discissam, & per membra divisam: nos vero longe diversa inter nos asserentes. Cæteros vero Orientis Christianos, qui eamdem fidem profitentur, diversa item a nobis sentientes, & cum Occidentalibus convenientes: adeo ut nos ita ab iis omnibus alienati, a singulis seorsim per dies singulos anathemate perstringimur. Dira prorsus res est anathema: quod scilicet hominem a Deo longius fugat, & in tenebras exteriores abducens, a regno cælorum expellit. Ecclesiæ lex & institutum nec lites nec contentionem novit; sed quemadmodum unum baptisma unamque fidem confiteri amat, ita & concordiam atque consensum in cæteris rebus Ecclesiasticis exposcit. Nihil enim Deo tam gratum acceptumque est, quam si uniti in unam & Catholicam Ecclesiam conveniamus, quemadmodum in sinceræ fidei nostræ symbolo profitemur, & precamur, Fratres. Et ob id a piissimis Impp. petimus, (quod etiam vos, quorum timor erga Deum mihi notus, facere arbitror) ut Concilium Oecumenicum celebretur, ut videlicet nos, qui unius Dei sumus, unum etiam fiamus; qui Trinitati uniti, atque unanimes, cultusque ejusdem, qui unius capitis Christi scilicet nostri unum corpus probe connexum atque cohærens, qui Spiritui sancto non oppositi, sed consentanei, qui veritatis eadem prorsus sentientes atque prædicantes: & e contrario nulla prorsus contentio atque dissensio inter nos intercedat: ut Dei pax, quæ omnem intellectum exsuperat, nos omnes custodiat. Quod si Imperatores nostri rectæ fidei propugnatores, ut hæc petitio mea impleatur, jusserint, ego quoque consentio, eorumque mandata exequar, vestramque electionem lubens amplectar: sin minus, id præstare nequaquam mihi possibile est, ne anathemati subjiciar, damnatusque evadam in die Domini nostri Jesu Christi justissimi judicis, quo judicio neque Imperator, neque Pontifex, neque Principes, neque hominum numerus me exsolvere haud poterunt. Cæterum, Fratres, si quid ex iis quæ dixi gratum vobis fuerit, huic meæ apologiæ, vel ut melius dicam petitioni responsum dare. Orationem hujusmodi lubenter excipientes cuncti Concilium cogendum una voce sanxerunt. Quare Tarasius sermonem iterum ad populum convertens, Imperator Leo, dixit, imagines evertit: Conciliumque subinde celebratum eas invenit eversas. At quia sola

Edit. Paris. pag. 388.

εἰπὶ τῇ ψήφῳ ταύτῃ, καὶ εὐλαβοῦμαι ἀπὸ προσώπου τοῦ Θεοῦ προσδραμεῖν οὕτω, καὶ ὡς ἔτυχεν ἀπερισκέπτως, ἵνα μὴ ὑποπέσω φοβερῷ κατακρίματι. εἰ γὰρ ὁ θείαν φωνὴν ἀκροασάμενος, οὐρανὸν τὸ ἐσχηκὼς παιδευτήριον, καὶ παραδείσου θεωρὸς γενόμενος, ἀκούσας τὰ ἄρρητα ῥήματα, καὶ βαστάσας τὸ ὄνομα τοῦ Θεοῦ ἐνώπιον ἐθνῶν καὶ βασιλέων Παῦλος ὁ θεῖος Ἀπόστολος Κορινθίοις γράφων ἔλεγεν· μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι. πῶς ἐγὼ ὁ τῷ κόσμῳ συναναστρεφόμενος, καὶ μετὰ λαϊκῶν ἠριθμημένος, καὶ στρατευόμενος ἐν βασιλικαῖς ὑπηρεσίαις, οὕτω χωρὶς ἀνακρίσεως καὶ περισκέψεως δύναμαι εἰσπηδῆσαι εἰς τὸ τῆς ἱερωσύνης μέγεθος; φοβερὸν τὸ ἐγχείρημα πρὸς τὴν ἐμὴν σμικρότητα· θρασὺ τὸ ἐπιτήδευμα. ἡ δὲ αἰτία τοῦ φόβου, καὶ τῆς ἐμῆς παραιτήσεώς ἐστιν αὕτη. ὁρῶ καὶ βλέπω τὴν ἐπὶ τὴν πέτραν Χριστὸν τὸν Θεὸν ἡμῶν τεθεμελιωμένην ἐκκλησίαν αὐτοῦ, διεσχισμένην νῦν καὶ διῃρημένην, καὶ ἡμᾶς ἄλλοτε ἄλλως λαλοῦντας, καὶ τοὺς τῆς ἀνατολῆς ὁμοπίστους ἡμῶν Χριστιανοὺς ἑτέρως, καὶ συμφωνοῦντας αὐτοῖς τοὺς τῆς δύσεως· ἀλλοτριουμένους δὲ ἡμᾶς ἐκείνων ἁπάντων, καὶ καθ' ἑκάστην δὲ ὑπ' αὐτῶν ἀναθεματιζομένους· δεινόν ἐστι τὸ ἀνάθεμα· πόῤῥω τοῦ Θεοῦ βάλλει, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐκδιώκει ἀπάγον εἰς τὸ σκότος τὸ ἐξώτερον. οὐκ οἶδεν ὁ τῆς ἐκκλησίας ὅρος καὶ νόμος ἔριν, οὐ φιλονεικίαν· ἀλλ' ὥσπερ οἶδεν ἓν βάπτισμα, μίαν πίστιν, οὕτω καὶ συμφωνίαν μίαν ἐπὶ παντὸς πράγματος ἐκκλησιαστικοῦ. οὐδὲν γάρ ἐστιν ἀπόδεκτον καὶ εὐάρεστον ἐνώπιον τοῦ Θεοῦ, ὡς τὸ ἑνωθῆναι ἡμᾶς, καὶ γενέσθαι μίαν καθολικὴν ἐκκλησίαν, καθὰ καὶ ἐν τῷ συμβόλῳ τῆς εἰλικρινοῦς ἡμῶν πίστεως ὁμολογοῦμεν, καὶ αἰτοῦμεν, ἀδελφοί. οἶμαι δὲ καὶ ὑμεῖς, ἐπειδὴ γινώσκω τὸν φόβον τοῦ Θεοῦ ἔχειν ὑμᾶς παρὰ τῶν εὐσεβεστάτων καὶ ὀρθοδόξων βασιλέων ἡμῶν σύνοδον οἰκουμενικὴν συναθροισθῆναι, ἵνα γενώμεθα οἱ τοῦ ἑνὸς Θεοῦ ἕν· καὶ οἱ τῆς τριάδος ἑνούμενοι, καὶ ὁμόψυχοι, καὶ ὁμότιμοι, οἱ τῆς κεφαλῆς ἡμῶν Χριστοῦ σῶμα ἓν συναρμολογούμενον καὶ συμβιβαζόμενον, οἱ τοῦ ἁγίου πνεύματος, οὐ κατ' ἀλλήλων, ἀλλὰ σὺν ἀλλήλοις, οἱ τῆς ἀληθείας τὸ αὐτὸ φρονοῦντες καὶ λέγοντες, καὶ μὴ ᾖ ἔρις καὶ διχοστασία ἐν ἡμῖν· ὅπως ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσῃ πάντας ἡμᾶς· καὶ εἰ μὲν κελεύουσιν οἱ τῆς ὀρθοδοξίας πρόμαχοι βασιλεῖς ἡμῶν ἐπὶ τῇ ἐμῇ αἰτήσει ἐπινεῦσαι, συγκατατίθημι κἀγὼ, καὶ τὴν κέλευσιν αὐτῶν ἐκπληρῶ, καὶ ὑμῶν τὴν ψῆφον ἀσπάζομαι· εἰ δὲ μήγε, ἀδυνάτως ἔχω τοῦτο ποιῆσαι, ἵνα μὴ ὑποβληθῶ τῷ ἀναθέματι, καὶ εὑρεθῶ καταδεδικασμένος ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ κριτοῦ τῆς δικαιοσύνης, ἔνθα οὔτε βασιλεὺς, οὔτε ἱερεὺς, οὔτε ἄρχοντες, οὔτε πλῆθος ἀνθρώπων δύναταί με ἐξελέσθαι. καὶ εἴ τι ἐστὶν ἀρεστὸν ὑμῖν, ἀδελφοί, δότε τῆς ἐμῆς ἀπολογίας· φράσατε δὲ μᾶλλον αἰτήσεως ἀπόκρισιν. καὶ ἀσμένως ἠκροάσαντο πάντες τῶν λαληθέντων, συμφωνήσαντες τοῦ γενέσθαι σύνοδον. ὁ δὲ Ταράσιος πάλιν πρὸς τὸν λαὸν διαλεγόμενος, ἔφη· ὅτι Λέων ὁ βασιλεὺς κατέστρεψε τὰς εἰκόνας· καὶ ἡ σύνοδος ὅτε ἐγένετο κατεστραμμένας αὐτὰς εὗρε· καὶ διό τι δὲ βασιλ-

κοὺς χειρὸς κατεστράφησαν· πάλιν ζήτησιν ἔχει τὸ κεφάλαιον, ὅτι ἀρχαίαν συνήθειαν παραδεδομένην ἐν τῇ ἐκκλησίᾳ κατετόλμησαν, καὶ ἔδοξεν αὐτοῖς ἀφανίσαι· ἀλλ' ἡ ἀλήθεια τοῦ Θεοῦ οὐ δέδεται, ἀποστολικῶς εἰπεῖν. τῇ δὲ κε'. τοῦ Δεκεμβρίου μηνὸς τῆς αὐτῆς η'. ἰνδικτιῶνος ἐχειροτονήθη ὁ ὅσιος πατὴρ ἡμῶν Ταράσιος Πατριάρχης Κωνσταντινουπόλεως, καὶ ἀποστείλας ἐν Ῥώμῃ τὰ συνοδικὰ αὐτοῦ, καὶ τὸν λίβελλον τῆς πίστεως αὐτοῦ, ἀπεδέχθη παρὰ τοῦ Πάπα Ἀδριανοῦ. ἀποστείλασα δὲ ἡ βασίλισσα πρὸς τὸν αὐτὸν Πάπαν, ᾐτήσατο πεμφθῆναι γράμματά τε αὐτοῦ, καὶ ἀνθρώπους πρὸς τὸ εὑρεθῆναι ἐν τῇ συνόδῳ. καὶ ἀπέστειλε Πέτρον τὸν Οἰκονόμον τῆς ἐκκλησίας αὐτοῦ, καὶ τὸν Ἡγούμενον τοῦ ἁγίου Σάββα ἄνδρας τιμίους, καὶ πάσῃ ἀρετῇ κεκοσμημένους. ἀπέλυσε δὲ καὶ ἐν Ἀλεξανδρείᾳ καὶ Ἀντιοχείᾳ ἡ βασίλισσα, καὶ ὁ Πατριάρχης· ἀκμὴν γὰρ ἡ πρὸς τοὺς Ἄραβας εἰρήνη οὐκ ἦν διαλυθεῖσα. καὶ ἤνεγκαν ἐκ μὲν τῆς Ἀντιοχείας Ἰωάννην τὸν μέγαν καὶ περιβόητον ἔργῳ καὶ λόγῳ ἁγιωσύνης μετέχοντα καὶ Σύγκελλον τοῦ Πατριάρχου Ἀντιοχείας γεγονότα· καὶ Θωμᾶν Ἀλεξανδρείας ἄνδρα ζηλωτὴν καὶ εὐλαβέστατον, ὅς τις καὶ Ἀρχιεπίσκοπος ἐν τῷ Ἰλλυρικῷ μεγαλοπόλεως Θεσσαλονίκης γενόμενος διέπρεψεν.

Imperatoris potestate sublatæ sunt, totius rei summa & caput iterum circa hanc quæstionem versatur, quod nimirum antiquam consuetudinem in Ecclesia traditam, ipsi, prout libitum sibi fuit, abolere ausi sunt. Sed Dei veritas, ut hoc secundum Apostolum eloquar, non est alligata. Cæterum mensis Decembris die quinto supra vicesimum & eadem indictione octava religiosus Pater noster Tarasius C P. Patriarcha renunciatus est: Missisque confestim Synodicis suis litteris, & libello fidei suæ teste, ab Adriano Papa in Ecclesiæ communionem admissus: Imperatrix etiam ad eundem Papam misit, qui suo nomine ab eo peterent, ut datis litteris homines, qui Concilio adessent, delegaret. Papa vero Petrum Ecclesiæ suæ Oeconomum, & Monasterii sancti Sabæ Præpositum, viros honore præcipuos, & omni virtutum cultu ornatos destinavit. Alexandriæ quoque & Antiochiæ Præsules Imperatrix & Patriarcha nunciis suis advocavere: nondum enim pax cum Arabibus icta expiraverat. Et Antiochia quidem Joannem illum magnum, virtute & doctrina celebrem, non levibus sanctitatis indiciis fulgentem, Patriarchæ Antiocheni quondam Syncellum: & Thomam Alexandrinum, virum religiosum & pietate insignem, qui prius in Illyrico magnæ civitatis Thessalonicæ Archiepiscopus claruerat, ex illis locis adduxerunt.

Edit. Paris. pag. 389.

		ς'	Ἀράβ. ἀρχηγὸς Ἀαρὼν ἔτη κγ'. α'	ιζ'	β'			

		6	Arabum Dux Aaron annis 23. 1	17	2			

Τούτῳ τῷ ἔτει Μουσῆς ὁ τῶν Ἀράβων ἀρχηγὸς τέθνηκε, καὶ ἐκράτησεν Ἀαρὼν ὁ ἀδελφὸς αὐτοῦ ἀντ' αὐτοῦ τῆς ἀρχῆς· ὃς καὶ πολλὰ κακὰ τοῖς Χριστιανοῖς ἐνεδείξατο. τῷ δ' αὐτῷ ἔτει ἀποστείλαντες οἱ βασιλεῖς προσεκαλέσαντο πάντας τοὺς ὑπὸ τὴν ἐξουσίαν αὐτῶν ἐπισκόπους. καταλαβόντων καὶ τῶν ἀπὸ τῆς Ῥώμης πεμφθέντων ὑπὸ τοῦ Πάπα Ἀδριανοῦ γραμμάτων τε, καὶ ἀνθρώπων, ὡς προείρηται, καὶ τῆς Ἀντιοχείας, καὶ Ἀλεξανδρείας. καὶ τῇ ιζ'. τοῦ Αὐγούστου μηνὸς τῆς θ'. ἰνδικτιῶνος προκαθίσαντες ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐν τῇ βασιλίδι πόλει, ἤρξαντο τὰς ἁγίας γραφὰς ὑπαναγινώσκειν, καὶ ἀμφιβάλλειν πρὸς ἀλλήλους, τῶν βασιλέων ἐν τοῖς Κατηχουμένοις ὁρώντων. ὁ δὲ λαὸς τῶν Σχολαρίων τε καὶ Ἐξκουβιτόρων ὑποβληθεὶς ἐκ τῶν οἰκείων ἀρχόντων, ἔχοντες καὶ τὴν διδασκαλίαν τοῦ πονηροῦ αὐτῶν διδασκάλου, γυμνώσαντες τὰ ξίφη, ἐπῆλθον αὐτοῖς, ἀπειλοῦντες θανατοῦν τόν τε Ἀρχιερέα, καὶ τοὺς ὀρθοδόξους ἐπισκόπους τε, καὶ ἡγουμένους. τῆς δὲ βασιλείας διὰ τῶν παρεστώτων αὐτῇ οἰκειακῶν ἀνθρώπων ἀναστέλλειν αὐτοὺς πειρωμένης, οὐκ ἐπείσθησαν, ἀλλὰ μᾶλλον προσητίμασαν. ἐγερθέντος δὲ τοῦ Πατριάρχου, καὶ ἐν τῷ βήματι εἰσελθόντος μετὰ τῶν ὀρθοδόξων ἐπισκόπων καὶ μοναχῶν, οἱ τοῦ πονηροῦ φρονήματος αὐτῶν ὄντες ἐπίσκοποι ἐξῆλθον πρὸς αὐτοὺς βοῶντες τό, νενικήκαμεν. καὶ τοῦ Θεοῦ χάριτι οὐδένα ἠδίκησαν οἱ κυνώδεις ἐκεῖνοι καὶ ἀπάνθρωποι, καὶ οὕτω διαλυθείσης τῆς συνόδου ἀπῆλθον ἕκαστος εἰς τὰ ἴδια.

Hoc anno Mose Arabum Duce defuncto, Aaron frater in ejus locum suffectus imperium obtinuit, qui multa mala in Christianos exercuit. Eodem anno Impp. miserunt, qui universos suæ ditionis Episcopos in unum convocarent: ad quos ab Adriano Papa missi cum litteris homines, quos memoravimus, una cum Antiochiæ & Alexandriæ Patriarchis accesserunt. Tum vero mensis Augusti die decimo septimo oona indictione, in Imperatricis Urbis sanctorum Apostolorum templo præsidentes sacras scripturas investigare, propositis ad invicem dubiis difficultates examinare, Imperatoribus e Cathecumenis spectantibus, cœperunt. Scholariorum porro & Excubitorum copiæ perversi magistri sui doctrina imbuti, & a propriis Rectoribus incitati, nudatis gladiis impetum in eos fecere, mortemque tam ipsi Patriarchæ, quam Orthodoxis Episcopis & Monasteriorum Præpositis inferre minati sunt. Imperio vero per Aulicos alios Proceres, qui aderant, tumultum eorum reprimere conante, milites nequaquam paruere: quin potius convitia in eos conjecere. Exurgente demum Patriarcha, & in sacrum altaris Tribunal cum Orthodoxis Episcopis, ac etiam Monachis ingresso, adversæ factionis Episcopi nefariæ sententia doctores in eos elatis vocibus insilierunt, jactantes, Vicimus. Ac Dei gratia nemini damnum insanientes & inhumani illi intulerunt. Ita Synodo soluta singuli quique domos suas repetierunt.

		ζ	β	α'	γ'			

		7	1	18	3			

Hoc anno mense Septembri, ineunte indict. 10. Imperatria misso Stautacio Patricio & publici cursus Logotheta in Thraciam ad transfretana Themata illic confidentia, ut sibi operam accommodarent, impiis copiis, quas perditus Constantinus armis instruxerat, & disciplina sua imbuerat, Urbe expellendis, persuasit. Simulata igitur in partes Orientales, quasi Arabibus illuc irrumpentibus, profectione, omnis Imperatorius apparatus & comitatus usque ad Malagina processit. Itaque copiæ istæ foris advenientes Urbem ingressæ eam in potestatem suam misere. Tum vero Imperatrix advetsantibus copiis per Nuncios significat: Armis depositis, & ad me remissis, opera vestra me non indigere noveritis. Illi velut a Deo sensibus alienati, arma deposuere. Tum impositis in naves eorum familiis, Urbe exturres, singulos in provinciam ea qua in lucem editus prodierat, se recipere jussit. Parato demum alio satellitum exercitu, & electis Ducibus, qui sibi morem gererent, ipso iterum mense Majo per omnes imperii regiones misit, qui universos Episcopos Nicæam Bithyniæ urbem, ut in ea Concilium haberetur, convocarent. Tota itaque æstiva tempestate Nicæam Episcopi omnes convenere: neque vero eos qui Romanæ sedis & Orientalium thronorum personam referebant, dimiserat: quinimmo adhuc tenebat penes se. Cæterum mensis Septembris die nono indictione undecima, die Dominico, hora diei quinta, celebratis missarum solemnibus ingens solis defectio extitit.

Edit. Paris. pag. 390.

Τούτῳ τῷ ἔτει ἀποστείλασα ἡ βασίλισσα Σταυράκιον Πατρίκιον καὶ Λογοθέτην τοῦ δρόμου ἐν τῇ Θρᾴκῃ τῷ Σεπτεμβρίῳ μηνὶ, ἀρχῇ τῆς ι'. ἰνδικ. πρὸς τὰ περατικὰ θέματα ἐκεῖσε τηνικαῦτα ὄντα, ἔπεισεν αὐτοὺς συνεργῆσαι αὐτῇ, καὶ ἐξῶσαι τῆς πόλεως τὸν δυσσεβῆ λαὸν, ὃν ὁ ἀλάστωρ Κωνσταντῖνος ἐστρατολόγει τε, καὶ ἐπαίδευσε. καὶ πλασαμένη φοσσατεύειν μέλλειν ἐπὶ τὰ Ἀνατολικὰ μέρη, ὡς Ἀράβων ἐξελθόντων, ἐξῆλθε πᾶσα ἡ ὑπουργία καὶ ἡ κόρτις ἕως τῶν Μαλαγίνων. καὶ εἰσελθόντες οἱ τῶν ἔξω θεμάτων, ἐκράτησαν τὴν πόλιν. ἀποστείλασα δὲ πρὸς αὐτοὺς δηλοῖ αὐτοῖς, ὅτι πεμψάμενοι τὰ ἄρματα ὑμῶν, χρείαν ὑμῶν οὐκ ἔχω. οἱ δὲ ὑπὸ Θεοῦ ματαιωθέντες, ἔδωκαν αὐτά. τότε βαλοῦσα τὰς φαμιλίας αὐτῶν ἐν πλοίοις, ἐξώρισεν αὐτοὺς τῆς πόλεως, κελεύσασα ἐν τῇ ἰδίᾳ χώρᾳ ἕκαστον ἀπελθεῖν, ἐν ᾗ ἐγεννήθη. καὶ ποιήσασα στρατὸν ἴδιον καὶ ἄρχοντας πειθηνίους αὐτῇ, τῷ Μαΐῳ μηνὶ πάλιν ἀποστείλασα κατὰ παντὸς τόπου προσεκαλέσατο τοὺς ἐπισκόπους παραγενέσθαι ἐν τῇ Νικαέων πόλει τῆς Βιθυνίας, πρὸς τὸ ἐκεῖ γενέσθαι τὴν σύνοδον. καὶ διὰ τοῦ καλοκαιρίου ὅλου συνήχθησαν πάντες ἐν Νικαίᾳ. τοὺς δὲ Ῥώμης καὶ Ἀνατολικοὺς ἐκ προσώπου οὐκ ἀπολύσασα, ἀλλ' εἶχεν αὐτούς. τῇ δὲ θ'. τοῦ Σεπτεμβρίου μηνὸς τῆς ια'. ἰνδικτιῶνος ἡμέρᾳ κυριακῇ, ἔκλειψις γέγονεν ἡλίου, ὥρᾳ ε', τῆς ἡμέρας, τῆς θείας λειτουργίας ἐπιτελουμένης, μεγίστη.

		8	3	59	4			
		η'	γ'	ιθ'	δ'			

Hoc anno sanctissimus C P. Episcopus Tarasius Nicæam urbem se contulit. Tum vero sancta & universalis septima Episcoporum Synodus celebrata est: & Ecclesia Catholica nulla nova prolata doctrina, quinimmo sanctorum Patrum assertionibus immotis stantibus, proscriptaque hæresi recens intrusa, antiquum suum splendorem recepit. Ad hæc falsi nominis Patriarchas tres, Anastasium dico, Constantinum, & Nicetam, sectatoresque eorum universos anathemate percussit. Primus autem Episcoporum conventus & consessus in communi & Primate Sapientiæ Ecclesia Nicææ habitus est mensis Octobris die undecimo: mense vero Novembri Imperatricem Urbem cuncti ingressi sunt. Imperatoribus demum una cum Episcopis ad Magnauram præsessum obtinentibus, Decreti tomus lectus est, cui Imperator & mater ejus sanctorum Patrum antiqua sancita confirmaturi subscripserunt; ac tandem honoribus & donis Sacerdotes cumulatos dimiserunt. Ita Ecclesia Dei pacem recepit: per proprios licet operarios zizania superseminare non desistat inimicus: Verum Ecclesia Dei etiam jugiter oppugnata triumphat.

Τούτῳ τῷ ἔτει ἐξῆλθε Ταράσιος ὁ ἁγιώτατος ἐπίσκοπος ΚΠ. ἐν τῇ Νικαέων πόλει· καὶ ἐκροτήθη ἡ ἁγία καὶ οἰκουμενικὴ ζ'. σύνοδος τῶν ἐπισκόπων, καὶ ἀπέλαβεν ἡ καθολικὴ ἐκκλησία τὸν ἀρχαῖον κόσμον αὐτῆς, οὐδὲν καινὸν δογματίσασα, ἀλλὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων δόγματα ἀσάλευτα φυλάξασα, καὶ τὴν νέαν αἵρεσιν ἀποκηρύξασα, τούς τε τρεῖς ψευδωνύμους Πατριάρχας ἀναθεματίσασα, Ἀναστάσιον, φημὶ, Κωνσταντῖνον, καὶ Νικήταν, καὶ πάντας τοὺς ὁμόφρονας αὐτῶν. ἐγένετο δὲ καὶ πρώτη συνέλευσις καὶ καθέδρα τῶν ἐπισκόπων ἐν τῇ καθολικῇ ἁγίᾳ Σοφίᾳ τῆς Νικαίας μηνὶ Ὀκτωβ. ια'. καὶ τῷ Νοεμβ. μηνὶ εἰσῆλθον πάντες ἐν τῇ βασιλευούσῃ πόλει· καὶ προκαθίσαντες οἱ βασιλεῖς σὺν τοῖς ἐπισκόποις ἐν τῇ Μαγναύρᾳ ὑπανεγνώσθη ὁ τόμος, καὶ ὑπέγραψεν ὅ τε βασιλεὺς, καὶ ἡ μήτηρ αὐτοῦ, κυρώσαντες τὴν εὐσέβειαν, καὶ τὰ τῶν ἁγίων πατέρων ἀρχαῖα δόγματα, καὶ φιλοτιμησάμενοι τοὺς ἱερεῖς ἀπέλυσαν. καὶ εἰρήνευσεν ἡ τοῦ Θεοῦ ἐκκλησία, εἰ καὶ ὁ ἐχθρὸς τὰ ἑαυτοῦ ζιζάνια ἐν τοῖς ἰδίοις ἐργάταις σπείρων οὐ παύεται. ἀλλ' ἡ τοῦ Θεοῦ ἐκκλησία πάντοτε πολεμουμένη νικᾷ.

		9	4	20	5			
		θ'	δ'	κ'	ε'			

Hoc anno mense Septembri acies Arabum ad prædandum comparatæ in Romaniam irruptionem fecerunt, & in Orientalium Thema, ad locum, cui nomen Copidnadus, penetrarunt. Romanorum autem Duces collectis in unum copiis bello cum eis decertantes fusi sunt: ex quo perierunt plurimi, nec non ex eadem turmis non pauci: Diogenesque Orientalium Turmascha vir strenuus, & Opsicii

Pag. 391.

Τούτῳ τῷ ἔτει ἐξῆλθε κοῦρσον τῶν Ἀράβων κατὰ Ῥωμανίας μηνὶ Σεπτεμβρίῳ, καὶ εἰσῆλθεν εἰς τὸ τῶν Ἀνατολικῶν θέμα, εἰς τόπον λεγόμενον Κοπιδνάδον· καὶ συναχθέντες οἱ τῶν Ῥωμαίων στρατηγοὶ ἐπολέμησαν μετ' αὐτῶν, καὶ ἡττήθησαν, καὶ ἀπέθανον πολλοὶ, καὶ ἐκ τῶν ἐξοεισθέντων οὐκ ὀλίγοι· ἔπεσε δὲ καὶ ὁ Διογένης ὁ τῶν Ἀνατολικῶν Τουρμάρχης ἱκανὸς, καὶ τῶν Ὀψικίου ἄρχοντες.

λύσασα δὲ ἡ βασίλισσα Εἰρήνη τὴν πρὸς τοὺς Φράγγους συναλλαγὴν, ἀπέλυσε Θεοφάνην τὸν Πρωτοσπαθάριον, καὶ ἤγαγε κόρην ἐκ τῶν Ἀρμενιακῶν ὀνόματι Μαρίαν ἀπὸ Ἀμνίας, καὶ ἔζευξεν αὐτὴν Κωνσταντίνῳ τῷ βασιλεῖ τῷ υἱῷ αὐτῆς, πολλὰ λυπουμένου αὐτοῦ, καὶ μὴ θέλοντος διὰ τὴν πρὸς τὴν Καρούλλου θυγατέρα τοῦ ῥηγὸς τῶν Φράγγων σχέσιν, ἣν προμνηστευσάμενος ἐτύγχανε· καὶ ἐπετέλεσαν τοὺς γάμους αὐτοῦ μηνὶ Νοεμβρίῳ ἰνδικτιῶνι ιβʹ. Φιλητὸς δὲ ὁ τῆς Θρᾴκης στρατηγὸς ἀπελθὼν ἐν τῷ Στρύμωνι, καὶ ἀφυλάκτως ἀπληκεύσας, ἐπιπεσόντων αὐτῷ ἄφνω Βουλγάρων ἀνῃρέθη ὑπ' αὐτῶν σὺν καὶ ἄλλοις πολλοῖς. ἀποστείλασα δὲ Εἰρήνη Ἰωάννην τὸν Σακελλάριον καὶ Λογοθέτην τοῦ Στρατιωτικοῦ εἰς Λογγιβαρδίαν μετὰ καὶ Θεοδότου τοῦ ποτὲ ῥηγὸς τῆς μεγάλης Λογγιβαρδίας πρὸς τὸ εἰ δυνηθείη ἐναμύνασθαι τὸν Κάρουλλον, καὶ ἀποσπάσαι τινὰς ἐξ αὐτοῦ. κατῆλθον οὖν σὺν Θεοδώρῳ Πατρικίῳ καὶ στρατηγῷ Σικελίας. καὶ πολέμου κροτηθέντος, ἐκρατήθη ὑπὸ τῶν Φράγγων ὁ αὐτὸς Ἰωάννης, καὶ δεινῶς ἀνῃρέθη.

Duces cecidere. Interea Imperatrix Irene fœdera cum Francis inita solvit, & misso Theophane Protospathario, puellam ex Armeniacis nomine Mariam Amnia oriundam accepit, quam Constantino Imperatori filio suo conjugem locavit: quamvis id Constantinus ægerrime ferret, nec propter conceptum erga Francorum Regis Caroli filiam, quam sibi desponsaverat, affectum, consensum præbere vellet. Nuptiæ tamen mense Novembri indictione duodecima celebratæ sunt. Philetus autem Thraciæ Dux Strymonem versus profectus, ovilis circa se dispositis excubiarum custodibus, Bulgaris ex improviso ingruentibus, cum pluribus aliis interfectus est. Misit insuper Irene Joannem Sacellarium & militiæ Logothetam in Longobardiam, cui expeditionis socium Theodotum majoris Longobardiæ nuper regis filium adjunxit, tentatura, si forte Carolum ulcisci, & ab ejus fide incolas aliquos posset subducere. Illi cum Theodoro Patricio Siciliæ Duce viribus conjunctis, prælium conseruerunt cum Francis, a quibus ipse Joannes captus acerba morte occisus est.

| | ἑ | ἑ | κα' | ϛ' | | | |

Τούτῳ τῷ ἔτει ἐκίνησε φθόνῳ τῆς εὐσεβείας τῶν βασιλέων ἀνθρώπους πονηρούς, καὶ συνέβαλον τὴν μητέρα κατὰ τοῦ υἱοῦ, καὶ τὸν υἱὸν κατὰ τῆς μητρός. ἔπεισαν γὰρ αὐτὴν ὡς ἐκ προγνωστικῶν πληροφορηθέντες, ὅτι οὐκ ἔστιν ὡρισμένον παρὰ τοῦ Θεοῦ κρατῆσαι τὸν υἱόν σου βασιλείαν, εἰ μὴ σή ἐστιν, ἐκ Θεοῦ δεδομένη σοι. αὐτὴ δὲ ὡς γυνὴ ἀπατηθεῖσα, ἔχουσα δὲ καὶ τὸ φίλαρχον, ἐπληροφορήθη οὕτως εἶναι. καὶ οὐκ ἐλογίσατο, ὅτι αὐτοὶ διοικεῖν θέλοντες τὰ πράγματα τοῦτο προεφασίσαντο. τοῦ οὖν βασιλέως γεγονότος εἰκοσαετοῦς, ῥωμαλέου τε ὄντος καὶ ἱκανοῦ, πάνυ ἑώρα ἑαυτὸν μηδὲν ἐξουσιάζοντα. καὶ ἐλυπεῖτο βλέπων Σταυράκιον τὸν Πατρίκιον καὶ Λογοθέτην τὰ πάντα κατέχοντα, καὶ πάντας πρὸς αὐτὸν προσερχομένους, καὶ μηδενὸς τολμῶντος τῷ βασιλεῖ συχνάσαι. καὶ βουλευσάμενος τοῖς οἰκείοις αὐτοῦ ἀνθρώποις ὀλιγοστοῖς οὖσι, καὶ Πέτρῳ Μαγίστρῳ, καὶ Θεοδώρῳ Πατρικίῳ τῷ Καμουλιανῷ, καὶ Δαμιανῷ τῷ Πατρικίῳ, ἐκύρωσε τοῦ πιάσαι αὐτὴν, καὶ ἐξορίσαι ἐν Σικελίᾳ, καὶ κρατῆσαι αὐτὸν τὸ βασίλειον. τῇ δὲ θʹ. τοῦ Φεβρουαρίου μηνὸς τῆς ιγʹ. ἰνδικτιῶνος σεισμὸς γέγονε φοβερώτατος, ὥστε μὴ τολμῶντας τινὰς ἐν οἴκῳ καθευδῆσαι, ἀλλὰ πάντας εἰς τοὺς κήπους καὶ τὰ ἐξάερα σκηνὰς ποιήσαντας διάγειν. ἡ δὲ βασίλισσα ἅμα τῷ υἱῷ αὐτῆς ἐξῆλθεν ἐν τῷ ἁγίῳ Μάμαντι. μηνυθείσης δὲ τῷ Σταυρακίῳ τῆς προφάσεως ταύτης, συγκινεῖ τὴν Αὐγοῦσταν κατὰ τοῦ υἱοῦ, καὶ πιάσασα τοὺς ἀνθρώπους τοῦ βασιλέως, πάντας δείρασα καὶ κουρεύσασα σὺν Ἰωάννῃ τῷ Πρωτοσπαθαρίῳ καὶ Βαγούλῳ, λεγομένῳ Πικριδίῳ, ἐξώρισεν ἐπὶ τὰ κατωτικὰ μέρη ἕως Σικελίας. τὸν δὲ Μάγιστρον Πέτρον ἀτιμίαις περιβαλοῦσα, ἐκάθισεν ἐν τῷ οἴκῳ αὐτοῦ· ὁμοίως καὶ Θεόδωρον τὸν Πατρίκιον τὸν Καμουλιανόν· τὸν δὲ Πατρίκιον Δαμιανὸν δείρασα καὶ κουρεύσασα, εἰς Ἀπολλωνιάδα τὸ κάστρον ἐξώρισε. τύ-

| | 20 | 5 | 22 | 6 | | | |

Hoc anno Diabolus concepto in Imperatorum religionem odio scelestos homines concitavit, qui matrem in filium, ac filium adversus matrem committerent. Illi etenim quasi ex præsagiis aut vaticiniis certiores facti: Non est, inquiunt, a Deo constitutum, ut filius tuus imperium teneat; illud, quodcumque est, tuum est: & a Deo tibi commissum. Illa, ceu mulier ex proclivi decipienda, imperandi ambitione laborans, id ita decretum in animum sibi de facili induxit: nec eos qui imperium persuaderent, ipsos Remp. administrandi libidine graviter moveri non animadvertit. Imperator igitur annum vicesimum jam superans, cum rebus gerendis idoneum, nec tamen in Remp. potestatem ullam exercentem se contemplaretur, quinimmo Stauracii Patricii & Logothetæ curæ cuncta commissa, ad eum solum omnes confluere, ad se, qui accedat, neminem audere animadvertens, vehementer indoluit. Consilio itaque cum familiaribus sibi viris, numero certe paucis communicato, fuerunt illi Petrus Magister, Theodorus Patricius Camulianus, & Damianus item Patricius, matrem detinere, ac subinde in Siciliam relegare, ipse vero rerum omnium summam propria auctoritate administrare statuit. Mensis porro Februarii die nono indictione decima tertia motus terræ violens adeo contigit, ut in domibus dormituri se continere caverent homines: sed omnes in hortis ac sub dio tentoriis erectis diversarentur. Imperatrix autem ad sanctum Mamantem cum filio perrexit. Conspirationis autem adversum se instructæ Stauracius certior factus, Augustam in filium concitat. Mox ipsa Imperatoris domesticis manibus injectis, cunctos diris verberibus cæsos & tonsos cum Joanne Protospathario & Bajulo, cui Picridius cognomentum, ad inferius remotos imperii fines in Siciliam usque relegavit exules. Magistrum etiam Petrum dedecore contumeliisque affectum domi se continere, quemadmodum etiam Theodorum Patricium Camulianum jussit. Ad hos Patricium Damianum verberatum tonsumque in Castrum Apolloniadem depor-

Edit. Paris. pag. 392.

tavit. Filium denique pari verberum mulctæ & contumeliarum ignominiæ subjectum domi detinuit, ita ut per plures dies in publicum non prodierit: eoque tandem exercitum suis importunitatibus adegit, ut milites in consilium hoc adduceret: Filium tuum imperare, donec vixeris, non patiemur: jurarunt que ita omnes, cum nullus circa istud ei omnino repugnare auderet. Interea Arabum classis in Cyprum expeditionem suscepit: quod cum Imperatrix præsensisset, collectas pariter Romanas omnes naves in eos instruxit. Cum autem ambo Duces Myram pervenissent, superato Chelidoniorum promontorio in Ataliæ sinum classem immiserunt. Arabes porro Cypro solventes tranquillitate exorta in mari oberrabant. Cumque terram prospicere cœpissent, eatemplo eos adnavigantes classis Præfecti conspexerunt: quare classe ad prælium instructa, bellum commiserunt. Theophilus autem Cibyrrhæotarum Dux vir robustus & militiæ idoneus, animo nimium confidens, cæteris omnibus retro relictis hostes aggressus, ab ipsis captus ad Aaronem adductus est. In ejus conspectu positum, religionis desertorem, & proditorem fieri, terrenisque rebus voluptuose delectari pluribus Aaron hortatus est. Is cum oblata quæque respueret, & magis ac magis pollicitationibus & minis sollicitatus non acquiesceret, tandem gladii pœnam perpessus, insignis Martyr evasit.

A ψασα δὲ καὶ τὸν υἱὸν, καὶ πολλὰ λοιδορήσασα, ἄπρακτον ἐποίησεν ἐπὶ ἡμέρας ἱκανάς. ἤρξατο δὲ ὁρκίζειν τὸν στρατὸν, ὅτι ἕως οὗ ζῇς, οὐ καταδεξόμεθα τὸν υἱόν σου κρατῆσαι. καὶ ὤμνυον πάντες οὕτω μηδενὸς τολμῶντος ἀντειπεῖν περὶ τούτου τὸ σύνολον. στόλος δὲ Αράβων ἐξῆλθεν ἐπὶ Κύπρον. τοῦτο δὲ προγνοῦσα ἡ βασίλισσα, ἐσώρευσε καὶ αὐτὴ πάντα τὰ Ῥωμαϊκὰ πλώϊμα, καὶ ἀπέλυσε κατ' αὐτῶν. ἐλθόντες δὲ ἕως τὰ Μύρα ἀμφότεροι οἱ στρατηγοὶ ἔκαμψαν τὸ ἀκρωτήριον τῶν Χελιδονίων, καὶ εἰσῆλθον ἐπὶ τὸν κόλπον τῆς Ατταλίας. οἱ δὲ Αραβες κινήσαντες ἀπὸ τῆς Κύπρου, καὶ εὐδίας αὐτοὺς καταλαβούσης περιεφέροντο ἐν τῷ B πελάγει. ἀναφανέντων δὲ αὐτῶν τὴν γῆν, εἶδον αὐτοὺς οἱ στρατηγοὶ, καὶ παραταξάμενοι ἡττωμάθησαν τῷ πολεμίῳ. Θεόφιλος δὲ ὁ τῶν Κιβυρραιωτῶν στρατηγὸς ῥωμαλέος ἀνὴρ καὶ ἱκανώτατος ὢν, θαρσήσας καὶ πάντων προεξελθὼν, τούτοις τε συμβάλλων, ἐκρατήθη ὑπ' αὐτῶν, ὃν ἀπήγαγον πρὸς Ααρών· θεαθείς τε παρ' αὐτοῦ, προετρέπετο προδότης γενέσθαι, καὶ προσκαίρων δωρεῶν τυχεῖν. τοῦ δὲ μὴ καταδεξαμένου, ἐπὶ πλέον δὲ ἀναγκασθέντος, καὶ μὴ ὑπείξαντος, τὴν διὰ ξίφους τιμωρίαν ὑπομείνας, μάρτυς ἄριστος ἀνεδείχθη.

Edit. Paris. pag. 391.

Anni mundi 6289.	Divinæ incarn. 789.	Rom. Imp. Constant annis 7.	Arabum Dux Aaron annis 23.	Rom. Episc. Adrianus an. 27.	C P. Episc. Tarasius annis 21.			
		5	6	22	7			

C

Κόσμου ἔτη ,ϛσπθ'.	Τῆς θείας σαρκ. ἔτη ,ψπθ'.	Ῥωμ. βασιλ. Κωνσταντίνου ἔτη ζ'.	Ἀραβ. ἀρχηγ. Ααρὼν ἔτη κγ'.	Ῥωμ. ἐπισκ. Ἀδριανοῦ ἔτη κζ'.	Κωνστ. ἐπισκ. Ταρασίου ἔτη κα'.			
		ά	ε'	κβ'.	ζ'.			

Hoc anno mense Septembri indictione decima quarta qui Irenes nomine jusjurandum a militibus exigebant, illud ab Armeniacorum Themate præstandum expetierunt. Illi sacramento se obstringere his verbis recusantes: Filio tuo per vitam omnem subjiciemur, inquiunt: nec umquam Irenes nomen Constantini nomini præponi patiemur: sed Constantinum & Irenem, quod ab initio præstitimus, semper appellabimus. Imperatrix iis rursum demulcendis Alexium cognomine Museleem Spatharium & Vigiliarum Drungarium destinavit. Quare Armeniaci eum secum retentum sibi præfecerunt: proprium autem Ducem Nicephorum Patricium in custodiam conjicientes, Constantinum solum Imperatorem elatis vocibus celebraverunt. Nuncio hujusmodi accepto reliquorum thematum turmæ propriis Ducibus fugatis Constantinum Imperatorem solum pari suffragio prædicaverunt. O Diaboli vere maligni versutiam! Quam variis artibus hominum genus perdere molitur! Iidem sane qui ante annos quindecim tremendo illo jusjurando, scriptis etiam consignato, & ad sacrum Tribunal deposito, se fidem servaturos Constantino obstrinxerant, nunc Irene, quamdiu fuerit in vivis, ejus filio numquam subjiciendos, nec filii imperium passuros pari sacramento protestantur. Mox ultimi jusjurandi facti immemores iterum Constantinum ceu Imperatorem faustis prosequuntur acclamationibus, nec se jusjurando aliud sacramentum opponere advertunt. Contraria quippe jusjurando affirmantibus perjurium admittere omnino

Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ ἰνδικτιῶνι ιδ'. κατέλαβον οἱ ὁρκίζοντες εἰς τὸ θέμα τῶν Ἀρμενιακῶν. οἱ δὲ οὐ κατεδέξαντο ὀμόσαι, ὅτι οὐ βασιλευόμεθα ὑπὸ τοῦ υἱοῦ σου ἐν τῇ ζωῇ σου, οὐδὲ προτάσσομεν ὄνομα Εἰρήνης πρὸ Κωνσταντίνου. D ἀλλὰ Κωνσταντῖνον καὶ Εἰρήνην, ὡς ἐξ ἀρχῆς προλάβομεν. ἀπέστειλε δὲ πάλιν πρὸς τὸ πεῖσαι αὐτοὺς Ἀλέξιον τὸν Σπαθάριον καὶ Δρουγγάριον τῆς Βίγλας, τὸν ἐπίκλην Μουσελίμ. οἱ δὲ κρατήσαντες αὐτὸν, τοῦ ἄρχειν αὐτῶν προεβάλοντο. Νικηφόρον δὲ τὸν Πατρίκιον καὶ στρατηγὸν αὐτῶν φρουρήσαντες, Κωνσταντῖνον μόνον βασιλέα ἀνευφήμησαν. τοῦτο μαθόντες οἱ τῶν λοιπῶν θεμάτων λαοὶ, τοὺς στρατηγοὺς αὐτῶν διώξαντες, Κωνσταντῖνον μόνον βασιλέα καὶ αὐτοὶ ἀνεκήρυττον. ὢ τῆς τοῦ πονηροῦ διαβόλου πανουργίας. πῶς διὰ πολλῶν μεθοδιῶν σπουδάζει ἀπολέσαι τὸ τῶν ἀνθρώπων γένος; οἱ γὰρ E πρὸ δεκαπέντε χρόνων ὀμόσαντες, τὸν φοβερὸν ἐκεῖνον, καὶ ἔγγραφα ποιήσαντες, καὶ ἐν τῷ ἁγίῳ βήματι ἀποθέμενοι, πάλιν ὤμνυον τῇ Εἰρήνῃ μὴ βασιλευθῆναι ὑπὸ τοῦ υἱοῦ αὐτῆς, ἐν τῇ ζωῇ αὐτῆς. καὶ αὖθις τούτου ἐπιλαθόμενοι Κωνσταντῖνον αὐτοκράτορα ἀνευφήμουν, μὴ ἐννοήσαντες οἱ τάλανες, ὅτι οὐκ ἔδει ἀντωμοσίαν ποιῆσαι. ἀνάγκη γὰρ πᾶσα τῇ ἀντωμοσίᾳ τὴν ἐπιορκίαν παρακολουθῆσαι. ἐπιορκία

ὀρκία δὲ Θεοῦ ἄρνησις. συναχθέντες δὲ τῷ Ὀκτωβρίῳ μηνὶ τῆς τεσσαρεσκαιδεκάτης ἰνδικτιῶνος οἱ τῶν θεμάτων ἐν τῇ Ἀτρῴᾳ ἐπεζήτησαν πάντες κοινῇ γνώμῃ Κωνσταντῖνον βασιλέα εἰκοστὸν ἄγοντα ἔτος· φοβηθεῖσα δὲ Εἰρήνη τὸ ὅρμημα τοῦ λαοῦ ἀπέλυσεν αὐτόν. αὐτοὶ δὲ τοῦτον αὐτοκράτορα ἐκύρωσαν μὲν· ἀπεκήρυξαν δὲ τὴν τούτου μητέρα. ἀπέστειλε δὲ ὁ βασιλεὺς εὐθέως Μιχαὴλ τὸν Λαχανοδράκοντα, καὶ Ἰωάννην τὸν Βάγουλον αὐτοῦ, καὶ Πρωτοσπαθάριον, καὶ ὥρκισαν τοὺς Ἀρμενιακοὺς, τοῦ μὴ δέξασθαι Εἰρήνην τὴν μητέρα αὐτοῦ εἰς βασίλισσαν· τὸν δὲ Ἀλέξιον ἐπεκύρωσε στρατηγὸν αὐτῶν. καὶ ἐπανελθὼν ὁ βασιλεὺς τῇ πόλει τῷ Δεκεμβρίῳ μηνὶ, δείρας καὶ κουρεύσας ἐξώρισε Σταυράκιον εἰς τὸ θέμα τῶν Ἀρμενιακῶν πρὸς πληροφορίαν αὐτῶν. ἐξώρισε δὲ καὶ Ἀέτιον τὸν εὐνοῦχον, καὶ Πρωτοσπαθάριον καὶ Ἐπιστήθιον αὐτῆς, καὶ πάντας τοὺς οἰκειακοὺς αὐτῆς εὐνούχους· ταύτην δὲ μετὰ τῆς ἀπαθείας αὐτῆς ἐκάθισεν ἐν τῷ παλατίῳ τοῦ Ἐλευθερίου, ὃ αὐτὴ ᾠκοδόμησεν, ἐν ᾧ τὰ πλεῖστα χρήματα ἦν κατακρύψασα. ἐγένετο δὲ τῷ αὐτῷ μηνὶ ἐμπυρισμός, καὶ ἐκάη ὁ τρίκλινος τοῦ Πατριαρχείου, ὁ λεγόμενος Θωμαΐτης, καὶ τὸ Κοιαιστώριον, καὶ ἄλλαι οἰκίαι πολλαὶ ἕως τοῦ Μιλίου. τῷ δὲ Ἀπριλλίῳ μηνὶ ἐπιστρατεύσας Κωνσταντῖνος κατὰ Βουλγάρων, ἦλθεν εἰς τὸ λεγόμενον Προβάτου κάστρον, εἰς τὸ τοῦ ἁγίου Γεωργίου ῥυάκιν· καὶ συναντήσας Καρδάμῳ τῷ κυρῷ Βουλγαρίας, μικροῦ πολέμου κατὰ τὴν ἑσπέραν γεγονότος, δειλανδρήσαντες οἱ Ῥωμαῖοι διὰ τῆς νυκτὸς ἔφυγον, καὶ ὑπέστρεψαν ἀδόξως· καὶ οἱ Βούλγαροι φοβηθέντες ὑπέστρεψαν.

necesse est. Perjurium autem si admise is ipsum Deum negas. Octobri porro mense indictione quarta decima legiones Thematum cunctæ apud Atroam collectæ Constantinum vicesimum tunc annum agentem solum Imperatorem agnosci postulaverant. Quare exercitus impetum Irene formidans filium tandem dimisit. Constantino in Imperii sede confirmato, matrem omni potestate milites abdicarunt. Imperator subinde Michaelem Lachanodraconem, & Joannem Bajulum suum, & Protospatarium misit, qui Armeniacorum fidem accepto ab eis sacramento devinceret, ne matrem amplius Imperatricem agnoscerent: Alexiumque eorum Ducem confirmavit. Mense vero Decembri in Urbem reversus Imperator Stauracium cæsum & capillis tonsum in Armeniacorum provinciam, quo magis ipsis gratum faceret; Aetium quoque Eunuchum Irenes Protospatharium, & Intimum, reliquosque omnes Eunuchos ejus domesticos relegavit. Ipsam vero matrem in Palatio, quod ad Eleutherium struxerat, in quo magnam opum vim reposuerat, securam & commodam vitam agere præcepit. Cæterum eodem mense contigit incendium, quo Patriarchii Triclinium, Thomaltes dictum, Quæstorium, & ad Milium usque plures ædes conflagrarunt. Mense autem Aprili Imperator expeditione in Bulgaros suscepta, ad Castrum, quod Probati dicitur, juxta sancti Georgii rivum venit, ubi cum in Cardamum Bulgariæ Domnum incidisset, levi pugna vespere commissa, Romani timore perculsi, per noctem in fugam se dederunt: atque ita cum dedecore reversi sunt. Bulgari etiam exterriti in provinciam se receperunt.

Edit Paris. pag. 394

| | | β | ζ | κγ' | η | | | |

| | | 2 | 7 | 23 | 8 | | | |

Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ ἐπεστράτευσεν ὁ βασιλεὺς κατὰ Ἀράβων· καὶ ἀπάρας ἐκ τοῦ Ἀμωρίου ἀπῄει ἐπὶ Ταρσὸν τῆς Κιλικίας. ἐλθὼν δὲ εἰς Ἀνύδρους πύργους πάλιν ἀνθυπέστρεψε κενὸς μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνι ιε΄. τῇ δὲ ιε΄ τοῦ Ἰανουαρίου μηνὸς παρακληθεὶς ὁ βασιλεὺς ὑπὸ τῆς ἰδίας μητρὸς, καὶ πολλῶν τῶν ἐν τέλει, ἀναγορεύει αὐτὴν πάλιν, καὶ συνευφημίζεται σὺν αὐτῇ, ὡς ἐξ ἀρχῆς. Κωνσταντίνου καὶ Εἰρήνης. καὶ πάντες μὲν πειθαρχοῦσι. τὸ δὲ τῶν Ἀρμενιακῶν θέμα ἐκστάντες πρὸς τοῦτο στασιάζουσι, καὶ ἐπιζητοῦσιν Ἀλέξιον τὸν πρὸ μικροῦ στρατηγήσαντα αὐτῶν, τὸ τηνικαῦτα τοῦ βασιλέως μετὰ λόγου προσκαλεσαμένου αὐτὸν, καὶ τῇ τοῦ Πατρικίου ἀξίᾳ τιμήσαντος, καὶ πρὸς ἑαυτὸν κατασχόντος. τοῦτον οὖν διὰ τὴν τοιαύτην ἐπιζήτησιν, καὶ τινὰς λόγους περὶ αὐτοῦ ῥισκομένους, ὡς μέλλειν αὐτὸν βασιλεύειν δείρας καὶ κουρεύσας ἐν τῷ Πραιτωρίῳ ἀπέθετο. τῷ δὲ Ἰουλίῳ μηνὶ ἐπεστράτευσε κατὰ Βουλγάρων, καὶ ἔκτισε κάστρον Μαρκέλλων· καὶ τῇ εἰκοστῇ τοῦ Ἰουλίου μηνὸς ἐξῆλθε Κάρδαμος ὁ κύριος τῆς Βουλγαρίας μετὰ πάσης τῆς δυνάμεως αὐτοῦ, καὶ ἔστη ἐν τοῖς ὀχυρώμασι. θερμοπνοήσας δὲ ὁ βασιλεὺς, καὶ ὑπὸ ψευδοπροφητῶν πεισθεὶς, ὡς αὐτοῦ ἔσται ἡ νίκη, ἀσκόπως καὶ ἀτάκτως συνέβαλε πόλεμον, καὶ ἡττᾶται σφοδρῶς. ἐπανέρχεται δὲ φυγὰς ἐν τῇ πόλει πολλοὺς ἀποβαλὼν, οὐ μόνον τοῦ κοινοῦ

Hoc anno mense Septembri Imperator armata manu in Arabes profectus est; ab Amorio autem movens, Tarsum Ciliciæ urbem pertexit. Ad turres autem Anydras ita dictas veniens, re prorsus infecta remeavit, mense Octobri, indictione decima quinta. Mensis autem Januarii die decimo quinto ab ipsa matre multisque Optimatibus exoratus, Imperatricem iterum eam renunciat, & cum eo faustis populi exclamationibus, velut olim excipitur, in hæc verba: Constantino & Irene multos annos. Imperatoris placito cuncti paruerunt. Solum Armeniacorum Thema rei novitate perculsum tumultuatur, & Alexium pridem suum Ducem, quem Imperator quodam obtentu revocatum, & Patricii dignitate promotum, penes se retinuerat, accersitum sibi reddi, & in officium restitui sollicitant. Eum itaque, quod tanto ardore repetiissent Armeniaci, quodque sermones de eo, quasi de Imperatore futuro in vulgus spargerentur, Constantinus verberibus cæsum & capillis detonsum in Prætorium detrusit. Porro Julio mense exercitum in Bulgaros expedivit, & Castrum Marcellorum condidit. Ejusdem vero mensis Julii die vicesimo, Cardamus Bulgariæ Domnus, copiis ditionis suæ omnibus eductis, postmodum in locis munitis substitit. Imperator juvenili ardore succensus & a falsis vatibus victoriam ei prænunciantibus seductus, inconsulte, & agminibus incompositis pugnam conferens, gravi clade afficitur. Urbem itaque fugitivus repetit, multis, non ex gregariis modo

Edit. Parif. pag. 395.

militibus, sed & viris in dignitate constitutis amissis, inter quos fuerunt Michael Magister Lachanodraco, Bardas Patricius, Stephanus Protospatharius, Chamæas, ac Nicetas, & Theognostus, qui Duces extiterant, hominesque ex Imperatorio comitatu non pauci: Pancratius etiam falsus ille vates & Astronomus, qui Imperatoris victoriam futuram prædixerat. Ad hæc Bulgari impedimentis, facultatibus, equis, & tentoriorum omnium apparatu, cum universa Imperatoria supellectile potiti fuerunt. Cæterum militares ordines in Urbem invecti Nicephorum Excæsarem educere, & Imperatorem renunciare consiliati sunt. Constantinus conjuratione patefacta, qui Constantini avi sui filium utrumque ad sancti Mamantis locum educerent, misit; ac Nicephorum quidem oculorum orbitate damnavit; Christophoro vero, Nicetæ, Anthimo, & Eudocimo linguas præscindi jussit: tum eis quoque Alexium, quem diximus, Patricium oculorum usu privavit, maternis maxime, & Stauracii Patricii, de quo hucusque frequens sermo, consiliis inductus, qui istum nisi oculis orbaretur, in Imperatorem electum iri asserebant. Supplicium itaque mense Augusto, Sabbati die, indictione decima quinta, hora nona, eis irrogatum. In spatium tamen haud diutinum injustum hujusmodi facinus inultum divina justitia distulit. Solius etenim quinquennii exactu intervallo ejusdem mensis & Sabbati die a propria matre Constantinus ipse oculis orbatus est.

A λαῷ, ἀλλὰ καὶ τῶν ἐν τέλει, ἐν οἷς καὶ Μιχαὴλ Μάγιστρον Λαχανοδράκοντα, καὶ Βάρδαν Πατρίκιον, καὶ Στέφανον Πρωτοσπαθάριον, τὸν Χαμέα, Νικήταν τε, καὶ Θεόγνωστον στρατηγοὺς γεγονότας, καὶ ἀνθρώπους βασιλικοὺς οὐκ ὀλίγους, καὶ Παγκράτιον τὸν ψευδοπροφήτην καὶ ἀστρονόμον, ὅς τις καὶ νικᾷν αὐτὸν προεφήτευσεν. ἐπείρασαν δὲ καὶ τὸ τοῦλδον, χρήματά τε, καὶ ἵππους καὶ τὴν κόρτην μετὰ πάσης τῆς βασιλικῆς ὑπουργίας. τῶν δὲ ταγμάτων ἐπισυναχθέντων ἐν τῇ πόλει, ἐβουλεύσαντο ἐξαγαγεῖν Νικηφόρον τὸν ἀπὸ Καισάρων, καὶ στῆσαι βασιλέα. τοῦτο γνοὺς Κωνσταντῖνος, ἀποστείλας ἐξήγαγεν ἀμφοτέρους τοὺς υἱοὺς Κωνσταντίνου τοῦ πάππου αὐτοῦ ἐν τῷ ἁγίῳ Μάμαντι· B καὶ τὸν μὲν Νικηφόρον ἐτύφλωσε, Χριστοφόρον δὲ, καὶ Νικήταν, Ἀνθιμόν τε, καὶ Εὐδόκιμον ἐγλωσσοκόπησε. σὺν αὐτοῖς δὲ καὶ Ἀλέξιον τὸν προλεχθέντα Πατρίκιον ἐτύφλωσε, πεισθεὶς δὲ ταῖς μητρικαῖς εἰσηγήσεσι, καὶ Σταυρακίου τοῦ προρρηθέντος Πατρικίου, ὡς εἰ μὴ τοῦτον ἐκτυφλώσειεν εἰς βασιλέα αὐτὸν ψηφίζονται. ἐγένετο δὲ ἡ τούτων ποινὴ μηνὶ Αὐγούστῳ, ἡμέρᾳ σαββάτῳ, ἰνδικτιῶνι ιέ. ὥρᾳ θ΄. ἀλλ᾽ οὐκ εἰς μακρὰν ἡ θεία δίκη ἀνεξεκδίκητον εἴασε τὴν ἄδικον ταύτην πρᾶξιν. μετὰ γὰρ πενταετῆ χρόνον τῷ αὐτῷ μηνὶ, καὶ τῇ αὐτῇ ἡμέρᾳ τοῦ σαββάτου τυφλοῦται ὑπὸ τῆς ἰδίας μητρὸς ὁ αὐτὸς Κωνσταντῖνος.

| | | 3 | 8 | 24 | 9 | | | |

C | | | γ΄ | η΄ | κδ΄ | θ΄ | | | |

Hoc anno Armeniaci cæcitatis Alexio Patricio illatæ accepto nuncio Theodorum Patricium Camulianum Ducem suum in custodiam conjecerunt. Ea re audita Constantinum Artaser Protospatharium, & Chrysocherem Bucellariorum Ducem cum reliquorum Thematum copiis ad Armeniacos in officio continendos misit. Illi bello in utrumque instructo, utrumque etiam in potestatem acceptum oculorum usu mulctant, plurima exercituum parte utrinque cæsa, indictionis primæ mense Novembri, Decembris porro die vicesimo quinto hora noctis secunda, aere crebris fulminibus & fulguribus turbato, Imperatoriarum officinarum ea pars, quæ ad aurificinam Phrygionibus assignata est, conflagravit. Celebratis autem Paschatis solemnibus, Thematibus universis una secum eductis, Imperator in Armeniacos vires imperii convertit. Mensis vero Maii die vicesimo septimo, indictione prima, ipsa Pentecostes festiva Dominica, prælio cum eis inito, sociorum Armeniorum dolis eos tradentium universos comprehendit Nicetas: ex quibus Andronicum Spatharium & eorum Turmarcham, Theophilum item Turmarcham, & Gregorium Sinopes Episcopum neci addicit: & in reliquos mulctis & proscriptionibus animadvertit. Mille porro ex ipsis vinculis constrictos ex ipsorum castro eductos in Urbem per Blachernarum portam introduxit: ac denique mensis Junii die vigesimo quarto, feria secunda, notata puncturis singulorum facie, & in ipsam atramento superinfuso, inscripsit: Armeniacus Insidiator: per Siciliam & reliquas insulas eus relegatos dispersit. Proditores autem Armenii, speratis ab Imperatore muneribus fraudati, Camachum castrum Arabibus tradiderunt.

pag. 396.

Τούτῳ τῷ ἔτει ἀκούσαντες οἱ Ἀρμενιακοὶ περὶ τοῦ Πατρικίου Ἀλεξίου, ὅτι ἐτυφλώθη, ἐφυλάκισαν τὸν στρατηγὸν αὐτῶν Θεόδωρον καὶ Πατρίκιον τὸν Καμουλιανόν. καὶ μαθὼν ὁ βασιλεὺς ἀπέλυσε τὸν Πρωτοσπαθάριον Κωνσταντῖνον τὸν Ἀρτασὴρ, καὶ τὸν Χρυσοχέρην στρατηγὸν τῶν Βουκελλαρίων μετὰ τοῦ λαοῦ τῶν λοιπῶν θεμάτων, τοῦ πεῖσαι αὐτούς. οἱ δὲ κροτήσαντες πόλεμον πρὸς αὐτοὺς, ἐπίασαν ἀμφοτέρους, καὶ ἐτύφλωσαν, καὶ ἐσφάγησαν πολλοὶ τῶν ἀμφοτέρων μερῶν μηνὶ Νοεμβρίῳ τῆς ά. ἰνδικτιῶνος· τῇ δὲ Δεκεμβρίου κέ. ὥρᾳ δευτέρᾳ τῆς νυκτὸς, βροντῆς καὶ ἀστραπῆς D γενομένης ἀνήφθη μέρος τῆς βασιλικῆς ἐργοδοσίας τῶν χρυσοκλαβαρίων κατὰ τὸν χρυσίωνα. μετὰ δὲ τὸ ἅγιον Πάσχα ἐπεστράτευσεν ὁ βασιλεὺς κατὰ τῶν Ἀρμενιακῶν μετὰ καὶ πάντων τῶν λοιπῶν θεμάτων. καὶ τῇ κζ΄. τοῦ Μαΐου μηνὸς τῆς πρώτης ἰνδικτιῶνος, ἡμέρα κυριακῇ τῆς Πεντηκοστῆς πολεμήσας αὐτοὺς, δόλῳ τῶν σὺν αὐτοῖς Ἀρμενίων προδεδωκότων, Νικήτας συλλαμβάνει αὐτοὺς, καὶ ἀναιρεῖ Ἀνδρόνικον Σπαθάριον καὶ Τουρμάρχην αὐτῶν, καὶ Θεόφιλον Τουρμάρχην, καὶ Γρηγόριον ἐπίσκοπον Σινώπης. τοὺς δὲ λοιποὺς ζημίαις καὶ δημεύσεσι καθυπέβαλλεν. χιλίους δὲ ἐκ τοῦ κάστρου E αὐτῶν δεσμήσας ἐν τῇ πόλει ἐξήγαγε διὰ τῆς πόρτης Βλαχερνῶν. μηνὶ δὲ Ἰουνίῳ κδ΄. ἡμέρᾳ δευτέρᾳ, ὧν ἐπιγράψας τὰ πρόσωπα μέλανι κεντητῷ, Ἀρμενιακὸς ἐπίβουλος, διέσπειρεν αὐτοὺς ἔν τε Σικελίᾳ, καὶ ταῖς λοιπαῖς νήσοις. οἱ δὲ προδόται αὐτῶν Ἀρμένιοι μηδὲν φιλοτιμηθέντες παρὰ τοῦ βασιλέως, τὸ κάστρον Κάμαχον παρέδωκαν τοῖς Ἄραψι.

| | δ' | ϑ' | κε' | ι' | | | |

A | | 4 | 9 | 25 | 10 | | | |

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνι δευτέρᾳ, παρέλαβον οἱ Ἄραβες τὸ κάστρον Θήβασαν ὑπὸ λόγον· διὸ καὶ τοὺς ἄρχοντας αὐτοῦ ἀπέλυσαν πορευθῆναι εἰς τὰ ἴδια.

Hoc anno mense Octobri, indictione secunda, Arabes, pactis conditionibus Thebasam urbem in potestatem miserunt: Eapropter loci Proceres in proprias domos se recipere permiserunt.

| | | ε' | ι' | κϛ' | ια' | | | |

| | 5 | 10 | 26 | 11 | | | |

Τούτῳ τῷ ἔτει μισήσας ὁ βασιλεὺς τὴν ἑαυτοῦ γυναῖκα Μαρίαν ὑποβολῇ τῆς ἑαυτοῦ μητρὸς ἐφιεμένης τῆς ἀρχῆς πρὸς τὸ καταγνωσθῆναι αὐτὸν ὑπὸ πάντων, ἐξεβιάσατο αὐτὴν γενέσθαι μονάστριαν, καὶ πείσας αὐτὴν, ἀπέκειρε μηνὶ Ἰανουαρίῳ, ἰνδικτιῶνι γ'. καὶ τῷ Ἀπριλλίῳ μηνὶ ἐπεστράτευσε κατὰ Ἀράβων· καὶ τῇ ὀγδόῃ τοῦ Μαΐου μηνὸς πολεμήσας μεθ' ἑνὸς τοῦ κούρσου αὐτῶν ἐν τόπῳ λεγομένῳ Ἀνουσὰν, νικήσας καὶ τρέψας, ἤλασεν ἕως τοῦ ποταμοῦ. καὶ κατελθὼν εἰς Ἔφεσον, καὶ εὐξάμενος εἰς τὸν Θεολόγον, τὸ κομμέρκιον τοῦ πανηγυρίου ἑκατὸν λιτρῶν χρυσίου ὂν, ἐκούφισε πρὸς θεραπείαν τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου. τῷ δὲ Αὐγούστῳ μηνὶ ἔστεψεν ὁ βασιλεὺς τὴν Θεοδότην τὴν Κουβικουλαρίαν Αὔγουσταν καὶ ἐμνηστεύθη αὐτῇ παρανόμως.

Hoc anno Imperator uxoris Mariæ consortii pertæsus, matris consilio, quæ ut imperandi potestatem ad se traduceret, cunctorum odiis filium exponere satagebat, Monialem eam fieri compulit: ac propositum hujusmodi persuasam in Monasterio capillis abdicavit mense Januario, indictione tertia. Insequente autem Aprili in Arabes expeditionem movit: subindeque mensis Maii die octavo, cum uno adversi exercitus Excursorum Duce manibus consertis victoriam tulit, & in fugam versum ad locum Anusam dictum usque ad fluvium abegit. Post hæc Ephesum divertit, & votorum precibus ad Theologum persolutis, nundinarum vectigal centum auri librarum pondo imminuit, & in sancti Apostoli & Evangelistæ Joannis cultum impendendum relaxavit. Mense vero Augusto Theodoten Cubiculariam Imperator coronavit Augustam, & illegitimo eam sibi copulavit conjugio.

| | | ϛ' | ια' | κζ' | ιβ' | | | |

C | | | 6 | 11 | 27 | 12 | | | |

Τούτῳ τῷ ἔτει, μηνὶ Σεπτεμβρίῳ, ἰνδικτ. δ'. ἐποίησε τὸν γάμον μετὰ Θεοδότης ὁ βασιλεὺς ἐν τῷ παλατίῳ τοῦ ἁγίου Μάμαντος, ἡμέρᾳ τετάρτῃ. τῷ δὲ Ἀπριλλίῳ μηνὶ τῆς αὐτῆς δ'. ἰνδικτιῶνος, ἡμέρᾳ ἑβδόμῃ, ὥρᾳ νυκτερινῇ, γέγονε σεισμὸς ἐν τῇ νήσῳ Κρήτῃ φοβερώτατος, ἐγένετο δὲ ἐν ΚΠ. μηνὶ Μαΐῳ τετάρτῃ πάνυ φοβερός. Κάρδαμος δὲ ὁ κύριος Βουλγαρίας ἐδήλωσε τῷ βασιλεῖ· ἢ τέλεσόν μοι πάκτα, ἢ ἔρχομαι ἕως τῆς Χρυσῆς πόρτης, καὶ ἐρημῶ τὴν Θρᾴκην. ὁ δὲ βασιλεὺς βάλλων καβαλλίνας ἀλόγων εἰς μανδύλιν, ἔπεμψεν αὐτῷ εἰπών· ὅτι οἷα μέν σοι πρέπει πάκτα, ἀπέστειλά σοι. γέρων δὲ εἶ· καὶ οὐ θέλω ἵνα κοπιάσῃς ἕως τοῦ ὧδε· ἀλλὰ ἐγὼ ἔρχομαι ἕως Μαρκέλλων, καὶ ἔξελθε. καὶ εἴτι κρίνει ὁ Θεός. καὶ ἀποστείλας ὁ βασιλεὺς τὰ περατικὰ θέματα ἐσώρευσε τὸν λαὸν αὐτοῦ, καὶ ἦλθεν ἕως Βερσινικίας, καὶ ὁ Κάρδαμος ἦλθεν ἕως τοῦ δάσους Ἀβρολέβα· καὶ δειλιάσας ἔμεινεν ἐν τῷ ἄλσει. ὁ δὲ βασιλεὺς παραθαρρύνας τὸν λαὸν αὐτοῦ, ἀπῆλθεν ἕως τοῦ γυμνοῦ Ἀβρολέβα προσκαλούμενος αὐτὸν ἐπὶ ἡμέρας ιζ'. ὁ δὲ οὐκ ἐτόλμησεν· ἀλλ' ἐπανῆλθε φυγὰς εἰς τὰ ἴδια. τῷ δ' αὐτῷ χρόνῳ καὶ οἱ Ἄραβες ἦλθον ἕως τοῦ Ἀμωρίου, καὶ οὐδὲν ἀνύσαντες (ὑπέστρεψαν αἰχμαλωσίαν εἰς τὰ περίχωρα ποιήσαντες.)

Hæc in Reg. non extantia ex Barberino supplentur.

Τῷ δ' αὐτῷ ἔτει Πλάτων ὁ τῶν Σακκουδίωνος ἡγούμενος ἀπέστη τῆς κοινωνίας Ταρασίου τοῦ Πατριάρχου, ὡς δεξαμένου τὸν βασιλέα εἰς κοινωνίαν, καὶ ἐπιτρέψαντος τῷ Κατηχητῇ τοῦ κουρεῦσαι τὴν γυναῖκα αὐτοῦ Μαρίαν, καὶ τῷ Ἀββᾷ Ἰωσὴφ τῷ ἡγουμένῳ τῶν Καθαρῶν τοῦ στεφανῶσαι αὐτὸν μετὰ τῆς Θεοδότης. καὶ τοῦτο

Hoc anno, mense Septembri, indictione quarta, feria hebdomadis quarta, Imperator, conjuncta sibi Theodote, in sancti Mamantis Palatio nuptias celebravit. Mense vero Aprili indictionis ejusdem quartæ, feria septima, hora nocturna, horrendus plane terræ motus in Creta insula contigit: Alius similis omnino tremendus CP. mensis Maii die quarto factus. Porro Cardamus Bulgariæ Dominus Imperatorem verbis interturbavit. Aut tributa mihi persolvere: aut ad Chrysen usque portam arma & per Thraciam universam vastitatem inferam. At Imperator involuta sudario equina stercora ad eum remisit, cum ejusmodi responsis: Tributa quæ te deceant misi. Senior autem cum sis, huc usque venientem te fatigari nolo, ego ad Marcellorum Castrum obvius prodibo. Tu fac illuc etiam te conferas. De successu Deus judicabit. Advocatis autem trans fretum positis copiis exercitum universum Imperator collegit, & Bersiniciam usque profectus est. Cardamus ex adverso ad Abrolebam Sylvam venit, & metu retentus luco se abdidit. Imperator animis exercitui additis ad lucum Abrolebam processit diebus continuis septemdecim, hostem ad pugnam lacessens: quam ille viribus diffidens inire recusavit, & in provinciam se recepit. Eodem anno Arabes Amorium usque irruperunt, nonnullisque captivis e vicino agro abductis, re infecta domum regressi sunt.

Edit. Paris. pag. 397.

Eodem etiam anno Plato Saccundionis Præpositus a Tarasii Patriarchæ communione se segregavit: quod ille communionis suæ participem redderet Imperatorem, & Catechistæ Imperatricis tondendæ potestatem fecisset, & Abbati Joseph Catharorum Præposito, ut eum cum Theodote ad nuptiales corollas admitte-

ret, parem dedisset veniam. Imperator accepto nuncio Bardanium Patricium & Scholarum Domesticum, & Joannem Opsicii Comitem misit, qui Platonem in Urbem inductum, in ergastulo ad Michaelis cælestis militiæ Principis in Palatio erectam ædem inclusit. Reliquos autem Monachos una cum Platonis nepotibus cæsos Thessalonicam relegavit: quos Irene ideo defendendos suscepit, quod filio adversarentur, & eum probris incesserent.

A γνοὺς ὁ βασιλεὺς ἀπέστειλε Βαρδάνιον τὸν Πατρίκιον καὶ Δομέστικον τῶν σχολῶν, καὶ Ἰωάννην τὸν Κόμητα τοῦ Ὀψικίου, καὶ εἰσήγαγε τὸν Πλάτωνα εἰς τὴν πόλιν, καὶ ἀπέκλεισεν εἰς Εγκλεῖστραν ἐν τῷ ναῷ τοῦ Ἀρχιστρατήγου ἐν τῷ παλατίῳ· τοὺς δὲ λοιποὺς μοναχοὺς σὺν τοῖς ἀνεψιοῖς αὐτοῦ τύψαντες, ἐξώρισαν ἐν Θεσσαλονίκῃ· οὓς ὑπερασπίζετο ἡ μήτηρ τοῦ βασιλέως, ὡς τῷ υἱῷ αὐτῆς ἀντιπαττομένους, καὶ καταισχύνοντας αὐτόν.

B

Hoc anno mense Septembri Imperator una cum matre thermarum aquis recreandus Prusam se contulit. Mense subinde Octobri quintæ indictionis, filium quem Leonem nominavit, ex conjuge suscepit: quo nuncio ad eum delato, matrem suam in thermis una cum omni Imperatorio comitatu & Aulicis relinquens, festinus in Urbem retro cessit. Ibi tempus accommodum Irene nacta cum ordinum militarium Ducibus colloquium habuit, & qua muneribus in eos sparsis, qua promissis majoribus, abrogato filio summam imperii ut sibi committerent, induxit: ac ita cunctos partim suis ipsius illecebris, partim familiarium suorum suasibus motos & illectos in suas partes transtulit: subindeque diem opportunum censuit expectandum. Porro Adriano Papa defuncto, Leo vir omni honore ac veneratione dignus in ejus locum Romæ suffectus est. Mense autem Martio Imperator Stauracium Patricium & reliquos matris amicos in comitatu habens, cum selectorum ex utrisque Thematibus levis armaturæ militum viginti millibus adversus Arabes movit. Conjurationis porro cum Stauracio initæ conscii tam militum quam Imperatoris ad pugnam alacritate comperta, veriti ne si Imperator vicisset, ipsi proposito sibi consilio exciderent: positos in excubiis milites donis corruperunt, ut falso assererent, Saracenos aufugisse. Quare graviter iratus Imperator re infecta in Urbem se recepit. Mensis vero Maii die primo Leo filius ejus moritur, cujus funus multo lachrymarum imbre prosequutus est. Cæterum Junii mensis die decimo septimo, indictione quinta, Imperatore post equestre Circi spectaculum ad sanctum Mamantem transeunte, Ordinum pariter, quos diximus, Duces obviam facti eum comprehendere moliri sunt. Conspecto periculo chelandio vectus, Pylas trajecit, in Orientalium Thema confugere meditatus. Porro homines matris amicissimi, quos ille ignorabat, ipsum comitabantur: sed & uxor ad Trytonem usque subsequuta est. Tunc comites ejus matris amici consilio inter se inito, dixerunt: Si reliqui milites ad Imperatorem umquam confluxerint, in libertatem asseret se, ac ubi consilium nostrum deprehenderit, confestim nos perdet. Mater autem ejus collectis ad Eleutheria, quos memoravimus, ex Ordinibus universis, Palatium ingressa est, & cum recivisset populi ad Imperatorem concurrentis numerum, graviter extimuit: jamque de mittendis ad eum Episcopis, per

Edit. Paris. pag. 398.

Τούτῳ τῷ ἔτει, μηνὶ Σεπτεμβ. ἐξῆλθεν ὁ βασιλεὺς σὺν τῇ μητρὶ αὐτοῦ ἐν τῇ Προύσῃ θερμῆσαι· καὶ τῇ ζ. τοῦ Ὀκτωβ. μηνὸς τῆς ε. ινδικ. ἐτέχθη τῷ βασιλεῖ υἱός, ὃν ἐπωνόμασε Λέοντα· καὶ μαθὼν ὁ βασιλεὺς καταλιπὼν τὴν μητέρα αὐτοῦ ἐν τοῖς θερμοῖς σὺν πάσῃ τῇ βασιλικῇ τάξει καὶ τοῖς ἄρχουσι, δρομαῖος εἰς τὴν πόλιν ὑπέστρεψεν. εὑροῦσα δὲ διορίαν ἡ τούτου μήτηρ προσελάλησε καὶ ὑπέσυρε δωρεαῖς καὶ ὑποσχέσεσι τοὺς τῶν ταγμάτων ἄρχοντας πρὸς τὸ καθελεῖν τὸν υἱὸν αὐτῆς, καὶ μονοκρατορῆσαι αὐτήν· τοὺς μὲν δι' ἑαυτῆς θωπεύσασα, τοὺς δὲ διὰ τῶν ἀνθρώπων αὐτῆς· καὶ εἵλκυσε πάντας πρὸς ἑαυτήν· καὶ ἐξεδέχετο ἡμέραν εὑρεῖν ἐπιτήδειον. ἐν δὲ τῇ Ῥώμῃ τελευτήσαντος Πάπα Ἀδριανοῦ, χειροτονεῖται Λέων ἀνὴρ τιμιώτατος, καὶ κατὰ πάντα αἰδέσιμος. τῷ δὲ Μαρτίῳ μηνὶ ἐξῆλθεν ὁ βασιλεὺς κατὰ Ἀράβων, ἔχων μεθ' ἑαυτοῦ Σταυράκιον τὸν Πατρίκιον, καὶ λοιποὺς φίλους τῆς μητρὸς αὐτοῦ, καὶ ἐκλογὴν μονοζώνων στρατιωτῶν ἐξ ἀμφοτέρων θεμάτων χιλιάδας εἴκοσι. ἰδόντες δὲ οἱ περὶ Σταυράκιον τὴν προθυμίαν τοῦ λαοῦ καὶ τοῦ βασιλέως, ἐφοβήθησαν μήπως πολεμήσας νικήσῃ, καὶ ἀστοχήσωσι τῆς κατ' αὐτοῦ βουλῆς. καὶ δωροδοκήσαντες τοὺς τῆς βίγλας ἔπεισαν αὐτοὺς ψεύσασθαι, ὅτι ἔφυγον οἱ Σαρακηνοί. ὁ δὲ βασιλεὺς πολλὰ λυπηθείς, ἄπρακτος εἰς τὴν πόλιν εἰσῆλθε. καὶ τῇ πρώτῃ τοῦ Μαΐου μηνὸς τέθνηκεν ὁ υἱὸς αὐτοῦ Λέων, καὶ ἐθρήνησεν αὐτὸν σφόδρα. τῇ δὲ ιζ. τοῦ Ἰουνίου μηνός, ινδικτιῶνι ε. ἐξ ἱππικοῦ ἀγῶνος περάσαντος τοῦ βασιλέως ἐν τῷ ἁγίῳ Μάμαντι ἐπέρασαν κατ' αὐτοῦ οἱ τῶν ταγμάτων προλαλημένοι, ὥστε πιάσαι αὐτόν. ὁ δὲ τοῦτο μαθών, εἰσῆλθεν εἰς τὸ χελάνδιον αὐτοῦ, καὶ ἐπέρασεν εἰς Πύλας, βουλόμενος εἰς τὸ θέμα τῶν Ἀνατολικῶν προσφυγεῖν. συνῆσαν δὲ αὐτῷ καὶ οἱ τῆς μητρὸς αὐτοῦ φίλοι ἀγνοούμενοι παρ' αὐτοῦ. ἐξῆλθε δὲ καὶ ἡ γυνὴ αὐτοῦ ἕως τοῦ Τρίτωνος. συμβουλευσάμενοι δὲ οἱ συνόντες αὐτῷ φίλοι τῆς μητρὸς αὐτοῦ, εἶπον πρὸς ἑαυτούς. ἐὰν ἐπισυναχθῇ αὐτῷ λαός, οὐκ ἔτι κρατοῦνται, καὶ ἡ λανθάνομεν αὐτῷ, καὶ ἀπολεῖ ἡμᾶς. καὶ ἡ μήτηρ δὲ αὐτοῦ ἐπισωρεύσασα ἐν τοῖς Ἐλευθερίοις τοὺς τῶν ταγμάτων προλαληθέντας αὐτῇ, εἰσῆλθεν ἐν τῷ παλατίῳ, καὶ μαθοῦσα τὴν τοῦ λαοῦ πρὸς τὸν βασιλέα συνδρομήν, ἐφοβήθη λίαν, καὶ ἐσκέπτετο ἀπολῦσαι ἐπισκόπους πρὸς αὐτόν, καὶ λαβεῖν λόγον, καὶ καθίσαι εἰς

C D E

γωνίαν. ἔγραψε δὲ λάθρα πρὸς τοὺς συνόντας αὐτῷ φίλους αὐτῆς. ὅτι εἰ μὴ ποιήσητε τινὰ τρόπον, καὶ παραδώσητε αὐτὸν, τοὺς λόγους οὓς ἔχετε μετ᾽ ἐμοῦ, μηνύσειν ἔχω τῷ βασιλεῖ. οἱ δὲ φοβηθέντες, ἐκράτησαν αὐτὸν εἰς παράκλησιν· καὶ εἰσενέγκαντες εἰς χελάνδιον κατέλαβον ἐν τῇ πόλει τῷ σαββάτῳ τῇ ιε΄. τοῦ αὐτοῦ μηνός. καὶ ἀπέκλεισαν αὐτὸν ἐν τῇ Πορφύρᾳ, ἐν ᾗ ἐγεννήθη. καὶ περὶ ὥραν ἐννάτην ἐκτυφλοῦσι δεινῶς πρὸς τὸ ἀποθανεῖν αὐτὸν, γνώμῃ τῆς μητρὸς αὐτοῦ, καὶ τῶν συμβούλων αὐτῆς. ἐσκοτίσθη δὲ ὁ ἥλιος ἐπὶ ἡμέρας ιζ΄. καὶ οὐκ ἔδωκε τὰς ἀκτῖνας αὐτοῦ, ὥστε πλανᾶσθαι τὰ πλοῖα, καὶ φέρεσθαι, καὶ πάντας λέγειν καὶ ὁμολογεῖν, ὅτι διὰ τὴν τοῦ βασιλέως τύφλωσιν ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέθετο· καὶ οὕτω κρατεῖ Εἰρήνη ἡ μήτηρ αὐτοῦ.

Τῷ δ᾽ αὐτῷ ἔτει καὶ οἱ τῆς Ῥώμης συγγενεῖς τοῦ μακαρίου Πάπα Ἀδριανοῦ συγκινήσαντες τὸν λαὸν, ἐπανέστησαν κατὰ Λέοντος τοῦ Πάπα, καὶ κρατήσαντες ἐτύφλωσαν αὐτόν· οὐ μέντοι ἠδυνήθησαν τελέως σβέσαι τὸ φῶς αὐτοῦ, τῶν τυφλωσάντων αὐτὸν φιλανθρώπων ὄντων, καὶ φεισαμένων αὐτοῦ. ὁ δὲ προσφυγὼν τῷ ῥηγὶ τῶν Φράγγων Καρούλλῳ, ἠμύνατο τοὺς ἐχθροὺς πικρῶς, καὶ πάλιν κατέστησεν αὐτὸν εἰς τὸν ἴδιον θρόνον, γενομένης τῆς Ῥώμης ἀπ᾽ ἐκείνου καιροῦ ὑπὸ τὴν ἐξουσίαν τῶν Φράγγων. ὁ δὲ τὸν Κάρουλλον ἀμειβόμενος, ἔστεψεν αὐτὸν εἰς βασιλέα Ῥωμαίων ἐν τῷ ναῷ τοῦ ἁγίου Ἀποστόλου Πέτρου, χρίσας ἐλαίῳ ἀπὸ τῆς κεφαλῆς ἕως ποδῶν, καὶ περιβαλὼν βασιλικὴν ἐσθῆτα καὶ στέφος, Δεκεμβρίῳ κε΄. ἰνδικτιῶνι ἐννάτῃ.

		Παρα. Βασιλεύει Εἰρήνη πάλιν ἔτη ε΄. α΄	ιγ΄	β΄	ιδ΄			

quos securitate ab eo impetrata, in domus angulum privata secederet, meditabatur. Prius tamen ad amicos, qui cum filio erant, scripsit. Nisi rationem qua filium mihi tradatis inieritis, colloquia inter nos habita ipsi aperiam. Illi timore correpti, Constantinum precibus vacantem comprehendunt: & chelandio ab ipsis impositum, Sabbato mensis ejusdem die decimo quinto in Urbem summo mane deductum, in Porphyra, qua primum in lucem prodiit, includunt: & circa horam nonam tanta immanitate illi oculos confodere ex matris & consiliariorum ejus sententia, ut pene mortem inferrent. Sol tunc per dies septemdecim nulla radiorum emissa luce ita obscuratus est, ut errantia per mare navigia temere circumferrentur; omnesque palam assererent, ob Imperatoris excæcationem solem se suis radiis abdicasse. Ita mater ejus Irene imperium obtinuit.

Edit. Paris. pag. 399.

Eodem etiam anno Beati Adriani Papæ Romani affines tumultu in Leonem Papam excitato, oculis eum mulctaverunt. Verum cum homines ad eum excæcandum deputati, misericordia ducti, ei pepercissent aliquatenus, haud ei penitus oculorum lumen extinctum est. Leo subinde ad Carolum Francorum Regem confugit: Rex ejus adversarios graviter ultus in propriam sedem eum iterum restituit: & sub id tempus primum ac deinceps in Francorum potestatem Roma cessit. Leo Carolo Regi vicem relaturus, eum capite ad imos usque pedes oleo perunctum in sancti Apostoli æde Imperatorem salutatum corona redimivit, Imperatoria veste circumdedit, & capitis ornamenta contulit, mensis Decembris die vicesimo quinto indictione nona.

		Rom. Imperatrix Irene secundo annus 5. 1	13	2	14			

Τούτῳ τῷ ἔτει κρατήσασα Εἰρήνη τῆς βασιλείας, παραυτίκα ἀποστέλλει Δωρόθεον τὸν ἡγούμενον Χρυσοπόλεως, καὶ Κωνσταντῖνον Χαρτοφύλακα τῆς μεγάλης ἐκκλησίας πρὸς Ἀβιμέλεχ ληϊζόμενον τὰ μέρη Καππαδοκίας καὶ Γαλατίας, πρεσβευόμενα περὶ εἰρήνης· οὐ γέγονε δέ. τῷ Νοεμβρίῳ μηνὶ τινὲς νεωτερίσαι φρουρουμένοις τοῖς υἱοῖς τοῦ θεομάχου Κωνσταντίνου ἐν τῷ παλατίῳ τῆς Θεραπείας, πείθουσιν αὐτοὺς προσφυγεῖν τῇ ἐκκλησίᾳ, καὶ δῆθεν αἰτήσασθαι ἀσφάλειαν τῆς μετὰ ταῦτα ἀβλαβείας αὐτῶν, ὡς διὰ τοιαύτης προφάσεως ἀναγορεῦσαι βασιλέα. καὶ πολλοῦ λαοῦ ἐν τῇ ἐκκλησίᾳ προσδραμόντος, εἰσελθὼν Ἀέτιος ὁ εὐνοῦχος Πατρίκιος ἐξήγαγεν αὐτοὺς λόγῳ, μηδενὸς αὐτοῖς προσέχοντος, καὶ ἐξώρισεν αὐτοὺς εἰς Ἀθήνας. οἱ δὲ δύο Πατρίκιοι, ὅ τε Σταυράκιος, καὶ Ἀέτιος ἐπιστήθιοι ὄντες τῆς βασιλίσσης, γεγόνασι κατ᾽ ἀλλήλων, ὥστε φανερῶς τὴν ἔχθραν ἐπιδείκνυσθαι, ἀμφότεροι σκοπὸν μετὰ θάνατον αὐτῆς τοῖς ἰδίοις συγγενέσι τὴν βασιλείαν περιποιήσασθαι.

			β΄	ιδ΄	γ΄	ιε΄			

Hoc anno Imperatrix Irene imperio potita, Dorotheum Chrysopoleos Præpositum, & Constantinum magnæ Ecclesiæ Chartophylacem, ad Ablmelech Cappadociæ & Galatiæ provincias hostiliter depopulantem, de pace cum eo componenda Legatos misit: sed incassum abiere de pace tractatus. Novembri mense nonnulli rerum novandarum cupidi, filii Dei hostis Constantini ad Therapiæ Palatium sub custodia detenti, ad magnam Ecclesiam ut confugiant, ibique propriæ securitatis in futurum cautionem petant, ut videlicet hujus rei obtentu aliquem ex eis Imperatorem populus salutaret, auctores fiunt. Populo igitur turmatim ad Ecclesiam confluente, Aetius Eunuchus ingressus, fide ipsis data, nullo incolumitati eorum providente, ipsos eduxit, & Athenas exules deportari commisit. Cæterum duo Patricii Stauracius & Aetius Imperatricis Intimi eo discordiarum processerunt, ut inimicos invicem palam se professi fuerint: Etenim uterque de imperio familiæ suæ ac sanguine sibi post Irenes mortem conciliando sententiam animo proposuerat.

pag. 400.

			2	14	3	15			

Hoc anno Abimelech in Romaniam suscepta profectione cum prædatoriis militum expeditorum turmis adusque Mangana penetravit. Inde vero ex improviso in Stauracii stabula irruens, ejus equis, nec non ipso, quo Imperatrix vehebatur, equitatu raptis, citra damnum pedem retulit. Cæteri vero in Lydiam usque penetrantes, maximam prædam inde reportaverunt. Alterum autem eorum agmen excursionibus exercitatum, in Paulum Patricium Opsicii Comitem incidens, multa cæde in universum exercitum, & ejus Optimates debacchatum est: & accepto belli toto apparatu, ipsum postmodum restituit: & ad suos semisit. Mense autem Martio indictionis septimæ Acamerus Sclavinorum Belzetiæ Princeps a Græcis quibusdam excitus filios Constantini in libertatem asserere molitus, ex eis nonneminem Imperatorem creare statuit: quod ubi Imperatrix Irene accepit, ad Constantinum, cognomento Serantapechum, Patricium ejus filium, qui tum Spatharius erat & Imperatricis ipsius nepos, Theophylactum misit, qui omnes oculis orbavit: atque ita paratam in se conjurationem dissipavit. Sancti vero Paschatis feria secunda Imperatrix a sanctorum Apostolorum æde processum solemnem fecit curru aureo, quem quatuor equi candidi trahebant, vecta: Currum regebant Patricii quatuor, Bardanes, inquam Thracensium Dux, Sisinnius ipsius Thraciæ pariter Dux, Nicetas Scholarum Domesticus, & Constantinus Boelas: Ipsa Imperatrix Consulari more munera in populum spargebat. Mense Majo Imperatrix adeo graviter infirmata est, ut morti quam proximam dixerint: ex quo inter Eunuchos invidia & dissensio succrevit. Aetius autem ascito sibi Niceta Patricio & Scholarum Domestico Stauracio se fortiter opponebat, & adversabatur; adeo ut eum imperii ambitione teneri in Imperatricis animum inducere potuerint. Illa impotens iræ ad Hierii Palatium se contulit, dicens: ipsum tumultuum & seditionum inventorem & auctorem, propriam sibi perniciem conciliaturum. At ipse defensione sui suscepta, causam propriam apud Imperatricem & pro jure suo tutabatur. In Aetium itaque & Nicetam præfatos Patricios rabiem suam convertit.

A Τούτῳ τῷ ἔτει ἐξῆλθεν Ἀβιμέλεχ κατὰ Ῥωμανίας, καὶ ἀποστείλας κοῦρσον μονοζώνων, κατῆλθεν ἕως τῶν Μαγγάνων. καὶ ἐπιφθάσαντες ἐν τοῖς στάβλοις Σταυρακίου τοὺς ἵππους, καὶ τὴν βασιλικὴν προμοσέλλαν λαβόντες, ὑπέστρεψαν ἀβλαβῶς· καὶ οἱ λοιποὶ κατῆλθον ἕως Λυδίας, καὶ πολλὴν αἰχμαλωσίαν ἔλαβον. κοῦρσον δὲ αὐτῶν ἕτερον ἐκδραμὸν, καὶ ἐπιπεσὸν Πέτρῳ τῷ Πατρικίῳ καὶ Κόμητι τοῦ Ὀψικίου σὺν ὅλῳ τῷ θέματι αὐτοῦ, καὶ τοῖς ὀπτιμάτοις, πολλὴν κοπὴν εἰς αὐτοὺς ἐποίησεν. ἐπῆραν δὲ καὶ τὸ τοῦλδον αὐτῶν. ὑπέστρεψε δὲ αὐτόν. τῷ δὲ Μαρτίῳ μηνὶ τῆς ζ. ἰνδικτιῶνος, ἠβουλήθη Ἀκαμῆρος ὁ τῶν Σκλαβινῶν τῆς Βελζητίας ἄρχων νυχθεὶς ὑπὸ τῶν Ἑλλαδικῶν ἐξαγαγεῖν τοὺς υἱοὺς Κωνσταντίνου, καὶ προχειρίσασθαι ἐξ B αὐτῶν βασιλέα. γνοῦσα δὲ τοῦτο ἡ βασίλισσα Εἰρήνη, ἀποστέλλει πρὸς τὸν Πατρίκιον Κωνσταντῖνον τὸν Σεραντάπηχον Θεοφύλακτον τὸν υἱὸν αὐτοῦ Σπαθάριον ὄντα καὶ ἀνεψιὸν αὐτῆς, καὶ πάντας ἐτύφλωσε, καὶ διεσκέδασε τὴν κατ' αὐτῆς βουλὴν αὐτῶν. τῇ δὲ ἁγίου Πάσχα τῇ δευτέρᾳ ἡμέρᾳ προῆλθεν ἡ βασίλισσα ἀπὸ τῶν ἁγίων Ἀποστόλων ἐπὶ ἁρμάματος χρυσοῦ ἐποχουμένη τέσσαρσιν ἵπποις λευκοῖς συρομένου, καὶ ὑπὸ τεσσάρων Πατρικίων κρατουμένου. φημὶ δὴ Βαρδάνου στρατηγοῦ Θρακησίων, καὶ Σισιννίου στρατηγοῦ τῆς Θρᾴκης, καὶ Νικήτα Δομεστίκου τῶν σχολῶν, καὶ C Κωνσταντίνου τοῦ Βόιλα, ῥίψασα ὑπατείαν ἀφθόνως. τῷ δὲ Μαΐῳ μηνὶ ἐνόσησεν ἡ βασίλισσα παραπλησίον θανάτου· καὶ ἐπέτειλεν ἡ ἔρις τῶν εὐνούχων. Αἔτιος δὲ προσελάβετο Νικήταν τὸν Πατρίκιον καὶ Δομέστικον τῶν σχολῶν, καὶ ἀντέπιπτε δεινῶς τῷ Σταυρακίῳ, πείθοντες καὶ τὴν βασίλισσαν, ὅτι τοῦ κράτους ἐφίεται· καὶ θυμωθεῖσα δεινῶς αὐτῷ, ἐπέρχεται ἐν τῷ παλατίῳ τοῦ Ἱερείου εἰποῦσα· μούλτων καὶ στάσεων φροντιστὴν αὐτὸν εἶναι, καὶ ἑαυτῷ προξενοῦντα ταχίστην ἀπώλειαν. ὁ δὲ προσαπολογησάμενος αὐτῇ, ἠσφαλίζετο ἑαυτόν· ἐμαίνετο δὲ κατὰ Αετίου, καὶ Νικήτα προῤῥηθέντων Πατρικίων. D

| | 3 | 15 | 4 | 16 | | | |

| | | γ' | ιε' | δ' | ις' | | | |

Edit. Paris. pag. 401.

Hoc anno, mense Februario, indictione octava memoratus Stauracius Scholariorum & Excubitorum unaque Ductorum animis donis ac muneribus sibi conciliatis seditionem atque rebellionem in ipsam Imperantem Urbem commovit. Piissima vero Irene Senatu ad Justiniani Triclinium indicto, singulos quosque in militia mereri solitos ad Stauracium accedere prohibuit: Ex quo rerum tranquillitas ad breve tempus emersit. Aetius autem, quem diximus, ac Nicetas cum aliis quibusdam Stauracium insectabantur. Interim ille corde syderatus, sanguinem spumosum thoracis & pulmonis partibus emissum ore evomens medicis ad spectaculum confluentibus mortis argumentum dedit inevitabile: quamvis in adversum reliqui adulatores insani, haud medici tantum, sed & irreligiosi Monachi & præstigiatores ad ultimum obitus ipsius diem, qui mensis Junii indictionis ejusdem octavæ tertius fuit, illum diutius victurum, & imperio potiturum temere affirmarent.

Τούτῳ τῷ ἔτει, μηνὶ Φεβρουαρίῳ, ἰνδικτ. η'. ὁ Σταυράκιος προῤῥηθεὶς τυραννίδα καὶ στάσιν κατὰ τὴν βασιλεύουσαν πόλιν * συνεζεῦξε τοὺς ἐν αὐτῇ Σχολαρίους καὶ Ἐξκουβίτορας ἅμα τοῖς ἄρχουσι, αὐτῶν δεξιούμενος χρήματι, καὶ δωρεαῖς. Εἰρήνη δὲ ἡ εὐσεβὴς σιλέντιον ποιήσασα ἐν τῷ Ἰουστινιανοῦ τρικλίνῳ, πάντα στρατευόμενον ἐκώλυσε προσπελάζειν τῷ Σταυρακίῳ. καὶ οὕτως ἔτυχε μικρᾶς εὐταξίας τὰ πράγματα. Αἔτιος δὲ ὁ προῤῥηθεὶς καὶ Νικήτας σὺν ἄλλοις τισὶ κατηγωνίζοντο Σταυρακίῳ. ὁ δὲ καρδιόπληκτος E γενόμενος αἷμα διὰ τοῦ στόματος ἀνῆξεν ἀφρῶδες ἐκ τῶν κατὰ θώρακα καὶ πνεύμονα μορίων. τοῦτο οἱ ἰατροὶ θεασάμενοι θανάσιμον ἀπεφήναντο· οἱ δὲ λοιποὶ κόλακες ἀνόητοι, οὐ μόνον ἰατροὶ, ἀλλὰ καί τινες ἀμόναχοι μοναχοὶ, καὶ γόητες, ἔπειθον ὅρκοις ἕως τῆς αὐτῆς ἡμέρας τῆς τελευτῆς αὐτοῦ, ἣ γέγονε κατὰ τὸν Ἰούνιον μῆνα τῆς αὐτῆς ὀγδόης ἰνδικτιῶνος ἡμέρᾳ τρίτῃ, ὅτι ζήσεται καὶ βασιλεύσει.

* Barber. συνεσκεύασεν

οἷς ὑπερεριδόμενος στάσιν ἐν τοῖς Καππαδοκίαις συνεσκεύασε κατὰ Αετίου γενέσθαι, ἧς οὐκ ἠξιώθη ζῶν ἀκοῦσαι· μετὰ γὰρ δύο ἡμέρας τοῦ θανεῖν αὐτὸν, κατέλαβεν ἡ ταύτης φάσις· καὶ οἱ στασιασταὶ συλληφθέντες ἐξορίαις καὶ τιμωρίαις ὑπεβλήθησαν.

His ille vaticiniorum ludicris delectatus, seditionem in Cappadociis Aetio perdendo commoveri disposuit, cujus exitum ut audiret, minime sors contulit. Post duos quippe ab ejus obitu dies, de illa primus advenit nuncius: & in seditionis auctores comprehensos, exiliis & suppliciis animadversum est.

	δ'	ϛ'	ε'	ζ'			

			4	16	5	17		

Τούτῳ τῷ ἔτει, μηνὶ Δεκεμβρίῳ κε'. ἰνδικτ. θ'. Κάρουλλος ὁ τῶν Φράγγων ῥὴξ ἐστέφθη ὑπὸ Λέοντος τοῦ Πάπα· καὶ βουληθεὶς κατὰ Σικελίας στόλῳ παρατάξασθαι μετεβλήθη, ζεῦξαι μᾶλλον Εἰρήνην βουληθεὶς, πρέσβεις εἰς τοῦτο πέμψας τῷ ἐπιόντι χρόνῳ ἰνδικτιῶνι ι'. τῷ δὲ Μαρτίῳ μηνὶ τῆς θ'. ἰνδικτιῶνος Εἰρήνη ἡ εὐσεβὴς Βυζαντίοις τοὺς πολιτικοὺς ἐχαρίσατο φόρους, καὶ τῆς Ἀβύδου καὶ τοῦ Ἱεροῦ τὰ λεγόμενα κομμέρκια ἐκούφισε, μεγάλως ἐπὶ τούτοις σὺν ἄλλοις πολλαῖς εὐχαριστηθεῖσα εὐεργετήμασι.

Hoc anno, quo indictio nona numerata est, mensis decembris die vicesimo quinto, Francorum Rex Carolus a Leone Papa coronatus est: Siciliamque classe adoriri meditatus, consilium mutavit, cum Irene conjugium & pacem contrahere animo gerens, cujus gratia insequente anno indictione nimirum decima Legatos destinavit. Mense porro Martio indictionis nonæ piissima Irene Byzantiis civilia remisit vectigalia, & ea quæ apud Abydum & Hierum dicuntur Commercia ex parte relaxavit: pro quibus aliisque plurimis beneficiis populus maximas ei grates retulit.

		ε'	ζ'	ϛ'	ω'			

			5	17	6	18		

Τούτῳ τῷ ἔτει Αέτιος ὁ Πατρίκιος ἀπαλλαγεὶς Σταυρακίου, καὶ ἀπομεριμνήσας, τὸ κράτος εἰς τὸν ἴδιον ἀδελφὸν μετενέγκαι ἔσπευδεν, ὃ καὶ προεβάλετο μονοστράτηγον εἴς τε τὴν Θρᾴκην καὶ Μακεδονίαν, αὐτὸς τὰ περατικὰ θέματα κατέχων Ἀνατολικοὺς, καὶ τὴν Ὀψίκιον· ἐπάρσεως δὲ μεστὸς ὑπάρχων, τοὺς ἐν τέλει ἄρχοντας κατευτελίζων, ἀντ' οὐδενὸς ἐλογίζετο· οἱ καὶ λυπηθέντες κατ' αὐτοῦ σφόδρα στάσιν κατὰ τῆς βασιλίσσης μελετήσαντες, εἰς ἔργον ἐξήνεγκαν. ἔφθασαν δὲ οἱ ἀποσταλέντες παρὰ Καρούλλου Ἀποκρισιάριοι καὶ τοῦ Πάπα Λέοντος πρὸς τὴν Εἰρήνην, αἰτούμενοι ζευχθῆναι αὐτὴν τῷ Καρούλλῳ πρὸς γάμον, καὶ ἑνῶσαι τὰ Ἑῷα καὶ τὰ Ἑσπέρια, ὅπερ ὑπήκουσεν ἄν, εἰ μὴ ὁ Αέτιος οὗτος ὁ πολλάκις ἐκώλυσε παραδυναστεύων, καὶ τὸ κράτος εἰς τὸν ἴδιον ἀδελφὸν σφετεριζόμενος.

Hoc anno Aetius Patricius Stauracii metu liber, & ab ea cura exoneratus, summam imperii potestatem in fratrem suum transferre operam omnem adhibebat: qua de causa supremum exercitus Ducem per Thraciam & Macedoniam eum institui curaverat, ipse qui Orientalium & Opsicianorum Themata trans fretum posita regebat. Tali arrogantia plenus & exæstuans, proceres ad dignitates erectos despiciens, reliquos nihil æstimandos opinabatur. Quare graviter irati, seditionem in Imperatricem parantes, eam ad finem perducere moliti sunt. Porro Apocrisiarii a Carolo & a Leone Papa missi Irenem Carolo matrimonio conjungendam, atque ita Orientis & Occidentis imperia in unum componenda postulantes advenerunt: quibus ipsa assensura erat, si non Aetius iste post Imperatricem, ut sæpe memoravimus, cuncta administrans, ac imperium in fratrem transferre meditatus, ejus se consiliis opposuisset.

Edit. Paris. pag. 402.

		Ρωμ. βασιλ. Νικηφόρος ἔτη θ'. α'.	ω'	ζ'	ιθ'			

		Rom. Impe. Nicephor. annis 9. 1	18	7	19			

Τούτῳ τῷ ἔτει, μηνὶ Ὀκτωβρίῳ λα'. ἰνδικτιῶνι ια'. ὥρᾳ νυκτερινῇ δ'. ἐπιφωσκούσης ἡμέρας δευτέρας, Νικηφόρος Πατρίκιος καὶ Γενικὸς Λογοθέτης ἐτυράννησε κατὰ τῆς εὐσεβεστάτης Εἰρήνης, Θεοῦ μὲν συγχωρήσαντος ἀφάτοις κρίμασι διὰ πλῆθος ἁμαρτιῶν ἡμῶν, συνεργησάντων δὲ αὐτῷ Νικήτα Πατρικίου καὶ Δομεστίκου τῶν σχολῶν, καὶ Σισιννίου Πατρικίου καὶ ἀδελφοῦ αὐτοῦ, τῶν δολερῶν καὶ ἐπιόρκων Τριφυλλίων. συνῆσαν δὲ αὐτοῖς καὶ Λέων Πατρίκιος ὁ Σεραντάπηχος, καὶ Γρηγόριος ὁ Πατρίκιος ὁ Μουσουλακίου, καὶ Θεόκτιστος ὁ Πατρίκιος καὶ Κοιαίστωρ, καὶ Πέτρος Πατρίκιος, ἀπατήσαντες καί τινας τῶν ἀρχόντων τοῦ λαοῦ τῶν ταγμάτων. καταλαβόντες δὲ τὴν λεγομένην Χαλκῆν, καὶ τοὺς φύλακας ἀθρόως ψευδῶς ἀπατήσαντες, ἐποίησαν, ὅτι παρ'

Hoc anno mensis Octobris die tricesimo primo, indictione undecima, hora noctis quarta illucescentis feriæ secundæ, Nicephorus Patricius & Generalis Logotheta, in piissimam Irenem, Deo delictorum nostrorum multitudine irritato, & ineffabilibus suis judiciis ita permittente, tyrannidem excitavit, adjutoribus ad id usus Niceta Patricio & Scholarum Domestico, & Sisinnio similiter Patricio ejus fratre dolosis & perjuris Triphylliis. Adjunxere se illis Leo Patricius Serantapechus, & Gregorius Patricius Musulacii filius, & Theoctistus Patricius & Quæstor, & Petrus Patricius, qui quosdam ex Ducibus militarium Ordinum in partes suas fraudulenter pertraxerunt. Postremum autem occupata, quæ Chalce dicitur, custodes aliud cogitantes mendaciis deceptos in id inducunt, ut credant, Imperatricis mandato

Nicephorum Imperatorem renunciaturos se missos, quæ nimirum a Patricio Aetio, ut fratrem ejus Leonem invita ad imperium promoveat, & Principem declaret, cogi se experiatur. Illi mendacio facilem adhibentes fidem, tyrannum salutaverunt Imperatorem: atque ita ad Palatium majus iidem Patricii progressi, in illud se immiserunt. Inde viris ea populi fæce & servis per totam Urbem missis, Imperatoris designationem ante noctis medium perfecere, & ad Eleutherii Palatium, quo contigit Irenem tunc morari, custodes constituerunt: eamque deinde sub diluculum ea eo loco translatam in magno Palatio incluserunt: tum vero hominem nefarium coronaturi in magnam Ecclesiam profecti sunt. Ad eum cum universus populus coovenisset, maledictis in eum qui coronam imponeret, ac qui susciperet, vel qui collætaretur, conjectis, res indigne gestas ægre ferebant. At pietati quidem & rationi consona videntes divinam sententiam mirabantur, quæ permitteret

Edit. Parif. pag. 403.

fœminam pro rectæ fidei defensione nuper decertantem, & plurimos labores passam, a porculatore imperio deturbari, devinctioribus illius amicis ad eum ob avaritiam deficientibus, Leone, inquam, Sinopensi Patricio & Sacellario, ac Deo invisis Triphylliis, qui muneribus ab ea acceptis ditati, & frequentius ad ejus mensam blande & cum illecebris invitati, rebus universis, quas mundus exhibet, amicitiam ejus præponendam fore, horrendis etiam juramentis interpositis, affirmaverunt: Alii rerum gestarum stupore perculsi, quasi de veritate dubii, somniis se deludi arbitrabantur: Alii rea futuras solertius conjicere docti, præterita prosperitate laudata, imminentem sub inducenda tyrannide calamitatem, qui maxime pravam tyranni sententiam fuerant experti, deflebant. Generatim dicam, omnes mentis caligo solatiique expers desperatio invaserat, ne si incompositos singulorum sermones referam, longiorem efficiam orationem. Quinetiam ipsa præter naturam aeris constitutio, quæ illa die visa horrenda & plane obscura fuit, frigusque intolerabile, quod tum, quamvis Autumnus esset, ingruebat, futuram hujus væcordiam, malitiamque minime tolerandam ipsius maximo fautoribus manifesto portendebat. Postridie quippe nonnullis Patriciis comitatus ad Imperatricem sub custodia detentam se contulit, familiarisque sibi benevolentiæ fallacem speciem, qua multos decepit, præ se ferens, invitum omnino ad imperium, (ab ejus siquidem, ajebat, cupidine alienus erat,) evectum se excusabat, eam proditoris Judæ instar Dominum cœna se excipientem tradentis diris ea affectu devovebat, cujus rei testes ipse proprios morum imitatores proferebat. Simul autem nigra calceamenta ostentans, illis præter Impp. mores lubenter indui affirmabat. Quare eam sibi confidere cum juramentis monitam corporis solatium omne, quale decet Imperatricem a servo, a se expectare, nullamque perniciem ea calamitoso hujusmodi casu in eam derivandam timere hortabatur. Damnato præterea, qui nonnumquam in avaritiam est affectu, collectorum ab Imperatoribus thesaurorum, quos ipsa sibi retinere non posset, nil sibi occultare precabatur. Morbo quippe illo gravius laborabat homo auri voracissimus, spem suam omnem in congesta di-

A αὐτοὺς ἀποστείλασαν ἀναγορεῦσαι βασιλέα τὸν αὐτὸν Νικηφόρον, διὰ τὸ τὸν αὐτὸν Πατρίκιον Αέτιον βιάζεσθαι αὐτὴν τὸν ἑαυτοῦ ἀδελφὸν Λέοντα ἀναγορεῦσαι βασιλέα. οἱ δὲ πιστώσαντες τὸ τηλικοῦτον ψεῦδος, συνανηγόρευσαν βασιλέα τὸν τύραννον. οὕτως οὖν ἐπὶ τὸ μέγα παλάτιον ἐλθόντες οἱ αὐτοὶ Πατρίκιοι, εἰσῆλθον ἐν αὐτῷ. κἀκεῖθεν ἀποστείλαντες καθ' ὅλης τῆς πόλεως ἀσήμους τινὰς καὶ δούλους, τὴν ἀναγόρευσιν ἐποιήσαντο πρὸ τοῦ μεσονυκτίου, καὶ φύλακας περιέστησαν τῷ παλατίῳ τῶν Ἐλευθερίου, ἐν ᾧ συνέβη αὐτὴν εἶναι. ὄρθρου δὲ μεταστειλάμενοι αὐτὴν, κατέκλεισαν ἐν τῷ μεγάλῳ παλατίῳ· καὶ οὕτω προῆλθον ἐν τῇ μεγάλῃ B ἐκκλησίᾳ, ἐπὶ τὸ στέψαι τὸν ἀλιτήριον. συνῆλθε δὲ πᾶν τὸ πλῆθος τῆς πόλεως, καὶ πάντες ἐπὶ τοῖς πραττομένοις ἐδυσχέραινον, ἐπαρώμενοι τὸν στέφοντα, καὶ τὸν στεφόμενον, καὶ τοὺς τούτοις συγχαίροντας. καὶ οἱ μὲν εὐλαβείᾳ, καὶ λόγῳ συζῶντες τὴν θείαν κρίσιν ἐθαύμαζον, ὅπως συνεχώρησεν ὑπὲρ τῆς ὀρθῆς πίστεως ἀθλήσασαν καὶ μαρτυρήσασαν, ὑπὸ * συμβώτου ἐκβληθῆναι τῶν εὐνουστάτων αὐτῆς προθεμένων αὐτῷ διὰ φιλαργυρίαν, Λέοντος, φημὶ Πατρικίου καὶ Σακελλαρίου τοῦ Σινωπέως, καὶ τῶν θεοστυγῶν Τριφυλλίων. οἵ τινες δωρεαῖς πλείσταις ὑπ' αὐτῆς κατεπλουτίσθησαν, καὶ πολλάκις συνεσθίοντες αὐτῇ, καὶ κολακείαις, μεθ' ὅρκων πείθοντες C φρικτῶν πάντων τῶν ἐν κόσμῳ πραγμάτων ἀναγκαιοτέραν ἡγεῖσθαι τὴν πρὸς αὐτὴν εὔνοιαν. ἄλλοι δὲ ὡς ἐν ἐκστάσει τῶν γινομένων, ὡς αἰθόμενοι τὴν βεβαίωσιν, ὀνειροπολεῖσθαι ἐνόμιζον. ἕτεροι δὲ τῶν εὖ εἰδότων στοχάζεσθαι, τὴν παρελθοῦσαν εὐημερίαν ἐμακάριζον, καὶ τὴν μέλλουσαν ἔσεσθαι δυστυχίαν διὰ τῆς τυραννίδος ἐθρήνουν, μάλιστα δὲ ὅσοι τῆς πονηρᾶς γνώμης τοῦ τυράννου πεῖράν τινα προειλήφασι. κοινῇ δὲ πάντας κατεῖχε ζόφωσις καὶ ἀπαράκλητος ἀθυμία, ἵνα μὴ κατὰ μέρος τοὺς ἑκάστου τὰ ἀκαλλῆ ῥήματα γράφων μηκύνω τὸν λόγον. ἦν γὰρ παρὰ φύσιν καὶ τοῦ ἀέρος κατ' αὐτὴν ἀθρόον τὸ κατάστημα συμβὰν σκυθρωπὸν καὶ ἀφώτιστον, καὶ κρύος ἀκατάλ- D λακτον φθινοπωρινῆς ὥρας γενόμενον δηλοῦντα σαφῶς τὴν ἐσομένην δυστροπίαν καὶ ἀνύποιστον κάκωσιν, καὶ μάλιστα τοῖς ψηφισαμένοις. τῇ γὰρ ἐπιούσῃ παραλαβὼν τινὰς τῶν Πατρικίων ἀπῆλθε πρὸς τὴν βασιλίδα φρουρουμένην, ὑποκρινόμενος μὲν, ὡς ἦν αὐτῷ συνήθες, ψευδοχρηστότητα, δι' ἧς καὶ ἠπάτησε τοὺς πλείστους· ἀπολογούμενος δὲ αὐτῇ, ὡς ἀκουσίως ἐπὶ τὴν ἀρχὴν ἀναβιβασθεὶς, ὡς ἂν ταύτης ἀνέραστος, καταρώμενος δὲ αὐτῇ, ὡς ὁ προδότης Ἰούδας τὸν Κύριον μετὰ τὸ συνδειπνῆσαι, μιμητὰς δὲ ἐκείνου κατὰ πάντα μαρτυρῶν αὐτοὺς εἶναι. ὑποδεικνὺς δὲ καὶ μέλανα ὑποδήματα περικεῖσθαι φιλεῖν παρὰ τοὺς E βασιλικοὺς θεσμοὺς διαβεβαιούμενος. θαρσεῖν δὲ παρῄνει δολερῶς, καὶ μεθ' ὅρκων περὶ πάσας σωματικῆς ἀναπαύσεως ἁρμοζούσης Δεσποίνῃ παρὰ δούλου, καὶ μηδεμίαν ἡγεῖσθαι συμφορὰν τῆς ἐκπτώσεως. παρῄνει δὲ μηδὲν ἀποκρύψαι ἀπ' αὐτοῦ τῶν βασιλικῶν θησαυρῶν, καὶ κατήγορει τῆς φιλαργυρίας τὸ πάθος, κατέχειν μὴ φέρων. ἐνόσει γὰρ αὐτὸς δεινῶς πάσας ἐν τῷ χυσῷ τιθεὶς τὰς ἐλπίδας ὁ παμφάγος. ἡ δὲ σοφὴ καὶ θεοφιλὴς Εἰρήνη, καὶ-

* Barb. συμβῶντα. Perez. συβώτου

καίπερ ὀφείλουσα τῷ τῆς ἀθρόας μεταβολῆς πάθει συνέχεσθαι, ὡς ἅτε γυναῖκα οὖσαν, ἔφη γενναίῳ καὶ συνετῷ φρονήματι πρὸς τὸν χθὲς μὲν δοῦλον καὶ ἐπίορκον, σήμερον δὲ μοχθηρὸν ἀνασείστην, καὶ ἀναιδῆ τύραννον. ἐγὼ μὲν, ἄνθρωπε, Θεὸν ἡγοῦμαι τὸν πρὶν ὀρφανευθεῖσαν ὑψώσαντά με, καὶ ἐπὶ τὸν θρόνον τῆς βασιλείας ἀναξίαν οὖσαν ἀναβιβάσαντα, καὶ τὴν αἰτίαν τῆς καθαιρέσεως ἐμαυτῇ προσάπτω, καὶ ταῖς ἐμαῖς ἁμαρτήμασιν. ἐν πᾶσι δὲ καὶ κατὰ πάντα τρόπον, εἴη τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένον κράζουσα, τοῦ βασιλέως τῶν βασιλέων καὶ Κυρίου τῶν κυρίων, καὶ τὸν τρόπον τῆς σῆς προαγωγῆς τῷ Κυρίῳ ἀποδίδωμι, οὗ χωρὶς οὐδὲν γενέσθαι πεπίστευκα. τὰς δὲ κατὰ σοῦ φήμας πολλάκις ἀνενεχθείσας περὶ τῆς νῦν σοι περικειμένης ἀξίας ἀληθεῖς, ὡς τὸ τέλος ἀπέδειξε, τῶν πραγμάτων ἀκοὰς, ἃς οὐκ ἀγνοεῖς, αἷς εἰ καὶ συνεπήχθην ἀκωλύτως εἶχον τὸ ἀνελεῖν σε. ἀλλὰ τὸ μὲν τοῖς σοῖς ὅρκοις πειθομένη, τὸ δὲ φειδομένη σου πολλοὺς συνίστορας, παραλογισαμένη τῷ Θεῷ, καὶ τηνικαῦτα τὰ κατ' ἐμαυτὴν ἀποδοῦσα, δι' οὗ βασιλεῖς βασιλεύουσι καὶ οἱ δυνάσται κρατοῦσι γῆς. καὶ τὰ νῦν ὡς εὐσεβεῖ σοι, καὶ ἐξ αὐτοῦ προβληθέντι προσκυνῶ σε, ὡς βασιλέα. καὶ αἰτοῦμαι φείσασθαί μου τῆς ἀσθενείας καὶ συγχωρῆσαί μοι τὸν ὑπ' ἐμοῦ κτισθέντα τῶν Ἐλευθερίου οἶκον εἰς ψυχαγωγίαν τῆς ἀσυγκρίτου μου συμφορᾶς. ὁ δὲ ἔφη· καὶ εἰ τοῦτο θέλεις σοι γενέσθαι, ὄμοσόν μοι πᾶσαν θείαν δύναμιν μὴ ἀποκρύψαι τι τῆς βασιλείας θησαυρῶν, καὶ πληρῶ σου τὴν αἴτησιν, καὶ πᾶσάν σου θεραπείαν καὶ ἀνάπαυσιν ποιῶ. ἡ δὲ ὤμοσεν αὐτῷ εἰς τὰ τίμια καὶ ζωοποιὰ ξύλα, ὅτι οὐκ ἀποκρύψω ἀπὸ σοῦ, ἕως ὀβολοῦ· ὃ καὶ πεποίηκεν. ὁ δὲ τοῦ ποθουμένου ἐπιτυχὼν, παραυτὸ ἐξώρισεν αὐτὴν ἐν τῇ νήσῳ τῆς Πριγκίπου, ἐν τῇ μονῇ, ἣν αὐτὴ ᾠκοδόμησεν, ὄντων ἀκμὴν Ἀποκρισιαρίων Καρούλλου ἐν τῇ πόλει, καὶ ὁρώντων τὰ πραττόμενα. ὁ γοῦν παμφάγος οὗτος τοῦ κράτους ἐπιλαβόμενος, οὐδὲ κἂν βραχὺ ἴσχυσεν ἐπικαλύψαι δι' ὑποκρίσεως τὴν ἔμφυτον αὐτοῦ κακίαν καὶ φιλαργυρίαν· ἀλλ' ὡς δῆθεν μέλλων τὴν ἀδικίαν ἐκκόπτειν, τὸ πονηρὸν ἐν τῇ Μαγναύρᾳ καὶ ἄδικον συνεστήσατο δικαστήριον. σκοπὸς δὲ τῷ τυράννῳ οὐ τοῖς πτωχοῖς τὰ δίκαια ἀποδιδόναι, ὡς ἔδειξε τὰ πράγματα, ἀλλὰ διὰ τούτου πάντας τοὺς ἐν τέλει ἀτιμάσαι καὶ αἰχμαλωτίσαι, καὶ εἰς ἑαυτὸν πάντα μετενεγκεῖν· ὃ καὶ πεποίηκεν. ἰδὼν δὲ πάντας λυπουμένους κατ' αὐτοῦ, καὶ δεδιὼς μή πως μεμνημένοι τῆς εὐσεβοῦς Εἰρήνης εὐεργεσίας προσκαλέσωνται πάλιν τοῦ κρατῆσαι αὐτήν. τῷ Νοεμβρίῳ μηνὶ χειμῶνος ἐπικειμένου βαρυτάτου, οὐκ ᾤκτειρεν αὐτὴν ὁ ἄσπλαγχνος, ἀλλ' ἐξώρισεν αὐτὴν ἐν Λέσβῳ τῇ νήσῳ ἀσφαλῶς φρουρεῖσθαι αὐτὴν προστάξας, καὶ παρ' οὐδενὸς ὁρᾶσθαι τὸ σύνολον. τῇ δὲ λ'. τοῦ Ἀπριλλίου μηνὸς ἐτελεύτησε Νικήτας ὁ Τριφύλλιος, ὥς φασιν, ὑπὸ Νικηφόρου φαρμάκῳ ἀναιρεθείς. καὶ τῇ δ'. τοῦ Μαΐου μηνὸς ἡμέρᾳ ε'. ἐξῆλθε Νικηφόρος κατὰ τὴν Χαλκηδόνα ἐν προαστείῳ, καὶ ἐπιβὰς ἵππῳ πάνυ ἡμερωτάτῳ καὶ πρᾴῳ, ἐκ θείας προνοίας τοῦτον καταβάλλων τὸν δεξιὸν αὐτοῦ πόδα συνέτριψε. τῇ δὲ ιθ'. τοῦ Ἰου-

vitias reponens. Sapiens autem & religiosa Irene, ceu mulier quamvis subita rerum mutatione turbari debuisset, generoso tamen atque prudenti animo eum, qui heri perjurus servus, hodie se gravem exactorem, & impudentem tyrannum gerebat alloquuta: Ego quidem, inquit, o homo, orbatam quondaoi parentibus Deum me extulisse, & ad imperii thronum licet indignam evexisse certa sum: quapropter exauctorationis hujusmodi causam mihi delictisque meis adscribo. In omnibus itaque & per omnem modum sit nomen Domini benedictum. Solum regem regum omnium & dominorum Dominum obtestata, designationis tuæ modum ad ipsum relatum volo, sine cujus nutu nil nobis posse contingere credidi. Rumores autem de ea, quam nunc adeptus es, dignitate adversus te sparsos, & ad me quoque latos, fuisse veros exitus comprobavit, sed nec eos ignoras: iis si permisissem me abduci, nullo sane resistente periisses. Verum qua jusjurandis tuis confirmata, qua consciis tuis parcitura, tuis, inquam, qui hæc in me refundis, te tuosque commendatos volui Deo, per quem reges regnant, & principes orbi dominantur. Impræsentiarum igitur te tamquam Religiosum & ab eo promotum Imperatorem veneror. Quapropter infirmitati meæ parcas precor, & in incomparandæ præsentis meæ calamitatis solatium, Eleutherii ædem a me constructam habere me permittas, rogo. Ad hæc ille: Hæc si tibi præstari cupis, per virtutem quamcumque divinam prius jura imperii thesaurorum nihil te occulturam, & confestim petitis acquiescam tuis, & de cultu tibi exhibendo, deque quiete relinquenda providebo. Illa in veneranda & vivifica crucis ligna jurata: Non abscondam, inquit, vel obolum unicum: quod & præstitit. Is desideriorum compos in Principis insulam, in Monasterium ab ipsa ædificatum, Caroli Legati adhuc in Urbe agentibus, & quæ gerebantur spectantibus, eam relegavit. Sane thesaurorum iste helluo potestatem adeptus, ne brevi quidem temporis spatio innatam sibi ad malum pronitatem & avaritiam celare valuit, etiam simulationi addictus; quasi grassantem vero injustitiam recisurus, atque funditus evulsurus esset, scelestum ac plane iniquum tribunal ad Magnaoram constituit. Is autem tyranno quærebatur finis, non ut pauperibus, quod æquum tribueret, prout exitus manifestavit, sed ut nobiles ac positos in dignitate viros, dedecore afficeret, ageret captivos, & eorum bona cuncta ad se derivaret: quod ejus proposito felicissime successit. Universos vero sibi succensentes conspicatus, ac ne forte piæ Irenes beneficiorum memores eam denuo ad Remp. administrandam revocarent, veritus, mense Novembri, frigore asperrimo jam terris incumbente, inclemens ac nulla in eam pietate motus, in insulam Lesbum deportari, & sub strictissima teneri custodia, & a nemine penitus conspici mandavit. Mensis porro Aprilis die tricesimo, Triphyllius Nicetas, veneno, ot ajunt, a Nicephoro propinato extinctus est. Mensis deinde Maii die quarto feria hebdomadis quinta, Nicephorus in Chalcedonis suburbana egressus, cum equo mansuetissimo atque mitissimo insideret, quæ Dei providentia fuit, in terram excussus, dexterum pedem contrivit. Mensis autem Julii die decimo nono, feria hebdomadis

Edit. Paris. pag. 404.

pag. 405.

quarta, hora prima Bardanes Patricius & Orientalium Dux, qui cognomento Turcus, a Thematibus trans fretum positis Imperator salutatus est: qui cum potestatem multum detrectasset, a militibus aufugere non valuit. Is Chrysopolim profectus, circumducto per dies octo exercitu, & ab Urbis civibus haud admissus ad Malagina usque reversus est. Tum vero Dei timore ductus, & ne forte ejus caussa multæ patrarentur cædes attentius cogitans, missis ad Nicephorum Legatis fidem accepit propria ejus manu scriptam, cui etiam sanctissimus Patriarcha Tarasius, & Patricii omnes subscripsere, qua se suosque omnes incolumes atque impunitos servatum iri sibi cavebat. Die postmodum Septemb. octavo sub mediam noctem fugam latenter arripiens, Cium Bithyniæ urbem profectus est in Heraclii Monasterium; Ubi cum navigium ab Imperatore ad hoc istuc missum invenisset: in eo caput abrasit, ac deinde Monastico habitu indutus est. Mox conscenso navigio, in insulam Protem vulgo dictam, in qua Monasterium olim condiderat, trajecit, væsanum Nicephorum tremendi jusjurandi fidem reveriturum arbitratus, & ab eo nullam se passurum injuriam. Ille vero primum quidem eum facultatibus nudat, & occasione arrepta, cunctos Thematum proceres & locupletes viros, inter quos ex imperante Urbe nonnulli in captivitatem misit: universum autem exercitum debitis stipendiis defraudavit. Admissa porro diebus illis ab eo scelera, Deo propter alia crimina nostra illa tolerante, quæ oratio valeat enarrare? Cæterum mensis Augusti die nono, indictione undecima Imperatrix Irene in Lesbum insulam relegata diem obiit: in insulam autem Principi in Monasterium quod ipsa condidit, corpus ejus translatum fuit.

λίου μηνὸς, ἡμέρᾳ δ΄. ὥρᾳ α΄. Βαρδάνης ὁ Πατρίκιος καὶ στρατηγὸς τῶν Ἀνατολικῶν, ὁ ἐπίκλην Τοῦρκος, ἀνηγορεύθη εἰς βασιλέα ὑπὸ τῶν περατικῶν θεμάτων. ὅστις πολλὰ παραιτησάμενος, διαδράσαι αὐτοὺς οὐκ ἴσχυσε· καὶ κατελθὼν ἕως Χρυσοπόλεως, καὶ περιπολεύσας ἡμέρας η΄. καὶ μὴ δεχθεὶς ὑπὸ τῆς πόλεως, ὑπέστρεψεν ἕως τῶν Μαλαγίνων. φοβηθεὶς δὲ τὸν Θεὸν, καὶ λογισάμενος μή ποτε δι' αὐτοῦ σφαγὴ γένηται Χριστιανῶν· ἀποστείλας δὲ πρὸς Νικηφόρον, καὶ λαβὼν λόγον ὑπόγραφον ἐξ ἰδιοχείρου αὐτοῦ, ἐν ᾧ καὶ Ταράσιος ὁ ἁγιώτατος Πατριάρχης, καὶ πάντες οἱ Πατρίκιοι καθυπέγραψαν, ὥστε ἀβλαβῆ αὐτὸν διατηρηθῆναι καὶ ἀζήμιον, καὶ πάντας τοὺς σὺν αὐτῷ. τῇ δὲ η΄. τοῦ Σεπτεμβρίου μηνὸς ὥρᾳ μεσονυκτίῳ λάθρα διαδρὰς κατῆλθεν ἐν τῇ Κίῳ τῆς Βιθυνίας, εἰς τὸ μοναστήριον τοῦ Ἡρακλείου, καὶ εὑρὼν τὸ ἀπολυθὲν χελάνδιον τοῦ βασιλέως, ἐπὶ τούτῳ ἀπεκάρθη, καὶ ἐνεδύσατο στολὴν μοναδικὴν, καὶ εἰσελθὼν ἐν αὐτῷ, ἀπῆλθεν ἐπὶ νῆσον, τῇ λεγομένῃ Πρώτῃ, ἐν ᾗ οἰκοδομήσας ἦν μοναστήριον, οἰόμενος ὅτι αἰδεσθήσεται τὸν φοβερὸν λόγον, ὃν ἔδωκεν αὐτῷ ὁ παραλογιστὴς Νικηφόρος, καὶ οὐ μὴ βλάψῃ αὐτὸν ἐν οὐδενί. ὁ δὲ πρῶτον μὲν γυμνοῖ αὐτὸν τῆς ὑποστάσεως αὐτοῦ, καὶ ἀφορμὰς δραξάμενος πάντας τῶν θεμάτων τοὺς ἄρχοντας καὶ κτήτορας, τινὰς δὲ καὶ ἐκ τῆς βασιλίδος πόλεως ᾐχμαλώτευσε· τὸν δὲ στρατὸν ἅπαντα ἀρόγευτον εἴασε. καὶ τίς λόγος δυνήσεται πρὸς ἀξίαν διηγήσασθαι τὰ ἐν ταῖς ἡμέραις ἐκείναις πραχθέντα ὑπ' αὐτοῦ ἔργα κατὰ Θεοῦ παραχώρησιν διὰ τὰς ἁμαρτίας ἡμῶν; τῇ δὲ θ΄. τοῦ Αὐγούστου μηνὸς τῆς ια΄. ἰνδικτιῶνος ἐτελεύτησεν ἡ βασίλισσα Εἰρήνη ἐν τῇ ἐξορίᾳ τῆς Λέσβου νήσου, καὶ μετήχθη τὸ σῶμα αὐτῆς ἐν τῇ νήσῳ τῆς Πριγκίπου, ἐν τῇ μονῇ, ᾗ αὐτὴ ᾠκοδόμησεν.

		2	19	8	20			

			β΄	ιθ΄	η΄	κ΄			

Hoc anno mense Decembri indictione duodecima Nicephorus filium suum Stauracium Tarasii sanctissimi Patriarchæ manibus in ambone magnæ Ecclesiæ Imperatorem coronavit, hominem, sive vultus speciem, sive corporis robur, seu denique mentis captum spectes, ad eam dignitatem plane ineptum. Is autem qui nusquam veritatis observatorem se præstitit Nicephorus, Lycaonas nonnullos, ceu potius Lycanthropos belluas iisdem cum eo mente ac moribus instructos homines in Proten insulam missos, noctu ad terram appellentes, Bardanium, quem memoravimus, oculis privare, tamquam se nullatenus conscio, & patrato facinore, ad Ecclesiam confugere jussit. Admissum scelus Patriarcha & Senatus universus omnesque qui Dei timorem præ se ferebant, indigne tulerunt. Nefarius porro Imperator Nicephorus, homo ad ostentationem omnia, nihil vero secundum Deum agens, in omnes Lycaonum optimates, quasi Bardanem vindicare voluisset, per juramenta cœpit inquirere. Inerat enim homini præter alia naturæ vitia facilis ad simulandum propensio; hoc ejus genii præcipuum munus, quo etiam ante susceptum imperium plurimos decepit: simulatum tamen ejus studium & affectationem expertis deridiculo extitit; adeo ut vultum suum execrandum continua licet impudentia obscuratum, per dies septem Imperatorio cubiculo tectus & eju-

Edit. Paris. pag. 406.

Τούτῳ τῷ ἔτει, μηνὶ Δεκεμβ. ἰνδικ. ιβ΄. ἔστεψε Νικηφόρος τὸν υἱὸν αὐτοῦ Σταυράκιον διὰ Ταρασίου τοῦ ἁγιωτάτου Πατριάρχου ἐν τῷ ἄμβωνι τῆς μεγάλης ἐκκλησίας εἰς βασιλέα, ἀνεπιτήδειον ὄντα κατὰ πάντα τῷ τε εἴδει, καὶ ῥώμῃ, καὶ γνώμῃ πρὸς τὴν τοιαύτην ἀξίαν. ὁ δὲ μήποτε ἐν μηδενὶ φυλάξας ἀλήθειαν Νικηφόρος Λυκάονάς τινας, ἢ λυκανθρώπους, ὁμογνώμονας καὶ ὁμόφρονας ἀποστείλας εἰς τὴν Πρώτην ἐκέλευσε νυκτὸς ἐπιβῆναι τῇ νήσῳ, καὶ τὸν προρρηθέντα ἐκτυφλῶσαι Βαρδάνιον, ὡς δῆθεν ἀγνοοῦντος αὐτοῦ, καὶ μετὰ τὸ δρᾶμα προσφυγεῖν τῇ ἐκκλησίᾳ. τούτου δὲ γεγονότος καὶ ὁ Πατριάρχης καὶ ἡ σύγκλητος δεινῶς ἤλγησαν, καὶ πάντες οἱ φοβούμενοι τὸν Θεόν. ὁ δὲ παρανομώτατος βασιλεὺς Νικηφόρος ὅρκοις τοὺς ἐν τέλει Λυκάονας, τὸ δοκεῖν, ἐπεζήτει ἀνελεῖν, ἀμύνασθαι χρηματιζόμενος, ὁ πάντα κατ' ἐπίδειξιν ἀεὶ, καὶ μηδὲν κατὰ Θεὸν πράττων. ἦν γὰρ αὐτῷ μετὰ τῶν λοιπῶν παρανομιῶν, καὶ τὸ τοιοῦτον τῆς γνώμης ἐξαίρετον ἰδίωμα, δι' οὗ καὶ πρὸ τῆς βασιλείας πολλοὺς ἠπάτησε. πλὴν γελοιότατος ἦν τοῖς εἰδόσι τὸ ἐπιτήδευμα· ὥστε κἀκείνων ἀπαιδείᾳ πολλῇ ζοφουμένων τὸ μιαρώτατον αὐτοῦ πρόσωπον ἀεὶ, τότε ἀπρόϊτον γενέσθαι ἐπὶ ἡμέρας ζ΄. τοῦ βασιλικοῦ κοιτῶ-

νος δολίως κλαυθμυριζόμενος· ἐπεὶ καὶ φυσικῶς αὐτῷ γυναικώδη προσῆσαν δάκρυα, ἃ τοῖς πολλοῖς τῶν φαύλων ψευδοχρίστοις προσεῖναι πέφυκεν. ἀλλ' οὐκ ἔλαθε τοὺς πολλούς. τῷ δὲ Αὐγούστῳ μηνὶ ἐλθὼν κατὰ Ἀράβων συνήντησεν αὐτοῖς εἰς Κρασὸν τῆς Φρυγίας, καὶ πολεμήσας ἡττᾶται· καὶ πολλοὺς ἀποβαλλὼν, μικροῦ δεῖν καὶ αὐτὸς κρατεῖσθαι ἤμελλεν, εἰ μὴ τῶν ἀρχόντων τινὲς ἀνδρειότατοι τοῦτον μόλις τὰς ἀνάγκας περισώσασθαι ἴσχυσαν.

lam reddiderit eo tempore inaccessum. Aderant enim homini faciles & muliebres a natura concessæ lachrymæ, quod multis pravis hominibus Christos & Prophetas se falso jactantibus innatum videatur: id tamen haud plures latuit. Cæterum mense Augusto adversus Arabes profectione suscepta, ad Crasum Phrygiæ obviam illis factus, certamine inito superatus est: pluribusque suorum prostratis parum abfuit, quin hostium in manus incideret, nisi procerum nonnulli animo & robore præstantes, eum non sine difficultate periculo eripuissent.

		γ'	κ'	θ'	κα'				

		3	20	9	21				

Τούτῳ τῷ ἔτει στάσεως γενομένης κατὰ τὴν Περσικὴν, κατῆλθεν ὁ τῶν Ἀράβων ἀρχηγὸς εἰρηνοποιῆσαι αὐτούς. Νικηφόρος δὲ ἄδειαν εὑρὼν, ἔκτισε τὴν Ἄγκυραν τῆς Γαλατίας, καὶ τὴν Θάβασαν, καὶ τὴν Ἀνδρασόν. ἀπέστειλε δὲ καὶ ἐν Συρίᾳ κοῦρσον, καὶ μηδὲν ἀνύσαντες ὑπέστρεψαν· τουναντίον δὲ μᾶλλον, καὶ πολλοὺς ἀποβαλόντες.

Hoc anno tumultu in Persia excitato Arabum Dux partes dissidentes compositurus, illuc se contulit. Interea Nicephorus capta occasione Ancyram Galatiæ, Thebasam, & Andrasum reparavit. Levi insuper & prædis cogendis apto exercitu in Syriam misso, milites re infecta, quinimmo pluribus eorum desideratis, reversi sunt.

					ΚΠ. ἐπίσκ. Νικηφόρος ἔτη θ'.				
		δ'	κα'	ι'	α'				

					CP. Episc. Nicephori annis 9.				
		4	21	10	1				

Τούτῳ τῷ ἔτει, μηνὶ Φεβρουαρίῳ κε'. ἰνδικτιῶνι ιδ'. Ταράσιος ὁ ἁγιώτατος Ἀρχιεπίσκοπος ΚΠ ἐνδόξως ἀπεβίω. καὶ ἐξεκομίσθη τὸ λείψανον αὐτοῦ ἐν τῷ στενῷ τοῦ Πόντου, καὶ ἐτάφη ἐν τῷ μοναστηρίῳ ὑπ' αὐτοῦ κτισθέντι τετάρτῃ τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν. καὶ τῇ ιβ'. τοῦ Ἀπριλλίου μηνὸς τῇ μεγάλῃ κυριακῇ τοῦ Πάσχα ἐχειροτονήθη Νικηφόρος ὁ ἁγιώτατος Πατριάρχης ἀπὸ Ἀσηκρητῶν ψήφῳ παντὸς τοῦ λαοῦ καὶ τῶν ἱερέων, πρὸς δὲ καὶ τῶν βασιλέων. Πλάτων δὲ καὶ Θεόδωρος ἡγούμενοι τῆς μονῆς τῶν Στουδίου οὐ συνευδόκησαν τῇ χειροτονίᾳ Νικηφόρου, ἀλλὰ λίαν ἀντιπεχθῆσαι σχίσμα μελετήσαντες, αἰτίαν δῆθεν εὔλογον ἔχοντες, τοῦ μὴ δεῖν ἀπὸ λαϊκῶν ἀθρόως εἰς ἐπισκοπὴν ἀνατρέχειν· οὓς ὁ βασιλεὺς Νικηφόρος τῆς πόλεως ἀπελάσαι βουληθεὶς ἀνετράπη, συμβουλευόντων τινῶν ἵνα ἐπαχθὴν ἔσεσθαι τοῦ Πατριάρχου χειροτονίαν ἐπὶ καταλύσει τηλικαύτης μονῆς ἑπτακοσίων που μοναχῶν ὑπὸ Θεοδώρου τεταγμένων. καὶ οὐκ ἦν τὸ πρᾶγμα ξένον τῆς ἐκκλησίας καὶ προσφάτως ἐπινοηθέν· ἀλλὰ καὶ πολλοὶ ἄλλοι ἀπὸ λαϊκῶν ἐπισκοπήσαντες ἀξίως τῆς ἀξίας τῷ Θεῷ ἱερατεύσαντες. τῷ δ' αὐτῷ ἔτει ἐπιστρατεύσας ὁ Ἀαρὼν τῶν Ἀράβων ἀρχηγὸς τὴν Ῥωμανίαν ἐν δυνάμει βαρείᾳ ἀπό τε Μαυροφόρων, καὶ Συρίας, καὶ Παλαιστίνης, καὶ Λιβύας χιλιάδων τριακοσίων. καὶ ἐλθὼν εἰς Τύανα ᾠκοδόμησεν οἶκον τῆς βλασφημίας αὐτοῦ. καὶ πολιορκήσας παρέλαβε τὸ Ἡρακλέως κάστρον ὀχυρώτατον πάνυ ὑπάρχον, καὶ τὴν Θάβασαν, καὶ τὴν Μαλακοπαίαν, καὶ τὴν Σιδηρόπαλον, καὶ τὴν Ἀνδρασόν. ἀπέστειλε δὲ κοῦρσον χιλιάδας ἑξήκοντα, καὶ κατῆλθεν ἕως Ἀγκύρας, καὶ ἰσον-

Hoc anno mensis Februarii die vicesimo quinto indictione decima quarta Tarasius sanctissimus CP. Archiepiscopus gloriosam mortem obiit. Corpus ejus ad Ponti fauces delatum, in Monasterio ab eo condito feria primæ jejuniorum hebdomadis quarta sepultum fuit. Mensis vero Aprilis die duodecima magna Paschatis Dominica Nicephorus sanctissimus Patriarcha, prius A secretis, populi totius, Sacerdotum, atque etiam Impp. suffragio electus est. Plato autem & Theodorus Studiorum Monasterii Superiores, Nicephori ordinationi non assenierunt, quinimmo dissidium a cæteris meditati firmiter obstiterunt, probabili videlicet argumento ducti: Non oportere aliquem ab imo Laicorum statu ad supremum Episcopatus fastigium proxime evolare: quos Imperator Nicephorus Urbe ejicere consiliatus, adversa nonnullorum sententia cohibitus est, qui odiosam fore Patriarchæ ordinationem exposuerunt, si Monachi ad septingentos usque sub Theodoro militantes ejusque Monasterium adeo celebre, illa asserta, dissiparentur, & a fundamentis ruerent. Porro id neque novum in Ecclesia neque recens excogitatum fuit factum: cum multi etiam alii de Laicis Episcopi creati, Deo convenienter in Sacerdotali dignitate se gesserint. Eodem anno Aaron Arabum Dux, collectis maximis copiis ex Maurophoris, Syria, Palæstina, & Libya, quæ ad trecenta millia accedebant, impressionem in Romanam ditionem fecit: & Tyana profectus blasphemiæ suæ consecravit ædem: munitissimumque Herculis Castrum, Thebasam, Malacopæam, Sideropalum, & Andrasum armis & obsidione cepit: agmenque sexaginta millium militum populatum misit: & Anciram us-

Edit. Paris. pag. 407.

que devenit, qua diligentius explorata & descripta, reversus est. Quare Imperator Nicephorus in metum atque animi angustias adductus, ipse etiam contra processit, in hac rerum desperatione fortem adversus calamitates animum erigens, multaque sibi ipsi decernens trophæa, Synadensem Metropolitam & Petrum Gulæi Præpositum, & Gregorium Amastrensem Oeconomum pacem componendam postulaturos ad Aaronem Legatos destinavit: qui multis hinc inde discussis, pacem ea conditione firmaverunt: ut in singulos annos triginta nummorum Capitatorum millia ipsius nimirum Imperatoris effigie easculpta, alisque pariter tria filii charactere notata Saracenis penderentur. Aaron eo censu accepto, quasi Romanorum imperio sibi subjecto gavisus est: nec oblatis talentorum decem millibus majore lætitia triumphasset. Inter eos insuper convenit, ne diruta & deserta castra repararentur. Sed vix Arabes discesserant, cum eadem castra Nicephorus reædificavit & munivit. Ea re comperta, misso exercitu Thebasam iterato cœpit Aaron, & classe in Cyprum destinata, Ecclesias evertit, Cyprios in alias provincias transportavit, & multis captivis abductis, pacis initæ fœdera violavit.

Edit. Paris. pag. 408.

A ῥύσας ταύτην ὑπέστρεψεν· ὁ δὲ βασιλεὺς Νικηφόρος φόβῳ καὶ ἀμηχανίᾳ συσχεθεὶς, ἐξῆλθε καὶ αὐτὸς ἐν ἀπογνώσει, τινὰ γενναῖα τῆς πελατοκρείας ἐπιδεικνύμενος, καὶ πολλὰ τρόπαια ποιήσας ἀπέστειλε πρὸς Ααρὼν τὸν μητροπολίτην Συνάδων, καὶ Πέτρον τὸν Ἡγούμενον τοῦ Γουλαίου, καὶ Γρηγόριον τὸν Οἰκονόμον Ἀμάστρας αἰτῶν εἰρήνην γενέσθαι· καὶ πολλὰ διαλεχθέντων αὐτῶν ἐστοίχησαν εἰρήνην· ἵνα τὸ κατ᾽ ἔτος τελῆται αὐτοῖς ἀνὰ τριάκοντα χιλιάδες νομίσματα * κεφαλιτίων αὐτοῦ τῆς βασιλείας, καὶ τρία τοῦ υἱοῦ αὐτοῦ. ἃ δεξάμενος Ααρὼν ἥσθη καὶ ἠγαλλιάσατο ὑπὲρ μυρίων ταλάντων ταῦτα δεξάμενος, ὡς ὑποτάξας τὴν
B τῶν Ῥωμαίων βασιλείαν. ἐστοίχησαν δὲ καὶ τὰ παραλειφθέντα κάστρα μὴ κτισθῆναι. ὑποστρεψάντων δὲ τῶν Ἀράβων ἔκτισεν εὐθέως τὰ αὐτὰ κάστρα καὶ κατωχύρωσε. καὶ τοῦτο μαθὼν Ααρὼν, ἀποστείλας πάλιν ἔλαβε τὴν Θήβασαν, καὶ πέμψας στόλον εἰς Κύπρον, τάς τε ἐκκλησίας κατέστρεψε, τούς τε Κυπρίους μετῴκισε, καὶ πολλὴν ἅλωσιν ποιήσας τὴν εἰρήνην διέστρεψεν.

* Barb. καὶ γ΄. νομίσματα κεφαλιτίων αὐτοῦ τῆς βασιλείας.

		5	22	26	5				

Hoc anno Nicephorus bellum in Bulgaros convertit: & Adrianopolim profectus, cum ab Imperatoriis Aulicis & militum Ordinibus conspirationem in se motam intellexisset, re prorsus infecta, & a proposito sibi fine longe sepositus, nisi forte a severitate in contribules exercita, quos verberibus, exiliis, & bonorum proscriptionibus ultus est, C.P. remeavit. Bardanio autem Spathario, cui cognomentum Anemas, misso, advenis & inquilinis omnibus in servitutem actis in Thraciam transiit, haud leve auri pondus annuis vectigalibus ab eis exactis collecturum se arbitratus, qui dilecti sibi auri cupiditate, non Christi dilectione cuncta gerere vel administrare visus est.

		ε΄	κδ΄	ια΄	ϛ΄				

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Νικηφόρος κατὰ Βουλγάρων, καὶ καταλαβὼν τὴν Ἀδριανούπολιν, στάσεως μελετωμένης κατ᾽ αὐτοῦ ὑπὸ τῶν βασιλικῶν ἀνθρώπων καὶ τῶν ταγμάτων, αἰσθόμενος ὑπέστρεψεν
C ἄπρακτος μηδὲν ἀνύσας, εἰ μὴ μόνον τοὺς ὁμοφύλους ἀμυνόμενος δαρμοῖς τε, καὶ ἐξορίαις, καὶ δημεύσεσι πολλοὺς ὑποβάλλων. Ἀποστείλας δὲ Βαρδάνιον τὸν Σπαθάριον, τὸν ἐπίκλην Ἀνεμᾶν, πάντα προσήλυτον, καὶ πάροικον ἐπαιχμαλωτεύσας, ἐπέρασεν ἐν τῇ Θρᾴκῃ, οἰόμενος οὐκ ὀλίγην ὁλκὴν χρυσοῦ ποριεῖσθαι ἐξ αὐτῶν ἐξ ἐτησίων τελεσμάτων ὁ πάντα διὰ τὸ φιλούμενον αὐτῷ χρυσὸν, καὶ οὐ διὰ διὰ τὸν Χριστὸν πράττων.

		6	23	25	3				

Hoc anno mense Septembri Indictione prima, Aaron Arabum Dux Chumid cum valida classe adversus Rhodum instruxit. Is ex improviso navigatione suscepta, Rhodum appellens ingentem prædæ copiam ex ea abegit, arce sola vastitatis immuni servata. At certe redeuntem sanctus & mirandorum opifex Nicolaus manifesta ultione exagitavit. Myra etenim occupata, cum sacram ejus urnam confringere tentaret, & in vicinam ex errore vim & ictus inferret: extemplo immanis ventorum procella, marinorum fluctuum impetui tonitruum fulgurumque promiscua tempestas adeo classem jactavit, ut pleræque naves conquassatæ submergerentur, ipseque Dei hostis Chumid sancti virtutem expertus, vix ac præter spem eam potuerit effugere. Mensis autem Decembris die vicesimo Nicephorus Stauracio filio uxorem copulaturus, virginum Romanæ ditionis accurata disquisitione præmissa, Theophanonem Atheniensem Beatæ Irenes affinem viro, cum quo frequentius decubuerat, desponsatam, & ab eo sejunctam infelici Stauracio locavit: ut qui leges omnes violare solitus erat, etiam in

		ϛ΄	κγ΄	ιε΄	γ΄				

Τούτῳ τῷ ἔτει, μηνὶ Σεπτεμβ. ἰνδικτ. α΄. Ααρὼν ὁ τῶν Ἀράβων ἀρχηγὸς μετὰ στόλου κατὰ τῆς Ῥόδου Χυμεῒδ ἐξέπεμψεν· ὅστις ἀθρόως καταπλεύσας,
D καὶ τὴν Ῥόδον καταλαβὼν πολλὴν ἅλωσιν ἐποιήσατο ἐν αὐτῇ. τὸ μέν τοι ἐν αὐτῇ φρούριον διεφυλάχθη ἀπόρθητον. ἐν δὲ τῷ ἐπανέρχεσθαι αὐτὸν, φανερῶς κατεπολεμήθη ὑπὸ τοῦ ἁγίου καὶ θαυματουργοῦ Νικολάου. ἐλθὼν γὰρ εἰς τὰ Μύρα καὶ τὴν ἱερὰν αὐτοῦ συντρίψαι πειραθεὶς λάρνακα, ἄλλην ἀντ᾽ ἐκείνης πλησίον αὐτῆς κατέκλασεν· αὐτίκα τε πολλὰ ἀνέμων, καὶ θαλαττίων κυμάτων, βροντῶν τε, καὶ ἀστραπῶν ἀνωμαλία τὸν στόλον κατέλαβεν, ὡς ἱκανὰ συντριβῆναι σκάφη· αὐτόν τε θεομάχον Χουμεῒδ ἐπιγνῶναι τὴν τοῦ ἁγίου δύναμιν, καὶ παρ᾽ ἐλπίδα τὴν δύναμιν ἐκφυγεῖν. τῇ δὲ κ΄. τοῦ Δεκεμβρίου
E μηνὸς Νικηφόρος μετὰ πολλὴν ἐκλογὴν παρθένων τῆς ὑπ᾽ αὐτοῦ ἐξουσίας εἰς τὸ ζεῦξαι Σταυράκιον τὸν υἱὸν αὐτοῦ ποιησάμενος, Θεοφανὼ τὴν Ἀθηναίαν προσγενῆ τῆς μακαρίας Εἰρήνης μεμνηστευμένην ἀνδρὶ, καὶ πολλάκις αὐτῷ συγκοιτασθεῖσαν, χωρίσας αὐτὴν ἀπ᾽ αὐτοῦ, τῷ ἀθλίῳ Σταυρακίῳ συνέζευξεν, ὡς εἰς πάντα καὶ εἰς τοῦτο παρανομήσας ἀναιδῶς, ἄλλας δύο

τούτης ὡραιοτέρας ἐκλεξάμενος· σὺν αὐτῇ προφανῶς αὐτὰς ἔφθειρε κατ' αὐτὰς τὰς ἡμέρας τοῦ γάμου παρὰ πάντων ὁ μιαρὸς γελώμενος. τῷ δὲ Φεβρουαρίῳ μηνὶ στάσιν ἐνστήσαντες κατ' αὐτοῦ πολλοὶ τῶν ἐν τέλει, Ἀρσαβὴρ τὸν Κοιαίστωρα καὶ Πατρίκιον ἄνδρα εὐσεβῆ καὶ λογιώτατον ἐψηφίζοντο. γνοὺς δὲ καὶ τοῦτο ὁ πολυμήχανος Νικηφόρος, αὐτὸν μὲν τύψας, καὶ ἀποκείρας, μοναχὸν πεποίηκεν, ἐν Βιθυνίᾳ τοῦτον ἐξορίσας· τοὺς δὲ λοιποὺς δαρμοῖς, καὶ ἐξορίαις, πρὸς δὲ καὶ δημεύσεσι καθυπέβαλεν, οὐ μόνον τοὺς ἐν τῷ κοσμικῷ ἄρχοντας, ἀλλὰ καὶ ἐπισκόπους ἁγίους, καὶ μοναχούς, καὶ τοὺς τῆς μεγάλης ἐκκλησίας, τόντε Σύγκελλον, καὶ τὸν Σακελλάριον, καὶ τὸν Χαρτοφύλακα, ἄνδρας ἐλλογίμους ὑπάρχοντας καὶ αἰδοῦς ἀξίους.

			Ἀράβ. ἀρχηγ. Μωαμεδ ἔτη δ'.					
		ζ	α'	γ'	δ'			

Τούτῳ τῷ ἔτει Ἀαρὼν ὁ Ἀράβων ἀρχηγὸς τέθνηκεν εἰς τὴν ἐνδοτέραν Περσίδα, τὴν καλουμένην Χωρασάν, μηνὶ Μαρτίῳ, ἰνδικτιῶνι β'. καὶ διεδέξατο τὴν ἀρχὴν Μουαμὲδ ὁ υἱὸς αὐτοῦ ἀφυὴς κατὰ πάντα· πρὸς ὃν Ἀβδελᾶς ὁ ἀδελφὸς αὐτοῦ στασιάσας ἐκ τῆς αὐτοῦ χώρας τοῦ Χωρασὰν ἅμα ταῖς πατρικαῖς δυνάμεσιν ἐμφυλίου πολέμου τοῦ κατ' αὐτοὺς ἔθνει γέγονεν αἴτιος· ἐντεῦθεν οἱ κατὰ τὴν Συρίαν, καὶ Αἴγυπτον, καὶ Λιβύην εἰς διαφόρους κατατμηθέντες, τά τε δημόσια πράγματα, καὶ ἀλλήλους κατέστρεψαν, σφαγαῖς, καὶ ἁρπαγαῖς, καὶ παντοίαις, πρός τε ἑαυτούς, καὶ τοὺς ὑπ' αὐτοὺς Χριστιανοὺς συγκεχυμένοι. ἔνθα δὴ καὶ κατὰ τὴν ἁγίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλιν ἐκκλησίαι ἠρήμωνται, τά τε μοναστήρια τῶν δύο μεγάλων λαυρῶν τοῦ ἐν ἁγίοις Χαρίτωνος, καὶ Κυριακοῦ, καὶ τοῦ ἁγίου Σάββα, καὶ τὰ λοιπὰ κοινόβια τῶν ἁγίων Εὐθυμίου, καὶ Θεοδοσίου. ἐπεκράτησε δὲ τῆς τοιαύτης ἀναρχίας τῆς κατ' ἀλλήλων καὶ ἡμῶν μιαιφονίας ἔτη *** Θεόδωρος δὲ ὁ Ἡγούμενος τῶν Στουδίου, καὶ Ἰωσὴφ ὁ ἀδελφὸς αὐτοῦ ἀρχιεπίσκοπος Θεσσαλονίκης, ἅμα Πλάτωνι Ἐγκλείστῳ, καὶ τοῖς λοιποῖς αὐτῶν μοναχοῖς τῆς κοινωνίας Νικηφόρου τοῦ ἁγιωτάτου Πατριάρχου ἀπέστησαν διὰ Ἰωσὴφ τὸν Οἰκονόμον, ὡς παρανόμως στεφανώσαντα Κωνσταντῖνον καὶ Θεοδότην. Νικηφόρος δὲ ὁ βασιλεὺς ἀφορμῆς δραξάμενος ἐπισκόπους πολλοὺς καὶ ἡγουμένους ἀθροίσας σύνοδον κατ' αὐτῶν κροτηθῆναι ἐκέλευσε· δι' ἧς ἐξεβλήθησαν τῆς μονῆς καὶ τῆς πόλεως ἐξορίᾳ παραπεμφθέντες μηνὶ Ἰανουαρίῳ, ἰνδικτ. β'. τῷ δ' αὐτῷ ἔτει ῥόγας διδομένης τῷ λαῷ ἐν τῷ Στρυμῶνι ἐπιπεσόντες οἱ Βούλγαροι ταύτην ἀφείλαντο χρυσίου λίτρας χιλίας καὶ ἑκατόν· καὶ πολὺν λαὸν κατέσφαξαν σὺν τῷ στρατηγῷ, καὶ τοῖς ἄρχουσιν. ἦσαν γὰρ καὶ τῶν λοιπῶν θεμάτων ταξᾶτοι ἄρχοντες οὐκ ὀλίγοι· καὶ πάντες ἐκεῖ ἀπώλοντο. ἔλαβον δὲ καὶ τὸ τοῦλδον ὅλον, καὶ ὑπέστρεψαν. τῷ δ' αὐτῷ ἔτει πρὸ τῆς ἑορτῆς τοῦ Πάσχα ὁ Κροῦμμος τῶν Βουλγάρων ἀρχηγὸς παρα-

hoc transgrederetur impudenter. Duas autem alias puellas istam forma longe superantes, quas una cum ea delegerat, in ipsis nuptiarum solemnibus diebus palam non sine hominum risu vir execrandus constupravit. Cæterum mense Februario proceres haud pauci conspirationem in eum machinati Arsaber Quæstorem & Patricium virum religiosum & eruditum designaverunt Imperatorem. Ubi Nicephorus dolis adversus alios parandis exercitatissimus insidias habuit detectas, Arsaberem verberibus cæsum & capillitio damnatum, inter Monachos reliquum vitæ acturum in Bithyniam relegavit: cæteros plagis impositis, exiliis & facultatum proscriptionibus, non sæcularis modo convictus proceres, sed & sanctos Episcopos, Monachosque, nec non ipsos magnæ Ecclesiæ Syncellum, Sacellarium, & Chartophylacem viros spectabiles omnique veneratione dignos supposuit.

Edit. Parif. pag. 409.

			Arabum Dux Muamed annis 4					
		7	8	13	4			

Hoc anno, mense Martio, indictione secunda, Arabum Dux Aaron in interiore Persia, Chorasan agnominata mortuus est: Muamed autem ejus filius ad omnia prorsus ineptus imperium suscepit: adversus quem Abdelas ejus frater seditione mota, ex provincia Chorasan cum paternis viribus erumpens, civilis belli per nationem illam auctor fuit. Subinde qui Syriam, Ægyptum, & Libyam incolunt in varias factiones divisi, Remp. & privatos quosque pessumdederunt, cædibus, rapinis, aliisque flagitiis, quum in se invicem, tum in subditos Christianos confuse desævientes. Isthinc sane per sanctam Christi & Dei nostri civitatem ecclesias desolatio & vastitas occupavit: istinc in duarum magnarum Laurarum Monasteria, sancti dico Charitonis & Cyriaci, atque sancti Sabæ, & in reliqua sanctorum Euthymii & Theodosii Cœnobia maxima clades erupit. Invaluit Arabici imperii confusio hujusmodi, cædesque mutuæ inter se, & nobis illatæ annos * * * * Theodorus autem Studii Præpositus, & ejus frater Joseph Thessalonicensis Archiepiscopus, una cum Platone Incluso, & reliquis Monachis, a Nicephori sanctissimi Patriarchæ communione, ob Joseph Oeconomum corollas nuptiales Constantino & Theodote illegitime pridem imponentem, seipsum segregavit. Imperator autem Nicephorus commodam occasionem nactus, variis Episcopis & Monasteriorum Præpositis in unum collectis, Synodum agi mandavit: cujus decreto Monasterio & Urbe ejecti, mense Januario indictionis secundæ in exilium pulsi sunt. Hoc eodem anno erogato in milites stipendio ad Stromonem, Bulgari irruentes illud interceperunt auri libras centum supra mille: varia exercitus plebe trucidata cum ipso Duce, & pluribus Optimatibus: aderant quippe ex aliis quoque Thematibus taxati Proceres haud pauci, quorum communis fuit jactura: occupatisque universi exercitus sarcinis, Bulgari rediere. Hoc etiam anno ante Paschatis solemnia Crumnus Bulgarorum Princeps, expeditione suscepta,

pag. 410.

& instructo in Sardicam exercitu, qua dolis, qua pactis, urbem cepit: & ex Romanis agminibus, promiscua privatorum hominum plebe haud numerata, militum millia sex interfecit. Nicephorus autem feria tertia salutaris Dominicæ passionis hebdomadis adversus eum egressus, nihil laude dignum edidit: quinimmo Ducibus fuga sibi salutem consulentibus, veniamque pro animi parvitate admissa petentibus eam denegavit, & in hostium partes transire compulit, inter quos Euthymius Spatharius instruendarum belli machinarum expertissimus extitit. Nicephorus autem proprio dedecori daturus accessionem, perjuris sacris ad Imperatricem Urbem datis, sanctum Paschatis festum in Crummi Aula se peregisse mentitus, etiam Sardicam ab hostibus relictam restaurare volentem obsistentis exercitus vim merito timuisse, quod nimirum ab urbe reparanda Ductorum suorum & procerum opera, cœpiæ omnes Imperatorem violenter deterruerint, ipse per litteras persuadere conatus est. At isti totum drama maligna ejus vafritie compositum & instructum attendentes, in eum & proprios Ductores circa horam sextam tumultuantur; ac impetu facto, eversis & laceratis eorum tentoriis, ad Imperatorium usque progressi Principem ipsum contumeliis & maledictis appetebant, inexplebilem ejus circa divitias libidinem & scelestum ejus animum se non ultra toleraturos jurant. Ille subito violentoque motu exterritus, exurgit e mensa, & per Nicephorum Petrumque Patricios jusjurandis & aptis ad suadendum verbis eos demulcere parat. Tum illi a tumultu leviter abstinentes, collem quemdam occupant, Miselli propositi facile conficiendi immemores, illud, Domine miserere, quasi terræ motus eam conquassaret, vel diutina imbris penuria aerem detineret, inclamant. Nicephorus utpote ad omnem malitiam exercitatus, muneribus per noctem clam distributis, varios exercitus Duces sibi devinctos seducens, ipse eorum medius insequenti die ad exercitum procedens, de suo erga eos affectu, deque sua erga ipsos æque ac filios propensione jusjurandis etiam tremendis certiores facturus differit. Ac confestim in Urbem Imperatricem convolat, Theodosio Patricio & Primiscrinio, cui cognomen Salibaras, dignoscendis per mutuas ipsorum accusationes tumultus auctoribus, relicto. Militaribus autem copiis in Urbem reversis, simulata stipendii erogatione, in varios ex militibus verberum tunsione, capillorum rasura, & exiliis, ad sanctum Mamantem animadvertit: ac demum tantis ac tam horrendis sacramentis summo contemptu quasi ad pedes conculcatis, plurimos Chrysopolim in exilium deportavit. Illi tanta calamitate perculsi, portus trajectui Ignei amnis nomen indidere.

Edit. Paris. pag. 411.

ταξάμενος κατὰ Σαρδικῆς, ταύτην παρέλαβε δόλῳ, καὶ λόγῳ, στρατεύματα Ῥωμαϊκὰ κατασφάξας χιλιάδας ἕξ, χωρὶς ἰδιωτικοῦ πλήθους. Νικηφόρος δὲ δῆθεν κατ' αὐτοῦ ἐξελθὼν τῇ τρίτῃ ἡμέρᾳ τοῦ σωτηρίου πάθους, ἀξιόλογον μὲν οὐδὲν πέπραχε. τοῖς περισωθεῖσιν ἐκ τῆς φυγῆς ἄρχουσιν αἰτοῦσι λόγον σωτηρίας ἀπαξιώσας δοῦναι, τοῖς ἐχθροῖς πρὸς φυγὴν ἐβιάσατο, ἐν οἷς ἦν Εὐθύμιος ὁ Σπαθάριος μηχανικῆς ἔμπειρος. ὁ δὲ Νικηφόρος πρὸς τῇ πολλῇ ἀδοξίᾳ σαπραῖς ἐνόρκοις τὴν βασιλίδα πόλιν πείθειν ἐσπούδαζεν, ὅτι τὰς τοῦ Πάσχα ἑορτὰς ἐν τῇ αὐλῇ τοῦ Κρουμμου ἑορτάσας, τὴν παραλειφθεῖσαν Σαρδικὴν οἰκοδομεῖν βουλόμενος, ἀνθισταμένα πλήθη φοβηθεὶς ὑποβάλλει διὰ τῶν στρατηγῶν καὶ ἀρχόντων πεῖσαι τοὺς ὄχλους αἰτήσασθαι τὸν βασιλέα περὶ τῆς οἰκοδομῆς. οἱ δὲ τὸ δρᾶμα κατανοήσαντες ὡς ἐκ τῆς ἐκείνου κακοπραγίας ὑποβεβλημένον στασιάζουσι κατ' αὐτοῦ, καὶ τῶν ἰδίων ἀρχόντων, ὥρᾳ ἕκτῃ· καὶ ἐπελθόντες διαρπάζουσι τὰς σκηνὰς αὐτῶν. ἐλθόντες δὲ ἕως τῆς βασιλικῆς, ὕβρεσι πολλαῖς καὶ ἀραῖς αὐτὸν ἔβαλλον· μηκέτι φέρειν τὴν ἄμετρον φιλαργυρίαν καὶ κακομήχανον αὐτοῦ γνώμην ἐξομνύμενοι. ὁ δὲ τῷ ἀθρόῳ τῆς στάσεως σφόδρα καταπτοηθεὶς, καὶ ἀναστὰς τῆς τραπέζης, πρῶτον μὲν διὰ Νικηφόρου καὶ Πέτρου τῶν Πατρικίων ὅρκοις, καὶ πιθανολογίαις κατευνάζειν αὐτοὺς ἐπειρᾶτο. οἱ δὲ μικρὸν παυσάμενοι, βουνόν τινα κατέλαβον οἱ τρισάθλιοι τῆς ἐν χερσὶν ἐπιλαθόμενοι πράξεως, τὸ, Κύριε ἐλέησον, ἀναβοῶντες, ὡς ἐπί τινι σεισμῷ, ἢ ἀνομβρίᾳ. ὁ δὲ πρὸς πᾶσαν κακουργίαν ἕτοιμος, λαθραίαις δωρεαῖς διὰ τῆς νυκτὸς τοὺς πολλοὺς τῶν ἀρχόντων ἐξαπατήσας, τῇ ἐπαύριον αὐτὸς δι' ἑαυτοῦ μέσος ἐλθὼν τοῖς ὄχλοις διελέχθη περὶ πάσης ἀμνεξίας ὅρκοις φρικτοῖς αὐτοὺς διαβεβαιωσάμενος, καὶ τὰ τῆς ἴσης πρὸς τὰ τέκνα στοργῆς. καὶ παραυτίκα τὴν βασιλίδα καταλαμβάνει, Θεοδόσιον Πατρίκιον καὶ Πριμικήριον, τὸν ἐπίκλην Σαλιβαρᾶν, ἐάσας εἰς τὸ καταμαθεῖν δι' ἀλλήλων τοὺς στασιάσαντας. ἐν δὲ τῷ ἐπανέρχεσθαι τὰ πλήθη ῥογεύειν αὐτοὺς προσποιησάμενος, κατὰ τὸν ἅγιον Μάμαντα δαρμοῖς τε, καὶ κουραῖς, καὶ ἐξορίαις τοὺς πλείστους τιμωρησάμενος, εἰς Χρυσόπολιν τοὺς πολλοὺς διεβίβαζεν, καταπατήσας τοὺς πλεονάκις φοβεροὺς ὅρκους. οἱ δὲ διὰ τὴν συμφορὰν πύρινον ποταμὸν τὸ πέραμα προσηγόρευσαν.

| | | 8 | a | 14 | 5 | | |

Hoc anno Nicephorus, datis in publicum veteratoriæ & a Deo penitus alienæ suæ mentis, per calliditates & astutias tot indiciis, militares copias affligere ac deprimere meditatus, milites Christianos ex unoquoque Themate patriam deserere, & facultatibus divenditis in Sclaviniam migrare edicto promulgato sancit. Extitit istud captivitate inducta non minus horrendum spectaculum. Multi siquidem ad execrationes & diras evomendas ex men-

| | | α' | β' | δ' | ς' | | |

Τούτῳ τῷ ἔτει Νικηφόρος μετὰ τὰς ἀθέους ὑπεξελεύσεις, τὰ στρατεύματα πάντα ταπεινῶσαι σκεψάμενος, Χριστιανοὺς ἀποικίσας ἐκ παντὸς θέματος, ἐπὶ τὴν Σκλαβινίαν γίνεσθαι προσέταξε, τὰς δὲ τούτων ὑποστάσεις πιπράσκεσθαι, καὶ ἦν αἰχμαλωσίας οὐκ ἔλαττον τὸ πρᾶγμα, πολλῶν ἐξ ἀνοίας βλασφημούντων, καὶ ἐχθρῶν ἐφόδους αἰτούντων· ἑτέρων δὲ τοὺς γονικοὺς

πόρους θρηνούντων, καὶ τοὺς ἀποθανόντας μακαριζόντων. εἰσὶ δὲ καὶ οἳ ἀγχόναις ἐχρήσαντο πρὸς ἀπαλλαγὴν τῶν δεινῶν. τὰ τε γὰρ προσόντα ἀκίνητα συμπεριφέρεσθαι ἠδυνάτουν, καὶ τὴν ἐκ γονικῶν πόνων κτηθεῖσαν ὕπαρξιν ὀλλυμένην ἑώρων, καὶ πᾶσα τοὺς πάντας εἶχεν ἀμηχανία. τῶν μὲν πενήτων ἐν τούτοις καὶ τοῖς ἑξῆς ῥηθησομένοις, τῶν δὲ ὑπερεχόντων συμπασχόντων αὐτοῖς, καὶ μὴ δυναμένων βοηθῆσαι, ἀπεκδεχομένων δὲ βαρυτέρας συμφοράς. ταῦτα ἤρχθη μὲν ἀπὸ τοῦ Σεπτεμβρίου, πρὸς δὲ τὸ ἅγιον Πάσχα πεπέρασται. β. δευτέραν σὺν τούτῳ κάκωσιν συνέταξε, στρατεύεσθαι πτωχούς, καὶ ἐξοπλίζεσθαι παρὰ τῶν ὁμοχώρων παρέχοντας καὶ ἀνὰ ὀκτωκαίδεκα νομίσματα τῷ δημοσίῳ, καὶ ἀλληλεγγύως τὰ δημόσια. τρίτην κακόνοιαν ἐποπτεύεσθαι πάντας, καὶ ἀναβιβάζεσθαι τὰ τούτων τέλη, παρέχοντας καὶ χαρτιατικῶν ἕνεκα ἀνὰ κερατίων δύο. τετάρτην. τοὺς κουφισμοὺς πάντας ἀναβιβάζεσθαι προσέταττε. πέμπτην. τοὺς τῶν εὐαγῶν οἴκων παροίκους, τοῦτε ὀρφανοτροφείου, καὶ τῶν ξενώνων καὶ γηροκομείων τε, καὶ ἐκκλησιῶν, καὶ μοναστηρίων βασιλικῶν τὰ καπνικὰ ἀπαιτεῖσθαι ἀπὸ τοῦ πρώτου ἔτους τῆς αὐτοῦ τυραννίδος· τὰ δὲ κρείττονα τῶν κτημάτων εἰς τὴν βασιλικὴν κουρατωρείαν αἴρεσθαι, τὰ μέν τοι τέλη αὐτῶν ἐπιτίθεσθαι τοῖς ἐναπομείνασιν εἰς τοὺς αὐτοὺς εὐαγεῖς οἴκους κτήμασι καὶ παροίκοις, ὡς διπλοῦσθαι πολλῶν τὰ τέλη οἰκήσεων στενουμένων αὐτοῖς, καὶ τῶν χωρίων. ἕκτην. ἐπισκοπεῖσθαι παρὰ τῶν στρατηγούντων τοὺς ἀθρόως ἐκ πτωχείας ἀνακτησαμένους, καὶ ἀπαιτεῖσθαι χρήματα, ὡς εὑρετὰς θησαυρῶν. ἑβδόμην· τοὺς πρὸ εἴκοσι χρόνων εὑρηκότας, καὶ μέχρι τῆς δεῦρο πίθον, ἢ σκεῦος ὁτιοῦν, καὶ αὐτοὺς ἐξαργυρίζεσθαι. ὀγδόην. τοὺς ἐκ πάππων ἢ πατέρων κληρονομήσαντας διαιρεθέντας ἐκ τῶν αὐτῶν χρόνων εἴκοσι, ἐξαναδιδόναι τῷ δημοσίῳ τοὺς πένητας· καὶ τοὺς ὠνησαμένους ἔξω τῆς Ἀβύδου σώματα οἰκετικά, ἀνὰ δύο νομίσματα τελέσαι προσέταξε, μάλιστα τοὺς κατὰ τὴν δωδεκάνησον. ἐνάτην. τοὺς τὰς παραθαλασσίους οἰκοῦντας, μάλιστα τῆς μικρᾶς Ἀσίας, μηδέποτε γηπονικῶς ζήσαντας, ἄκοντας ὠνεῖσθαι ἐκ τῶν καθαρπαγέντων αὐτῷ κτημάτων, ὡς ἂν ἐκτιμηθῶσιν παρ' αὐτοῦ. δεκάτην. τοὺς ἐν ΚΠ. ἐπισήμους ναυκλήρους συναγαγὼν δέδωκεν ἐπὶ τόκῳ τετρακερατῷ τὸ νόμισμα ἀνὰ χρυσίου λιτρῶν δώδεκα, τελοῦντας καὶ τὰ συνήθη κομμέρκια. ταῦτα ἐκ τῶν πολλῶν ὡς ἐν κεφαλαίῳ μικρά μοι ἐστηλογράφηται δηλοῦντα τὸ πρὸς πᾶν εἶδος πλεονεξίας αὐτοῦ πολυμήχανον. τὰ γὰρ κατὰ τὴν βασιλίδα τοῖς ἐν τέλει, καὶ μέσοις, καὶ εὐτελέσιν ἐνδειχθέντα δεινὰ πέρα συγγραφῆς· τοὺς μὲν * ἀνιχνεύοντας ὅσοι οἴκοι ζῶσι, καὶ καθυποβάλλων τοῖς πονηροῖς τῶν οἰκετῶν διαβάλλειν τοὺς δεσπότας· καὶ ἐν ἀρχαῖς δῆθεν διστάζοντας ἐπὶ τοῖς λεγομένοις, ἔπειτα βεβαιοῦντας τὰς συκοφαντίας. τὸ αὐτὸ δὲ καὶ ἐπὶ ἀσήμων κατ'

* Barber. ἀνιχνεύων ὅπως οἰκίζωσιν

tis alienatione converti, isti inimicas excursiones peroptare, alii a paternis sepulchris extorres seipsos lugere, & vita functos præ se beatos prædicare: fuerunt etiam qui laqueis a præsentibus calamitatibus libertatem quæsierint: bona siquidem immobilia secum una circumferre non valentes, paternis laboribus acquisitas facultates misere sibi deperire contemplati magna animorum angustia, & acerbo doloris sensu torquebantur; pauperibus quidem hæc aliaque inferius enarranda patientibus, ditioribus vero eorum misericordia commotis, opis ferendæ impotibus, impendentesque sibi graviores ærumnas in diem præstolantibus. Et hæc quidem a Septembri sumpserunt initium, & ad sanctum Pascha ad finem perducta sunt. a. His secundam adjunxit offensionem pauperibus militiæ adscribi, & a concivibus armis instrui jussis, qui nimirum per singulos homines nummos octodecim, & publica tributa unus in alterius vicem publico ætario penderent. Tertium hoc malitiæ fuit commentum, ut nimirum inspectis omnium facultatibus tributa præstanda augerentur, & descriptionis confectæ gratia, Ceratia duo a singulis exigerentur. Quartum illud inventum. Vectigalium remissiones in pristinum statum reduci, & augeri. Quintum A Deo devotarum ædium Orphanorum, dico, Peregrinorum, Senum receptaculis, Ecclesiis, & Monasteriis Imperatorum liberalitate positis Fumaria tributa a primo tyrannidis suæ anno colligi: possessionum uberiores in Imperatoris Curatoriam transferri: annua vero earum nomine pensa a residuis possessionibus & remanentibus sacrarum illarum ædium accolis persolvi: adeo ut habitationibus & agris in angustiis adductis aucta duplo tributa exigerentur. Sextum. A Provinciarum Rectoribus, qui ex egenis proxime divites evasissent, inquiri, & ut a thesaurorum inventoribus divitias repeti. Septimum. Ab iis, qui viginti annis & citra illud spatium dolium aut vas quodcumque invenissent, pecunias emungi. Octavum. Eos qui ante prædictos viginti annos ab avis & patribus hæreditatis jure aliquid obtinuissent, etiamsi pauperes evasissent, ad publico redhibendum cogendos. Qui autem extra Abydum mancipia emissent, de singulis duo numismata solverent, maxime Cycladas duodecim insulas incolentes. Nonum. Qui ad maris, minoris maxime Asiæ, littora habitarent, neque ex agrorum suorum fructibus victum perciperent, invitos prædia quæ aliis eripuerat, quanti ab eo æstimata essent, emere præcepit. Decimum. Collectis in unum insignioribus CP. naucleris, unicuique duodecim auri libras dedit, ea lege, ut in singula numismata quatuor Ceratia in fœnus penderent: ac nihilosecius consueta naviglorum vectigalia reddere cogerentur. Ista ex multis pauca compendio in medium protuli, ex quibus varias ejus ad omne rapinæ atque injustitiæ genus artes commonstrarem. Quas enim in Imperatrice Urbe summi, medii, atque infimi loci hominibus injurias intulit, plures sunt, quam ut perscribi possint: dum ipse videlicet perquireret, quomodo unusquisque domi viveret; servosque ad calumnias in dominos struendas impelleret: qui quidem initio criminationes in dubium allatas in dubium revocare simulans, eas postea comprobabat, atque confirmabat: idque præcipue in ignobilibus ad-

Edit. Paris. pag. 412.

versus illustres viros admittebat, homines ad deferendum idoneos præmiis atque honoribus afficiens. Præterea patresfamilias quamplurimos a prima ad tertiam generationem domibus exturbavit, spe fretus eos quo citius mererent, eo citius illorum hæreditates ad se deventuras. Id vero etiam dignum est quod memoriæ tradam, tum voluptati, quam utili exemplo futurum. Agebat in foro cereorum quidam venditor ex propriis laboribus nonnullas facultates adeptus. Eum ad se accersitum helluo ille pecuniarum sic alloquitur. Apposita capiti meo manu, jura quanta tibi sit auri copia. Is tamquam indignus manum extendere recusans, & exequi compulsus, centum auri libras possidere fassus est: quas Imperator quantocyus proferri cum jussisset: Quid, inquit, tibi ea sollicitudine opus est? Prande mecum: & acceptis tibi nummis centum, in domum tuam contentus discede.

Edit. Paris. pag. 413.

A ἐπισάμενος ἔδρα τιμῶν ἀξιῶν τοὺς διαβάλλοντας· τῶν δὲ οἴκων πολλοὺς τῶν οἰκητόρων ἀπὸ πρώτης εἰς τρίτην γενεὰν ἐξανέστρεψεν, ἐλπίδι τοῦ τάχιστα τούτους ἐκπεσεῖν, καὶ ὑπ' αὐτοῦ κληρονομηθῆναι. ἄξιον δέ τι ἡδύσματος, ἃ παραδείγματος ἕνεκα μνησθῆναι καὶ τούτου. κηρουλλάριός τις ἦν ἐν τῷ φόρῳ ἐκ τῶν ἰδίων πόνων εὐπορηθείς. τοῦτον μεταστειλάμενος ὁ παμφάγος φησί. Θὲς τὴν χεῖρά σου κατὰ τῆς κεφαλῆς μου, καὶ ὄμοσόν μοι τὸ, πόσος σοι χρυσός ἐστι; ὁ δὲ μικρὸν ὡς ἀνάξιος δῆθεν, παραιτούμενος, ἐβιάσθη τοῦτο παρ' αὐτοῦ ποιῆσαι, καὶ λίτρας ἑκατὸν ἐξειπεῖν ἔχειν. καὶ τοῦτο κατὰ τὴν ὥραν B προσέταξεν ἐνεχθῆναι, φήσας. σὺ τί χρείαν ἔχεις περισπασμοῦ; συναρίστησόν μοι· καὶ ἆρον νομίσματα ἑκατὸν, καὶ πορεύου ἀρκούμενος.

| | 9 | 3 | 15 | 6 | | | | |

| | | θ' | γ' | ιε' | ς' | | | | |

Hoc anno Nicephorus, qui lege sancita fœnora exercenda prohibuit, solitas sibi at Deo invisas Christianorum inspectiones, bonorum omnium, & animalium, pabulorum, & fructuum iniquas proscriptiones, usuras de navigiis captatas, aliaque mala infinita prorogavit in pejus: quorum narratio ex parte instituta molesta iis sit futura, qui res gestas compendio cognoscere studens. Mensis autem Octobris die primo, hebdomadis feria tertia, quidam incognitus Monastico habitu tectus, educto e cujuspiam militis latere gladio in Palatium irruit, Nicephoro mortem inferre meditatus. Astantium autem duos eum insequentes, ac retinere contendentes graviter vulneravit. Comprehensus itaque, & tormentis examinatus, nullo criminis auctore vel conscio accusato, a dæmonio torqueri se finxit. Imperator virum pedicis ligneis, una cum iis qui a dæmone exagitantur, arctari jussit: quod gravis mali tam imperantibus quam subdito cuique impendentis portentum dari, quale impii Nestorii temporibus visum, augurati sunt. Porro Manichæorum, quos nunc Paulicianos dicimus, & Athinganorum ex Phrygia & Lycania juxta patriam suam erumpentium amicus totus eorum cupidine flagrans extitit, ac eorum vaticiniis & superstitionibus omnino deditus: iis enim accitis, cum Bardanius Patricius seditionem movit, eorum præstigiis usus hominem in se rebellantem prostravit. Taurum siquidem in foveam demissum, & in terram capite proclivem, cornibus ad palum ferreum alligatis, eo pacto mugientem & in lato volutantem se occidi paravit: ejusdemque Bardanii veste sub mola in retroactum gyrum contorta conteri præcipiens, ac simul incantamenta effutiens, Deo ita permittente, ob innumerum peccatorum nostrorum numerum, victoriam retulit. Quamobrem sub ejus imperium Manichæis istis libere cum aliis vivendi & civitatis jure citra metum utendi facultas data: ex quo multos levioris ingenii homines nefariis eorum opinionibus depravari contigit. Fuit tum in Hexacionio Nicolaus quidam, Eremitæ nomen falso sibi arrogans, & quidam ejusdem vitæ participes, adversus rectam fidem & venerandas imagines blasphemias evomere assueti. Istos sibi devincire, Pontificem vero Nicephorum reliquosque vi-

Τούτῳ τῷ ἔτει Νικηφόρος τῆς κατὰ Χριστιανῶν ἐπιτείνων ἐποψίας ἀθέους ἐξαγορασμοῖς παντοίων ἀλόγων, βοσκημάτων τε, καὶ καρπῶν, ἀδίκους δημεύσεις τε, καὶ ζημίας, τῶν ἐν πλοὶ λογισμοῖς ἐν πλοίοις, ὁ πᾶσι νομοθετῶν τὸ μὴ τοκίζειν, καὶ ἄλλας μυρίας κακῶν ἐπινοίας, ὧν ἡ C κατὰ μέρος ἱστορία φορτικὴ τοῖς ἐπιτετμημένα ζητοῦσι πέφυκε μανθάνειν τὰ πράγματα. τῇ δὲ πρώτῃ τοῦ Ὀκτωβρίου μηνὸς ἡμέρᾳ τρίτῃ, σπασάμενος τὶς ἀφανὴς ἐν σχήματι μοναχοῦ ξίφος τινὸς τῶν στρατευομένων, εἰσέδραμεν ἐν τῷ παλατίῳ Νικηφόρον ἀνελεῖν ζητῶν. τῶν περιεστώτων δύο κατατρεχόντων καὶ ἐπιδραμόντων αὐτῷ, δεινῶς ἐπλήγησαν ὑπ' αὐτοῦ. συλληφθεὶς δὲ καὶ πολλὰ τιμωρηθεὶς, δαιμονᾶν προεφασίσατο, μηδένα τινα συκοφαντήσας. ὁ δὲ τοῦτον ἐν τῷ ξύλῳ κατησφαλίσατο σὺν τοῖς πάσχουσι· καὶ πολλοὶ ἐντεῦθεν οἰωνίσαντο μεγάλου κακοῦ σημεῖον εἶναι τοῦτο τοῖς τε κρατοῦσι, καὶ τοῖς ὑπὸ χεῖρα, καθάπερ ἐπὶ τοῦ δυσσεβοῦς Νεστορίου D γέγονε. τῶν δὲ Μανιχαίων, τῶν νῦν Παυλικιανῶν λεγομένων, καὶ Ἀθιγγάνων τῶν κατὰ Φρυγίαν, καὶ Λυκαονίαν, ἀγχιγειτόνων αὐτοῦ, φίλος ἦν διάπυρος, χρησμοῖς καὶ τελεταῖς αὐτῶν ἐπιχαίρων, ἐν οἷς ὅτε Βαρδάνης ὁ Πατρίκιος ἐπανέστη αὐτῷ, τούτους προσκαλεσάμενος, ταῖς αὐτῶν μαγγανείαις τοῦτον ὑπέταξε. ταῦρον γὰρ ἔν τινι λάκκῳ ἐν σιδηρῷ πάλῳ ἐκ τῶν κεράτων προσδήσας εἰς γῆν νενευκότα, οὕτω μυκώμενον καὶ ἐλυσσωμένον ἀποκτανθῆναι πεποίηκε· τὴν δὲ τούτου ἐσθῆτα ἐν μύλωνι ἀλέσας ἀντιστρόφως, καὶ ἐπαοιδίαις χρησάμενος νίκην ἤρατο, παραχωρήσαντος τοῦ Θεοῦ διὰ E πλῆθος ἁμαρτιῶν ἡμῶν. οὗτοι χώραν ἔλαβον ἐπὶ τῆς βασιλείας αὐτοῦ ἀφόβως πολιτεύεσθαι, καὶ πολλοὶ τῶν κουφοτέρων ταῖς ἀθεμίτοις αὐτῶν διεφθάρησαν δόξαις. ἐν δὲ τῷ Ἑξακιονίῳ ψευδερημίτης τὶς Νικόλαος τοὔνομα, καὶ οἱ σὺν αὐτῷ γεγονότες ἦσαν, καὶ κατὰ τοῦ ὀρθοῦ λόγου καὶ τῶν σεπτῶν εἰκόνων ἐβλασφήμουν, ὧν ἀντεποιεῖτο Νικηφόρος, καὶ ἐλύπει τὸν Ἀρχιερέα, καὶ πάντας

τοὺς

τοὺς κατὰ Θεὸν ζῶντας. πολλάκις γὰρ κατ' αὐτῶν ἐγκαλῶν ἠγανακτήθη, τοῖς πρὸς ἀλλήλους ἐχθραίνουσι σφόδρα συγχαίρων, ἐπιποθάζων παντὶ Χριστιανῷ φιλοῦντι τὸν πλησίον, ὡς ἀνατροπεὺς τῶν θείων ἐντολῶν· καὶ διὰ σπουδῆς ἦν αὐτῷ δίκας ἀλόγους καὶ ἀλόγως παντὶ Χριστιανῷ κινεῖν ἐν τῷ κολαστηρίῳ τῆς Μαγναύρας, πρὸς τὸ μηδένα σχολάζειν κατὰ τῶν ἀσεβειῶν αὐτοῦ. τοὺς στρατιωτικοὺς ἄρχοντας δουλικῶς χρᾶσθαι τοῖς ἐπισκόποις, καὶ κληρικοῖς ἐκέλευσε καταγομένους αὐθεντικῶς ἐν τοῖς ἐπισκοπείοις καὶ μοναστηρίοις, καὶ καταχρᾶσθαι τὰ αὐτῶν. τοὺς ἀπ' αἰῶνος ἀναθεμένους τῷ Θεῷ χρυσᾶ ἢ ἀργυρᾶ ἔψεγε, καὶ τὰ τῶν ἐκκλησιῶν ἱερὰ κοινοῦσθαι ἄξιον ἐδογμάτιζεν, ὡς Ἰούδας τὸ δεσποτικὸν μύρον. τοὺς πρὸ αὐτοῦ βασιλεῖς ἅπαντας, ὡς ἀκυβερνήτους, ἐμέμφετο, καθόλου τὴν πρόνοιαν ἀναιρῶν, καὶ μηδένα λέγων γίνεσθαι τοῦ κρατοῦντος δυνατώτερον, εἰ βούλοιτο ὁ κρατῶν ἐντρεχῶς ἄρχειν. ἀλλ' ἐματαιώθη ἐν τοῖς διαλογισμοῖς αὐτοῦ ὁ θεήλατος. τῷ δὲ Φεβρουαρίῳ μηνὶ τῆς αὐτῆς δʹ. ἰνδικτιῶνος τῷ πρώτῳ σαββάτῳ τῶν νηστειῶν ὑπαντηθέντες οἱ Σαρακηνοὶ εἰς Εὐχάϊταν Λέοντι στρατηγῷ τῶν Ἀρμενιακῶν σὺν τῇ ῥόγᾳ τοῦ θέματος, αὐτὴν ἀφείλαντο σὺν πολλῷ πλήθει λαοῦ. τάλαντα δὲ ἦν ιγʹ. γινόμεναι λίτραι χίλιαι τριακόσιαι· καὶ οὐδ' οὕτω μὴ παιδευθεὶς ἠλέγχετο Νικηφόρος τῆς πλεονεξίας παύσασθαι. ἐπὶ τοσούτοις δὲ σημείοις ὁ νέος Ἀχαὰβ μὴ παιδευθεὶς, ὁ Φαλάριδος καὶ Μίδου ἀπληστότερος, κατὰ Βουλγάρων παρατάττεται ἅμα Σταυρακίῳ τῷ υἱῷ αὐτοῦ· καὶ τῇ τοῦ Μαΐου μηνὸς **** τῆς βασιλίδος ἐξιὼν, ἐκέλευσε Νικήτᾳ Πατρικίῳ καὶ γενικῷ Λογοθέτῃ τὰ δημόσια τέλη τῶν ἐκκλησιῶν καὶ μοναστηρίων ἀναβιβάσαι, καὶ ὀκτὼ ἐτῶν ὀπισθοτελείας, τοὺς τῶν ἀρχόντων ἀπαιτηθῆναι οἴκους. καὶ ἦν θρῆνος μέγας. ἐγκαλούμενος δὲ ὑπό τινος γνησίου αὐτοῦ θεράποντος, Θεοδοσίου, φημὶ, τοῦ Σαλιβαρᾶ Πατρικίου ὄντος, ὅτι πάντες καταβοῶσιν ἡμῶν, δέσποτα, καὶ ἐν καιρῷ πειρασμοῦ πάντες χαρήσονται τῇ πτώσει ἡμῶν. ἔφη πρὸς αὐτόν. ὁ Θεὸς σκληρύνων ἐσκλήρυνε τὴν καρδίαν μου. τί ἀγαθὸν ἔσται τοῖς ὑπὸ τὴν χεῖρά μου παρὰ Νικηφόρου, Θεοδόσιε, μὴ ἐκδέχου παρὰ τῶν ὁρωμένων σοι. ταῦτα Κύριος οἶδε. ταῦτα ζώσῃ φωνῇ ἀκήκοα παρὰ Θεοδοσίου. ἐπισυνάξας δὲ τὰ στρατεύματα, οὐ μόνον ἐκ Θρᾴκης, ἀλλὰ καὶ τῶν περατικῶν θεμάτων, πένητάς τε πολλοὺς ἰδίοις ὀψωνίοις σφενδόναις καὶ ῥάβδοις ὡπλισμένους βλασφημοῦντας ἅμα τοῖς στρατεύμασιν, ἤλασε κατὰ Βουλγάρων. Κροῦμος δὲ τὰ πλήθη φοβηθεὶς, ὄντων αὐτῶν ἐν Μαρκέλλαις ᾐτεῖτο εἰρήνην. ὁ δὲ ταῖς οἰκείαις κακοβουλίαις, καὶ ταῖς τῶν ὁμοφρόνων αὐτοῦ συμβούλων εἰσηγήσεσι διεκωλύθη· καὶ μετὰ πολλὰς περιαγωγὰς δι' ἀβάτων τόπων ῥιψοκινδύνως ὁ θρασύδειλος εἰσέρχεται εἰς Βουλγαρίαν τῇ εἰκοστῇ τοῦ Ἰουλίου μηνός· κυνὸς ἦν ἐπιπολὴ πανολέθριος συχνῶς ἐπιφθεγγόμενος, τὸ, τίς παρελεύσεται καὶ

tam suam ad Dei placitum conformantes afligere studebat. Sæpius enim his illos incusantibus succensuit: cum ex adverso mutuas ad invicem foventes inimicitias amplecteretur; & diligentes invicem conviciis morderet, usque erat divinorum mandatorum acerrimus oppugnator, in id toto studio raptus, ut, litibus per fas aut nefas cuilibet Christiano in Magnauræ carnificina intentatis, neminem impietatibus suis dignoscendis attendere permitteret. Militares proceres Episcopis & Clericis herili jure Episcopatibus & Monasteriis abductis, in servorum modum uti, eorumque bonis abuti, jussit. Eos insuper, qui ab antiquo aurea vel argentea quæque vasa Deo devota consecrassent, ipse vituperiis incessebat: & quæ nunc possideret Ecclesia communibus usibus deputanda, prout Judas Dominicum unguentum, deblaterabat. Ad hæc qui præcesserunt Imperatores, ceu rerum gerendarum imperitos, moderantia in universum sublata, accusabat, affirmans neminem Principe potentiorem esse, modo caute atque strenue is imperium gerat: sed homo divinæ justitiæ victima in hisce suis vanis commentis deceptus est. Mense porro Februario indictionis ejusdem quartæ, primo quadragesimæ Sabbato, Saraceni Leoni Armeniacorum Duci militum suorum stipendia secum vehenti ad Euchaitam obviam facti, cuncta cum exercitus parte in potestatem suam mittunt. Erant autem talenta tredecim libras mille & trecentas conficientia. At ne quidem sic castigatus ab avaritiæ libidine ut resipisceret Nicephorus commoveri potuit. Tantis etiam signis haud eruditus novus ille Achab, Phalarim & Midam divitiarum cupidine superans, adversus Bulgaros una cum Stauracio filio exercitum parat: & mensis Maii die **** Imperante Urbe profectus, Nicetæ Patricio & Generali Logothetæ mandavit, publicos Ecclesiarum & Monasteriorum census augeret, & in octo sequentes annos pensionem a procerum domibus exigeret: quod gravi communique luctui causam dedit. A quodam autem fideli suo famulo, Theodosio, inquam, Salibaræ filio viro Patricio reprehensus est ac monitus verbis istiusmodi: Omnes adversum nos vociferantur, inquit, Domine, & si quid adversi nobis acciderit, omnes casu nostro lætabuntur. Nicephorus respondit. Deus qui corda hominum indurat, meum pariter induravit: quid boni in subditos meos a Nicephoro profluere potest, Theodosi? Ne præter ea, quæ experiris, aliud quippiam expectes. Ista Dominus novit. Ista viva voce referentem Theodosium audivi. Igitur copiis non solum ex Thracia, sed ex ulterioribus etiam provinciis in unum collectis, multisque pauperibus eo adactis, ut propriis stipendiis militarent fundis & baculis armati, ex quo diris omnibus eum, & una exercitum ejus universum devovebant, adversus Bulgaros contendit. At cum populares illæ turbæ Marcellos advenissent, extimuit Crummus, & de pace tractare molitus est: sed Nicephorus tam proprii consilii pravitate, quam ejusdem secum sensus consiliariorum suggestionibus impeditus, tractatum recusavit: tandemque post varios per invia loca circuitus, post expositum periculo exercitum Thraso-timidus mensis Julii die vicesimo, Bulgariam ingreditur, sub canis perniciosissimum exortum: Illud autem frequenter

Edit. Paris. pag. 414.

pag. 415.

insonabat: Quis ibit, & decipiet Achab? Sive Deus etenim, sive oppositus hostis, cuncta trahit, & regit. Prius autem quam in Bulgariam penetraret, Byzantius famulus ejus Iatimus Imperatoria veste & auri libris centum secum sublatis, a Marcellis ad Crummum profugit: quam domestici fugam plurimi in sinistrum omen interpretati sunt. Post dies vero tres & conflictus primos leviores, cum fortunam in vota conspirantem secum trahere videretur, haud prosperitatis auctori Deo victoriæ successum adscripsit: sed Stauracii solius felicitatem ac providentiam laudavit: & iis, qui ingressum in Bulgariam dissuadebant, pœnas comminatus est. Porro animalia ratione carentia, & ipsos infantes neci crudeliter tradi mandavit: & relictis civium suorum cadaveribus insepultis, solam congerendorum spoliorum curam suscepit. Claustris & sigillis Crummi conclavia velut propria communivit: eorum qui prædam attigissent aures & membra præcidit: Crummi Aulam ita dictam incendit. Is animo fractus, demissis verbis Nicephoro significat. Quoniam vicisti, tolle quod tibi placitum est: & discede cum pace. Is pacis inimicus, pacem non admisit: quo Crummus exasperatus, regionis aditus & exitus ligneis septis in muri modum communivit. Quod cum rescisset Nicephorus subito terrore quasi fulmine ictus, provinciam circumibat, & quod moliretur opus hærebat: Cladem itaque præsagiens suis dixit. Nullus periculum evadere, nisi volucres fiamus, sperare valet. Bini dies feria nimirum quinta & sexta in hæc machinamenta insumpti. Nocte vero, quæ Sabbatum præcessit, graves tumultus & armatorum hominum motus circa Nicephorum & ejus milites audici cunctorum animos in terrorem & anxietatem conjecerunt: mox sub crepusculum impetu facto in Nicephori & Optimatum ejus tentoria, ipsos miserabiliter obtruncarunt: inter quos Aetius Patricius, Petrus Patricius, Sisinnius Triphyllius Patricius, Theodosius Patricius, Salibaras dictus, qui multis ærumnis & malis illatis Beatam Irenem afflixit, Præfectus quoque etiam ipse Patricius, Romanus Patricius, & Orientalium Dux, & alii plurimi Protospatharii, Spatharii, agminum Ductores, Excubitorum Domesticus, caploratorum sive Imperatoriæ vigiliæ Drungarius, Thraciæ Dux, multi præterea Thematum proceres & Officiales, cum innumera militum plebe, adeo ut Christianorum decor omnis & splendor eo die prostratus fuerit & omnino extinctus: Armaque pariter universa & Imperatoris supellex omnis perierit. Incompositum sane istius diei relatum, ceu qui luctus & querelas omnes exsuperet, absit ut Christiani iterum alibi oculis prospiciant. Contigerunt ista mensis Julii die vicesimo quinto indictione quarta. Crummus autem amputatum Nicephori caput, adventantibus ad se variis nationibus ostentandum per dies multos in Romanorum dedecus & vituperium in ligno suspendit. Postmodum vero illud suspendio revulsum, carnibus nudatum, & argento tectum, compotaturis Sclavinorum Principibus in poculum gloriabundus efformavit. Innumeris viduis & orphanis uno die factis, luctuique intolerabili totum Imperium obtinenti, sola ejus mors medelæ pariter & solatio fuit. Cædis ejus modum nullus qui a prælio evasit incolumis

Edit. Paris. pag. 416.

ἀπατήσει τὸν Ἀχαάβ; λέγων· ὅτι κἂν ὁ Θεὸς, κἂν ὁ ἀντικείμενος ἕλκει ἅπαντα. πρὸ δὲ τοῦ εἰσελθεῖν αὐτὸν, Βυζάντιος ὁ τούτου Ἐπιστήθιος οἰκέτης πρὸς Κροῦμμον ἀπὸ Μαρκέλλων προσέφυγε, συναρπάσας ἐσθῆτα βασιλικὴν καὶ χρυσίου λίτρας ἑκατόν· πολλοὶ δὲ τὴν τούτου φυγὴν ἐπὶ κακῷ Νικηφόρου οἰωνίσαντο. ἐπὶ δὲ τρισὶν ἡμέραις μετὰ τὰς πρώτας συμβολὰς δόξας κατευοδοῦσθαι, οὐ τῷ κατευοδοῦντι Θεῷ τὰ τῆς νίκης ἐπέγραφεν. ἀλλὰ Σταυρακίου μόνου τὴν εὐτυχίαν καὶ εὐβουλίαν ἐκήρυττε, καὶ τοῖς κωλύουσι τὴν εἴσοδον ἀρχουσιν ἠπείλει. ἄλογα δὲ ζῶα καὶ βρέφη καὶ πᾶσαν ἡλικίαν ἀνηλεῶς φονεύεσθαι προσέταξε, καὶ τὰ τῶν ὁμοφύλων νεκρὰ σώματα ἄταφα ἐάσας μόνης ἐπιμελούμενος τῆς τῶν σκύλων συλλογῆς, κλεῖθρα δὲ καὶ σφραγῖδας τοῖς τοῦ Κρούμμου ταμείοις ἐπιθεὶς, ὡς ἴδια λοιπὸν ἠσφαλίσατο. ὦτα γοῦν καὶ τὰ ἕτερα μέλη Χριστιανῶν ἁψαμένων τῶν σκύλων ἀπέτεμεν, καὶ τὴν λεγομένην αὐλὴν τοῦ Κρούμμου ἐνέπρησεν, ἐκείνου σφόδρα ταπεινωμένου καὶ δηλοῦντος, ὅτι νενίκηκας. λάβε οὖν ὅτι σοι ἀρεστόν ἐστι, καὶ ἔξελθε ἐν εἰρήνῃ. ὁ δὲ τῆς εἰρήνης ἐχθρὸς ταύτην οὐ προσήκατο· ἐφ' οἷς καὶ χαλεπήνας ἐκεῖνος, τὰς τῆς χώρας εἰσόδους καὶ ἐξόδους περιπεφραγμένας ξυλίνοις ὀχυρώμασι, πέμψας κατησφαλίσατο. Νικηφόρος δὲ τοῦτο γνοὺς, εὐθέως, ὡς ἐμβρόντητος ἔτι πράξοι, ἠγνόει περιάγων. καὶ τοῖς συνοῦσι τὰ τῆς ἀπωλείας ἔλεγεν· ὅτι κἂν πτερωτοὶ γενώμεθα, μηδεὶς ἐλπίσῃ διαφυγεῖν τὸν ὄλεθρον. ταῦτα δὲ ἦν ἐφ' ἡμέρας δύο πέμπτην καὶ παρασκευὴν τὰ μαχανήματα. καὶ τῇ νυκτὶ τοῦ σαββάτου τάραχοι καὶ ὄχλων ἐνόπλων περὶ Νικηφόρον καὶ τοὺς σὺν αὐτῷ ἀκουόμεναι παρατάξεις πάντας ἐξενεύρωσαν. πρὸ δὲ τῆς ἡμέρας ἐπελθόντες οἱ βάρβαροι κατὰ τῆς τοῦ Νικηφόρου σκηνῆς, καὶ τῶν σὺν αὐτῷ μεγιστάνων ἀναιροῦσιν αὐτὸν οἰκτρῶς, ἐν οἷς καὶ Ἀέτιος Πατρίκιος, καὶ Πέτρος Πατρίκιος, καὶ Σισίνιος Πατρίκιος ὁ Τριφύλλης, καὶ Θεοδόσιος Πατρίκιος ὁ Σαλιβαρᾶς, ὁ πολλὰ λυπήσας καὶ κακὰ ἐνδειξάμενος τῇ μακαρίᾳ Εἰρήνῃ, καὶ ὁ Ἔπαρχος Πατρίκιος, καὶ Ῥωμανὸς Πατρίκιος, καὶ στρατηγὸς τῶν Ἀνατολικῶν, καὶ ἕτεροι πολλοὶ Πρωτοσπαθάριοι, καὶ Σπαθάριοι, καὶ τῶν ταγμάτων ἄρχοντες, καὶ τῶν Ἐξκουβίτων Δομέστικος, καὶ ὁ Δρουγγάριος τῆς βασιλικῆς βίγλας, καὶ ὁ τῆς Θρᾴκης στρατηγὸς, καὶ πολλοὶ ἄρχοντες τῶν θεμάτων σὺν ἀπείροις λαοῖς, πᾶσά τε τῶν Χριστιανῶν ἡ καλλονὴ διεφθάρη· τά τε ὅπλα πάντα ἀπώλοντο, καὶ τὰ τῆς βασιλείας σκεύη. τὰ δὲ τῆς τοιαύτης ἡμέρας ἀκαλλῆ ῥήματα μὴ γένοιτο Χριστιανοῖς ἰδεῖν ἔτι, ὡς πάντα θρήνου ἐπέκεινα. ταῦτα δὲ γέγονε τῇ εἰκοστῇ πέμπτῃ τοῦ Ἰουλίου μηνὸς ἰνδικτιῶνι τετάρτῃ, τὴν δὲ Νικηφόρου κεφαλὴν ἐκκόψας ὁ Κροῦμμος, ἐκρέμασεν ἐπὶ ξύλου ἡμέρας ἱκανὰς, εἰς ἐπίδειξιν τῶν ἐρχομένων εἰς αὐτὸν ἐθνῶν, καὶ αἰσχύνην. μετὰ δὲ ταῦτα λαβὼν αὐτὴν, καὶ γυμνώσας ὀστοῦν, ἄργυρόν τε ἐνδύσας ἔξωθεν, πίνειν εἰς αὐτὴν τοὺς τῶν Σκλαβίνων ἄρχοντας ἐποίησεν ἐγκαυχώμενος. πολλῶν δὲ χηρῶν καὶ ὀρφανῶν ἐν μιᾷ ἡμέρᾳ γενομένων, καὶ θρήνου ἀκατασχέτου ὄντος, ἡ τούτου σφαγὴ πολλῶν

παραμυθία γέγονε. τὸν δὲ τρόπον τῆς τούτου σφαγῆς οὐδεὶς τῶν παρασωθέντων ἀκριβῶς ἐξηγήσατο. φασὶ γάρ τινες ὅτι καὶ Χριστιανοὶ πεσόντα τοῦτον ἐπέτρωσαν. οἱ δὲ γυναικώδεις τῶν ἀνδρῶν οἰκέται αὐτοῦ οἷς συνευνάζετο, οἱ μὲν τῷ τῆς σούδας πυρὶ, οἱ δὲ ξίφεσιν ὤλοντο σὺν αὐτῷ. τούτου τῆς ἀρχῆς Χριστιανοὶ βαρυτέρων οὐδενὶ χρόνῳ ἠτύχησαν. πάντας γὰρ ἐν πλεονεξίαις, καὶ ἀκολασίαις, καὶ βαρβαρικαῖς ὠμότησιν ὑπερηκόντισε τοὺς πρὸ αὐτοῦ βασιλεύσαντας· περὶ ὧν κατὰ μέρος διεξιέναι, καὶ τοῖς μετέπειτα δύσπιστον, καὶ ἡμῖν ἐργῶδες· πλὴν ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα πρόδηλον, κατὰ τὴν παροιμίαν. τιτρώσκεται δὲ καὶ Σταυράκιος παῖς αὐτοῦ καιρίως κατὰ τοῦ σπονδύλου τὸ δεξιὸν μέρος· καὶ μόλις τῆς μάχης ἐξῆλθε ζῶν, καὶ κατέλαβε τὴν Ἀδριανούπολιν δεινῶς ὑπὸ τῆς πληγῆς κολαφιζόμενος. Στέφανος δὲ Πατρίκιος καὶ Δομέστικος τῶν σχολῶν συμπαρόντος καὶ Θεοκτίστου Μαγίστρου ἀνηγόρευσε Σταυράκιον αὐτοκράτορα, καὶ διελέχθη τῷ περισωθέντι λαῷ κατὰ τοῦ ἰδίου πατρὸς, καὶ σφόδρα ἠδύνθησαν, Μιχαὴλ δὲ Κουροπαλάτης ἀβλαβὴς περισωθεὶς, πολλὰ παρεκλήθη ὑπὸ τῶν φίλων ἀναγορευθῆναι βασιλεὺς, καὶ οὐ κατεδέξατο διὰ τοὺς πρὸς Νικηφόρον ὅρκους, καὶ Σταυράκιον. τούτῳ Στέφανος Δομέστικος ἀντεῖπεν ἐλπίδι τῆς ζωῆς Σταυρακίου. Θεόκτιστος δὲ ὁ Μάγιστρος συνέτρεχε περὶ τῆς βασιλείας Μιχαήλ. Σταυράκιος δὲ δι' οὔρων αἱμορραγήσας ἀμέτρως κατεξηράνθη μηροὺς καὶ σκέλη, φορείοις ἐλθὼν ἐν Βυζαντίῳ. τούτῳ Νικηφόρος ὁ Πατριάρχης πάνυ προσκείμενος συνεβούλευε ἐξιλεώσασθαι τὸν Θεὸν, καὶ τοὺς πλεονεκτηθέντας παρὰ τοῦ πατρὸς αὐτοῦ παραμυθήσασθαι· πρὸς ὃν ὁ τῆς πατρικῆς γνώμης γνήσιος κληρονόμος ἔλεγεν, μὴ δύνασθαι πλείω τριῶν ταλάντων ἀποδοῦναι. ταῦτα δὲ ἦν τὸ μικρὸν μόριον τῶν ἐκείνου ἀδικιῶν. πλὴν καὶ περὶ ταῦτα ὤκνει, ζῆσαι καραδοκῶν. ἄσπονδον δὲ ἔχων πατρικὴν γνώμην συχνότερον ἀτιμίαις ἔβαλλε Θεόκτιστον Μάγιστρον, καὶ Στέφανον Δομέστικον, καὶ Μιχαὴλ Κουροπαλάτην, ἀποστρεφόμενος πάντη καὶ Προκοπίαν τὴν ἰδίαν ἀδελφὴν, ὡς ἐπιβουλεύσασαν αὐτῷ ταῖς Θεοφανοῦς Αὐγούστης ἐπιβουλαῖς. αὐτίκα γὰρ ἡ τάλαινα κατὰ μίμησιν τῆς ἁγίας Εἰρήνης κρατήσειν ἤλπιζε τῆς βασιλείας ἄπαις οὖσα. ὁ δὲ Σταυράκιος ἀνιάτως ἑαυτὸν ὁρῶν διακείμενον τῇ γαμετῇ τὴν βασιλείαν ἐσπούδαζε περιποιήσασθαι, ἢ δημοκρατίαν ἐγεῖραι Χριστιανοῖς ἐπὶ τοῖς προλαβοῦσι κακοῖς. ἐφ' ᾧ πτοηθέντες Νικηφόρος ὁ Πατριάρχης, καὶ ὁ Θεόκτιστος Μάγιστρος, καὶ Στέφανος Δομέστικος ἐκ πολλῆς ἔχθρας εἰς φιλίαν ἀλλήλοις, καὶ Μιχαὴλ Κουροπαλάτης, ἦλθον κατὰ τὰ τέλη τοῦ Σεπτεμβρίου μηνὸς τῆς πέμπτης ἰνδικτιῶνος. τῇ δὲ ἑσπέρᾳ τῆς πρώτης τοῦ Ὀκτωβρίου μηνὸς προσκαλεσάμενος Στέφανον Δομέστικον ἐπηρώτα, πῶς ἂν δυνηθῇ ἀγαγεῖν Μιχαὴλ τὸν γαμβρὸν αὐτοῦ ἐκ τοῦ οἴκου αὐτοῦ πρὸς τὸ τυφλῶσαι αὐτόν; αὐτοῦ δὲ φήσαντος ἀδύνατον εἶναι ταύτῃ τῇ ὥρᾳ διὰ τὴν περὶ αὐτὸν δύναμιν, καὶ τὸ τοῦ τόπου ἀσφαλὲς τῆς οἰκίας

enarrare potuit. Quidam etenim cadentem a Christianis petrarum cumulo obrutum referunt. Effœminati autem ejus ministri evirati, cum quibus ipse concumbebat, partim valli incendio consumpti, partim ense jugulati, una cum eo interierunt. Nullum certe tempus Christianis calamitosius hoc Nicephori imperio extitit: adeo ut crudelissimos quosque antecessores suos avaritia, libidine, & barbarica prorsus sævitia superarit: quorum singula enarraturus si percurrerim, posteris incredibilis, nobis autem onerosa susciperetur historia: verum ex fimbria & limbo panni contextus totus dignoscitur, quod vulgare fert proverbium. Ad Spondylorum autem dextram partem lethale vulnus accepit filius Nicephori Stauracius, vixque vivus conflictu ereptus plagæ doloribus vehementer exagitatus Adrianopolim pervenit. Porro Stephanus Patricius & Scholarum Domesticas, Theoctisto Magistro præsente, Stauracium Imperatorem declaravit, & de patris ejus imperandi ratione ad exercitus reliquias, quæ se fuga letho subripuerant, orationem habuit, quam illi lætis animis exceperunt. Michael porro Curopalates salvus e prælio redux, Imperatorem salutari se permitteret, plurimum ab amicis rogatus, ob sacramenta Nicephoro & Stauracio a se data, potestatem oblatam recusavit. Huic etiam melioris valetudinis a Stauracio recipiendæ spe fretus Stephanus Domesticus fortiter obsidebat: eidem vero Michaeli imperium conferendum sollicite curabat Theoctistus Magister. Stauracio autem sanguinem cum urina emittenti, femora atque crura ita extabuerunt, ut lectica in Urbem sit invectus. Huic Patriarcha Nicephorus bene affectus Deum placaret, & patris ejus rapinis oppressos consolaretur ac levaret, consulebat: ad quem paternæ sententiæ legitimus successor, se non amplius quam tria talenta restituere posse retulit, quæ injustorum ejus raptorum minima pars erant: quam tamen filius quasi de vita securus reddere cunctabatur. Paternorum insuper morum imitator redditus, cum animo inimicitiis reconciliando prorsus aversum se exhiberet, Theoctistum Magistrum, Stephanum Domesticum, & Michaelem Curopalatem sæpius contumeliis affecit, Procopiam quoque sororem vehementer aversabatur, quasi Theophanone Augusta ita suadente sibi parasset insidias. Infelix enim hæc fœmina Beatæ Irenes exemplo, continuo in spem potiundi Imperii venit, cum sine liberis esset. Stauracius vero ægritudine remediis omnibus superiore cum se jactatum cerneret, Imperium conjugi comparare, vel in populi potestatem Reip. totius summam revocare, quæ certe præteritarum calamitatum fuisset summa, studiis omnibus contendebat: qua re Nicephorus Patriarcha, & Theoctistus Magister, quemadmodum & Michael Curopalates in metum adducti, ex inimicitia prius ad invicem exercita in concordiam redierunt circa mensis Septembris exitum indictione quinta. Porro mensis Octobris die primo sub vesperam Stauracius Stephanum Domesticum ad se accersitum interrogavit, quanam via Michaelem ex sorore sibi levirum oculis quantocyus orbandum domo posset extrahere? Quod ille quum ob circumstipantium vires, tum ob incommodam horæ tempestatem, tum denique ob munitissimum domus ejus situm, haud fieri posse

Edit. Paris. pag. 457.

responderet; Stauracius eum deprecatus est, ne ista ulli revelaret. Ille verbis ad suadendum compositis a cura hujusmodi alienum esse rogat; mox per totam noctem in tectis Hippodromi locis collectis residuorum agminum reliquiis, eorum Duces Michaelem renunciaturos Imperatorem illo convocavit. Senatus insuper Palatium diluculo conveniens, Imperii potestatem ei committendam decrevit, prout sequentibus declarabitur. Nicephorus autem Patriarcha cautionem propria manu scriptam a Michaele exegit, quod ipse rectam fidem defensurus, manusque a Christianorum effundendo sanguine alienas servaturus esset, hominesque ex sacro Clericorum ordine, vel Monachos, cæterosque omnes in Ecclesiasticum catalogum relatos verberibus & injuriis minime læsurus.

Edit. Paris. pag. 418.

Anni mundi 6304.	Divinæ Incarn. 804.	Rom. Imp. Michael anni 2.	Arabum Dux Mahamed annis 4.	Romæ Episc. Leo annis 16.	Constant. Episc. Nicephorus annis 9.			
		1	4	16	7			

Hoc anno mensis Octobris die secundo indictione quinta, feria hebdomadis quinta, hora prima, Michael piissimus Curopalates a Senatu & militaribus Ordinibus in Hippodromo Imperator salutatur. Stauracius autem, Imperatoris alterius audita designatione, detonsis illico capillis, Monasticum habitum, Symeone Monacho ejus consanguineo illum conferente, induit, & Patriarchæ opem, ne sibi deficeret, pluribus interpellavit. Patriarcha in Palatium profectus, Stauracium ipsum, una cum Imperatore & sorore rogantibus, multis urgebat precibus, ne insidiis in ejus salutem struendis, sed desperato vitæ ejus statui, quod gestum erat, adscriberet. Is paternæ nequitiæ sectaturus exemplum in rabiem actus, respondit. Amicum meliorem me non invenies. Quarta vero diei hora in Ambone magnæ Ecclesiæ a Nicephoro Patriarcha Michael coronatus est, cum maximo civitatis totius tripudio; ipse vero Patriarchæ auri libras quinquaginta, Clero viginti quinque donavit. Magnificus enim & ab avaritiæ labe alienus cum esset, omnibus, quos Nicephori cupiditas injuste læserat, opem tulit, & Senatum militaresque Ordines muneribus suis recreavit. Mensis subinde ejusdem die duodecimo Procopia Augustæ nomen cum corona accepit in Augustei Triclinio, donaque quamplurima in Senatum contulit. Occisorum insuper bello Bulgarico e Thematibus militum uxoribus talenta auri quinque largita est. Stauracii etiam conjugem Theophanonem in Monasterium retrusam facultatibus auxit, ejus quoque consanguineos sub Nicephoro misere viventes ditavit, eisque inter alia insignem domum, quæ Hebraica nuncupabatur, concessit in Monasterium, in quo sepultus est Stauracius. Universos denique Patricios, & ordinis Senatorii, Pontifices, Sacerdotes, & Monachos, milites, & pauperes, Imperatricis Urbis cives, & provinciarum incolas beneficiis affecit: adeo ut inexplebilis & immensæ Nicephori avaritiæ, propter quam miseranda sorte interiit, nullum remaneret vestigium. Ad innumeras autem ejus virtutes & probos mores accessit, quod cum pietate & recta in Deum fide excelleret,

pag. 419.

A αὐτῷ, παρεκάλει μὴ γνωσθῆναι τινὶ τὰ λεχθέντα. ὁ δὲ λόγοις πειθανοῖς ποιήσας αὐτὸν ἀμεριμνεῖν. δι' ὅλης νυκτὸς τὰ παραλειφθέντα τῶν ταγμάτων στρατεύματα συνήγαγεν ἐν τῷ σκεπαστῷ ἱπποδρόμῳ μετὰ τῶν οἰκείων ἀρχόντων πρὸς τὸ ἀναγορεῦσαι τὸν αὐτὸν Μιχαὴλ εἰς βασιλέα. καὶ ἐλθούσης πάσης τῆς συγκλήτου τῷ ὄρθρῳ ἐν τῷ παλατίῳ τοῦτον ἀνηγόρευσαν βασιλέα, ὡς ἑξῆς δηλωθήσεται. Νικηφόρος δὲ ὁ Πατριάρχης ἔγγραφον ἐξ ἰδιοχείρου παρὰ Μιχαὴλ ἀπῄτησε περὶ τῆς ὀρθῆς πίστεως, καὶ τοῦ ἀναιμάκτους φυλάξαι τὰς χεῖρας ἀπὸ Χριστιανῶν, καὶ περὶ ἱερατικῶν ἀνθρώπων, ἢ μοναχῶν, καὶ ὅ-
B λως τοῦ ἐκκλησιαστικοῦ καταλόγου τοῦ μὴ τύπτεσθαι παρ' αὐτοῦ.

Κόσμου ἔτη ςτδ'.	Τῆς θείας σαρκώσεως ἔτη ωδ'.	Ῥωμ. βασιλ. Μιχαὴλ ἔτη β'.	Ἀράβ. ἀρχηγ. Μουαμὲδ ἔτη δ'.	Ῥωμ. ἐπίσκ. Λέων ἔτη ις'.	ΚΠ. ἐπίσκ. Νικηφόρου ἔτη θ'.			
		α'	δ'.	ις'	ζ'			

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ β'. ἰνδικτιῶνι ε'.
C ἡμέρᾳ ε'. ὥρᾳ α'. Μιχαὴλ ὁ εὐσεβέστατος Κουροπαλάτης ἀνηγορεύθη βασιλεὺς Ῥωμαίων ἐν τῷ ἱπποδρόμῳ ὑπὸ πάσης τῆς συγκλήτου, καὶ τῶν ταγμάτων. Σταυράκιος δὲ τὴν τούτου ἀναγόρευσιν ἀκούσας, αὐτίκα τὴν κόμην ἀποκειράμενος, μοναχικὰ περιεβάλλετο ἱμάτια διὰ Συμεὼν μοναχοῦ συγγενοῦς αὐτοῦ, πολλὰ τὸν Πατριάρχην ἐπιβοώμενος, ὃς ἐλθὼν ἐν τῷ παλατίῳ πολλὰ Σταυράκιον σὺν τῷ βασιλεῖ Μιχαὴλ καὶ τῇ ἀδελφῇ παρεκάλουν μὴ λυπεῖσθαι ἐν τῷ γεγονότι, οὐ γὰρ κατ' ἐπιβουλήν, ἀλλὰ κατ' ἀπόγνωσιν τῆς αὐτοῦ ζωῆς. ὁ δὲ τῇ πατρῴᾳ πονηρίᾳ λυττῶν, οὐ προσήκατο εἰπὼν πρὸς αὐτόν, φίλον αὐτοῦ κρείττονα οὐχ εὑρήσεις. ὥρᾳ δὲ τετάρτῃ
D τῆς ἡμέρας ἐστέφθη Μιχαὴλ παρὰ Νικηφόρου Πατριάρχου ἐν τῷ ἄμβωνι τῆς μεγάλης ἐκκλησίας, ἐφ' ᾧ κοινὴ ἀγαλλίασις γέγονε, καὶ ἐδωρήσατο τῷ Πατριάρχῃ χρυσίου λίτρας πεντήκοντα, καὶ τῷ κλήρῳ εἴκοσι πέντε. μεγαλόψυχος γὰρ καὶ ἀφιλάργυρος ὢν πάντας παρεμυθήσατο τοὺς ἐκ τοῦ Νικηφόρου πλεονεξίας ἠδικημένους, δωρεαῖς τε τὴν σύγκλητον καὶ τὰ στρατεύματα ἀνεκτήσατο. τῇ δὲ ιβ'. τοῦ αὐτοῦ μηνὸς ἐστέφθη Προκοπία Αὐγοῦστα ἐν τῷ τρικλίνῳ τοῦ Αὐγουστέως, καὶ πολλαῖς δωρεαῖς τὴν σύγκλητον ἐφιλοτιμήσατο. τῶν δὲ ἀναιρεθέντων ἐν Βουλγαρίᾳ θεματικῶν στρατιωτῶν ταῖς γυναιξὶ πέντε τάλαντα χρυσίου ἐδωρήσατο· τὴν δὲ γαμετὴν τοῦ Σταυρακίου Θεοφανὼ κατεπλούτισε μονάσασαν, καὶ τοὺς συγγενεῖς αὐτῆς οἰκτρῶς ζήσαντας ἐπὶ Νι-
E κηφόρου, ἐν οἷς καὶ ἐπίσημον οἶκον εἰς μοναστήριον, τὰ Ἑβραϊκὰ λεγόμενον, παρέσχεν, ἔνθα Σταυράκιος ἐτάφη. πάντας δὲ τοὺς Πατρικίους, καὶ συγκλητικούς, ἀρχιερεῖς, καὶ ἱερεῖς, καὶ μοναχούς, στρατευομένους τε, καὶ πτωχούς, τούς τε κατὰ τὴν βασιλίδα πόλιν, καὶ ἐν τοῖς θέμασι κατεπλούτισεν· ὥστε τὴν ἄμετρον φιλαργυρίαν Νικηφόρου, δι' ἣν καὶ κακῶς ὤλετο, ἐν ὀλίγαις ἡμέραις ἀφανισθῆναι. πρὸς δὲ τοῖς πολλοῖς καὶ καλοῖς αὐτοῦ τρόποις εὐσεβὴς καὶ ὀρθόδο-

ζηλωτὴς ὤν, ἐλυπεῖτο ἐπὶ τοῖς ἀποσχίζουσι τῆς ἁγίας ἐκκλησίας ἐν εἴτε δήποτε προφάσει εὐλόγῳ, ἢ ἀλόγῳ. πολλά τε τὸν ἁγιώτατον Πατριάρχην καὶ τοὺς δυναμένους συντρέχειν τῇ κοινῇ εἰρήνῃ παρακαλῶν οὐκ ἐπαύετο. ἐν οἷς Θεόδωρον τὸν ἡγούμενον τοῦ Στουδίου, καὶ Πλάτωνα, καὶ Ἰωσὴφ ἀρχιεπίσκοπον Θεσσαλονίκης ἀδελφὸν Θεοδώρου ἐν φυλακαῖς πικραῖς συνεχομένους μετὰ καὶ τῶν προκρίτων τῆς κατ' αὐτοὺς μονῆς ἑνῶσαι σπουδὴν ἐνεδείξατο· ὃ καὶ πεποίηκεν. ἀπέστειλε δὲ καὶ πρὸς τὸν Κάρουλλον βασιλέα τῶν Φράγγων περὶ εἰρήνης καὶ συναλλαγῆς εἰς Θεοφύλακτον τὸν υἱὸν αὐτοῦ. καὶ Νικηφόρος ὁ ἁγιώτατος Πατριάρχης ἐπέστειλε συνοδικὰ γράμματα πρὸς Λέοντα τὸν ἁγιώτατον Πάπαν Ῥώμης. πρὸ τούτου γὰρ ἐκωλύετο ὑπὸ Νικηφόρου τοῦτο ποιῆσαι. τῇ δὲ εἰκοστῇ πέμπτῃ τοῦ Δεκεμβρίου μηνὸς τῆς πέμπτης ἰνδικτιῶνος Μιχαὴλ ὁ γαληνότατος βασιλεὺς ἔστεψε τὸν υἱὸν αὐτοῦ εἰς βασιλέα ὑπὸ Νικηφόρου Πατριάρχου ἐν τῷ ἄμβωνι τῆς μεγάλης ἐκκλησίας ἡμέρᾳ πέμπτῃ τῆς ἑβδομάδος· καὶ προσήγαγε πολυτελῆ κόσμον τῷ ἁγίῳ θυσιαστηρίῳ, ἐν σκεύεσι χρυσοῖς διαλίθοις, καὶ τετραβήλοις ἀρχαιοτάτοις ἐκ χρυσοῦ καὶ πορφύρας λαμπρῶς καθυφασμένοις, καὶ θαυμασταῖς ἁγίαις εἰκόσι πεποικιλμένοις. ἐδωρήσατο δὲ καὶ τῷ Πατριάρχῃ καὶ τῷ ἁγίῳ κλήρῳ λίτρας ἑκατὸν φαιδρύνας τὴν ἁγίαν ἑορτὴν, καὶ τὴν τοῦ παιδὸς ἀναγόρευσιν. ζήλῳ δὲ Θεοῦ πολλῷ κινηθεὶς ὁ εὐσεβέστατος βασιλεὺς κατὰ Μανιχαίων, τῶν νῦν Παυλικιανῶν, καὶ Ἀθιγγάνων τῶν ἐν τῇ Φρυγίᾳ, καὶ Λυκαονίᾳ, κεφαλικὴν τιμωρίαν ἀποφηνάμενος ταῖς Νικηφόρου τοῦ ἁγιωτάτου Πατριάρχου, καὶ ἄλλων εὐσεβῶν εἰσηγήσεσιν, ἀνετράπη δὲ ἑτέρων κακοβούλων συμβούλων προφάσει μετανοίας, ὅπερ οὐκ ἐδύναντο τοὺς τῇ πλάνῃ ἐκείνῃ ἑαλωκότας μετανοῆσαι. ἐδογμάτιζον δὲ ἀμαθῶς μὴ ἐξεῖναι ἱερεῦσιν ἀποφαίνεσθαι κατὰ ἀσεβῶν θάνατον κατὰ πάντα ταῖς θείαις γραφαῖς ἐναντιούμενοι περὶ τούτου. εἰ γὰρ Πέτρος μὲν ὁ κορυφαῖος Ἀνανίαν καὶ Σάπφειραν ἐπὶ ψεύσματι μόνῳ τεθνάναι πεποίηκε, Παῦλος δὲ ὁ μέγας βοᾷ, ὅτι τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν· καὶ ταῦτα περὶ σωματικῆς μόνης ἁμαρτίας· πῶς οὐκ ἐναντίοι αὐτῶν εἰσιν οἱ τοὺς πάσης ψυχικῆς καὶ σωματικῆς ἀκαθαρσίας ἐμπλέως, καὶ δαιμόνων λατρείας ὑπάρχοντας λυτρούμενοι τοῦ ξίφους; ἀλλ' ὁ εὐσεβὴς βασιλεὺς Μιχαὴλ οὐκ ὀλίγους αὐτῶν ἀπέτεμε. Σταυράκιος δὲ ἑλκωθεὶς ἐκ τῆς καιρίας πληγῆς τὰ περὶ τὴν ῥάχιν, ὡς μὴ δύνασθαί τινα προσεγγίζειν αὐτῷ διὰ τὴν πολλὴν δυσωδίαν, τέθνηκε τῇ ιαʹ. τοῦ Ἰανουαρίου μηνὸς τῆς πέμπτης ἰνδικτιῶνος, βασιλεύσας τοῦ δοκεῖν μῆνας δύο ἡμέρας ἕξ. τῇ ιδʹ. Μαΐου μηνὸς ἡμέρᾳ ἕκτῃ, ἔκλειψις ἡλιακὴ γέγονε μεγάλη ἐπὶ ὥρας τρεῖς ἥμισυ, ἀπὸ ὀγδόης ὥρας ἕως ὥρας ἑνδεκάτης. καὶ τῇ ιζʹ. τοῦ Ἰουνίου μηνὸς ἐξῆλθε Μιχαὴλ κατὰ Βουλγάρων συνεξελθούσης αὐτῷ καὶ Προκοπίας ἕως Τζουλοῦ. τῶν δὲ Βουλγάρων ἀρχηγοῦ Κρούμμου ἑλόντος τὴν Δεβελτὸν πολίχνιον, καὶ τοὺς ἐν αὐτῇ σὺν τῷ ἐπισκόπῳ

LEO itaque Palatium ingressus est : & assumptis Imperii insignibus celebri processu facto Ecclesiam adiit, & conscenso Ambone a Nicephoro tunc temporis Patriarcha coronatus est mensis Junii die decimo, indictione septima, chirographo prius a se & comitibus exhibito, nihil adversus Ecclesiam innovari, aut a sanctis Patribus circa sacra dogmata quondam bene definita nihil immutari toleraturum : quod nullatenus præstitit; mendax videlicet, &, ut vulgo fertur, Chameleontem varios induere colores, ita & ipse sermone semper varius fuit, nonnumquam probis præditus motibus, & bonus apparens; quandoque etiam contrariis infectus : ex quo merito Chameleon a sancto viro cognominatus est. Ejecto igitur, ut præmissum est, Michaele, Leo tyrannice sumpsit Imperium, & tonsa Procopia Augusta Michaelis conjuge, filios ejus pariter per insulas detonsos virilibus orbavit. Vix quoquam etiam relicto propriorum, aut eorum quæ a parentibus acceperant, adeo ut necessaria quoque eis deficerent, cuncta abstulit : ipsi vero Deo in omnibus gratias referebant. Erat porro Michael ætatis perfectæ vi, ipso juventutis flore conspicuus, vultu rotundo, colore frumentum referente, nigro capite & virili barba decenter composita, eaque ad vultus speciem nigra. Mansuetus porro & urbanus, si quis alius extitit. Hic calamitates multas impii Leonis crudelitate sibi inflictas, etiam morte propediem expectata, sustulit; quotidianumque panem cum animi mœrore comedens, mortem præstolabatur a Domino. Nihilo secius præter opinionem custoditus est, ne Leonis nequitia læderetur. Venerunt itaque Bulgari nullo ipsis occurrente, vel aditum prohibente usque ad civitatis portam, & Crummos sacra pro more faciens ad Chrysen portam homines & animalia plurima mactavit : & ad maris littus tinctis aqua pedibus lotus est totus, populoque aqua tesperso, faustis acclamationibus ab eo cumulatus : medioque pellicum agmine

ΛΕΩΝ οὖν εἰσῆλθεν εἰς τὸ παλάτιον, καὶ παραλαβὼν πάντα, ποιήσας προέλευσιν εἰσῆλθεν ἐν τῇ ἐκκλησίᾳ, καὶ ἀνελθὼν εἰς τὸν ἄμβωνα ἐστέφθη ὑπὸ Νικηφόρου τοῦ τηνικαῦτα Πατριάρχου ὄντος, μηνὶ Ἰουνίῳ δεκάτῃ, ἰνδικτιῶνι ἑβδόμῃ, πρότερον ποιήσας ἰδιόχειρον μετὰ τῶν σὺν αὐτῷ μηδέποτε κατὰ τῆς ἐκκλησίας γενέσθαι, ἢ παρασαλεῦσαι τῶν καλῶς εἰς αὐτὴν ὁρισθέντων ὑπὸ τῶν ἁγίων πατέρων ἱερῶν δογμάτων, ὅπερ οὐκ ἐφύλαξε ψεύστης ὤν, καὶ καθάπερ ὁ λόγος ὑπογράφει τὸν χαμαιλέοντα ἐναλλάττειν τὰς μορφὰς, οὕτω καὶ αὐτὸς· ποτὲ μὲν ὡς χρηστολόγος καὶ ἄριστος φαινόμενος, ποτὲ δὲ τοὐναντίον, δι' ὅπερ καὶ δικαίως ἐπωνομάσθη Χαμαιλέων ὑπὸ ἁγίου ἀνδρός. ἐκβαλὼν οὖν ὁ Λέων, καθὼς προείρηται, τὸν Μιχαὴλ ἐκ τῆς βασιλείας αὐτοῦ τυραννικῶς, παρέλαβεν αὐτὸς τὴν βασιλείαν, καὶ κουρεύσας Προκοπίαν τὴν Αὐγοῦσταν γυναῖκα τοῦ Μιχαὴλ τὰ τέκνα αὐτοῦ ἐξευνούχισε κουρεύσας αὐτὰ, καὶ ἐξώρισεν αὐτοὺς εἰς τὰ νησία· ἐπάρας δὲ πάντα ὅσα εἶχον μὴ ἐάσας αὐτοῖς μήτε τὰ ἴδια, μήτε τὰ τῶν γονέων αὐτῶν, ὥστε ὑστερεῖσθαι αὐτοὺς καὶ τῶν ἀναγκαίων. αὐτοὶ δὲ ηὐχαρίστουν ἐν πᾶσι τὸν Θεόν. ἦν δὲ ὁ Μιχαὴλ τέλειος μὲν τὴν ἡλικίαν, αὐτὸ τὸ ἄνθος ἄγων τῆς νεότητος, στρογγυλοπρόσωπος, σιτόχροος, μαύραν ἔχων τὴν κεφαλὴν, καὶ ἐπιάγουρον, καὶ τὸ γένειον εὐπρεπῶς διακείμενον, ἐν τῇ ὄψει αὐτοῦ μαῦρον καὶ αὐτό, πρᾶος δὲ πάνυ καὶ ἀγαθὸς, εἰ καί τις ἄλλος. οὗτος θλίψεις πολλὰς ὑπέστη διὰ τὴν ὠμότητα τοῦ ἀσεβοῦς Λέοντος καθημέραν τὸν θάνατον ἐκδεχόμενος, καὶ μετ' ὀδύνης καθημέραν τὸν ἄρτον αὐτοῦ ἐσθίων, ὃν ὁ Κύριος ἀβλαβῆ ἐφύλαξε παραδόξως ἐκ τῆς κακουργίας αὐτοῦ. καὶ λοιπὸν ἦλθον οἱ Βούλγαροι μηδενὸς αὐτοῖς ὑπαντῶντος ἢ κωλύοντος ἕως τῆς πόρτης, καὶ ποιήσας ὁ Κροῦμμος θυσίαν, κατὰ τὸ ἔθος αὐτοῦ, ἔξωθεν τῆς Χρυσῆς πόρτης ἔθυσεν ἀνθρώπους καὶ κτήνη πολλὰ, καὶ εἰς τὸν αἰγιαλὸν τῆς θαλάσσης βρέξας τοὺς πόδας αὐτοῦ, καὶ περικλυσάμενος, καὶ ῥαντίσας τὸν λαὸν αὐτοῦ, καὶ εὐφημισθεὶς ὑπ' αὐτῶν, διῆλθε μέσον τῶν παλλακίδων αὐτοῦ,

προσκυνηθεὶς ὑπ' αὐτῶν, καὶ δοξασθεὶς, καὶ ταῦτα θεωρούντων ἐκ τῶν τειχῶν πάντων, καὶ μηδενὸς τολμῶντος ἀπολῦσαι αὐτὸν, ἢ ἀπολῦσαι βέλος κατ' αὐτοῦ· καὶ ποιήσας πάντα τὰ ἐπιθυμήματα αὐτοῦ, καὶ ἅπερ ἐβούλετο, περιεκύκλωσε τὴν πόλιν, καὶ ἔβαλε χάρακα ἐν αὐτῇ· καὶ ποιήσας ἡμέρας τινὰς, καὶ πραιδεύσας τὰ ἔξωθεν τῆς πόλεως, ἤρξατο ζητεῖν πάκτα χρυσίου καὶ ἱματισμῶν πολὺν ἀριθμὸν, καὶ κοράσια ἐπίλεκτα ποσότητά τινα. Καὶ δὴ ποιήσας ὁ Λέων βουλὴν μετὰ τῶν ἀρχόντων, ἐδήλωσε * τῷ Κρούμῳ. ὅτι ἐλθὲ ἕως τοῦ αἰγιαλοῦ μετ' ὀλίγων τινῶν μὴ ἐπιφερομένων ὅπλα, καὶ ἡμεῖς ἐξερχόμεθα διὰ τῆς θαλάσσης ἄοπλοι μετὰ χελανδίου, καὶ συλλαλοῦμεν, καὶ ἅπερ ῥητῶς πάντα ποιοῦμεν· καὶ ταῦτα δηλώσαντες, διὰ τῆς νυκτὸς ἐξαγαγόντες τινὰς ἐνωπλισμένους ἕως ἀριθμοῦ τριῶν, κατέκρυψαν αὐτοὺς ἐν δωματίοις τισὶ τῆς Γάλης ἔξωθεν τῆς πόρτης τῶν Βλαχερνῶν δώσαντες αὐτοῖς σύνθημα, ὅτι διαλεγομένων ἡμῶν μετὰ τοῦ Κρούμου, σημεῖόν τι ἔχομεν ποιῆσαι, ὅπερ θεασάμενοι ἐξέλθατε, καὶ ἀποκτείνατε αὐτόν. καὶ τῇ ἐπαύριον ὄντων τῶν Βουλγάρων ἐπὶ τὸ μέρος τῶν ἁγίων Ἀναργύρων ἔξωθεν τῆς πόλεως, κατῆλθεν ὁ Κροῦμος ἐπὶ τῆς θαλάσσης κατὰ τὴν συνταγὴν μετὰ ἄλλων τριῶν, τοῦ Λογοθέτου αὐτοῦ, καὶ Κωνσταντίνου τοῦ λεγομένου Πατζικοῦ φυγόντος εἰς Βουλγαρίαν πρὸ πολλῶν ἐτῶν ἔχοντος καὶ τὸν υἱὸν αὐτοῦ ὄντα ἐξ ἀδελφῆς τοῦ Κρούμου. οὗτοι τέσσαρες ἐξελθόντες τοῦ λαοῦ αὐτῶν ἄοπλοι κατῆλθον ἕως τῆς θαλάσσης κατὰ τὴν συνταγὴν μετὰ ἄλλων τριῶν· μὴ γινώσκοντες δὲ τὸ ἔνεδρον αὐτῶν. λοιπὸν ἦλθον καὶ οἱ ἐκ τῆς πόλεως ἐξελθόντες μετὰ χελανδίου βουλόμενοι συλλαλῆσαι μετὰ τοῦ Κρούμου, καὶ λαβόντες λόγον, ἐξῆλθον τοῦ καραβίου. καὶ ἀποκαβαλλικεύσας ὁ Κροῦμος ἐκάθισεν ἐπὶ τοῦ ἐδάφους, καὶ τὸν ἵππον αὐτοῦ ἐκράτει ὁ υἱὸς Κωνσταντίνου ἐστρωμένον, χαλινωμένον. καὶ διαλεγομένων αὐτῶν ἐποίησεν ὁ εἷς αὐτῶν ἐκ τῆς πόλεως τὸ σημεῖον, ὃς ἦν ὁ Ἐξαβύλης τῇ χειρὶ τὴν κεφαλὴν ἀποσκεπάσας. ὃν ἰδὼν ὁ Κροῦμος καὶ σκανδαλισθεὶς ἀνεπήδησε, καὶ ἔχων ἕτοιμον τὸν ἵππον, σηκώσαντες αὐτὸν οἱ μετ' αὐτοῦ ἐκαβαλλίκευσε, καὶ ἀνέκραζεν ὁ λαὸς ἀπὸ τῶν τειχῶν· σταυρὸς ἐνίκησε. καὶ αὐτὸς ἤρξατο φεύγειν. καὶ ἐξελθόντες οἱ ἐνωπλισμένοι ἐκ τῶν δωματίων κατεδίωξαν ὀπίσω τοῦ Κρούμου, καὶ ἀπολύσαντες αὐτῷ τὰ βέλη, ὡς ἐμάθησαν ὅτι ἐπλήγωσαν αὐτόν. αὐτὸς δὲ μονώτατος ἔφυγεν εἰς τὸν λαὸν αὐτοῦ. οἱ δὲ ἄλλοι τρεῖς ἐπιάσθησαν ὑπὸ τῶν ὄντων ἐν τῷ χελανδίῳ. καὶ ὁ μὲν Λογοθέτης παραυτὰ ἐσφάγη· Κωνσταντῖνος δὲ καὶ ὁ υἱὸς αὐτοῦ ζῶντες ἐπιάσθησαν. λοιπὸν οὕτω τούτων γενομένων, θυμωθεὶς ὁ Κροῦμος ἐκέλευσεν ἐπαύριον ἐμπυρίσαι, καὶ καταστρέψαι πάντα τόπον. καὶ ἀρξάμενοι ἐμπυρίζειν κατέκαυσαν πάσας τὰς ἐκκλησίας τὰς ἀντιπέραν τῆς πόλεως μεγάλας οὔσας, ἃς ἀνεκαίνισεν Εἰρήνη καὶ Νικηφόρος καὶ Μιχαήλ· ὁμοίως καὶ τὰ μοναστήρια, καὶ τὰ παλάτια, καὶ τοὺς οἴκους, καὶ τὰ προάστεια· καὶ ἐλθόντες εἰς τὸν ἅγιον Μάμαντα ἐνεπύρισαν τὰ ἐκεῖσε παλάτια, καὶ τοὺς δύο κοιτῶνας, καὶ τοὺς κίονας κατέκλασαν, καὶ τὸν μόλυβδον ἐπῆραν, καὶ τὰ ζῴδια τοῦ ἱπποδρομίου, καὶ πᾶσαν τὴν αἰχμαλωσίαν κατέσφαξαν, ὁμοίως καὶ τὰ κτήνη. καὶ διελθόντες πᾶσαν τὴν παραθαλασσίαν τοῦ Στενοῦ καὶ τὴν ἄνω, πάντα τὰ ἐμπόρια κατέκαυσαν. καὶ ἄραντες σκῦλα πολλὰ, ᾤχοντο. καὶ πιάσαντες τὸ δεξιὸν μέρος τῆς πόλεως πρὸς ἀνατολὰς, κατέκαυσαν τὸ ἔξωθεν τῆς Χρυσῆς πόρτας, ἕως τοῦ Ῥηγίου· καὶ ἐλθόντες εἰς τὴν Ἀθύραν κατέστρεψαν τὸ ἐκεῖσε κάστρον, καὶ τὴν γέφυραν, παράξενον οὖσαν καὶ πάνυ ὀχυρωτάτην. καὶ ἐλθόντες εἰς Σηλυβρίαν κατέ-

* τῷ Κρούμῳ

pertransito, ab eis laudem & honorem excepit, spectantibus ex muris civibus cunctis, nulloque prohibere, vel telum in eum mittere auso: His pro libito peractis, & quæ decreverat gestis, Urbem obsidione cinxit, & undequaque circumvallavit, diesque plurimos moratus, & Urbis loca vicina deprædatus, auri pensum annuum, vestimentorumque numerum non contemnendum, & electarum virginum gregem non modicum expetiit. Quare consilio cum proceribus habito, Crumo significavit Leo: Cum paucis quibusdam arma non ferentibus ad maris usque littus procede: nosque pariter navicula sine armis mari prodibimus, habitoque colloquio, quæ expetiisti, cuncta præstabimus. His ita significatis, nonnullis ad trium numerum armatis noctuque eductis, ad Blachernas in domunculis Galiæ occultaverunt se, signumque dedere: Nobis cum Crumo colloquentibus signum aliquod edemus, quod conspicati foras erumpite, & eum interficite. Postero die Bulgaris ad sanctorum mercede non conductorum ædem stantibus extra civitatis portam, ea condicto Crumus versus mare profectus est cum tribus aliis; Logotheta videlicet ejus, & Constantino Patzici, qui ante plures annos in Bulgariam fugerat, filio, alium filium præsentem ex Crumi sorore habente. Quatuor isti reliquo exercitu discedentes & inermes cum aliis tribus juxta condictum ad mare devenerunt, insidias sibi paratas ignorantes. Egressi sunt pariter ex Urbe lintre vecti, qui cum Crumo colloquium habituri erant: & accepta fide, e navi prodierunt. Crumus equo descendens in terram desedit: ejus equo sella frænisque instructo Constantini filii manu detento. Ipsis adinvicem differentibus non nemo signum ex Urbe dedit: fuit is Exabules, qui manu caput aperuit. Animadvertit Crumus, & animo percussus, exilit. Et in equum jam paratum a sociis evectus equitare cœpit: mox populus e mœnibus in clamorem erupit: Crux vicit. Ipso fugam arripiente, armati viri ex domunculis egressi, retro insequuti sunt, & emissis telis vulnera inferre meditabantur. Is omnino solus in exercitum se recepit, alii tres qui in navicula remanserant detenti sunt. Logotheta confestim occisus est, Constantinus autem & ejus filius vivi servati. His ita gestis, iratus Crumus incendi subversique locum omnem postero die jussit. Positoque incendio, cunctas Ecclesias trans civitatis portum præclaras quasvis, & ab Irene, Nicephoro, & Michaele reparatas, nec non Monasteria, Palatia, domos, suburbana combusserunt. Ad sanctum Mamantem pariter progressi, Palatiis ibidem constitutis, geminisque cubiculis subjecerunt ignem, columnas confregerunt, & plumbum repertum rapuerunt, animantiumque statuas in Circo positas tulerunt secum, captivos omnes dederunt neci, nec jumentis ipsis & animalibus pepercere. Hinc portus, cui Steni nomen, littore, tractuque superiore peragrato navalia succenderunt, sublatisque secum spoliis pluribus discesserunt: Tam occupata dextera civitatis parte, ad Orientem ignem a porta Chryse, ad Regium usque miserunt. Athyra deinde profecti, castrum ibi erectum demoliti sunt: & præclarum illum pontem quamvis firmissimum dejecerunt. Selybriam postmodum profecti,

Edit. Paris. pag. 432.

pag. 433.

ad solum usque castrum ibidem constructum deturbarunt: nec non Ecclesias domosque succenderunt. Post hæc castrum Daonium destruxerunt; & Heracleam profecti, cum non possent occupare, domos cunctas ad littus positas, ædificiaque Urbi vicina flammis vastaverunt. His perpetratis, Rædestum venerunt, & castrum istud demoliti, consertam plebem internecione deleverunt: cumque in civitatem non invalescerent, sparso ubivis incendio intulerunt vastitatem. Inde Aprum versus, quod etiam Castrum est, direxerunt iter, eoque everso & incenso, ut aliis pluribus castris, dierum decem itinere diverterunt inde ad Gani montes, in quibus delitescentem plebeculam plurimam reperientes & animalia Thraciæ ferme cuncta, homines & jumenta innumera jugulaverunt: partem vero reliquam cum mulierum puerorumque multitudine in Bulgariam deportaverunt captivam. Inde transierunt ad Examilium, & Abydum usque: rursumque ad Eurinm regressi & superiorem regionem, cunctas urbes a minima ad maximam Adrianopolim usque destruxerunt. Adrianopolim porro munitam reperientes obsederunt: quam cum expugnare non possent, protractis obsidionis diebus machinas instruxerunt, & castrum oppugnaverunt. Cives malis coarctari, ope destituti, & fame pereuntes hostibus fecere deditionem. Bulgari captivis ad numerum immensum abductis ablata quoque eorum supellectile, in Bulgariam trans Istrum flumen deportaverunt. Hæc dum gererentur Urbe non egressus est Leo, sed Imperium tyrannice tenebat. Celebratis autem festis, filium adhuc pusillum, Symbatem nomine, Constantinumque vocari mentitus, stemmate redimivit: Residuique populi multitudine ex variis urbibus congregata collegit exercitum, stipendioque dato Leonem & Constantinum faustis acclamationibus prosequi jussit, Imperatores sceptra pridem consequutos, Leonem & Constantinum Isauros imitatus, quorum hæresim renovavit, sibique multos annos eorum instar, & ut laude conspicuus foret, comprecatus: cujus Deus, imminutis ejus filiique annis, consilium confudit. Cæterum aeris serenitate hyemem totam occupante, subsidentibusque fluminum aquis, Bulgari armis a capite ad pedes tecti ad hominum triginta millia eruperunt, & Arcadiopolim usque, Regina pertransito, his fluvius est ita dictus, pervenerunt, populumque omnem copiosum sane fecerunt captivum. Prius vero quam captivos trajicerent dies octo decidit immodicus imber quo fluvius intumescens maris instar exundavit. Bulgari ne transfretarent impediti, custodita semper captivitate, dies quindecim ad ripas steterunt. Leo nuncio ab eis accepto, ut opem ferret, non advertit, neque Urbe egressus est, nec alios quosvis in auxilium summisit. Interim redeunte aeris tranquillitate, & fluvio decrescente, Bulgari sylvas cædere, pontemque struere captivos compulerunt: atque ita cum captivis omnibus virorum simul mulierum & puerorum millibus quinquaginta transierunt. Illi captivorum facultates omnes ad stragulas usque Armenias, grandesque tapetes acu pictos, generis omnis vestimenta, instrumentaque ad usum ærea curribus imposita boumque & ovium greges abductos transvexerunt: & hoc

Edit. Paris. pag. 434.

στρέψαι τὸ αὐτόθι κάστρον ἕως τοῦ ἐδάφους, καὶ τὰς ἐκκλησίας, καὶ τοὺς οἴκους κατέκαυσαν· καὶ μετὰ τοῦτο τὸ Δαόνιν κάστρον ὑπάρχον κατέστρεψαν. καὶ ἐλθόντες εἰς τὴν πόλιν Ἡρακλείας, μὴ δυνάμενοι εἰς αὐτὴν εἰσελθεῖν, ἐνεπύρισαν πάντα τὰ οἰκήματα τὰ ὄντα εἰς τὸν λιμένα, καὶ τὰ πέριξ τῆς αὐτῆς πόλεως. καὶ μετὰ τοῦτο ἐλθόντες εἰς Ῥαίδεστον κατέστρεψαν καὶ τοῦτο τὸ κάστρον, ἐμπυρίσαντες πάντα τὰ ἐν αὐτῷ οἰκήματα, καὶ τὰς ἐκκλησίας, κατασφάξαντες αὐτόθι λαὸν πολύν· καὶ μηδὲν ἰσχύσαντες εἰς αὐτό, τὰ ἔξω πάντα ἐμπυρίσαντες, καὶ καταστρέψαντες, ἀνῆλθον εἰς τὸν Ἄπρον, κάστρον ὂν καὶ αὐτό. καὶ καταστρέψαντες καὶ τοῦτο καὶ ἐμπυρίσαντες, καὶ ἕτερα πλεῖστα κάστρα, κατῆλθον ἐκεῖθεν δι' ἡμερῶν δέκα, καὶ εἰσῆλθον εἰς τὰ ὄρη τοῦ Γάνου· καὶ εὑρόντες ἐκεῖ λαὸν πολὺν κρυπτόμενον, καὶ σχεδὸν πάντα τὰ κτήνη τῆς Θρᾴκης, κατέσφαξαν τοὺς ἀνθρώπους, καὶ τὰ κτήνη, ὄντα εἰς πλῆθος, αἰχμαλωτεύσαντες ἀπέστειλαν εἰς Βουλγαρίαν, καὶ γυναικόπαιδα πολλά. καὶ λοιπὸν ἀπῆλθον καὶ εἰς τὸ Ἑξάμιλιν, καὶ κατῆλθον ἕως Ἀβύδου· καὶ ἀνέκαμψαν ἐπὶ τὸ Εὔριον, καὶ τὴν ἄνω, καὶ πάντα τὰ κάστρα κατέστρεψαν ἀπὸ μικροῦ ἕως μεγάλου, ἕως τῆς Ἀδριανουπόλεως. καὶ εὑρόντες τὴν Ἀδριανούπολιν κρατουμένην παρεκάθησαν· καὶ ποιήσαντες ἡμέρας πολλάς, καὶ μηδὲν ἰσχύσαντες ἀπὸ τοῦ παρακαθισμοῦ, στήσαντες μαγγανικὰ ἐπολέμουν τὸ κάστρον. καὶ δὴ στενωθέντες, μὴ ἔχοντες βοήθειαν ποθέν, καὶ ἀποθνήσκοντες τῷ λιμῷ, παρέδωκαν ἑαυτούς. καὶ λαβόντες οἱ Βούλγαροι τὴν αἰχμαλωσίαν πᾶσαν εἰς πλῆθος οὖσαν ἀναρίθμητον, καὶ πᾶσαν τὴν ἀποσκευὴν αὐτῶν, μετῴκισαν αὐτοὺς εἰς Βουλγαρίαν ἐκεῖθεν τοῦ Ἴστρου ποταμοῦ. καὶ τούτων γενομένων ὁ Λέων τῆς πόλεως οὐκ ἐξῆλθεν, ἀλλ' ἐκράτει τῆς βασιλείας τυραννικῶς. καὶ λοιπὸν φθασάντων τῶν ἑορτῶν ἔστεψε τὸν υἱὸν αὐτοῦ μικρὸν ὄντα, καὶ ἐπονομαζόμενον Συμβάτιον, ἐψεύσατο λέγων ὅτι Κωνσταντῖνος καλεῖται. καὶ σωρεύσας τὸν περισσωθέντα λαὸν ἐκ τῶν διαφόρων πόλεων ἐρόγευσεν αὐτούς, ποιήσας αὐτοὺς εὐφημῆσαι Λέοντα καὶ Κωνσταντῖνον, μιμούμενος τοὺς πρώην βασιλεύσαντας Λέοντα καὶ Κωνσταντῖνον τοὺς Ἰσαύρους, ὧν καὶ τὴν αἵρεσιν ἀνενεώσατο, βουλόμενος ζῆσαι ἔτη πολλά, ὡς καὶ αὐτοί, καὶ γενέσθαι περίφημον, οὗτινος τὴν βουλὴν Θεὸς κατῄσχυνε κόψας τοὺς χρόνους αὐτοῦ καὶ τοῦ υἱοῦ αὐτοῦ. καὶ δὴ λοιπὸν γεγονότος εὐδίου τοῦ ἀέρος τῷ χειμῶνι, καὶ τῶν ποταμῶν μὴ ἐχόντων ὕδωρ πολύ, ἐξῆλθον οἱ Βούλγαροι χιλιάδες τριάκοντα ὁλοσίδηροι, καὶ ἐλθόντες ἕως Ἀρκαδιουπόλεως, καὶ περάσαντες τὴν Ῥηγῖναν, ποταμὸς δὲ οὗτός ἐστι λεγόμενος, εὗρον λαὸν πολύν, καὶ ᾐχμαλώτευσαν αὐτούς. καὶ πρὸ τοῦ περάσαι αὐτοὺς τὴν αἰχμαλωσίαν, ἐγένετο ὑετὸς πολὺς ἡμέρας ὀκτώ, καὶ ὀγκωθεὶς ὁ ποταμὸς ἐγένετο ὡς θάλασσα. καὶ μὴ δυνάμενοι ἀντιπεράσαι οἱ Βούλγαροι ἔμειναν ἡμέρας δεκαπέντε κατέχοντες τὴν αἰχμαλωσίαν. καὶ μηνύσαντες τὸν Λέοντα τοῦ βοηθῆσαι, οὐ προσέσχεν, οὐδὲ τῆς πόλεως ἐξῆλθεν, οὐδὲ ἄλλους τινὰς ἀπέστειλε πρὸς βοήθειαν. καὶ λοιπὸν γενομένης εὐδίας, καὶ τοῦ ποταμοῦ ἐλαττωθέντος, αὐτοὺς τοὺς αἰχμαλώτους παρεσκεύασαν κόψαι ξυληδὸν, καὶ ποιῆσαι γέφυραν, καὶ οὕτως ἐπέρασαν μετὰ τῆς αἰχμαλωσίας· ὄντων ὁμοῦ ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων χιλιάδας πεντήκοντα. λαβόντες καὶ πάντα τὰ ὑπάρχοντα αὐτῶν Ἀρμενιάτικα στραγλωματίκια, καὶ νακοπέτητα ἀνάπερα, καὶ ἱματισμὸν πολύν, καὶ χαλκώματα, ἐφόρτωσαν πάντα εἰς τὰς ἁμάξας, καὶ λαβόντες πάσας τὰς ἀγέλας αὐτῶν βόας

βόας καὶ πρόβατα, εἰσῆλθον εἰς Βουλγαρίαν. καὶ ὁ ἀδίκως βασιλεύσας κατὰ παραχώρησιν Θεοῦ, οὔτε αὐτὸς ἐξῆλθε τῆς πόλεως πρὸς βοήθειαν τῆς αἰχμαλωσίας, οὔτε ἄλλους ἀπέστειλε. λοιπὸν οὖν μετὰ ταῦτα ἀνηγγέλη αὐτῷ λεγόντων. ὅτι ὁ Κροῦμος ἐστράτευσε λαὸν πολὺν συναθροίσας, καὶ τοὺς Ἀβάρεις καὶ πάσας τὰς Σκλαβινίας. πρὸς δὲ τούτοις παρασκευάζει διαφόρων ἑλεπόλεων ὄργανά τε, καὶ μαγγανήματα, καὶ μαγγανικὰ παμμεγέστατα, τριβόλους τε, καὶ τετραβόλους, καὶ χελώνας, καὶ ὑψηλὰς κλίμακας, σφαίρας τε, καὶ μοχλοὺς, καὶ ὀρυὰς, κριούς τε, καὶ βελοστάσεις, πυρόβολά τε, καὶ λιθόβολα, καὶ σκορπίδια, εἰς τὸ βάλλεσθαι βέλη, καὶ σφενδόνας πάντα μαγγανήματα κατὰ τῶν ἐπάλξεων τοῦ ἑλεῖν τὴν πόλιν, ἐπὶ τὸ δυτικὸν μέρος τῆς πόλεως κατὰ τοῦ τείχους τῶν Βλαχερνῶν. ταῦτα πάντα βούλεται προσαγαγεῖν τὰ μηχανήματα ἔνθα καὶ ἐτοξεύθη, σταυλίζων βόας χιλιάδας πρὸς τὸ βαστάξαι πάντα τὰ προλεχθέντα ὄργανα τεθέντα ἐπὶ ἁμαξῶν, ἃς προσέταξε * σιδαροενδέτους χιλιάδας πέντε. ταῦτα ἀκούσας Λέων, πέμψας τε κατασκόπους, καὶ μαθὼν τὴν ἀλήθειαν, συναθροίσας λαὸν πολὺν καὶ τεχνίτας, ἤρξατο κτίζειν ἕτερον τεῖχος ἔξωθεν τείχους τῶν Βλαχερνῶν, κόψας καὶ τὴν σοῦδαν πλατεῖαν. καὶ ἀρξάμενος κτίζειν μήπω τελέσας, ἵνα δείξῃ ὁ Θεὸς ὁ διασκεδάζων βουλὰς ἐθνῶν, ἀθετῶν δὲ λογισμοὺς λαῶν, καὶ ἀθετῶν βουλὰς ἀρχόντων, ὅτι οὐκ ἐν τῇ μηχανῇ, καὶ τῇ ἰσχύϊ αὐτῶν δύνανται οἱ ἄνθρωποι τι ποιῆσαι. ὥπω ἔαρος καταλαβόντος, ὥς φασι τοὺς διασωθέντας τῆς αἰχμαλωσίας ἀπὸ Βουλγαρίας περὶ * τῇ μεγάλῃ πέμπτῃ τοῦ Πάσχα, ὁ Πρωτοβουλγαρίας, ὁ Κροῦμος ὁ περίφημος, ὃ τὴν πόλιν ἑλεῖν βουλευόμενος τέλει τοῦ βίου ἐχρήσατο ἀοράτως σφαγιασθεὶς ὃς καὶ ἐξήγαγεν αἱμάτων ὀχετοὺς διά τε τοῦ στόματος, καὶ τῶν ῥινῶν καὶ τῶν ὤτων αὐτοῦ. καὶ οὕτως ἀνέρραξε τὴν ψυχὴν αὐτοῦ ἐν κακοῖς. ἐπαρθεὶς τοίνυν τῷ φρονήματι ὁ Λέων, ὡς ὅτι αὐτὸς κατέβαλλε τὸν πόλεμον, καὶ οὐχ ὁ Θεὸς, ἔπεμψεν εἰς πάσας τὰς πόλεις καὶ χώρας σάκρας, ἀπαγγέλλων. ὅτι εὗρον τοὺς Βουλγάρους ἐγγὺς ὄντας τῆς πόλεως, καὶ διὰ τῆς φρονήσεως, καὶ ἀνδρείας, καὶ διαπηγῆς μου τοξεύσας τὸν πρῶτον αὐτῶν, πάντας ἀπήλασα. ὅς τις καὶ διὰ τὴν πρόφασιν ταύτην ἀποθνήσκει ἔφη, ὁ ἐχθρὸς ἡμῶν. καὶ λοιπὸν μετὰ τοῦτο λαβὼν εὐκαιρίαν ἤρξατο πορθεῖν τὴν ἐκκλησίαν. τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ περιεργαζόμενος κατὰ τῶν Θεοῦ κριμάτων, καὶ λέγων πρός τινας ὁμόφρονας αὐτοῦ, ὅτι τίνος ἕνεκεν, φησὶ, ταῦτα πάσχουσιν οἱ Χριστιανοὶ κατακυριευόμενοι ὑπὸ τῶν ἐθνῶν; ἐμοὶ δοκεῖ διὰ τὸ προσκυνεῖσθαι τὰς εἰκόνας, καὶ ἄλλο οὐδέν· καὶ βούλομαι αὐτὰς καταστρέψαι. βλέπετε γάρ, φησὶν, ὅσοι βασιλεῖς ἐδέξαντο καὶ προσεκύνησαν αὐτὰς, ἀπέθανον, οἱ μὲν ἐκδιωχθέντες, οἱ δὲ ἐν πολέμῳ πεσόντες. μόνοι δὲ οἱ μὴ προσκυνήσαντες αὐτὰς ἰδίῳ θανάτῳ ἕκαστος εἰς τὴν βασιλείαν αὐτοῦ ἐτελεύτησε, καὶ μετὰ δόξης προκομισθεὶς εἰς τὰ τῶν βασιλέων κοιμητήρια ἐτάφη ἐν τοῖς Ἀποστόλοις. λοιπὸν ἐκείνους κἀγὼ βούλομαι μιμήσασθαι, καὶ καταστρέψαι τὰς εἰκόνας, ἵνα πολὺν ζήσας χρόνον κἀγὼ καὶ ὁ υἱός μου, καὶ κρατήσει ἡ βασιλεία ἡμῶν ἕως τετάρτης καὶ πέμπτης γενεᾶς· ὅπερ διεψεύσθη ὁ δείλαιος, ἀνομήσας ματαίως. καὶ ἐπιλαθόμενος τὸ ἰδιόχειρον, ὃ ἐποίησε, καὶ τὸν σταυρὸν, ὃν ἔπηξε μετὰ τῶν σὺν αὐτῷ. καὶ ἤρξατο μετὰ ταῦτα ζητεῖν εἴ τινα εὕροι συναγωνιζόμενον τῷ σκοπῷ αὐτοῦ. καὶ δὴ εὗρεν ὅμοιον τῆς αὐτοῦ φρενήσεως, ἤτοι ἀφροσύνης, ἀναγνώστην τινὰ Ἰωάννην λεγόμενον, υἱὸν Παγκρατίου τινὸς Σκιαστοῦ, ὅστις ἐκ παι-

* σιδηροδέτους

* τῇ μεγάλῃ πέμπτῃ

Περὶ τῆς ἐκκλησίας.

Theophanis Chron.

pacto Bulgariam ingressi sunt, Principe inique ad imperium Dei permissu promoto, pedem non efferente, neque ad captivorum opem alios egredi permittente: his peractis rumor ad eum delatus in hæc verba: Crumus ingentem exercitum coegit, Abatesque & ex Sclaviniis cunctis copias collegit: præparata insuper instrumenta machinasque cunctas expugnandis urbibus idoneas, arte facta grandia, tribulos, tetrabulo, testudines, scalas excelsas, globos, vectes, funes, arietes, balistas, ignea jacula, petrarias, scorpiones, tela jaculatoria, fundas, uno verbo machinas omnes invadendis turribus, & civitatibus capiendis, ut ad occiduam vobis partem Blachernarumque murum Urbem aggrediatur. Tormenta isthæc cuncta, ad Urbis partem, qua telum in eum missum est, applicare meditatur, instrumentis hisce prælatis deportandis & curribus vehendis boum millia plurima in stabulis jam disposuit, currus autem ferro vinctos ad quinque millia fieri jussit. Leo his auditis, & missis exploratoribus, veritateque comperta, populi multitudinem immensam & artifices congregavit, murumque alium præter eum qui ad Blachernas, cœpit exstruere, profundamque & amplam fossam excisam opponere. Vix operi manu admota, hoc est, opere adhuc infecto, ut Deus, qui consilia gentium dissipat, & populorum mentem reprobat, irritat quoque consilia principum, qui non in machinis vel robore homines quid aggredi posse commonstrat, ut hæc, inquam, iterum patefaceret Deus, nondum imminente vere, ut retulerunt quidam captivitate Bulgarica liberati, circa feriam magnam quintam, Bulgariæ Princeps Crumus ille celebris, qui Urbem occupare destinabat, vitæ finem persensit, invisibili virtute jugulatus, qua sanguinum rivos ore, naribus, & auribus emisit: atque ita in malis animam deposuit. His elatus Leo quasi ipse, non Deus compescuisset bellum, in Urbes omnes regionesque missis sacris nunciavit. Bulgaros Urbi vicinos comperi: solertiaque, robore, ductuque meo Principem eorum cum telo confodissem, cunctos fugavi. Vulneris istius causa moritur, inquit, hostis noster. Postmodum occasione capta Ecclesiam depopulari cœpit. Anno Imperii secundo, Dei judicia curiose perscrutatus Leo sensus ejusdem consortibus quibusdam dicit: Cujus causa gentilibus inferiores evadunt Christiani? Quod adorentur imagines, nec alterius ergo, ut mihi quidem videtur: quare illas deturbare est animus. Videte quippe, ajebat, quotquot Imperatores susceperunt & adoraverunt illas, perierunt: Hi quidem solio dejecti, alii bello profligati: qui non adoraverunt soli, morte suavi retento Imperio vita functi sunt, & cum honore in Imperatorum sepulchris ad Apostolos elati. Eam ob rem imitator eorum imagines tollam, ut ego & filius meus in multos annos vivamus, & nostrum stet Imperium ad quartam & quintam generationem: in quo equidem misellus mentitus est, hoc scelere frustra admisso, ut Syngraphen propriam cui crucem cum comitibus affixit, despiceret, & proculcaret. Exinde si quem votis conspirantem reperiret, cœpit exquirere: & reperit sane sensus, imo insipientiæ ejusdem, participem lectorem quemdam, Joannem dictum, Pancratii Sciastæ filium, quia

Edit. Paris. pag. 435.

puero dæmonem inhabitantem habuerat, incompositis motibus agitatus, mentisque consortio privatus, quem Hylliam dicebant, quique, ut alii ferunt, Hebraice redditur Præcursor, & Diaboli adjutor. Huic sibi assumpto, & consiliorum suorum participi facto & cooperatori instituto dicit Leo. Si delendis imaginibus auxiliarem manum præbueris, Patriarcham te renunciabo. Ille visendorum undequaque veterum librorum per Monasteria & Ecclesias repositorum facultate petita, cum aliis quibusdam mentis incompositæ & illiteratis comitibus, quod petierat, impetravit. Collecta itaque librorum immensa multitudine, examen de illis habuerunt: verum eorum quæ nequiter exquisierant nihil penitus imprudentes repererunt, donec in manus venit Synodus sub Constantino Isauro & Caballino habita, ex qua occasione accepta cœperunt in libris auctoritates invenire, quas Synodi auctores imprudenter & insipienter depromebant. Deinde signis ad loca reperta appositis, simplicem turbam seducere moliti sunt, dicentes; Ex veteribus libris non adorandas imagines reperimus. Examine postmodum habito, si quem ordinibus insignitum penes se nanciscerentur, Episcopum repererunt quemdam Constantinum Presbyteri artificis sutoris filium, & Cazymatam Grammaticæ professorem & Legisperitum quemdam ad Phoracli ædes diversantem Ludimagistrum, qui criminum sibi objectorum pœnam fugiens in Monasterium diverterat, & detonsus nomen assumpserat Antonii, & deinceps in Monasterium Metropolitanum nomine præpositus fuerat institutus: Homo equidem fabulis addictus, risus & ludorum sectator, qui monachis suis subditis & juvenili ætate adhuc detentis, hæc eadem sectari suggerebat; verbo dicam, inopem & inhonestam vitam ducens: qua ratione postmodum Dei permissu factus fuerit Episcopus Sylæi, penitus ignoro. Rectam certe fidem a puero edoctus erat, deinceps autem ex vanæ gloriæ libidine, & libertatis in Regium ingrediendi captandæ causa, & ut Aulicorum consortii particeps fieret, hæresim amplexus est. Hunc cum Leoni Imperatori notum fecissent, & Sylæi habitare renunciassent, Joannes cognomento Hylilas, quem Grammaticum dicebant, & sententiæ ejusdem Comites, Leo, misso nuncio, vocavit hominem: & exinde mentis sententiam ei aperuit, cum nullum fructum spiritualem in seipso haberet, sed vanam tantum sectaretur gloriam, propria sibi conscientia instituta, contemptaque Cruce, quam in subscriptionem exaravit, in partem declinavit contrariam. Interrogatus enim a Leone, num adorandas imagines scriptum legeris? nihil quod ad veritatem spectaret respondit; Sed dixit; Nullibi hoc scriptum est: verum antiquam esse traditionem asserunt, Subinfert Leo: Nisi in Evangeliis, aut apud Apostolum clare & ad verbum scribatur, Veneremini imaginem meam, nusquam ipsam adorare consentiam. His auditis, cum eo & præfatis incompositæ mentis & illiteratis hominibus convenit, & Princeps caputque eorum instituitur. Contendebant igitur in veritatem a Pentecoste qui Joannem & Hylilam sequebantur, coacervare libros; Julio vero mense, socium adjunxerunt Antonium; & deinceps ad Decembrem occultum gere-

Edit. Paris. pag. 436.

pag. 437.

δόθεν δαίμονα εἶχεν ἀτάκτως φερόμενος, διάγων ἐν ἀσυνεσίᾳ. ὅν τινα Ὑλιλᾶν ἐπωνόμαζον, ὥς τινές φασιν, ὃ ἑρμηνευόμενον Ἑβραϊστὶ λέγεται Πρόδρομος, καὶ συνεργὸς τοῦ διαβόλου, τοῦτον ἐπιλαβόμενος Λέων, καὶ ἀνακοινωσάμενος αὐτὸς τὴν ἑαυτοῦ βουλὴν προσελάβετο αὐτὸν συνεργὸν αὐτοῦ, λέγων· ὅτι ἐὰν συνδράμῃς μοι καθελεῖν τὰς εἰκόνας, Πατριάρχην σε ποιῶ. καὶ αἰτήσας παρ᾽ αὐτοῦ ἐξουσίαν τοῦ ψηλαφῆσαι τὰ ἁπανταχοῦ παλαιὰ βιβλία, ἅπερ ἀπόκεινται εἰς τὰ μοναστήρια καὶ εἰς τὰς ἐκκλησίας· ἐπετράπη μετ᾽ ἄλλων τινῶν ἀτάκτων καὶ ἀπαιδεύτων. καὶ δὴ συναγαγόντες πλήθη πολλὰ βιβλίων, ἐποιοῦντο ἐν αὐτοῖς τὴν ἔρευναν, πλὴν οὐδὲν εὕρισκον οἱ ἄφρονες, ὅπερ αὐτοὶ κακούργως ἐπεζήτουν, ἕως ἂν μετὰ χεῖρας ἔλαβον τὸ συνοδικὸν Κωνσταντίνου τοῦ Ἰσαύρου τοῦ Καβαλλίνου, καὶ ἐκ τούτου τὰς ἀρχὰς λαβόντες, ἤρξαντο καὶ ἐν τοῖς βιβλίοις εὑρίσκειν τὰς χρήσεις, ὥσπερ αὐτοὶ ἀφρόνως καὶ ἀτάκτως προέφερον, σημάδια βάλλοντες εἰς τοὺς τόπους, ἔνθα εὕρισκον, βουλόμενοι πεῖσαι τὸν ἄφρονα λαόν, ὅτι ἐν παλαιοῖς βιβλίοις εὕρομεν τὸ μὴ προσκυνεῖσθαι τὰς εἰκόνας. καὶ λοιπὸν ζητοῦντες, καὶ ὕστερον ἔχοντες χειροτονίαν, ἐπίσκοπον εὗρον Κωνσταντῖνον υἱὸν πρεσβυτέρου τινὸς τζαγγαρείου, καὶ Κασυματᾶ * μαθόντα τὴν γραμματικήν, καὶ γέροντα νομικὸν εἰς τὰς Φορακίου καὶ διδάξαντα παιδία, καὶ δι᾽ ἐγκλήματά τινα φυγόντα ἐν μοναστηρίῳ, καὶ ἀποκειράμενον καὶ ἐπονομασθέντα Ἀντώνιον, γενόμενόν τε αὖθις ἡγούμενον εἰς τὸ μοναστήριον τὸ λεγόμενον τοῦ Μητροπολίτου. μυθολόγος δέ τις ἦν γελοῖα ἀγαπῶν καὶ παιγνίδια, καὶ τοὺς ὑπ᾽ αὐτοῦ μοναχοὺς νέους ὄντας ταῦτα ποιεῖν ὑποτιθέμενος. καὶ ἁπλῶς εἰπεῖν, αἰσχρῶς καὶ ἀσέμνως βιοτεύσας, οὐκ οἶδ᾽ ὅπως ὕστερον ἐκ παραχωρήσεως Θεοῦ ἐγένετο καὶ ἐπίσκοπος εἰς τὸ Συλαῖον. τὸ μὲν πρῶτον ἐκ παιδόθεν ὀρθόδοξος ὤν, ὕστερον δὲ διὰ τὴν δόξαν τὴν πρόσκαιρον, καὶ τὸ ἔχειν παρρησίαν εἰσέρχεσθαι εἰς τὰ βασίλεια, καὶ παρρησιάζεσθαι μετὰ τῶν κρατούντων, ἐπελάβετο τὴν αἵρεσιν. τοῦτον καταμηνύσαντες πρὸς Λέοντα τὸν βασιλέα, ὅτι Ἰωάννης ὁ ἐπίκλην Ὑλιλᾶς, ὃν ἐκάλουν Γραμματικόν, καὶ οἱ σὺν αὐτῷ, ὄντα τῷ τηνικαῦτα ἐν τῷ Συλαίῳ, πέμψας ἤγαγεν αὐτόν· καὶ εἰπὼν αὐτῷ τὸν σκοπὸν αὐτοῦ, μὴ ἔχων καρπὸν πνευματικὸν ἐν ἑαυτῷ, καὶ ἀγαπῶν τὴν πρόσκαιρον δόξαν, καταστάσας τὴν ἑαυτοῦ συνείδησιν, καὶ ἀθετήσας τὸν σταυρὸν καὶ τὴν ἐπιγραφήν, ἣν ἐποίησεν, ἐστράφη εἰς τὸ ἐναντίον μέρος. ἐρωτηθεὶς γὰρ ὑπὸ τοῦ Λέοντος εἰ γέγραπται προσκυνεῖσθαι τὰς εἰκόνας, οὐκ ἀπεκρίθη αὐτῷ τὰ ῥήματα τῆς ἀληθείας, ἀλλ᾽ εἶπεν· οὐκ ἔστι γεγραμμένον πώποτε· ἀλλὰ λέγουσιν, ὅτι ἀρχαία παράδοσίς ἐστι. καὶ εἶπεν ὁ Λέων. ὅτι ἐὰν οὐ γέγραπται εἰς τὸ Εὐαγγέλιον καὶ εἰς τὸν Ἀπόστολον ῥητῶς, ὅτι προσκυνήσατε τὴν εἰκόνα μου, οὐ καταδέχομαι προσκυνεῖσθαι αὐτήν. καὶ τοῦτο ἀκούσας συνῆλθεν αὐτῷ, καὶ τοῖς προειρημένοις ἀτάκτοις καὶ ἀπαιδεύτοις, καὶ ἄγεται ἀρχηγὸς καὶ πρῶτος αὐτῶν. καὶ λοιπὸν ἠγωνίζοντο κατὰ τῆς ἀληθείας ἀρξάμενοι ἀπὸ τῆς Πεντηκοστῆς οἱ περὶ τὸν Ἰωάννην τὸν Ὑλιλᾶν σωρεύειν τὰ βιβλία. τὸν δὲ Ἀντώνιον προσελάβοντο ἀπὸ Ἰουλίου μηνός· καὶ λοιπὸν ἕως τὸν Δεκέμβριον μῆνα

* διδάσκοντα

κρυπτὸν τὸν δόλον εἶχον. ἐρωτώμενοι δὲ ἔλεγον ψευδόμενοι, ὅτι ὁ βασιλεὺς ἐπέτρεψεν ἡμᾶς ψηλαφῆσαι τὰ βιβλία, ὅτι λέγουσιν αὐτῷ τινὲς, ὅτι ὀλίγον χρόνον ἔχεις βασιλεῦσαι, καὶ ἕνεκεν τούτου ποιούμεθα τὴν ζήτησιν, καὶ περὶ τὸν Δεκέμβριον μῆνα δηλοῖ τῷ Πατριάρχῃ ὁ Λέων· ὅτι ὁ λαὸς σκανδαλίζεται διὰ τὰς εἰκόνας, λέγοντες· ὅτι κακῶς αὐτὰς προσκυνοῦμεν, καὶ ὅτι διὰ τοῦτο τὰ ἔθνη κυριεύουσιν ἡμῶν· καὶ συγκατάβα, φησὶ, τί μικρὸν, καὶ ποίησον οἰκονομίαν εἰς τὸν λαὸν, καὶ τὰ χαμηλὰ περιέλωμεν. εἰ δὲ μὴ βούλει, πεῖσον ἡμᾶς δι' ὃ ἕνεκεν προσκυνεῖτε, τῆς γραφῆς μὴ ἐχούσης ῥητῶς πώποτε. καὶ δηλοῖ αὐτῷ ὁ Πατριάρχης· ὅτι ἡμεῖς αὐτὰ καλῶς ἐξ ἀρχῆς καὶ ἄνωθεν ὁρισθέντα ὑπό τε τῶν Ἀποστόλων καὶ τῶν πατέρων, οὔτε παρασαλεύομεν, οὔτε περιεργότερόν τι ἐν αὐτοῖς οἰκονομοῦμεν, τοῦ Ἀποστόλου λέγοντος· ὅτι εἰ καὶ ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζεται ὑμῖν παρ' ὃ εὐαγγελισάμεθα ὑμῖν ἀνάθεμα ἔστω. περὶ δὲ τοῦ προσκυνεῖσθαι, ὡς προσκυνοῦμεν τὸν σταυρὸν καὶ τὸ Εὐαγγέλιον, προσκυνοῦμεν καὶ τὰς εἰκόνας· ἐπεὶ οὐδὲ ταῦτα γέγραπται προσκυνεῖσθαι· ἀλλ' ἐπειδὴ παρὰ τῶν Ἀποστόλων ἡ ἐκκλησία ταῦτα παρείληφεν, οὐ δεῖ ζητεῖν, εἰ γέγραπται, ἢ οὐ γέγραπται· πολλὰ γὰρ ἀγράφως ἡ ἐκκλησία παρέλαβεν, ἅπερ λέγονται δόγματα, δι' ἐμπνεύσεως τοῦ πνεύματος τοῦ ἁγίου καθ' ἑκάστην γενεὰν ὑπὸ τῶν ἁγίων αὐτοῦ δούλων καὶ θεραπόντων διατυπωθέντα· ἐπεὶ δὲ ταῦτα ἤκουσεν, ἀντιδάλωσεν. ἐλθὲ, φησὶ, καὶ διαλέχθητι πρὸς τοὺς κατ' ἐμὲ, τοὺς περὶ Ἀντώνιον καὶ Ἰωάννην λέγων, οἵτινες ἀσφαλῶς εὗρον ἐν παλαιοῖς βιβλίοις χρήσεις ἀποτρεπούσας προσκυνεῖσθαι τὰς εἰκόνας. καὶ λοιπὸν ὁ Πατριάρχης ἀπέστειλεν ἐπισκόπους καὶ ἡγουμένους ἐλλογίμους πρὸς αὐτὸν, πρὸς τὸ ἀπολογήσασθαι πρὸς τὰς πεύσεις αὐτοῦ. διαλεχθέντων δὲ καὶ ἀλήθειαν ἀποδειξάντων, ἐπέμενεν ἀναγκάζων αὐτοὺς διαλεχθῆναι πρὸς τοὺς τῆς ἐναντίας μοίρας. οἱ δὲ εἶπον. ὅτι ὅρος ἐστὶ τῆς ἁγίας συνόδου τὰ ὀρθῶς δογματισθέντα, καὶ διατυπωθέντα μὴ δεῖν πάλιν κακούργως ἀναζητεῖν ἢ περιεργάζεσθαι, μηδὲ τοὺς ἄφρονας θέλοντας φιλονεικεῖν ποιεῖσθαι ἀπολογίας, μάλιστα δὲ καὶ μὴ πειθομένους. καὶ φασὶν ὁ Ἄρειος μονώτατος λαλήσας ἐποίησε σύνοδον συγκροτηθῆναι δι' αὐτῶν· καὶ πάντων σκανδαλιζομένων περὶ τῆς πίστεως, τίνος ἕνεκεν ὑμεῖς οὐ βούλεσθε διαλεχθῆναι καὶ πληροφορῆσαι πάντας, ὅτι καλῶς προσκυνοῦνται αἱ εἰκόνες; καὶ ἐξουδενώσας, καὶ ἐπαπειλησάμενος αὐτοὺς ἀπέλυσε, μείνας κατασυρίζων τῆς ὀρθῆς πίστεως, ποιῆσαι βουλόμενος ὅπερ ἤθελεν. οἱ δὲ ἀπολυθέντες συνείχοντο λύπῃ καὶ ἀθυμίᾳ, ἀπαγγείλαντες τῷ Πατριάρχῃ πᾶσαν τὴν βουλὴν αὐτοῦ τὴν πονηράν. καὶ λοιπὸν συναχθέντες πάντες οἱ ὀρθόδοξοι κληρικοί τε, καὶ μοναχοὶ, καὶ λαϊκοὶ, ἐποίησαν παννυχίδα ἐν ὅλῃ νυκτὶ, παρακαλοῦντες τὸν Θεὸν ἵνα διασκεδάσῃ τὴν βουλὴν αὐτοῦ. τοῦ δὲ Πατριάρχου τοῦτο πράξαντος, ὅπερ μαθὼν ὁ ἀλιτήριος δηλοῖ * τῷ Ἀρχιερέᾳ. τί τοῦτο ἐποίησας; ὁ δὲ εἶπεν. οὐδὲν κακὸν ἐποιήσαμεν· τὸν Θεὸν ἱκετεύσαμεν ἵνα τὴν ἐκκλησίαν ἀσάλευτον φυλάξῃ, εἰ εὐάρεστον αὐτῷ ἐστί. ταῦτα δὲ ἀκούσας πλέον ἐμαίνετο κατὰ τῆς ἀληθείας. εἶχε δὲ καὶ τινὰς ἀσεβεῖς ἄνδρας συνεργοῦντας αὐτῷ, δι' ὧν καὶ τοὺς δόλους κρυπτοὺς ἐπάταινε. καὶ παρασκευάζει δι' αὐτοὺς τοὺς ἀσεβεῖς στρατιώτας τοῦ λιθάσαι τὴν εἰκόνα τοῦ Χριστοῦ τὴν οὖσαν ἐν τῇ Χαλκεπωνύμῳ πύ-

* τῷ ἀρχιερεῖ

Theophanis Chron.

A bant dolum. Interrogati vero falso respondebant: libros perscrutari injunxit Imperator, quod quidam annunciaverint, brevissimo tempore imperabis, hujus causa examen instituimus. Circa Decembrem vero mensem Leo Patriarchæ significat. Imaginum causa populus offenditur, dicentes: Perverse adoramus illas, & propterea Gentiles nostri dominantur. Condescende, inquit, modicum & moderamen ad populum habe, & quæ sunt abjecta rescindamus; si non assentiaris, exhibe & persuade cujus gratia, scriptura hæc diserte nullibi asserente, adoratis Imagines? Respondet Patriarcha: Hæc quæ a principio & superioribus temporibus ab Apostolis & Patribus definita sunt, nulla ratione innovamus, nec amplius quid moderandum censemus ab Apostolo B dicente: Si nos, vel etiam Angelus de cælo annunciaverit, præter id quod vobis denunciavimus: Anathema sit. Qua vero de causa, prout adoramus Crucem & Evangelium, eadem pariter Imagines veneramur. Quandoquidem neque illa adoranda scriptum est. Verum quoniam ab Apostolis hæc excepit Ecclesia, utrum scriptum vel non scriptum sit, non decet inquirere: plura namque scripto non tradita, quæ dicuntur dogmata per sancti Spiritus inspirationem successivis temporibus a sanctis ejus famulis ac servis ordinata Ecclesia excepit. His auditis: contra inhit, accede, inquit, & cum eis, qui mecum una sentiunt, differe (Antonii Joannisque socios insinuabat) qui certas & ineluctabiles in veteribus libris repererunt auctoritates ab imaginibus colendis C nos deterrentes. Post hæc Episcopos & selectos Monasteriorum Præpositos interrogatis ejus responsuros ad eum Patriarcha misit. Ipsis differentibus & veritatem demonstrantibus, instabat Leo, & ut cum adversa parte differerent, instabat vehementius. Responderunt illi. Sanctæ Synodi decretum est recte declarata probeque sancita non oportere denuo examinare aut curiosius indagare: neque contentionum auctoribus, & jurgia requirentibus, si obstinati perseverant, respondendum. Dicunt illi: Arius, cum unus & solus loquutus esset, Synodum tamen colligi coegit: nunc vero cum omnium animi circa fidem offendantur, cujus causa vos dissertationem habendam detrectatis, & æquo cultu colendas imagines palam D coram omnibus declarare renuitis? Eam ob rem illis contemptis, plura Leo minatus discedere imperavit, & adversus rectam fidem exsibilare perseverans, quæ animo concepisset, exequi moliebatur. Illi dimissi mœrore & tristitia detinebantur, nequam ejus omne consilium Patriarchæ renunciantes. Postmodum Orthodoxi cuncti Clerici Monachi & Laici Vigilias per totam noctem habuerunt, ut Deus eorum consilium dissiparet, deprecantes. Hæc ita geri a Patriarcha discens infelix Imperator, significat Pontifici: Ut quid hoc agis? Respondet ille: Nihil mali facimus, Deum tantum rogavimus, ut Ecclesiam suam, modo ipsi placeat, im-E perturbatam conservet: His auditis adversus veritatem magis ac magis insaniebat. Aderant porro homines impii, quorum opera clam dolos texebat, qui cœptis favebant, & eorum ope milites irreligiosos, qui Christi imaginem ad Palatii portam cui Chalces, sive Æreæ nomen, lapidibus tunderent, parat & impellit. Cæ-

Edit Paris. pag. 438.

perunt itaque lapides & lutum in Imaginem mittere, verba totius stultitiæ impietatisque plena proferentes, & Orcum, Diabolumque, & alia plora, quæ in medium producere nefas est, pronunciantes. Tyrannus populum allocutus, ait. Imaginem inde deponamus, ne forte milites eam aspernentur & contemnant: In hoc Leonem Isaurum imitatus, & æquales Imperii ejus annos studens consequi. Ad caput enim Imaginis legebatur scriptum: Quam deposuit quondam Leo principatum assequutus, huc restituit Irene. Illam quippe Leo deposuerat, & ab ipso Urbis conditu ibi imago fuerat reposita. Hoc peracto Diaboli auxiliariis, Antonio, inquam, & Ioanni, & facinorum sociis, quidquid perpetrandi facultatem permisit. His ita gestis, Episcopi & Monachi cuncti in Patriarchium conveniebant, & dicta Patrum omnia perlegebant, quæ adversarii malitiose & inerudite interpretabantur. Patriarcha vero sensum eorum reddente, & ad omnes sermonem dirigente: Num habetis aliquid quod verbis istis exprimatur, Fratres. Exclamavere cuncti: Novimus, & certi sumus veram esse fidem nostram, in hac morimur omnes. Ad illos Patriarcha: Superest, Fratres, ut concordes perseveremus, & animis conjuncti hac in confessione absque dissensu remaneamus: ut adversæ partis homines nullum reperiant, quem separent a nobis, nec id exequi valeant. Gratia enim Christi plures illis sumus. Illi rursus cum clamore firmaverunt ad mortem usque obstituros, & pro Ecclesia dimicaturos, appositisque crucibus ad subscriptiones, scriptis sibi mutuo fidem fecere: numquam ab invicem se separandos. Hæc ante festa peracta sunt. Imminentibus porro festis, variis monitis ac sermonibus Imperatori significat, & precibus simul sollicitat Patriarcha, ne deprædationibus exponatur Ecclesia, quam labore multo Patres antiqui ædificaverant in recta fide, & ab omni hæresi expurgatam reliquerant: dicebatque. Si propter me adversus synceram fidem oriantur scandala, ejicite me, & si quidem alium desideratis, Patriarcham instituite: Tantum fidem sartam tectam custodite. Istis versute & dolose, qui Chameleontis nomen merito gerabat, respondit, & dixit. Ecquis audet deponere Patriarcham Patrem nostrum, aut ejicere, vel Ecclesiæ statum immutare? Modicum quid sane investigavimus, propter eos qui superfluis sermonibus indulgent. Cæterum, ut credit Ecclesia, ita credo ego: eductamque e sinu Imaginem gerentem manu Crucem coram omnibus adoravit: istud vero gessit, non ut veritatem testaretur, sed ut festi celebritatem perageret facilius. Nullus enim subdolam hominis mentem capere poterat: verum ore unum aliquid publicante, aliud cor meditabatur. His igitur auditis, Patriarcha & Episcopi gavisi sunt, verum enunciari putantes. Solemni deinde pompa in Christi natalitiis procedens Ecclesiam ingressus est, & coram altari ea Imperatorum consuetudine stetit: & corporale sacra Domini nostri Iesu Christi nativitate in eo depicta insigne adoravit, & osculatus est. Tali spectaculo, cunctis dolum & versutiam ejus ignorantibus, factum satis. Insequente pariter Luminum festo æquali modo processit, & ingressus non adoravit: primumque illud simulanter haud vere exhibitum cognoverunt: peractisque proinde

Edit. Paris. pag. 439.

λῃ τοῦ παλατίου. καὶ λοιπὸν ἤρξαντο βάλλειν κατὰ τῆς εἰκόνος λίθους, καὶ πηλὸν, λέγοντες ῥήματα πάσης ἀφροσύνης καὶ ἀσεβείας μεστὰ, ᾅδην ἀποκαλοῦντες καὶ διάβολον, καὶ ἄλλα τινὰ, ἃ μὴ θέμις εἰς μέσον ἀγαγεῖν. καὶ φησιν ὁ τύραννος πρὸς τὸν λαόν. ἂς καταβάσωμεν ἐκεῖθεν τὴν εἰκόνα, ἵνα μὴ ὁ στρατὸς ἀτιμάζῃ αὐτήν. μιμούμενος ἐν τούτῳ Λέοντα τὸν Ἴσαυρον, ὡς βουλόμενος τοὺς χρόνους αὐτοῦ βασιλεῦσαι. ἐπειδὴ γὰρ ἐγέγραπτο ἐπάνω τῆς εἰκόνος, ὅτι ἣν καθεῖλε πάλαι Λέων ὁ δεσπόζων, ἐνταῦθα ἀνεστήλωσεν Εἰρήνη. οὗτος γὰρ ὁ Λέων αὐτὴν καθεῖλε, ἐπεὶ ἀφ' οὗ ἡ πόλις ἐκτίσθη, αὐτοῦ ἡ εἰκὼν ἦν. καὶ τοῦτο ποιήσας ἔδωκε παρρησίαν τοῖς τοῦ διαβόλου συνεργοῖς, λέγω δὴ Ἀντωνίῳ, καὶ Ἰωάννῃ καὶ τοῖς μετ' αὐτῶν. καὶ λοιπὸν τούτων γενομένων συνήγοντο πάντες οἱ ἐπίσκοποι, καὶ οἱ μοναχοὶ εἰς τὸ Πατριαρχεῖον, καὶ ἀνεγίνωσκον πάσας τὰς χρήσεις τῶν πατέρων, ἅσπερ οἱ ἐναντίοι κακούργως καὶ ἀμαθῶς προέφερον, ἑρμηνεύοντος αὐτὰς τοῦ Πατριάρχου, καὶ λέγοντος πρὸς πάντας. μὴ ἔχετέ τις λεγόμενόν τι ἐν τούτοις, ἀδελφοί; καὶ ἀνέκραξαν πάντες ἴσμεν., καὶ πεπληροφορήμεθα, ὅτι ἀληθής ἐστιν ἡ πίστις ἡμῶν· καὶ πάντες εἰς τοῦτο ἀποθνήσκομεν. καὶ ὁ Πατριάρχης πρὸς αὐτούς. λοιπὸν οὖν ἀδελφοὶ ἐν ὁμονοίᾳ ἐσώμεθα καὶ συνημμένοι ἐν μιᾷ ψυχῇ ἐν ταύτῃ τῇ ὁμολογίᾳ ἀδιαιρέτως, καὶ μὴ εὑρῶσί τινα ἐξ ἡμῶν ἀποχωρίσαι οἱ τῆς ἐναντίας μοίρας, καὶ οὐ μὴ ἰσχύσωσι. πλείους γὰρ αὐτῶν ἐσμὲν χάριτι Χριστοῦ. οἱ δὲ πάλιν ἀνέκραξαν διαβεβαιούμενοι ἕως θανάτου ἀντέχεσθαι, καὶ ὑπερμαχεῖν ὑπὲρ τῆς ἐκκλησίας ποιήσαντες σταυροὺς, καὶ ἔγγραφα εἰς ἀλλήλους, τοῦ μὴ χωρίζεσθαι. ταῦτα ἐπράχθη πρὸ τῆς ἑορτῶν. φθασάντων δὲ τῶν ἑορτῶν δηλοῖ ὁ Πατριάρχης * τὸν βασιλέα λόγους νουθεσίας ἅμα καὶ παρακαλῶν αὐτὸν, μὴ σκυλεῦσαι τὴν ἐκκλησίαν, ἣν πολλῷ κόπῳ οἱ πατέρες ἐπῳκοδόμησαν ἐν τῇ ὀρθοδόξῳ πίστει, ἀποδιώξαντες πᾶσαν αἵρεσιν, λέγων. ὅτι εἰ δι' ἐμὲ γίνονται ταῦτα τὰ σκάνδαλα κατὰ τῆς ὀρθῆς πίστεως ἐμὲ ἐξώσατε, καὶ εἴ τινα βούλεσθε, ποιήσατε· μόνον τὴν πίστιν μὴ παρασαλεύσητε. καὶ ἀποκριθεὶς ὕπουλος, καὶ δολερῶς ὁ δικαίως ἐπικληθεὶς Χαμαιλέων, εἶπε· καὶ τίς, φησι, τολμᾷ καθελεῖν ἢ ἐξῶσαι τὸν Πατριάρχην τὸν πατέρα ἡμῶν, ἢ τὴν ἐκκλησίαν παρασαλεῦσαι; μικρὸν ἠρευνήσαμεν διὰ τοὺς λαλοῦντας. ἐπεὶ ὡς πιστεύει ἡ ἐκκλησία, κἀγὼ πιστεύω, καὶ ἐκβαλὼν ἐκ τοῦ κόλπου αὐτοῦ σταυρὸν ἔχοντα εἰκόνα προσεκύνησεν ἐνώπιον πάντων. ἐποίησε δὲ τοῦτο οὐκ ἀληθεύων, ἀλλ' ἐν ὑποκρίσει βουλόμενος διαβιβάσαι τὴν ἑορτήν. οὐδεὶς γὰρ ἠδύνατο καταλαβέσθαι τὴν πανουργίαν αὐτοῦ· ἄλλα γὰρ τὸ στόμα αὐτοῦ ἐλάλει, καὶ ἕτερα ἡ καρδία αὐτοῦ ἐβούλετο. ταῦτα τοίνυν ἀκούσαντες ὅτε Πατριάρχης καὶ οἱ ἐπίσκοποι, ἐχάρησαν νομίζοντες ἀληθεύειν αὐτόν. καὶ προελθὼν τῇ Χριστοῦ γεννήσει ἐν τῇ ἐκκλησίᾳ εἰσῆλθεν ἐν τῷ θυσιαστηρίῳ, κατὰ τὸ ἔθος τῶν βασιλέων, καὶ προσεκύνησε τὴν ἐνδυτὴν τὴν ἔχουσαν τὴν ἁγίαν γέννησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ λοιπὸν ἰδόντες πάντες ἐπληροφορήθησαν, μὴ εἰδότες τὸν δόλον, καὶ τὴν πανουργίαν αὐτοῦ. φθασάσης δὲ καὶ τῆς ἑορτῆς τῶν φώτων προῆλθεν ὁμοίως, καὶ εἰσελθὼν οὐ προσεκύνησε. καὶ ἔγνωσαν πάντες ὅτι ἐν ὑποκρίσει τὸ πρῶτον ἐποίησε, καὶ οὐκ ἐν ἀληθείᾳ. καὶ δὴ πληρωθεισῶν

* τῷ βασιλεῖ

τῶν ἑορτῶν, ἤρξατο πάλιν ἐπιτίθεσθαι, ὡς ὁ Φαραὼ τὸν Ἰσραὴλ, καὶ τινας ἐπισκόπους ὑπέκλεπτε κολακείαις, καὶ ὑποσχέσεσι δώρων, οἵτινες καὶ ὑπήκουον αὐτοῦ, ἀγαπῶντες τὸν νῦν αἰῶνα, καὶ οἱ πρὶν διαβεβαιούμενοι ἀποθνήσκειν ὑπὲρ τῆς ἀληθείας, καὶ πήξαντες σταυρούς, σχεδὸν πάντες ἐστράφησαν εἰς τὸ ἐναντίον. καὶ δηλοῖ * τὸν Πατριάρχην διά τινων τῶν ἀποστατησάντων ἐπισκόπων· ὅτι μικρὸν συγκατάβηθι ἡμῖν, ἵνα περιέλωμεν πάντα τὰ χαμηλά. ἐπεὶ εἰ οὐ βούλει, γνῶθι ὅτι οὔπως οὐ παραχωροῦμεν αὐτόθι σὲ εἶναι· ὡς ὁ Πατριάρχης ἐξουθενώσας, ὡς ἐπιόρκους σταυροπάτας, * τὸν βασιλέα ἐμήνυσεν, ὅτι ὃ βούλει ποίησον· ἐγὼ γὰρ ἐκ τῶν ὁρισθέντων εὐσεβῶς ὑπὸ τῶν πατέρων οὔτε ἐπιδιατάτομαι, οὔτε συνέρχομαι τοῖς ἐναντίως φρονοῦσι. καὶ ἐν τούτοις ὄντων, ἔπεσεν εἰς ἀσθένειαν ὁ Πατριάρχης, ὥστε ἐν ὀλίγαις ἡμέραις ἀπογνωσθῆναι αὐτὸν ὑπὸ τῶν ἰατρῶν. καὶ μαθὼν ὁ βασιλεὺς μικρὸν ἡσύχασε λογιζόμενος, ὅτι ἀποθνήσκοντος αὐτοῦ πάντα εὐμαρῶς ποιῆσαι ἔχει, ἅπερ βούλεται. καὶ λοιπὸν ἀθρόον ἐκ τοῦ παραδοξοποιοῦ Θεοῦ μικρὸν διεφοράθη. ὅπερ μαθὼν ὁ Χαμαιλέων παρασκευάζει λάθρα διά τινων τοὺς στρατιώτας ἀνελθεῖν εἰς τὸ Πατριαρχεῖον, καὶ συρτὰ ἀπαβάσαι αὐτόν. ἦν δὲ ἡ παρείσβασις τῶν νηστειῶν. καὶ συναχθέντες παμπληθεί, ὥσπερ οἱ Ἰουδαῖοι ἐπὶ τὸν Χριστὸν μετὰ μαχαιρῶν καὶ ξύλων, ἐγέμισαν τὰ προαύλια τῆς ἐκκλησίας, κράζοντες καὶ βοῶντες ἀτάκτως· καὶ λοιπὸν ἤρξαντο ἀνασκάπτειν καὶ ἀναθεματίζειν τοὺς ἐν ὁσίᾳ τῇ μνήμῃ Γερμανὸν, καὶ Ταράσιον, καὶ Νικηφόρον· ἅπερ ἀκούσας ὁ Πατριάρχης ηὐχαρίστησε τῷ Θεῷ μετὰ δακρύων, ὅτι ἠξιώθη ὑπὲρ εὐσεβείας ταῦτα ἀκοῦσαι. καὶ δὴ ὥρμησεν ὁ λαὸς ὁμοθυμαδὸν πρὸς τὸ ἀνελθεῖν εἰς τὸ Πατριαρχεῖον. καί τις Θωμᾶς Πατρίκιος ἀπὸ δὶς ὑπάτων γενόμενος, ὃς τότε τὴν ἐκκλησίαν παρέλαβεν ὑπὸ τοῦ βασιλέως, ἀσφαλίσας τὰς πύλας τοῦ Πατριαρχείου ἀπεδίωξεν αὐτοὺς, ὡς δῆθεν τοῦ βασιλέως χωρὶς ταῦτα ποιοῦντας. καὶ λοιπὸν ὁ προειρημένος ἀνὴρ ἀπελθὼν πρὸς τὸν Χαμαιλέοντα, εἶπεν αὐτῷ τοῦ λαοῦ τὴν ἄτακτον ῥύμην. ὁ δὲ ἀεὶ ψεύστης ὢν, ἠρνήσατο εἰδέναι, μηδὲ ἀπεστάλθαι παρ' αὐτοῦ. ἀλλὰ, φησὶν, ἀνάγκην ἔχοντες καὶ πόνον οἱ λαοὶ, καὶ διὰ τοῦτο οὕτως ἐποίησαν. καὶ λέγει ὁ Θωμᾶς, ὅτι εἰ κελεύεις αὐτὸν, Δέσποτα, ἐξῶσαι, οὐ πολλῶν ἐστὶ χρεία. δύο ὀνόματα ἀπόστειλον, καὶ τοὺς ἔχοντας αὐτὸν βαστάσαι, οὐ γὰρ δύναται περιπατῆσαι ἀφ' ἑαυτοῦ ἐκ τῆς νόσου, καὶ οὕτως ἐξέρχεται. ὃ δὴ καὶ ἐποίησε. τῇ νυκτὶ γὰρ ἀποστείλας τινὰς ἐξέωσεν αὐτὸν τῆς ἐκκλησίας, καὶ καταγαγόντες μετὰ * φόρου οἱ ἀποσταλέντες, ἔστησαν μέσον τῆς ἀγορᾶς τοῦ Μιλίου ὅπως τινὲς τῶν στρατιωτῶν ἀποκτείνωσιν αὐτόν. καὶ ἐπειδὰ βράδιον ἦν, καὶ πάντες ὕπνῳ κατεφέροντο οὐδεὶς ἐσαλεύθη. καὶ ποιήσαντες ὡσεὶ ἡμιώριον, καὶ μηδὲν ἀνύσαντες περὶ ὧν ἐβούλοντο, ἦραν αὐτὸν ἐκεῖθεν, καὶ κατήγαγον εἰς ἀκρόπολιν· καὶ βαλόντες ἐν ἀκατίῳ, ἔρριψαν πέραν εἰς Χρυσόπολιν. καὶ τὸ πρωῒ ποιήσας σιλέντιον ὁ υἱὸς τῆς ἀπωλείας, εἶπε τῷ λαῷ· οἴδατε, ἀδελφοὶ, ὅτι ὁ Πατριάρχης παριάσας τὴν ἐκκλησίαν ἀνεχώρησε· διότι ἐλέγχομεν αὐτὸν περὶ τῶν εἰκόνων, ὅτι κακῶς προσκυνοῦνται, καὶ ὅτι διὰ τοῦτο τὰ ἔθνη * κυριεύουσιν ἡμῶν· αὐτὸς δὲ μὴ ἔχων εὔλογόν τι ἀπολογήσασθαι, ὀργισθεὶς καὶ ἀτιμάσας ἡμᾶς ἀνεχώρησε· καὶ λοιπὸν ἀνάγκην ἔχομεν ἕτερον Πατριάρχην ποιῆσαι. καὶ ταῦτα ψευσάμενος ἔπεισε τὸν λαὸν, ὅτι παρῃτήσατο, καὶ δὴ βουλόμεθα αὐτὸν ποιῆ-

* τῷ Φατει εἰχ

* τῷ βασιλεῖ

* φορείου

* κυριεύουσιν

festorum solemnibus cœpit aggredi, velut Pharao Israelem, & Episcoporum quosdam blanditiis promissisque suffurabatur: & qui & ipsi morem gesserunt, ex eo quem habebant ad præsens sæculum affectum, quippe prius juramento interposito & Crucibus appositis, pro veritate morituros se affirmabant, singuli ferme conversi sunt in partem adversam: eam ob rem per desertores Episcopos Patriarchæ significat: Condescende modicum nobis & futilia quæque resecabimus: si nolueris, in throno te residere non permissuros scito. His spretis tamquam perjuris & Cruciculcis Patriarcha Imperatori denunciat: Quod lubet exequere, dogmatibus quippe a Patribus pie definitis numquam nuncium remittam, neque contrarium sentientibus adstipulabor. Hæc dum gererentur, in infirmitatem decidit Patriarcha, adeo ut diebus paucis salus ejus a medicis desperaretur: cujus Imperator certior factus, de vi facta non nihil remisit; eo mortuo, cuncta pro voluntate facilius executurum cogitans. Cæterum Dei manu miraculorum effectrice non nihil sublevatus est Patriarcha, quod cum rescisset Chamelæoo, quorumdam ope milites in Patriarchium clam penetrare disposuit, & silenter eum abducere. Erat porro jejuniorum initium. Conserta itaque multitudine coacti, velut Judæi in Christum insilientes, cum gladiis & lignis Ecclesiæ atrium repleverunt, clamantes, & tumultuose vociferantes: cœperuntque execrari, & diris devovere sancta in memoria defunctos Germanum, Tarasium, & Nicephorum: quæ quidem audiens Patriarcha Deo cum lachrymis gratias egit, quod pietatis defendendæ causa hæc audire mereretur. Confestim conspiranti impetu populus insilit, ut in Patriarchium ingrederetur. Mox Thomas quidam Patricius, bis Exconsul, qui tunc velut Imperatoris jussu, Ecclesiam tutandam susceperat, portis Patriarchii occlusis, eos removit, velut inscio Imperatore ejusmodi facinora molitos. Protinus ad Chamelæontem præfatus vir profectus, inordinatum populi motum denunciavit. Ille pro solito mendax, nec quicquam scire, vel quemquam a se missum negare. Verum, inquit, necessitate compulsus, & animi mœrore tactus populus in hujusmodi factum prorupit. Subinfert Thomas: Si eum jusseris expelli, Domine, non opus multis. Tantum homines duos mitte, aliosque qui efferant; non enim ingravescente valetudine a se potest procedere: atque ita discedet. Id ita fecit, summissis nocte, qui Patriarcham ejicerent Ecclesia. Quare qui missi fuerant lectica Patriarcham abducentes, medio Milii foro steterunt, ut eum militum quidam occiderent. Erat porro profunda nox, somnoque cunctis depressis, nullus se ipsum movit. Post mediam horam, in nullo, quorum erat molimen, proficientes, tulerunt eum inde & in arcem abduxerunt; lintreque impositum trans fretum ad Chrysopolim projecere. Mane comitiis habitis, filius perditionis ad populum sermonem habuit: Videtis, Fratres, ut Patriarcha Ecclesia derelicta discesserit, quod cum eo de Imaginibus fuerimus colloquuti, & exposuerimus propter eas a Gentibus nos affligi. Is vero responsi congrui penitus ignarus, ira præceps, & nobis neglectis, abiit. Alium igitur Patriarcham institui necesse est. Ita mentitus, persuasit

Edit. Paris. pag. 440.

pag. 441.

A γῶν, καὶ ἰδίως * αὐτὸν φρουρεῖσθαι διωρίσατο. ἀπεστάλησαν δὲ παρὰ τοῦ βασιλέως Στέφανος Μάγιστρος, καὶ Ανδρέας Δομέστικος ὁ Κρατερὸς, καὶ ὁ Γούβερ Πατρίκιος, καὶ Ιωάννης ὁ Αγιοπολίτης ἐπὶ τὸ ἐξετάσαι τὰ κατ' αὐτόν· καὶ ἀγαγόντες τὸν Πατριάρχην, καὶ καθίσαντες ἐπὶ θρόνου ἐν τιμῇ, καὶ αὐτοὶ καθισθέντες, ἔφη πρὸς τὸν Πατριάρχην Ανδρέας ὁ Δομέστικος. γνωρίζεις, ὦ δέσποτα, τὸν Αββᾶν Θεόδωρον; ὁ δὲ, Αββᾶν Θεόδωρον οὐ γνωρίζω. καὶ ὁ Ανδρέας. τὸν Αββᾶν Θεόδωρον τὸν Σανταβαρηνὸν οὐ γνωρίζεις; καὶ ὁ Πατριάρχης. γινώσκω τὸν Αββᾶν Θεόδωρον ἀρχιεπίσκοπον ὄντα Εὐχαΐτων. ἤγαγον δὲ καὶ τὸν Σανταβαρηνόν· καὶ λέγει πρὸς αὐτὸν Ανδρέας ὁ Δομέστικος. ὁ βασιλεὺς σοὶ δηλοῖ· ποῦ εἰσὶ τὰ χρήματα, καὶ τὰ πράγματα τῆς ἐμῆς βασιλείας; ὁ δὲ ἔφη· ποῦ δέδωκεν αὐτὰ ὁ βασιλεὺς, ὁ κατὰ τὴν ἡ-
B μέραν, εἰσί. νῦν δὲ ἐπεὶ κελεύεις ἀναζητεῖν ταῦτα, ἐξουσίαν ἔχει ἀναλαβέσθαι αὐτά. καὶ ὁ Ανδρέας ἔφη πρὸς αὐτόν· εἰπὲ τίνα ἐβούλου ποιῆσαι βασιλέα, ὑποθέμενος τῷ ἐμῷ πατρὶ διὰ συσκευῆς σου τυφλῶσαί με, Πατριάρχου ἴδιον, ἢ σόν; ὁ δὲ ἀποκριθεὶς εἶπεν. οὐ γινώσκω τὸ σύνολον περὶ τούτου. ὁ δὲ Σανταβαρηνὸς παρελθὼν πεσὼν εἰς πόδας τοῦ Πατριάρχου, εἶπεν. ὁρκίζω σε κατὰ Θεοῦ, δέσποτά μου, ἵνα πρῶτον ποιήσῃς τὴν ἐμὴν καθαίρεσιν· καὶ τότε γυμνόν ὄντα με τῆς ἱερωσύνης κολαζέτωσαν, ὡς κακοῦργον. οὐ γάρ ποτε ταῦτα ἐλάλησα τῷ βασιλεῖ. ὁ δὲ Πατριάρχης ἐνώπιον πάντων ἔφη. μὰ τὴν σωτηρίαν τῆς ἐμῆς ψυχῆς κύριε Θεόδωρε ἀρχιεπίσκοπε, οὔτε ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι. θυμωθεὶς οὖν Ανδρέας ἐπὶ τούτοις ἔφη. οὐκ ἐμήνυσας, Αββᾶ, τῷ βασιλεῖ δι' ἐμοῦ, ὅτι ἵνα ἐλέγξω τὸν Πατριάρχην ἐν τούτῳ. ὁ δὲ ἀπηρνήσατο μηδὲν εἰδέναι. ὑπο-
C στρέψαντες οὖν ἀνήγγειλαν τῷ βασιλεῖ τὰ λαληθέντα παρ' αὐτῶν. ὁ δὲ βασιλεὺς θυμῷ τε καὶ ὀργῇ ἀκατασχέτῳ ληφθεὶς, ὡς μὴ εὑρὼν αἰτίαν κατὰ τοῦ Πατριάρχου, ἀποστείλας ἔτυψε τὸν Σανταβαρηνὸν σφοδρῶς, καὶ τοῦτον ἐξώρισεν ἐν Αθῳ, ὄπισθεν δὲ αὐτοῦ ἀποστείλας, ἐτύφλωσε, καὶ ἐξώρισεν εἰς ἀνατολήν. μετὰ πολλὰ δὲ ἔτη παρακληθεὶς ὁ βασιλεὺς τοῦτον εἰσήγαγεν ἐν τῇ πόλει, καὶ προσέταξεν αὐτὸν λαμβάνειν σιτήσεις ἐκ τῆς νέας ἐκκλησίας. ἐτελεύτησε δὲ αὐτὸς ὁ Σανταβαρηνὸς ἐπὶ Κωνσταντίνου καὶ Ζωῆς τῆς αὐτοῦ μητρός. Επὶ τῆς βασιλείας οὖν Λέοντος Αγίων ὁ Λογγόβαρδος καὶ Δοὺξ, γαμβρὸς δὲ γεγονὼς τοῦ Ρηγὸς Φραγγίας ἀντῆρε τῷ βασιλεῖ πᾶσαν τὴν χώραν πρὸς ἑαυτὸν δουλωσάμενος· τοῦτο γνοὺς ὁ βασιλεὺς ἀπέστειλε τὸν
D Κωνσταντῖνον τὸν τῆς τραπέζης σὺν πᾶσι τοῖς θέμασι τῆς δύσεως πρὸς τὸ καταπολεμῆσαι τὸν Αγίωνα, καὶ συμβολῆς γενομένης ἡττήθησαν οἱ μετὰ Κωνσταντίνου, καὶ κατεσφάγησαν μόλις αὐτοῦ διασωθέντος. γέγονε δὲ ἔκλειψις ἡλιακὴ, ὥστε νύκτα γενέσθαι ὥρας ἓξ καὶ τοὺς ἀστέρας φαίνεσθαι· ἀλλὰ καὶ βροχαὶ, καὶ συνοχὴ ἀνέμων, καὶ ἀστραπαὶ γεγόνασιν, ὥστε καῆναι ἐν τοῖς ἀναβαθμοῖς τοῦ φόρου ἀνθρώπους ἑπτά. καὶ ἐπολιορκήθη ὑπὸ τῶν Αγαρηνῶν ἡ Σάμος τὸ κάστρον. αἰχμαλωτισθέντος δὲ τοῦ στρατηγοῦ τοῦ Πασπαλᾶ, προεχειρίσατο Λέων ὁ βασιλεὺς Ζαούτζαν βασιλεοπάτορα συμφιλιωθεὶς ἤδη Ζωῇ τῇ αὐτοῦ θυγατρὶ φαρμάκῳ τινὶ, τελευτήσαντος τοῦ ἀνδρὸς αὐτῆς Θεοδώρου τοῦ Γυ-
E ζουνιάτου. Στεφάνου δὲ Πατριάρχου τὸν βίον μεταστάντος χειροτονεῖται ἀντ' αὐτοῦ Αντώνιος, ὁ λεγόμενος Καυλέας. ἦλθε δὲ ἀγγελία παρὰ τοῦ στρατηγοῦ Μακεδονίας, ὡς ὁ ἄρχων Βουλγαρίας Συμεὼν βούλεται ἐκστρατεῦσαι κατὰ Ρωμανίας. ἡ δὲ αἰτία, δι' ἣν ὠργίζετο Συμεὼν ἦν αὕτη. Ζαούτζας ὁ βασιλεοπάτωρ εἶχεν εὐνοῦχον δοῦλον ὀνόματι Μουσικόν. οὗτος

* αὐτοὺ

A φιλιωθεὶς Σταυρακίῳ καὶ Κοσμᾷ, Ἑλλαδικοῖς φιλοχρύσοις καὶ * πραγματευταῖς, οἵτινες πρὸς αἰσχροκέρδειαν ἀφορῶντες μεσιτείᾳ καὶ δυνάμει τοῦ Μουσικοῦ διέστησαν τὴν ἐν τῇ πόλει πραγματείαν τῶν Βουλγάρων ἐν Θεσσαλονίκῃ, κακῶς τοὺς Βουλγάρους διοικοῦντες ἐν τῷ κομμερκίῳ. οἱ δὲ Βούλγαροι * τῷ Συμεὼν ταῦτα ἀνήγγειλαν. ὁ δὲ δῆλα πεποίηκε τῷ βασιλεῖ Λέοντι. ὁ δὲ βασιλεὺς ὑπὸ τοῦ βασιλεοπάτορος κωλυόμενος προσπαθοῦντος Μουσικῷ, πάντα ὡς λῆρον ἤκουσε. μανεὶς οὖν ὁ Βούλγαρος ἐκστρατεύει κατὰ τῶν Ῥωμαίων. καὶ μαθὼν ταῦτα ὁ βασιλεὺς ἀποστέλλει τὸν Κρινίτην στρατηλάτην κατὰ τῶν Βουλγάρων μετὰ ὅπλων καὶ ἀρχόντων πολλῶν. τῆς πολλῆς δὲ συμβολῆς γενομένης ἐν Ῥωμανίᾳ τρέπονται οἱ Ῥωμαῖοι σφαγέντος τοῦ Κρινίτου, καὶ τοῦ Ἀρμενίου τοῦ Κορτίκη, καὶ τῶν λοιπῶν πάντων. B ἐκ δὲ τῶν Χαζάρων οἳ ἦσαν εἰς τὴν ἑταιρείαν τοῦ Λέοντος κρατηθέντες, καὶ τὰς ῥῖνας αὐτῶν κοπέντες εἰς αἰσχύνην Ῥωμαίων ἐν τῇ πόλει παρὰ Συμεὼν ἀπεστάλησαν. οὓς ἰδὼν ὁ βασιλεὺς, καὶ θυμωθεὶς ἀπέστειλε τὸν λεγόμενον Σκληρὸν μετὰ δρομώνων ἐν τῷ ποταμῷ τοῦ Δανουβίου δοῦναι δῶρα τοῖς Τούρκοις, καὶ πρὸς πόλεμον κινῆσαι μετὰ Συμεών. ὁ δὲ ἀπελθὼν καὶ συντυχὼν, καὶ ταῖς κεφαλαῖς Ἀρπάδη καὶ Κουσάνη καὶ συνθεμένων πολεμῆσαι, λαβὼν ἦλθε πρὸς τὸν βασιλέα. ὁ δὲ βασιλεὺς πάλιν διὰ τῆς θαλάσσης ἀπέστειλεν Εὐστάθιον Πατρίκιον καὶ Δρουγγάριον τῶν πλοΐμων, Νικηφόρον δὲ Πατρίκιον τὸν Φωκᾶν καὶ Δομέστικον πάντων τῶν θεμάτων ἀπέστειλε διὰ γῆς, καὶ ἦλθε μέχρι Βουλγαρίας. ὁ δὲ βασιλεὺς τὴν εἰρήνην ἀσπαζόμενος μετὰ τοῦτο ἀπέστειλε καὶ Κωνσταντινάκην Κοιαίστωρα πρὸς Συμεῶνα τὰ περὶ εἰρήνης συμβουλεύοντα. C Συμεὼν δὲ τὴν κατ' αὐτοῦ κίνησιν διά τε γῆς καὶ θαλάσσης ἰδὼν ἐν φρουρᾷ κατακλείει τὸν Κοιαίστωρα, ὡς ἐπὶ δόλῳ ἐλθόντα. περάσαντες δὲ οἱ Τοῦρκοι τοῦ Συμεὼν ἐπὶ τὸ στράτευμα Φωκᾶ ἀσχολουμένου, ᾐχμαλώτευσαν πᾶσαν τὴν Βουλγαρίαν. ταῦτα μαθὼν Συμεὼν κινεῖται κατὰ τῶν Τούρκων. οἱ δὲ ἀντιπεράσαντες συμβάλλουσι πόλεμον κατὰ Βουλγάρων, καὶ τρέπεται Συμεὼν μόλις διασωθεὶς ἐν τῇ Δίστρᾳ. οἱ δὲ Τοῦρκοι ᾐτήσαντο βασιλέα ἀποστεῖλαι καὶ ἀγοράσαι τὴν αἰχμαλωσίαν τῶν Βουλγάρων. ὃ δὴ καὶ πεποίηκεν ὁ βασιλεὺς, τοὺς πολίτας ἀποστείλας τοῦ ἀγοράσαι αὐτούς. ὁ δὲ Συμεὼν, διὰ Εὐσταθίου Δρουγγαρίου ἐδεήθη τὰ περὶ τῆς εἰρήνης, πρὸς ἣν ὑπεῖξεν ὁ βασιλεὺς, καὶ ἀπέστειλε τὸν Λέοντα τὸν Χοιροσφάκτην πρὸς τὸ γενέσθαι εἰρήνην. D ἐδέξατο Νικηφόρος ὑποστρέψαι μετὰ τοῦ λαοῦ, καὶ ὁ Δρουγγάριος Εὐστάθιος ὁμοίως. Λέοντα δὲ οὐδὲ λόγου ἠξίωσε Συμεὼν, ἀλλ' ἠσφαλίσατο ἐν εἱρκτῇ. ἐκστρατεύσας δὲ κατὰ τῶν Τούρκων ἐκείνων ἀχύρωμα βοηθείας μὴ ἐχόντων παρὰ Ῥωμαίων, ἀλλ' ἀπρονοήτων ἐαθέντων, πάντας κατέσφαξεν, αὐξήσας τὴν μεγαλοψυχίαν αὐτοῦ, καὶ ὑποστρέψας εὗρε Λέοντα ἐν τῇ Μουλδάγρᾳ, καὶ εἶπε πρὸς αὐτόν. οὐ ποιῶ εἰρήνην, ἐὰν μὴ πᾶσαν τὴν αἰχμαλωσίαν λάβω. διωρίσατο οὖν ὁ βασιλεὺς ταύτην ἀποδοῦναι. καὶ ἦλθε μετὰ Λέοντος Θεόδωρος Βούλγαρος οἰκεῖος τοῦ Συμεὼν, καὶ παρέλαβεν αὐτούς. Νικηφόρου δὲ τοῦ Φωκᾶ τελευτήσαντος ἀφορμὰς ἐζήτει Συμεὼν τοῦ εἰρήνην διαλῦσαι. ἐπεζήτει γὰρ ἄλλους αἰχμαλώτους· ἔρχεται κατὰ Ῥωμαίων. E Λέων γὰρ ὁ βασιλεὺς Δομέστικον τῶν σχολῶν προβάλλεται Λέοντα τὸν Κατακαλὼν ἐν τῷ Ῥάβδῳ τὴν οἴκησιν ἔχοντα, καὶ μετ' αὐτοῦ ἀποστέλλει Θεοδόσιον Πατρίκιον καὶ Πρωτοβεστιάριον, καὶ περῶσιν ὅλα τὰ θέματα, καὶ τὰ τάγματα. καὶ γενομένης συμβολῆς μετὰ Συμεὼν εἰς τὸ Βουλ-

A nomine Musicum. Hic Stauracio & Cosmæ prædivitibus mercatoribus Græcis amicitia junctus est: qui quidem turpi lucro intenti auctoritate Musici, quod erat in Urbe Bulgarorum commercium, Thessalonicam transtulerunt, & vectigalibus impositis pessime Bulgaros exercuerunt. His Simeoni a Bulgaris significatis, eadem hæc Simeon Leoni Imperatori fecit manifesta. Imperator a patre Imperatorio Musico nimis affecto præpeditus, cuncta nihilo magis æstimavit. Furens igitur Bulgarus adversus Romanos exercitum instruit. Quibus auditis, mittit Imperator Crinitem militiæ Magistrum cum armis & variis proceribus adversus Bulgaros: Et frequentibus initis certaminibus per Romaniam vertuntur in fugam Romani, ipso B Crinite, & Cortice Armenio, cæterisque omnibus occisis. Ex Chazaris qui auxiliares Leoni advenerant, comprehensi, naribusque præcisi, in contemptum Romanorum ad Urbem a Simeone remissi sunt: Quos Imperator conspicatus & accensus ira, Ducem nomine Sclerum ad Danubii fluminis ripas cum celocibus misit munera Turcis oblaturum, & ad arma contra Simeonem excitaturum. Profectus ille & auxilium nactus, cum Arpade & Cusane Turcorum Ducibus fœdere inito, ad Imperatorem rediit. Ille rursum Eustachium Patricium & classis Drungarium mari, terra vero Nicephorum Patricium & Phocam, & Legionum Domesticum delegat, qui Bulgariam usque penetraverunt. Pacis postmodum cupidus Imperator, Constantinacem Quæstorem de pace cum Si- C meone consulturum misit. Simeon arma bellumque terra & mari in se mota conspiciens, Quæstorem quasi dolose agentem sub custodia inclusit. Simeone vero cum Phocæ copiis occupato, Turci, trajecto Danubio, totam Bulgariam captivam fecere: His auditis Simeon movet adversus Turcos. Illi in contrariam ripam transeuntes cum Bulgaris certamen ineunt, ipseque Simeon in fugam vertitur, vix Distræ receptus incolumis. Turci autem petierunt ab Imperatore, ut captivos Bulgaros emeret: quod & fecit, missis ex Urbe civibus qui pretium rependerent. Simeon Eustathii Drungarii ope de pace sermonem proposuit, cui se facilem præbuit Imperator: eidemque componendæ Leonem Chœrosphactum destinavit. Nicephorus cum exercitu redire in animum induxit, D & Eustathius Drungarius pariter. Leonem vero neque ad colloquium admittere dignatus est Simeon: Imo sub custodia tenuit. Expeditione deinde adversus Turcos parata, illisque a Romanis auxilium & præsidium non habentibus, imo belli apparatu & armorum provisione destitutis, cunctos inflatis animis jugulavit Simeon, & reversus, cum Leonem in Muldagra reperisset, dixit ad eum: Nusquam pacem componam nisi captivos omnes recepero. Imperator restituere proposuit: Venitque cum Leone Theodorus Bulgarus Simeonis Domesticus, qui eos recepit. Exinde Nicephoro Phoca morte sublato, Simeon abrumpendæ pacis quærebat occasiones, & aliis captivis expetitis, adversus Romanos E movit. Leo vero Imperator Leonem Catacalum ad Rabdum ædes suas habentem Scholarum Domesticum creat, & una cum eo Theodosium Patricium & Protovestiarium mittit, qui simul juncti omnes legiones & copias jubent trajicere: pugnaque cum Simeone ad Bulgarophygum inita,

Edit. Paris. pag. 478.

fuga omnium facta est horrenda, omnesque deleti sunt: inter quos Patricius Theodosius cujus causa non modice doluit Imperator. Ejus tempore castri Chersonis incolæ Ducem proprium Simeonem Jonæ filium interemerunt: castrum etiam Corum in Cappadocia ab Agarenis captum est. Porro celebrem processum ad Damiani ædes habuit Imperator, Zautza comitante, & supremam post eum potestatem exercente, & Zoe pariter ejus filia solemnitatis socia. Theophano vero ejus legitima conjux non aderat, sed in Blachernis ad sanctum Sepulchrum assiduis orationibus vacabat. Imperatore igitur moram ibi agere meditato, consilium iniere Zautzæ consanguinei & filius ejus Tzantzes, nec non alii, ut Imperatorem nocte occiderent. Zoe vero cum Imperatore dormiens, audito murmure per fenestram prospiciens, silentium imponebat. Certior autem periculi & insidiarum facta, Imperatorem excitavit, qui confestim navigium ingressus, Zautza & reliquis omnibus ibi relictis, ad Pegas trajecit. Sub diluculum festinus palatium ingressus est, & Joanne excubiarum Drungario ejecto, Pandum Nicolai Hetæriarchæ filium sufficit. Ipse quippe Nicolaus Imperatoris amicitiæ consors, quæ contra eum Zautzas machinabatur, patefecit. Et ex eo tempore non ingressus est Imperator in Zautzæ cubiculum, donec Leo Magister & Theodotaces criminis eos convicissent. Moritur autem Theophano Augusta post Imperii annos duodecim, quam brevi spatio temporis interjecto, operatricem miraculorum, quod zelotypiæ & injuriarum memoriæ vitio fuisset immunis, Deus ostendit: & quia eleemosynis & orationibus per sacras Ecclesias assidue Deo vacasset. Coronat autem Leo Imperator Zoen Zautzæ filiam & cum ea nuptialem benedictionem subit, Clerici cujusdam e Palatio cognomento Synapes ministerio. Benedictionis minister officio depositus est. Illa vero regnavit annum unum & menses octo. Zoe isti demortuæ inventus est loculus ad corpus ejus deponendum, sculptas intus scriptasque gerens litteras istiusmodi. Filia Babylonis misera. Accusati sunt autem apud Imperatorem Leo Musicus & Stauracius, quasi munera a Duce aliquo & Officialibus accepissent, ut intercessione apud Imperatoris Patrem eos juvarent. Stauracio itaque cum Ducum alicujus libello ad Zautzam ingresso, ut eum Imperator ad horologium solare stans conspexit, hominem pone secutus est, & cervice apprehensum foras eduxit. Ut de Ducis negotio interrogavit hominem ad Monothyrum traxit, & sublatis e manu tabulis, & in aerem projectis, & excussis, obviis quibusdam e Palatio extrudendum tradidit, & præcepit detundendum. Eo cognito, Musicus desperationis motu angebatur. Tum Imperator ingressus locum, quo Musicus Zautzæ adstans consistebat, eum collo apprehensum trudens expulit, & Christophoro Cubiculario inter Studitas abducendum, & Monastica pœnitentia subigendum tradidit. Modico post Zautzas moritur in Palatio, corpusque per Bucoleontem elatum in Caulex Monasterium ibidem sepeliendum detulerunt. Post Zautzæ mortem, Basilius operarum Regiarum Præfectus Nicolai Hetæriarchæ filius, Samonæ Cubiculario ex Agarenorum genere orto amicitia junctus est, & Imperii cupiditate exarsit. Samonæ vero mentem

Edit. Paris. pag. 479.

A γαρόφυγον ἐγένετο τροπὴ δημοσία, καὶ πάντες ἀπώλοντο, καὶ ὁ Πατρίκιος Θεοδόσιος, δι' ὃν ὁ βασιλεὺς οὐ μετρίως ἐλυπήθη. ἐπὶ τούτου ἔσφαξαν καὶ ἐν Χερσῶνι οἱ τοῦ κάστρου τὸν στρατηγὸν αὐτῶν Συμεῶνα τὸν υἱὸν Ἰωνᾶ. παρελήφθη καὶ τὸ κάστρον τὸ Κόρον ἐν Καππαδοκίᾳ ὑπὸ τῶν Ἀγαρηνῶν. ὁ δὲ προέλευσιν ἐποίησεν εἰς τὰ Δαμιανοῦ, συνόντος* δὲ Ζαούτζα τοῦ παραδυναστεύοντος καὶ τῆς θυγατρὸς αὐτοῦ Ζωῆς ἅμα τῷ βασιλεῖ. Θεοφανὼ δὲ ἡ γαμετὴ αὐτοῦ οὐ παρῆν ἐκεῖσε, ἀλλ' ἐν Βλαχέρναις ἐν τῇ ἁγίᾳ σορῷ προσεκαρτέρει εὐχομένη. δόξαντος οὖν τοῦ βασιλέως μεῖναι ἐκεῖσε συμβούλιον ποιήσαντες οἱ τοῦ Ζαούτζα συγγενεῖς, ὅτε υἱὸς αὐτοῦ ὁ Τζάντζας καὶ οἱ λοιποὶ ἐβούλοντο τῇ νυκτὶ φονεῦσαι τὸν βα-

B σιλέα. ἡ δὲ Ζωὴ μετὰ τοῦ βασιλέως καθεύδουσα, καὶ τὴν ταραχὴν ἀκούσασα, διὰ τῆς θυρίδος προβλεψαμένη αὐτοὺς κατεσίγησεν. ὡς δὲ τὸ δεινὸν ἔγνω τῆς ἐπιβουλῆς ἣν ἐμελέτασαν, ἐξύπνισε τὸν βασιλέα, ὃς παρευθὺ εἰσελθὼν εἰς πλοῖον διεπέρασεν εἰς Πηγὰς, ἐάσας Ζαούτζαν καὶ πάντας ἐκεῖσε. καὶ πρωὶ τάχιον εἰσῆλθεν εἰς τὸ παλάτιον ἐξώσας Ἰωάννην Δρουγγάριον τῆς Βίγλας, καὶ προβαλλόμενος Πάνδον υἱὸν Νικολάου Ἑταιρειάρχου αὐτοῦ. ὁ γὰρ Νικόλαος οὗτος συμφιλιωθεὶς τῷ βασιλεῖ κατάδηλα ἐποίει αὐτῷ πάντα τὰ τοῦ Ζαούτζα. καὶ ἔκτοτε οὐκ εἰσήρχετο ὁ βασιλεὺς εἰς τὸ κελλίον τοῦ Ζαούτζα, ἕως ἂν Λέων Μάγιστρος καὶ ὁ Θεοδοτάκας διήλεγξαν αὐτούς.

C τελευτᾷ δὲ Θεοφανὼ Αὐγοῦστα βασιλεύσασα ἔτη δώδεκα, ἣν οὐ μετὰ πολλὰς ἡμέρας ἀνέδειξεν ὁ Θεὸς θαυματουργὸν διὰ τὸ ἀζηλότυπον αὐτῆς καὶ ἀμνησίκακον, καὶ διὰ τὸ ἐν ἐλεημοσύναις καὶ προσευχαῖς ἀδιαλείπτως προσκαρτερεῖν τῷ Θεῷ ἐν ταῖς ἁγίαις ἐκκλησίαις. στέφει δὲ Λέων ὁ βασιλεὺς Ζωὴν τὴν θυγατέρα Ζαούτζα, καὶ εὐλογεῖται μετ' αὐτῆς παρὰ κληρικοῦ τοῦ παλατίου, ᾧ ἐπίκλην Σινάπης. καὶ ὁ μὲν εὐλογήσας καθῃρέθη. ἡ δὲ ἐβασίλευσεν ἔτος ἓν μῆνας ὀκτώ. τελευτησάσης δὲ τῆς αὐτῆς Ζωῆς λάρνακα εὗρον εἰς τὸ ἀποτεθῆναι τὸ σῶμα αὐτῆς ἔχουσα ἔνδοθεν γράμματα κεκολαμμένα γραφέντα οὕτω. θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος. διεβλήθησαν δὲ

D τῷ βασιλεῖ Λέων τε ὁ Μυστικὸς, καὶ ὁ Σταυράκιος, ὡς ὅτι παρὰ τοῦ στρατηγοῦ καὶ ὀφφικιαλίων λαμβάνοντες δῶρα καὶ μεσιτεύοντες πρὸς τὸν βασιλεοπάτορα. καί ποτε εἰσελθόντος τοῦ Σταυρακίου μετὰ γραμματίου πρὸς τὸν Ζαούτζαν, ὡς εἶδεν αὐτὸν ὁ βασιλεὺς ἑστὼς ἐν τῷ Ἡλιακῷ, εἰσῆλθεν ὄπισθεν αὐτοῦ, καὶ κρατήσας αὐτὸν ἐκ τοῦ τένοντος ἐξήγαγεν ἔξω. ὡς δῆθεν ἐρωτᾷ περὶ τὸν στρατηγὸν καὶ εἰς τὸν Μονόθυρον ἀγαγὼν, καὶ τὰ γραμματία ἄρας, καὶ ἀποσφενδονήσας παρέδωκε τοῖς παρατυχοῦσι ἐξαγαγεῖν τοῦ παλατίου, διακελευσάμενος ἀποκεῖραι αὐτόν. μαθὼν δὲ τοῦτο ὁ Μυστικὸς ἐν ἀπογνώσει γέγονε. εἰσελθὼν δὲ ὁ βασιλεὺς ἔνθα ἵστατο ὁ Μυστικὸς παρεστὼς τῷ Ζαούτζᾳ, τοῦτον ἐπὶ τράχηλον ὠθήσας ἐξήγαγεν παραδοὺς Χριστοφόρῳ

E Κοιτωνίτῃ ἐν τοῖς Στουδίου ἀπαγαγεῖν, καὶ μοναχὸν ποιῆσαι. μετ' ὀλίγον δὲ τελευτᾷ Ζαούτζας ἐν τῷ παλατίῳ καὶ τοῦτον διὰ τοῦ Βουκολέοντος κατάγοντες, ἀπήγαγον ἐν τῇ μονῇ τοῦ Καυλέα, κἀκεῖσε αὐτὸν θάψαντες. μετὰ δὲ τὴν τελευτὴν Ζαούτζα Βασίλειος Ἐπείατης ὁ υἱὸς Νικολάου Ἑταιρειάρχου συνεφιλιώθη Σαμωνᾷ Κουβικουλαρίῳ τῷ ἐξ Ἀγαρηνῶν ὀρεγόμενος τῆς βασιλείας ἀξιώματι ἰ-

* Redundat.

θάῤῥησε δὲ τῷ Σαμωνᾷ· ὅτι τῆς θείας ἡμῶν Ζωῆς A τελευτησάσης, ὁ Βασιλεὺς λαβεῖν ἔχει ἑτέραν γυναῖκα, καὶ ἡμᾶς πάντας θέλει ἀφανίσαι. ἀλλὰ δός μοι λόγον, καὶ ἵνα σοὶ θαῤῥήσω πάντα τὰ βουλευόμενα. καὶ δόντος αὐτῷ λόγον τοῦ Βασιλείου, ἐθάῤῥησεν αὐτῷ. ὁ δὲ Σαμωνᾶς εἰσελθὼν εἰς τὸν βασιλέα, εἶπεν αὐτῷ· ὅτι δέσποτά μου, θέλω σοι εἰπεῖν τι ἰδίως, ὅπερ εἰ μὲν εἴπω ἀποθνήσκω· εἰ δὲ μὴ εἴπω, ἀποθνήσκεις σύ. καὶ διεξεῖπε * τὸν βασιλέα πᾶσαν τὴν τοῦ Βασιλείου ἐπιβουλήν. ἀπιστήσαντος δὲ τοῦ βασιλέως τοῖς λαληθεῖσι παρ᾽ αὐτοῦ, καὶ εἰρηκότος· μή τίς σοι ὑπέβαλε ταῦτα εἰπεῖν μοι, καὶ ἐκ δωροδοκίας τοῦτο ἐποίησας; ὁ δὲ εἶπεν. ἀπόστειλον πιστοὺς, οὓς κελεύεις, ἐν τῷ κελλίῳ, B δέσποτά μου, καὶ ἵνα εἰσὶν ἐγκεκρυμμένοι, καὶ εἴ τι ἂν ἀκούσωσι παρὰ τοῦ Βασιλείου, καὶ παρ᾽ ἐμοῦ γράφωσι ταῦτα. παρευθὺ δὲ ὁ βασιλεὺς ἀποστέλλει Χριστοφόρον Πρωτοβεστιάριον ἅμα Καλοκύρῳ Κοιτωνίτῃ· καὶ εἰσελθόντες ἐκρύβησαν ἐν τῷ κελλίῳ αὐτοῦ. Βασίλειος οὖν δελεασθεὶς, καὶ λαβὼν λόγον ἔνορκον παρὰ Σαμωνᾶ εἰς τὸ προσευχάδιον αὐτοῦ, ἐξεῖπεν αὐτῷ πάντα τὰ τῆς βουλῆς, καὶ τοὺς συμβουλευομένους. ἀναστάντων δὲ αὐτῶν, κατελθόντες Χριστοφόρος καὶ Καλοκύρης ἀνέγνωσαν πάντα τῷ βασιλεῖ. καὶ παρευθὺ μὲν προσκαλεσάμενος Βασίλειον δέδωκε μιλιαρίσια χιλιάδας εἴκοσι, ὡς δῆθεν ψυχικὰ τῆς αὐτοῦ θείας Ζωῆς ὁρισθέντα, καὶ ἀπέστειλεν ἐν Μακεδονίᾳ· καὶ τὸν μὲν Βασίλειον οὕτω τῆς πόλεως ἐξήγαγε· C τοὺς δὲ λοιποὺς τοὺς τῆς αὐτοῦ βουλῆς μετεσχηκότας, Πάρδον μὲν Δρουγγάριον τῆς Βίγλας ἀποστέλλει πρὸς τὸν Στυπιώτην, δῆθεν ἀγαγεῖν αὐτὸν, προμηνυθέντος ἐκείνῳ διὰ Βασιλίσκου Πιττακίου αὐτὸν δεσμῆσαι· προφασισάμενος δὲ ὁ βασιλεὺς ἀπελθεῖν καὶ δειπνῆσαι εἰς τὸν ἅγιον Λάζαρον εἰς τὸ καταβάσιον τοῦ * Καισαρείου ἔστησεν Ἰωάννην Γαρίδαν μετὰ τῶν λοιπῶν τῆς ἑταιρείας ἐν τῷ κουβουκλείῳ· καὶ ἐν τῷ κατέρχεσθαι τὸν βασιλέα κρατήσαντα τὸν Ἰωάννην Νικόλαον Ἑταιρειάρχην ἐξήγαγε τῆς πόλεως. ἀγαγὼν δὲ ἐκ Μακεδονίας Βασίλειον, καὶ ἀνακρίνας, καὶ τύψας, καὶ τὰς τρίχας αὐτοῦ κατακαύσας, καὶ ἐν τῇ μέσῃ θριαμβεύσας, ἐξώρισεν ἐν Ἀθήναις, καὶ κακῶς ἐκεῖσε D τετελεύτηκεν. ὡσαύτως Νικόλαον Ἑταιρειάρχην, καὶ Στυλιανὸν, καὶ Ἰωάννην, καὶ τὴν συγγένειαν πᾶσαν Ζαούτζα, τοὺς μὲν ἀπέκειρε, τοὺς δὲ ἐξώρισε, δημεύσας τὰς οὐσίας αὐτῶν. πάντας δὲ Μαγίστρους, καὶ τοὺς ἐν τέλει προσκαλεσάμενος ὁ βασιλεὺς, ἀνέγνω κατενώπιον αὐτῶν τὰ μηνυθέντα παρὰ Σαμωνᾶ. οἱ δὲ τοῦτον ὑπερεπῄνεσαν, ὡς τῆς ζωῆς τοῦ βασιλέως προνοούμενον, καὶ εἰρήκασιν ἄξιον εἶναι τιμῆς μεγίστης. ὁ δὲ παρευθὺ τοῦτον Πρωτοσπαθαρίου ἀξίᾳ τετίμηκεν. ἐτελεύτησε δὲ Στέφανος ὁ Πατριάρχης. καὶ ἀντ᾽ αὐτοῦ ἐχειροτονήθη Νικόλαος ὁ Πατριάρχης, Μυστικὸς ὢν τοῦ βασιλέως. παρελήφθη δὲ τὸ κάστρον ἡ Δημητριὰς ἐν τῷ θέματι τῆς Ἑλλάδος ὑπὸ Δαμιανοῦ τοῦ Ἀγαρηνοῦ. Λέων δὲ ὁ βασιλεὺς στέφει Ἄνναν θυγατέρα Ζωῆς, τῆς ἀπὸ τοῦ Ζαούτζη, διὰ τὸ μὴ δύνασθαι ποιεῖν τὰ ἐκ τύ- E που κλητώρια, μὴ οὔσης Αὐγούστης. ἠγάγετο δὲ ὁ βασιλεὺς κόρην ἐκ τοῦ θέματος Ὀψικίου ὡραιοτάτην πάνυ ὀνόματι Εὐδοκίαν, στέψας, καὶ ἀναγορεύσας, καὶ γήμας αὐτήν· ἐξ ἧς παιδοποιήσας ἄῤῥενα παῖδα, ἐφ᾽ ᾧ τε τελεύτηκε καὶ αὐτὴ, καὶ τὸ γεννηθέν. ἐξωκοδόμησε δὲ ὁ βασιλεὺς οἰκήματα πλησίον τῶν ἁγίων Ἀποστόλων, καὶ ἔκτισεν ἐκκλησίαν περικαλλῆ ἐπ᾽ ὀνόματι τῆς προτέρας αὐτοῦ γυναικὸς τῆς ἁγίας Θεοφανοῦς. ὡσαύτως ἔκτισεν εἰς τοὺς λεγομένους

* τῷ Βασιλεῖ

Supra Καλοκύρης

confidenter exposuit. Defuncta nunc Zoe matertera nostra, uxorem aliam Imperator sibi copulaturus est, nosque omnes deleturus: sed pollicere secretum, ut, quae modo deliberantur, fidenter aperiam. Eo Basilio secreti fidem promittente, animatus ille mentem exposuit. Samonas ad Imperatorem ingressus dixit ei. Cuperem, Domine mi, aliquid secreto enunciare, quod si edixero mors me certa manet, si tacuero tibi moriendum: confestimque Basilii conjurationem omnem enarravit. Imperatori autem narratis fidem haud adhibenti, imo dicenti: Num quis ea mihi edicere suggessit, & mercedis spe hoc fecisti? Dixit ille: Mitte, Domine, quos placuerit tibi fideles in cubiculum, ut occultati, quod a Basilio & a me percepe- rint, cuncta describant. Confestim Imperator Christophorum Protovestiarium cum Calocyro Cubiculario misit: & ingressi in ejus delituerunt cubiculo. Basilius itaque jam inescatus, accepta juramenti fide a Samona, ad ejus oratorium, consilium ei suum, & consilii participes aperuit. Illis exurgentibus Christophorus & Calocyres digressi cuncta Imperatori perlegerunt: & confestim Basilio ad se advocato Miliarisiorum millia viginti eleemosynarum nomine in materterae Zoes animae levamen, velut legata tradidit, & in Macedoniam dimisit: & Basilium quidem hoc pacto Urbe detrusit. Reliquos vero conjurationis consortes Pardum quidem excubiarum Drungarium ad Stipiotem, quasi eum ad se vocaturum amandavit: Is tamen ut eum vinculis coerceret per Basilicum Pittacii prius monitus fuerat. Simulans etiam Imperator foras proficisci, & ad sanctum Lazarum coenaturum, ad Equilis descensum Joannem Garidam cum reliquis confoederatis detinuit in cubiculo: Cumque Imperator Joannem detinens descenderet, Nicolaum Hetaeriarcham Urbe eduxit. Basilium porro e Macedonia revocatum & de crimine inquisitum, verberibus subjecit, & crinibus ejus succensis, per mediam Urbem traductum Athenas relegavit exulem, ubi misere periit. Nicolaum pariter Hetaeriarcham & Stylianum & Joannem & Zautzae genus omne hos quidem detondit, alios publicatis eorum facultatibus in exilium expulit. Magistris vero cunctisque in dignitate positis ab Imperatore adjuratis, quae a Samona significata fuerant, cuncta perlecta sunt. Illi virum velut Imperatoris vitae providentem, maximisque honoribus dignum pronunciarunt: Quare Protospatharii dignitate confestim honoratur. Mortuus est autem Stephanus Patriarcha, & in ejus locum Nicolaus Imperatoris Mysticus provectus. Demetrias autem oppidum ad Graeciae Thema spectans, a Damiano Agareno captum est. Imperator Leo Annam Zoes, quae Zautzae fuit, filiam Imperii corona redimivit, quod deficiente Augusta, instituta ex more convivia celebrare non posset. Imperator idem ducta e Themate Opsicii venustissima puella nomine Eudocia, Augustam coronavit, & Imperatricem uxoremque renunciavit: ex ea puero masculo suscepto mater, & qui genitus fuit puer, pariter obierunt. Emit autem Imperator sanctorum Apostolorum Templo vicinas aedes, in quibus prioris suae conjugis sanctae Theophanus sumptuosam Ecclesiam construxit. Ad Topos pariter sancto Lazaro dicatam aedificavit, & virile Eunuchorum Monasterium esse

Edit. Paris. pag. 480.

pag. 481.

disposuit: ad quod sancti Lazari & Mariæ Magdalenæ translatum corpus deposuit, ejusdem Ecclesiæ celebrata dedicatione. Classe vero in Ecclesiarum hujusmodi ædificiis occupata, Tauromenium Siciliæ civitas ab Afris capta est, socordia, verius dicam proditione, Eustathii classis Drungarii & Caramali, nec non Michaelis Characti ibidem repertorum, quam plurimis Romanorum ea in clade cæsis. Reversi in Urbem ab Imperatore & Patriarcha reprehensi, & a Michaele Characto proditionis convicti, morte condemnati sunt: Patriarcha vero Nicolao apud Imperatorem interpellante, mors condonata: verberibusque solummodo subjecti, bonis eorum publicatis, inter Monachos detrusi sunt; Caramalus in Pieridii, Eustathius autem in Studii Monasterio. Lemnus etiam insula ab Agarenis, pluribus ex ea captivis asportatis, occupata est. Pentecostes vero magnæ solemnibus Imperatore Leone ad sanctum Mocium, aula comitante, progresso, & ad altare Ingressum celebrante, jamque Soleæ proximo, egressus quidam ex Ambone fustem robustum & pinguem in ejus caput impegit, ac nisi fustis impetus obvio multifido candelabro retardatus, & impeditus fuisset, cum statim de medio tulisset. Sanguine autem ex Imperatoris capite largiter fluente, tumultus & procerum fuga exorta est: plurimique in ea perierunt. Alexander autem ejus frater Ingressum celebraturus non advenit, morbum prætexens: ex quo insidiarum hujusmodi auctorem eum extitisse suspicio nata est. Samonas pariter aberrat: imo Zoem in Palatium conducturus discesserat. Apprehensus igitur qui percusserat Imperatorem, & examinatus, pœnas plurimas, & tormenta in dies aliquot prolata sustinuit, & ut nullum conjurationis participem confessus est, manibus & pedibus demum præcisis, ad Circi metam combustus est: & ex tunc processus istiusmodi abrogata est solemnitas. Aliquo deinde tempore interjecto Marcus quidam Ecclesiæ sapientissimus Oeconomus, qui magni Sabbathi Tetraodium hymnum a Domino Cosma inceptum perfecit, mensæ cum Imperatore accumbens, ne solemnitatem imminueret, rogabat: Imperatore renuente, ait Marcus: A Propheta Davide hoc te, Domine, passurum prædictum erat: prænunciavit etenim: Quanta malignatus est inimicus in sancto tuo: &, Gloriati sunt qui oderunt te in medio solemnitatis. Ex hoc vero temporis momento annos adhuc decem te, Domine, Imperium tenere necesse est: quod ita contigit: eo namque die, quo plagam accepit, eodem pariter obiit. Zoe vero quarta Imperatoris conjux in Palatio nondum Imperii corona redimita degebat. Imperatore ad Botii portum, ut Monasterii a Christophoro Protovestiario constructi dedicationem celebraret, solemnem processum & comitatum ducente, Agarenorum classem una cum Tripolita adversus Constantinopolim accedere nuncius significavit: quare classis Drungarium Eustathium cum navalibus copiis Ducibusque Imperator amandat, qui cum vires adversas opponere non valuissent, infecta re, domum redierunt: præcesserat ipse Eustathius redux, & ad Paræum jam penetraverat. Quo cognito Imperator magno mœrore affectus Himerium A secretis præcipuum classis exercitum adversus Tripolitam delegat: sed neque ipse ad Agarenorum classem acce-

τόπῳ τὸν ἅγιον Λάζαρον κατασκευάσας μονὴν ἀνδρείαν ὑπάρχουσαν, ἔνθα καὶ τὸ τοῦ ἁγίου Λαζάρου σῶμα καὶ Μαρίας τῆς Μαγδαληνῆς ἀνακομίσας ἀπέθετο, ποιήσας καὶ τὰ ἐγκαίνια τῆς αὐτῆς ἐκκλησίας. ἀσχολουμένου δὲ τοῦ στόλου εἰς τὰ κτίσματα τῶν τοιούτων ἐκκλησιῶν, παρελήφθη ἐν Σικελίᾳ τὸ Ταυρομένιον ὑπὸ τῶν Ἀφρων, τῇ ἀμελείᾳ, μᾶλλον δὲ προδοσίᾳ Εὐσταθίου Δρουγγαρίου τῶν πλωΐμων, καὶ Καραμάλου ἐκεῖσε ὄντος, καὶ Μιχαὴλ τοῦ Χαράκτου, γενομένης πολλῆς σφαγῆς τῶν Ῥωμαίων. ἀνελθόντων δὲ αὐτῶν ἐν τῇ πόλει παρά τε τοῦ βασιλέως, καὶ τοῦ Πατριάρχου ἐλεγχθέντων παρὰ Μιχαὴλ τοῦ Χαράκτου, ὡς προδότων, κατεκρίθησαν θανάτῳ. παρακληθέντος δὲ τοῦ βασιλέως παρὰ Νικολάου τοῦ Πατριάρχου, τὸν θάνατον συνεχωρήθησαν. τυφθέντες δὲ μόνον, καὶ δημευθέντες, καὶ ἀποκαρέντες μοναχοί. ὁ μὲν Καράμαλος εἰς τὰ Πιερίδου, ὁ δὲ Εὐστάθιος εἰς τὴν μονὴν τοῦ Στουδίου. παρελήφθη δὲ καὶ ἡ Λῆμνος ἡ νῆσος ὑπὸ τῶν Ἀγαρηνῶν αἰχμαλωσίαν πολλὴν πεποιηκότων. ἐν τῇ προελεύσει δὲ τῆς μεγάλης Πεντηκοστῆς τοῦ βασιλέως Λέοντος ἀπελθόντος εἰς τὸν ἅγιον Μώκιον καὶ εἰσοδεύοντος, ὅτε ἦλθε πλησίον τῆς σολέας, ἐξελθών τις ἐκ τοῦ ἄμβωνος δέδωκεν αὐτῷ κατὰ κεφαλῆς μετὰ ῥάβδου ἰσχυρᾶς καὶ παχείας. καὶ εἰ μὴ ἡ φορὰ τῆς ῥάβδου εἰς πολυκάνδηλον ἐμποδισθεῖσα διεχαυνώθη, παρευθὺ ὅλον τοῦτον ἀπήλλαξε. τοῦ δὲ αἵματος σφοδρῶς καταρρέοντος ἐκ τῆς τοῦ βασιλέως κεφαλῆς, ταραχὴ * δὲ καὶ φυγὴ τῶν ἀρχόντων γέγονε. καὶ πολλοὶ ἐν ταύτῃ * ἀπώλλοντο. ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος προεφασίσατο νοσηλεύεσθαι, καὶ οὐ κατῆλθεν ἐν τῇ εἰσόδῳ, ὡς ἐκ τούτου ὕποπτον αὐτὸν γενέσθαι τὴν τοιαύτην ἐπιβουλὴν αὐτὸν κατασκευάσαι. οὔτε ὁ Σαμωνᾶς παρῆν ἐκεῖ, ἀλλ' ἦν ἀπελθὼν ἀγαγεῖν Ζωὴν ἐν τῷ παλατίῳ. κρατηθέντος δὲ τοῦ δόντος τὸν βασιλέα, καὶ ἐξετασθέντος, καὶ πολλὰς βασάνους καὶ τιμωρίας ὑπομεμενηκότος ἐπὶ πολλὰς ἡμέρας, ἐπεὶ μηδένα καθωμολόγει, τέλος ἐκκοπεὶς αὐτοῦ χεῖρας καὶ πόδας ἐκάη ἐν τῇ τοῦ ἱππικοῦ σφενδόνῃ· καὶ ἔκτοτε ἐξεκόπη ἡ τοιαύτη προέλευσις. μετὰ δέ τινα καιρὸν εἰσῆλθε Μάρκος ὁ φιλοσοφώτατος Οἰκονόμος τῆς αὐτῆς ἐκκλησίας ὤν, ὃς ἦν ἀναπληρώσας τοῦ μεγάλου σαββάτου τετραῴδιον τοῦ κυρίου Κοσμᾶ. καὶ ἐν τῇ τραπέζῃ τοῦ βασιλέως συνεστιώμενος ἐξελιπάρει τὸν βασιλέα μὴ ἐκκόψαι τὴν ἑορτήν. τοῦ δὲ βασιλέως ἀπαναινομένου ἔφη ὁ Μάρκος. ὅτι προγεγραμμένον ἦν παρὰ τοῦ προφήτου Δαβὶδ τοῦ παθεῖν σε τοῦτο, ὦ δέσποτα, * προφητεύσαντα εἰπών. ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς. καὶ δεῖ σε ἀπὸ τοῦ νῦν, ὦ δέσποτα, κρατῆσαι τὴν βασιλείαν ἔτη δέκα. ὅ τι καὶ γέγονε. τῇ γὰρ αὐτῇ ἡμέρᾳ ἐν ᾗ καὶ ἔλαβεν, ἐν ταύτῃ τελευτᾷ. ἦν δὲ Ζωὴ ἡ τετάρτη γυνὴ τοῦ βασιλέως ἐν τῷ παλατίῳ μετὰ τοῦ βασιλέως ἄστεπτος. τοῦ δὲ βασιλέως πρόκενσον ποιησαμένου εἰς τὸ ἔμπροσθεν τοῦ Βωτίου πρὸς τὸ ἐγκαινίσαι τὴν μονὴν Χριστοφόρου Πρωτοβεστιαρίου αὐτοῦ ἦλθεν ἀγγελία, ὡς ὅτι ὁ στόλος τῶν Ἀγαρηνῶν ἅμα τῷ Τριπολίτῃ ἀνέρχεται κατὰ * Κωνσταντινούπολιν. ἀποστέλλει οὖν ὁ βασιλεὺς Εὐστάθιον Δρουγγάριον τῶν πλωΐμων μετὰ παντὸς τοῦ στόλου καὶ τῶν στρατηγῶν κατὰ τοῦ Τριπολίτου. οἱ μὴ δυνηθέντες ἀντιπαρατάξασθαι, ἀπεστράφησαν κενοί. ἦλθεν δὲ ἔμπροσθεν αὐτῶν, καὶ εἰσῆλθε μέχρι Παρίου. τοῦτο μαθὼν ὁ βασιλεὺς ἐν μεγάλῃ ἀθυμίᾳ γέγονε, καὶ ἀποστέλλει Ἱμέριον Πρωτασηκρῆτιν κεφαλὴν τοῦ στόλου κατὰ τοῦ Τριπολίτου, * μὴ τολμώντων μηδόλως πλησιάσαι τῷ στόλῳ τῶν

Edit. Paris. pag. 482.

* Redundat.

* ἀπώλοντο

* καὶ

* Κωνσταντινουπόλεως

* ἀλλὰ μηδ' αὐτοὺς ἐπιτολμώντων

Ἀγαρηνῶν. τοῖς δὲ τοῦ Θεοῦ κρίμασιν ἐπιστρέφει ὁ αὐτὸς Λέων Τριπολίτης, καὶ ἀπῆλθεν ἐν Θεσσαλονίκῃ, καὶ ταύτην ἐπολιόρκησε. καὶ παρέλαβεν ἅμα τῷ στρατηγῷ αὐτῆς Λέοντι τῷ Χατζιλακίῳ· καὶ * ποιήσας πολλὴν σφαγὴν καὶ αἰχμαλωσίαν. * Ῥοδοφύλης δέ τις Κουβικουλάριος ἦν ἀποσταλεὶς ἐν Σικελίᾳ χρείαν τινά, ἔχων μεθ' ἑαυτοῦ χρυσίου λίτρας ἑκατόν. νοσήσας δὲ κατὰ τύχην ἐν τῇ ὁδῷ εἰσῆλθεν ἐν Θεσσαλονίκῃ πρὸς τὸ λούσασθαι, καὶ ἀνακτήσασθαι ἑαυτόν· καὶ ἐκρατήθη παρὰ Λέοντος. διερχόμενος Συμεὼν Πρωτοασηκρῆτις ὁ μετὰ ταῦτα γεγονὼς Πατρίκιος καὶ Πρωτοασηκρῆτις ἀνελάβετο τότε χρυσίον, καὶ τὰ δῶρα, ἅπερ εἴασε Ῥοδοφύλης ἐν τῇ ὁδῷ, καὶ πολλὰ βασανισθεὶς ἐτελεύτησε. τοῦ δὲ Τριπολίτου βουλομένου τὴν πόλιν καταστρέψαι μαθὼν Συμεὼν δηλοῖ αὐτὸν λαβεῖν χρυσίον, καὶ ταύτην ἐᾶσαι. ὃν καὶ πείσας, καὶ λαβὼν λόγον συμφώνησε δοῦναι χρυσίον τῷ Τριπολίτῃ, τὴν δὲ πόλιν ἐᾶσαι. ὃ δὴ καὶ γέγονε. Σαμωνᾶς δὲ προφασισάμενος ἐπὶ τὴν μονὴν αὐτοῦ τὰ Σπεῖρα ἐξελθεῖν τὴν * τοῦ Δαματρῦ οὖσαν, φυγῇ ἐχρήσατο ἅμα χρήμασι καὶ ἵπποις αὐτοῦ, τοὺς ἵππους τοὺς δημοσίους ἀγκυλοκοπῶν· τοῦτο μαθὼν ὁ βασιλεὺς ἐπιστέλλει ὄπισθεν αὐτοῦ Βασίλειον Ἑταιρειάρχην τὸν Καματηρόν, καὶ Γεώργιον τὸν Κρινίτην, τοῦ καταλαβεῖν αὐτόν. τοῦ δὲ Σαμωνᾶ τὸν Ἅλυν βουλομένου διαπεράσαι κατέλαβεν αὐτὸν Νικηφόρος Δρουγγάριος ὁ λεγόμενος Καμινᾶς, οὐκ ἐῶν αὐτὸν διαπεράσαι. ἐπεὶ δὲ ὁ Σαμωνᾶς πολλὰ ὑπισχνεῖτο καὶ οὐκ ἔπειθεν, προσέφυγεν εἰς τὸ Σιριχᾶ εἰς τὸν τίμιον σταυρόν, προφασισάμενος, ὡς διὰ πίστιν τοῦ σταυροῦ ἐληλύθει. καταλαβὼν οὖν Κωνσταντῖνος ὁ τοῦ Δουκός, καὶ τοῦτον ἀναλαβόμενος, ὑπέστρεψεν ἐν τῇ πόλει. προσέταξε δὲ ὁ βασιλεὺς αὐτὸν μὲν φυλάττεσθαι ἐν τῷ οἴκῳ Βάρδα τοῦ Καίσαρος· ἠρώτησε δὲ Κωνσταντῖνον τὸν Δουκὸς περὶ αὐτοῦ. καὶ μαθὼν πῶς ἀληθῶς ἐν Συρίᾳ ἔφυγε, παρεγγύησε τῷ Δουκὶ μὴ εἰπεῖν τοῦτο ἐνώπιον τῆς συγκλήτου, ὅτε παρ' αὐτῆς ἐρωτηθῇ. ἀλλ' ὅτι διὰ εὐχὴν ἀπῆλθεν ἐν τῷ Σιριχῷ. ἤθελε γὰρ ὁ βασιλεὺς * ἀποσυμψιθιῶσαι αὐτῷ. προσκαλεσάμενος οὖν Κωνσταντῖνον τοῦ Δουκὸς ἔμπροσθεν τῶν ἐν τέλει, ἔφη. οὕτως ἔχεις Θεόν, καὶ τὴν κεφαλήν μου. ἔφυγεν ὁ Σαμωνᾶς, ἢ οὐχί; ὁ δὲ ὡς εἶπε πρότερον τῷ βασιλεῖ μὴ ὁρκισθῆναι, καὶ τὸ κελευόμενον εἰπεῖν, ἀκούσας τοὺς ὅρκους ἐξεῖπεν ἐνώπιον πάντων. ὅτι εἰς Συρίαν ἔφυγε. μετ' ὀργῆς δὲ τοῦ βασιλέως * τοῦτο ἀποπεμψαμένου· ἐποίησε Σαμωνᾶς μῆνας τέσσαρας ἐν τῷ οἴκῳ τοῦ Βάρδα. * ἀπεσυμώψιστο δὲ ἐν τῇ αὐτοκρατορίᾳ τοῦ βασιλέως. ἐφάνη δὲ τότε καὶ ὁ κομήτης ἀστὴρ τὰς ἀκτῖνας ἐπὶ ἀνατολὴν πέμπων, καὶ φαινόμενος ἐν ἡμέραις καὶ νυξὶ τεσσαράκοντα. ἐγέννησε * Λέων υἱὸν Κωνσταντῖνον ἀπὸ Ζωῆς τῆς τετάρτης αὐτοῦ γαμετῆς. ἐβαπτίσθη δὲ τὰ ἅγια φῶτα ὑπὸ Νικολάου Πατριάρχου ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ δεξαμένων αὐτὸν Ἀλεξάνδρου βασιλέως, καὶ * Σαμωνᾶ Πατρικίου, καὶ τῶν ἐν τέλει πάντων· γέγονε δὲ τὸν βασιλέα εὐλογηθῆναι μετὰ Ζωῆς μετὰ τὴν ἑορτὴν παρὰ Θωμᾶ Πρεσβυτέρου, ὃς καθῃρέθη. ἀνηγόρευσε δὲ τὴν αὐτὴν Ζωὴν εἰς Αὐγοῦσταν. καὶ διὰ τοῦτο τὸν βασιλέα ὁ Πατριάρχης εἰς τὴν ἐκκλησίαν ἐκώλυσεν εἰσέρχεσθαι· ὅθεν διήρχετο ἀπὸ τοῦ δεξιοῦ μέρους μέχρι τοῦ μιτατωρικίου,

* ἔπεισεν

* Ῥοδοφύλης

* ἐν

* Inferius Σιρίχῳ

* ἀποσυμψιζέσθαι

* τοῦτον

* ἀπεσυμώψισεν

* δὲ

* Σαμωνᾶ Πατρικίου

A dere ausus est. Secreto vero Dei judicio Leo Tripolita faciem vertit, & Thessalonicam versus abiit, obsessamque una cum civitatis Duce Leone Chatzilicio, plurima strage edita, captivisque abductis, in potestatem accepit. Rodophyles autem quidam Cubicularius ob necessitatem quampiam delatis secum auri libris centum in Siciliam missus fuerat: per viam vero fortuita ægritudine correptus Balnearum commoditate usurus, & vires recepturus, Thessalonicam diverterat: qui etiam a Leone captus est. Porro Simeon Secretatiorum Princeps qui deinde Patricius, & una A secretis primus extitit, iter agens prædictum aurum & munera per viam a Rodophyle relicta, penes se receperat: hic postmodum multis tormentis B examinatus vitam finivit. Tripolitæ vero Thessalonicensem urbem evertere cogitanti significat Simeon, ut aurum accipiat, & urbem liberet. Eo persuaso, & fide data de auro Tripolitæ dando, deque urbe servanda convenit: quod ita præstitum est. Samunas autem Monasterii, cui nomen Spira ad Damatrym eastructi visitandi prætextu divitiis & equis propriis secum abductis fuga usus est, & equis publicis omnibus poplitum nervos succidit. Eo cognito, Imperator Basilium Camaterum Hetæriarchem & Georgium Crinitem fugientem insequuturos & apprehensuros misit. Samonam vero Alym fluvium trajicere paratum Nicephorus Drungarius C nomine Caminas deprehendit, nec transmeare permisit. Samonas multa licet pollicitus, cum virum movere non posset, ad pretiosam Sirichorum crucem confugit, fidei, quam ad ipsam habebat, gratia se venisse simulans. His ita gestis, Constantinus Ducis filius prospere advenit, & eo secum assumpto, in Urbem reduxit: quem Imperator in Bardæ Cæsaris æde custodiri jussit. Porro Constantinum Ducis filium de eo interrogavit: agnitoque ejus vero in Syriam recessu, ne hoc coram Senatu enunciaret, si quandoque interrogaretur, commendavit: ac tantum orationis ergo ad Siricha faciendæ discessisse affirmaret. Cupiebat enim Imperator hominem sibi reconciliare. Constantinum itaque coram D proceribus advocans, ait. Ita Deum capitisque mei salutem diligas: fugit Samonas an non? Ille vero, ut prius, Imperatorem, ne adjuraretur, rogaverat, & quæ jubebatur promiserat exequi, juramenti vi compulsus, coram omnibus enunciavit. In Syriam vere fugiebat: eoque tunc cum furore ab Imperatore retro amandato, Samonas in Bardæ domo menses quatuor peregit, & annuo die quo Imperator potestatem accepit redeunte, reconciliatus est. Tunc apparuit Cometes radios versus Orientem ejaculans, & dies noctesque quadraginta conspicuus permansit. E Zoe vero quarta conjuge Constantinum filium Leo suscepit, qui Luminum festo a Nicolao Patriarcha in magna Ecclesia, suscipientibus puerum e fonte Alexandro Imperatore, Samona Patricio, & proceribus cunctis, baptizatus est. Contigit autem Imperatorem cum Zoe festo istiusmodi celebrato benedictionem nuptialem a Thoma presbytero suscipere, qui eam ob rem Officio depositus est. Eamdem vero Zoem Augustam declaravit Imperator, quem ea propter Ecclesiæ liminibus Patriarcha prohibuit: ut exinde pariter dextera Ecclesiæ parte, via consueta penitus relicta, ad Mitatoricium usque pertrans-

Edit. Paris. pag 483.

lret. Samonas deinde Accubitor provectus est, quod ad omne facinus & pravitatem Imperatori manum præberet auxiliarem: & adversus Ecclesiam cœperunt meditari. Vocatum quippe ad se Nicolaum Patriarcham Februarii die primo precibus (Edit. Paris. pag. 484.) instabant, ut in Ecclesiam reciperentur: ut vero flectere non potuerunt, a convivio publico, ad quod vocatus fuerat ejectum, & per Bucoleontem ductum, lintrique impositum, in Hieriam trajecerunt, e qua pedes ad Galacrenos usque nive multa delibutus pervenit. In ejus locum Euthymius Syncellus vir gravis & temperatissimus suffectus est: quem dicunt divina revelatione id muneris suscepisse. Volebat enim Imperator hæresim & legem ponere, qua virum tres quatuorve uxores ducere liceret, pluribus doctissimis viris ad id opem conferentibus. Junio autem mense Imperator Leo a Constantino Libe in Monasterium ad Merdosagarem positum, ut ejus dedicationem celebraret, & adesset convivio, vocatus est. Posthæc ventus nomine Africus per dies tres invaluit vehementissime spirans, concutiens, & evertens domos: adeo ut omnes ad loca subdivalia fugerent, & mundi finem adventasse cogitarent: nisi Deus sua in homines benignitate concussionem hujusmodi placandam jussisset. Imperator autem Himerium cursus publici Logothetam classis totius caput instituit. Agarenorum vero navali exercitu adversus Romanos moto, Andronicus Dux, ut se in navibus Himerio Logothetæ adjungeret, & Agarenos oppugnaret, jussus est. Quo tempore Samonas in Andronicum implacatus perseverabat, multaque adversus eum comminiscebatur, & omnibus modis omnique studio Andronico molestiam inferre, ex qua fugam ipse arripuerat, meditabatur. Suggessit autem cuidam qui scriberet Andronico secreto. Ne naves ingrediaris, ne forte capiaris ab Himerio. Samonas enim suggessit Imperatori, ut ab eo comprehensus, oculos amitteres. Himerio exinde Andronicum pluribus adhortante, ut classis adesset comes, & cum Agarenis jam imminentibus decertaret: non admisit. Himerius igitur solus die sancti Thomæ, inito cum Agarenis prælio, magnam reportavit victoriam. Quo audito, in desperationem adductus Andronicus in extremam defectionem præcipitatus, consanguineis fugam comitantibus, Castrum Cabbalam occupavit: ex quo Samonas Imperatori improperabat. Nonne prædixeram, Domine, Ducem adversum te rebellionem meditari? Statim ergo misit Imperator Gregoram Scholarum Domesticum, cognomento Hiberitzen, Andronici consocerum, ut eum debellaret. Quod cum didicisset Andronicus, & Nicolaum Patriarcham ab Ecclesia pulsum esse, una cum affinibus & natis & amicis fortunæ comitibus adversus Romanos in Agarenorum (pag. 485.) partes transit: qui etiamnum a Magno Amerumne susceptus est. Andronici vero causa tristabatur Imperator, & libello subscriptione propria munito ut hominem revocaret, frequenter meditatus fuerat. Theophilus autem per Emanuelem effecit * * *. Consulebant autem quidam Imperatori, ut Saracenorum Prætorio detentorum aliquem sibi conciliaret, quem postmodum mitteret in Syriam cum subscripto veniæ concessæ libello. Hunc ergo paravit Imperator, rubrisque inscriptis literis, & aurea munitum bulla intra bre-

A μηδόλως εἰς τὰ κατὰ συνήθειαν διερχόμενος. προσεβλήθη δὲ Σαμωνᾶς Παρακοιμώμενος διὰ τὸ εἶναι τῷ βασιλεῖ συνεργὸς πρὸς πᾶσαν παρανομίαν καὶ κακίαν, καὶ κατὰ τῆς ἐκκλησίας * ἤρξατο μελετᾶν. (* ἤρξαντο) προσκαλεσάμενοι γὰρ Νικόλαον Πατριάρχην Φεβρουαρίου πρώτῃ, καὶ πολλὰ λιπαρήσαντες δεχθῆναι· ἐπεὶ πεῖσαι οὐκ ἠδυνήθησαν, ἀπὸ τοῦ Κλητωρίου διὰ τοῦ Βουκολέοντος ἐν πλοίῳ μικρῷ ἐμβιβάσαντες, διεπέρασαν ἐν τῇ * Ἱερίᾳ (* Ἱερείᾳ) ἀφ' ἧς πεζῇ μέχρι Γαλακρηνῶν μόλις ἀπῄει, χιόνος ἐπικειμένης πολλῆς. χειροτονεῖται δὲ ἀντ' αὐτοῦ Εὐθύμιος Σύγκελλος ἀνὴρ ἱεροπρεπὴς ἐγκρατὴς πάνυ. ὅν φασι καταδέξασθαι τοῦτο ἀποκαλύ-B ψεως θείας, ὡς τοῦ βασιλέως βουλομένου αἵρεσιν καὶ νόμον ἐκθεῖναι, τοῦ ἔχειν ἄνδρα τρεῖς γυναῖκας ἢ τέσσαρας· πολλῶν εἰς τοῦτο λογιωτάτων ἀνδρῶν συνεργούντων * αὐτόν. (* αὐτῷ) Ἰουνίῳ δὲ μηνὶ προσεκλήθη Λέων ὁ βασιλεὺς παρὰ Κωνσταντίνου τοῦ Λιβὸς ἐν τῇ μονῇ αὐτοῦ τῇ οὔσῃ ἐν τῷ Μερδοσαγάρῃ τοῦ τὸ ποιῆσαι τὰ ἐγκαίνια καὶ ἀριστῆσαι. καὶ γέγονεν ἄνεμος ὁ λεγόμενος Λίψ, ἕως τρίτης σφοδρῶς φυσήσας, συσσείσας τε, καὶ δονήσας οἰκήματα, καὶ ἐκκλησίας, ὥστε πάντας φεύγειν ἐν ὑπαίθροις τόποις λέγοντας συντέλειαν κοσμικὴν εἶναι· εἰ μὴ τοῦ Θεοῦ ἡ φιλανθρωπία δι' ὄμβρων ἔπαυσε τὴν τοιαύτην θραῦσιν. προεβάλλετο δὲ ὁ βασιλεὺς Ἱμέριον Λογοθέτην τοῦ Δρόμου κεφαλὴν πάντων τῶν C πλωΐμων. ἐξελθόντος δὲ στόλου τῶν Ἀγαρηνῶν κατὰ Ῥωμαίων, ἐδέξατο * δὲ καὶ Ἀνδρόνικος ὁ Δοὺξ (* Redundat.) διὰ κελεύσεως συνελθεῖν Ἱμερίῳ Λογοθέτῃ ἐν τοῖς πλοίοις, καὶ καταπολεμῆσαι τοὺς Ἀγαρηνούς. ὁ δὲ Σαμωνᾶς ὢν ἀδιάλλακτος ἐχθρὸς τοῦ Ἀνδρονίκου, καὶ πολλὰ κατ' αὐτοῦ δεινῶς συνεσκεύαζε, καὶ ἐμηχανᾶτο κακῶσαι τὸν Ἀνδρόνικον παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ διαμηχανώμενος ἀπὸ τῆς αὐτοῦ φυγῆς. ὑπέβαλλε δέ τινι γράψαι τῷ Ἀνδρονίκῳ κρυφά, μὴ εἰσέλθῃς εἰς τὰ καράβια, * καὶ κρατηθεὶς (* ἵνα μὴ κρατηθῇς) παρὰ Ἱμερίου. ὁ γὰρ Σαμωνᾶς ὑπέθηκε τῷ βασιλεῖ τοῦ κρατηθῆναί σε, καὶ τυφλωθῆναι παρ' αὐτοῦ. πολλὰ δὲ προτρεπομένου Ἱμερίου Ἀνδρόνικον εἰσελθεῖν ἐν τοῖς D πλοίοις μετὰ τῶν Ἀγαρηνῶν ἐπικειμένων. * (* ἐθελήσαν) Ἱμέριος δὲ μόνος ἐν ἡμέρᾳ τοῦ ἁγίου Θωμᾶ συμβαλὼν πόλεμον μετὰ τῶν Ἀγαρηνῶν μεγάλην νίκην εἰργάσατο. τοῦτο μαθὼν Ἀνδρόνικος ἀπογνοὺς ἅμα συγγενέσιν αὐτοῦ ἀπελθὼν ἐκράτησε κάστρον τὴν Κάββαλαν, εἰς τελείαν ἀποστασίαν ἐλθών. ὡς εἰπεῖν καὶ Σαμωνᾶν πρὸς τὸν βασιλέα, οὐκ ἔλεγον, ὦ δέσποτα, ἀντάρτην εἶναί σοι τὸν Δοῦκα; παραυτὰ ἀπέστειλεν ὁ βασιλεὺς Γρηγορᾶν Δομέστικον τῶν σχολῶν τὸν λεγόμενον Ἰβηρίτζην συμπενθερὸν ὄντα Ἀνδρονίκου, καταπολεμῆσαι αὐτόν. μαθὼν δὲ τοῦτο Ἀνδρόνικος, καὶ ὡς ὁ Πατριάρχης Νικόλαος τῆς ἐκκλησίας ἐξεώσθη, προσέφυγε τοῖς Ἀγαρηνοῖς, ἅμα τοῖς συγγενέσι, καὶ τέκνοις, καὶ τοῖς φίλοις E ἐξεληλυθόσι τότε κατὰ Ῥωμαίων. καὶ ὑπεδέχθη παρὰ τῷ Ἀμερουμνῇ μεγάλῳ. ἐλυπεῖτο δὲ Λέων ὁ βασιλεὺς διὰ τὸν Ἀνδρόνικον, καὶ πολλάκις ἐβουλεύετο ἀποστεῖλαι * αὐτὸν (* αὐτῷ !) λόγον ἐνυπόγραφον. ὁ δὲ Θεόφιλος διὰ τοῦ Μανουὴλ ἐποίησε. *** συνεβουλεύσαντο δέ τινες τῷ βασιλεῖ φιλοφρονηθῆναί τινα τῶν τοῦ Πραιτωρίου Σαρακηνῶν καὶ ἀποστεῖλαι ἐν Συρίᾳ μετὰ λόγου ἐνυπογράφου. τοῦτο δὴ καὶ πεποίηκεν ὁ βασιλεὺς γράψας διὰ κινναβάρεως, καὶ ἀποστείλας μετὰ χρυσοβούλλου

βυλὴν ἐνδοθεν φατλίον βραχέως τράχτυ. ἐξελθόντος δὲ τῦ Σαρακηνῦ ἀπὸ τῦ βασιλέως προσκαλεσάμενος, Σαμωνᾶς εἶπεν αὐτῷ. οἶδας τί κρατεῖς; τῦτο εἰπὼν δὴ τὸν κηρὸν τὴν ἀπώλειαν τῆς Συρίας. καὶ δὺς αὐτῷ χρήματα καὶ δῶρα παρήγγειλε τῦτο βάλλειν εἰς τὰς χεῖρας τῦ Οὐζήρ. ὁ δὲ ἀπελθὼν, τῦτο πεποίηκεν. ἐκρατήθη δὲ Ἀνδρόνικος, καὶ ἐδεσμεύθη μετὰ πάντων τῶν συγγενῶν αὐτῦ. καὶ μαθὼν ὡς διὰ δόλυ τῦ Σαμωνᾶ ταῦτα αὐτῷ γέγονεν, ἀναγκασθεὶς ἐμαγάρισεν, αὐτός τε, καὶ οἱ σὺν αὐτῷ. ἔκτοτε δὲ Κωνσταντῖνος ὁ υἱὸς αὐτῦ, καὶ οἱ λοιποὶ εἰδότες ὡς ἀδύνατόν ἐστιν Ἀνδρόνικον ἐξελθεῖν, βυλῇ αὐτῦ μετ' ὐ πολὺ μόνοι φυγῇ χρησάμενοι, * θαυμαστὸν ὄντα, ἐκ μὲν Συρίας πρὸς Ρωμανίαν ἐξῆλθον· καὶ καταπολεμούμενοι κατὰ χώρας, μόλις ὀλίγοι διεσώθησαν μετὰ Κωνσταντίνυ υἱοῦ αὐτῦ. ἐκ δὲ Τάρσυ εἰσῆλθεν ἐν τῇ πόλει περὶ ἀλλαγίυ ὅτε Ἀβαλβάκης ὁ γέρων, καὶ ὁ τῦ Σαμωνᾶ πατήρ. καὶ τύτυς ἐθεάσατο ὁ βασιλεὺς, * μετὰ κοσμήσεως, καὶ τιμῆς, καὶ δόξης ἐν τῇ * Μαναύρᾳ ὑπεδέξατο· ἐκαλλώπισε δὲ καὶ τὴν μεγάλην ἐκκλησίαν ἐν κόσμῳ πολυτελεῖ, καὶ ὑπέδειξεν ἅπαντα τὰ τίμια σκεύη τοῖς Ἀγαρηνοῖς ὅπερ ἀνάξιον ἦν βασιλείας καὶ Χριστιανικῆς καταστάσεως, τὸ θεαθῆναι παρὰ τῶν ἐθνῶν τὰ ἅγια σκεύη τῦ Θεῦ. ὁ δὲ τῦ Σαμωνᾶ πατὴρ ἤθελε συμμεῖναι τῷ βασιλεῖ καὶ τῷ υἱῷ αὐτῦ, καὶ μεῖναι εἰς Ρωμανίαν. ὁ δὲ Σαμωνᾶς παρῄνεσεν αὐτῷ, λέγων. κράτει τὴν πίστιν, ἣν ἔχεις κἀγὼ εἰ δυνηθῶ, ἐλεύσομαι πρός σε μᾶλλον. τῇ δὲ ἡμέρᾳ τῆς Πεντηκοστῆς στέφει Λέων ὁ βασιλεὺς τὸν υἱὸν αὐτῦ Κωνσταντῖνον διὰ Εὐθυμίυ Πατριάρχυ. δίδωσι δὲ Σαμωνᾶς Κωνσταντῖνον ἄνθρωπον αὐτῦ, καὶ δυλεύσαντα πρότερον Βασιλείῳ Μαγίστρῳ καὶ Κανικλείῳ, δυλεύειν Ζωῇ Αὐγύστῃ ὃς ἠγαπήθη παρὰ τῦ βασιλέως Λέοντος καὶ τῆς Αὐγύστης. διὰ τῦτο πολλὰ ἐφθόνει Σαμωνᾶς αὐτῷ, καὶ ἐλοιδόρει, ὡς συνόντα τῇ Αὐγύστῃ. ὅπερ ὁ βασιλεὺς ὑπονοήσας, ἀπέκειρεν αὐτὸν μοναχὸν ἐν τῇ μονῇ τῦ ἁγίυ Ταρασίυ διὰ τῦ Σαμωνᾶ. μετ' ὀλίγον δὲ ὥρισε Σαμωνᾷ ἀναλαβέσθαι αὐτὸν ἐν τῇ αὐτῦ μονῇ * τὰ Σπεῖρα, βουλόμενος πάλιν ἀναλαβέσθαι αὐτόν. ἀπελθὼν οὖν * πρόκενσον ἐν τῷ Δαματρῦ, καὶ ἐν τῇ μονῇ τῦ Σαμωνᾶ ἀριστήσας, εἶδε Κωνσταντῖνον, καὶ παρευθὺ ὥρισε Σαμωνᾷ, καὶ ἐνέδυσεν αὐτὸν κοσμικὰ, καὶ ἐκέρασε τὸν βασιλέα εἰς τὸ κλοτέριον, καὶ ὑπέστρεψεν μετ' αὐτῦ ἐν τῷ παλατίῳ. βλέπων οὖν ὁ Σαμωνᾶς αὐξανομένην τὴν βασιλέως ἀγάπην ἐπ' αὐτὸν, βυλεύεται μετὰ τῦ μεγίστυ Κοιτωνίτυ, καὶ Μιχαὴλ Στηρήδονος, καὶ ποιῦσι χάρτην πολυλοίδορον κατὰ τῦ βασιλέως, γράψαντος καὶ συντάξαντος αὐτὸν τῦ Ροδίυ Νοταρίυ, ὄντος τῦ Σαμωνᾶ. ἐλθὼν δὲ ὁ βασιλεὺς ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ εὗρεν αὐτὸν ἐν ᾧ εὔχετο τόπῳ εἰς τὸ Μιτατώριον, καὶ ἦρεν αὐτὸν, καὶ ἀναγνὺς ἐν μεγάλῃ θλίψει ἦν, ζητῶν τὸν τῦτον ποιήσαντα. γέγονε δὲ καὶ ἔκλειψις σελήνης, καὶ διωρίσατο ὁ βασιλεὺς τοῖς ὖσι τότε ἀστρονόμοις εἰπεῖν τὸ ἀποτέλεσμα. εἰσερχομένυ δὲ πρὸς τὸν βασιλέα φίλου ὄντος τῦ Σαμωνᾶ * Παντολέων μητροπολίτυ, ἐρώτησεν αὐτὸν ὁ Σαμωνᾶς εἰς τίνα ἐστὶν ὁ κάκωσις; ἔφη αὐτός, εἰς σέ. καὶ ἐὰν διέλθῃς Ἰυνίυ τὰς τρισκαίδεκα· ἐκ τότε ὐδὲν πείσῃ κακόν. τὸν δὲ βασιλέα εἶπον εἰς τὸ δεύτερον ἔχειν κάκωσιν τὴν σελήνην· ὁ δὲ βασιλεὺς ὑπέλαβε τῦτο εἰς

* τῦτο

* ὅπερ θαυμαστὸν ἦν

* καὶ

* Μαγναύρῃ

* λεγομένῃ

* εἰς

* Παντολέοντι μητροπολίτῃ

vem susum cereum inclusit. Saracenum vero ob Imperatore discedentem vocavit Samonas: & dixit ei. Nosti quid geras? Illud propter cereum insinuavit. Syriæ perniciem tecum defers: Et pecuniis muneribusque eidem collatis Uzeris manibus reponere suasit. Digressus ille, quod commendatum fuerat, præstitit. Detentus est itaque Andronicus, & cum consanguineis omnibus in vincula conjectus. Cumque hæc Samonæ dolo in se gesta comperisset, necessitate adactus, ipse sociique fidem negavere. Ex illo tempore Constantinus eius filius & amicorum reliqui Andronicum regredi posse nullatenus licitum scientes, soli fuga usi (quod mirum fuit) ex Syria in Romaniam reversi sunt: & per varia loca diversis calamitatibus agitati, vix pauci cum Constantino ejus filio incolumes evaserunt. E Tario denique venit in Urbem Abalbaces senior, & Samonæ pater de mutandis captivis tractatum habituri. Hos Imperator in conspectum admisit, & cum humanitate summa, honore & gloria in Magnaura excepit. Magnam autem Ecclesiam sumptuoso decoravit ornatu, omniaque pretiosa vasa Agarenis ostendit, quod indignum Imperatoriæ & Christianæ institutionis extitit, sacra Dei vasa a Gentilibus conspici. Samonæ vero pater cum Imperatore & filio moram tenere & in Romania manere expetebat. Samonas autem exhorrabatur, dicens: Tene quam habes fidem: si enim potuero in partes tuas deficiam. Die porro Pentecostes Leo filium suum Constantinum Euthymii Patriarchæ ope Imperii corona ornavit. Cæterum Samonas dedit in ministerium Zoe Augustæ Constantinum hominem suum, qui prius Basilio Magistro & Caniclei Præfecto ministraverat: Qui deinde Leoni Imperatori & Augustæ charissimus extitit: Qua de causa in hominem Samonas ferebatur invidia, & probris infectabatur, quasi cum Augusta consuetudinem haberet: Quod quidem Imperator suspicatus, ejusdem Samonæ ope in sancti Tarasii Monasterio monachum tonderi jussit. Paulo post autem Samonæ mandavit in Monasterium proprium, Spira dictum, eumdem recipi, qua rursum facilius ad se vocaret. Processu igitur ad Damatrim habito, & in Samonæ Monasterio pransurus vidit Constantinum, confestimque Samonam jussit ut consuetis sæculo vestibus eum indueret: Tum inter epulas Imperatori bibendum propinavit, & cum eo ad Palatium regressus est. Videos autem Samonas auctum Imperatoris in eum affectum, cum Cubiculario præcipuo & Michaele Steredone consilium iniit: & una libellum conviciis refertum adversus Imperatorem, scribente illum & componente Rhodio Samonæ Notario, comminiscuntur. Imperator in magnam Ecclesiam profectus, & eo qua Deum precari consueverat sede ad Mitatorium reperto, eumdem acceptum magna cum animi angustia perlegit, libri requirens auctorem. Contigit autem Lunæ eclipsis: jussitque Astronomos qui tunc aderant effectus ejus edicere. Pantaleonem vero Metropolitam Samonæ amicum ad Imperatorem enarrare progressum interrogabat Samonas; in quem recideret ejus influxus malignitas? ait ille: In te. Præteritis tamen Junii diebus tredecim, si evaseris, nihil subinde mali patieris. Imperatori vero renunciaverunt illi in secundam ab eo personam Lunam pravitate sua minari, quod

Edit. Paris. pag. 486.

Imperator de fratre suo Alexandro suspicabatur. Post hæc vero Steredon Imperatori privatim enunciavit. Samonas libellum commentus est. Et confestim Samonam in suam se recipere domum coegit: ibique primum tonderi: & in Euthymii Patriarchæ Monasterium abduci jussit: ibique postmodum aliis convictus criminibus in Martinacis Monasterium deportatus est. Constantinum autem Accubitorem creavit, & in Osiis Monasterium de ejus nomine condidit: 'abiitque una cum Euthymio Patriarcha, & solemni officio dedicavit. Mense porro Octobri Himerio Logothetæ una cum Damiano & Leone Agarenis, Sami Duce Romano, qui postea regnavit, existente, prælium commissum est, quo victus Himerius, cunctisque in summum periculum adductis, via incolumis evasit. Imperator autem Leo gravi morbo jactari cœpit, adeo ut in Magnauram orationem jejuniorum principio habere nequiret. Contigit autem incendium in magnæ Ecclesiæ Cerulariis, quo chartarum thesauri armaria & sacella combusta sunt. Maii tandem die undecimo Leo Imperator, cum antea successorem fratrem suum Alexandrum designasset, diem extremum obiit: quem ille, ut ajunt, ad se venientem conspicatus, dicit, Cave. Post menses tredecim pessimum tempus instat: & impensissime rogavit, & obtestatus est, ut Constantinum filium suum protegeret.

Edit. Paris. pag. 487.

A Ἀλέξανδρον τὸν αὐτοῦ ἀδελφόν. μετὰ τοῦτο δὲ ἰδίως * Τζιριθὼν τῷ βασιλεῖ ἐξεῖπεν. ὁ Σαμωνᾶς τὸ πιττάκιον ἐποίησε. καὶ παρελθὼν καταβιβάζει Σαμωνᾶν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀποκείρει πρῶτον, καὶ ἀπαγάγει εἰς τὴν μονὴν Εὐθυμίου Πατριάρχου· καὶ μετὰ ταῦτα πάλιν λοιδορηθέντα ἀπήγαγον εἰς τὴν τῶν Μαρτινάκη μονήν. ἐποίησε δὲ Κωνσταντῖνον Παρακοιμώμενον, καὶ ἔκτισεν αὐτῷ μονὴν ἐν Οσίαις. καὶ ἀπῆλθον ἅμα Εὐθυμίῳ Πατριάρχῃ καὶ ἐγκαίνισαν ταύτην. Ὀκτωβρίῳ δὲ μηνὶ γέγονε πόλεμος ναυμαχίας Ἱμερίῳ Λογοθέτῃ μετὰ Δαμιανοῦ καὶ Λέοντος Ἀγαρηνῶν, στρατηγοῦ ὄντος * Σάμου Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος. ἡττήθη δὲ Ἱμέριος καὶ μόλις διεσώθη σχεδὸν πάντων ἐκεῖ κινδυνευσάντων· B ἤρξατο δὲ νοσηλεύεσθαι Λέων ὁ βασιλεὺς κοιλιακῷ νοσήματι, ὥστε μὴ δυνηθῆναι ἐξελθεῖν ἐν τῇ Μαναύρᾳ τὴν δημηγορίαν ἐκλαλῆσαι ἐν τῇ ἀρχῇ τῶν νηστειῶν. γέγονε δὲ καὶ ἐμπρησμὸς εἰς τὰ καρουλάρεια τῆς μεγάλης ἐκκλησίας καέντων τῶν χαρτοθεσίων πάντων καὶ τῆς σακέλλης. Μαΐῳ δὲ ἑνδεκάτῃ τελευτᾷ Λέων ὁ βασιλεὺς προχειρισάμενος Ἀλέξανδρον τὸν αὐτοῦ ἀδελφόν. ὃν ἰδών, ὥς φασι, εἰσερχόμενον πρὸς αὐτόν, ἔφη ἴδε ὁ κακὸς καιρὸς μετὰ τοὺς τρισκαίδεκα μῆνας, πολλὰ ἐκλιπαρήσας καὶ ὁρκίσας αὐτὸν φυλάττειν τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον.

* Supra Στυφύδων

* ἐν

ALEXANDER.

IMPERAVIT Alexander una cum Constantino Leonis filio annum unum, dies viginti novem. Missoque ad Nicolaum ad Galacrenas nuncio Euthymium Patriarcham deposuit, & Nicolaum secundo restituit. Habuit autem Alexander ad Magnauram Silentium, & concilium celebravit, atque Euthymium ab Agatho advocavit. Eodemque cum Nicolao Patriarcha sedere jusso judicii assessores ejus depositioni vacabant attentius, cum dedecore venerandi & per omnia mirandi viri, colendam barbam vellicantes, aliaque opprobria & injurias inferentes, quas quiete & mansuete honorabilis & sacer vir tolerabat: Ea quibus ad Agathi ædes vita functus, in proprio Monasterio juxta Psamathii depositus est. Alexander suspicionibus liber, quas frater Leo adversus ipsum, dum in vivis esset, fovebat, venatibus continuis & per varia palatia discursibus vacabat usquequaque, nihil Imperatore dignum meditatus aut exequutus, sed semper deliciis, luxuriæ, & ebrietatibus indulgens, totum se hujusmodi tradiderat. Unde protinus Janem Clericum, cognomine Lazarem, Rectorem instituit, qui post Alexandri mortem misere vitam abrupit: Gabrielopulum pariter & Basilitzen, Sclavinorum genere ortos palatii divitiis vehementer auxit, adeo ut nulla prole suscepta Basilius ipse Imperatorem, ut ajunt, hæredem instituere meditatus fuerit. Constantinum etiam Leonis filium Eunuchum reddere consuluit, & frequenter id aggressus ab iis, quos Leo beneficiis affecerat, modo infantilem ætatem, modo infirmitatem prætendentibus præpeditus fuit. Ejus tempore apparait Cometes per dies quindecim ad Occidentem,

C

ΑΛΕΞΑΝΔΡΟΣ.

ΑΛΕΞΑΝΔΡΟΣ ἐβασίλευσεν ἔτος ἓν ἡμέρας κθ΄. σὺν Κωνσταντίνῳ υἱῷ Λέοντος. ἀποστείλας δὲ ἄγαγε Νικόλαον ἐκ * Γαλακρηνῶν, καταγαγὼν Εὐθύμιον Πατριάρχην, καὶ ἐνεθρόνισε τὸ δεύτερον αὐτὸν Νικόλαον. ἐποίησε δὲ σιλέντιον καὶ σύνοδον Ἀλέξανδρος ἐν τῇ Μαναύρᾳ, ἀγαγὼν Εὐθύμιον ἀπὸ τοῦ Ἀγαθοῦ, καὶ συγκαθίσας ἅμα Νικολάῳ Πατριάρχῃ, ἐποιήσαντο τὴν κατ' αὐτοῦ καθαίρεσιν ἀτίμως ἀποτίλλοντες τὴν ἱεροπρεπῆ καὶ ἀξιάγαστον ἀνδρὸς τὴν τιμίαν γενειάδα, καὶ ἄλλας τινὰς ὕβρεις καὶ ποινὰς αὐτῷ ἐπιφέροντες, ἃς ἡσύχως καὶ πρᾴως ὑπέμεινεν ὁ τίμιος καὶ ἱερὸς ἀνήρ· ἔνθα καὶ εἰς τὰ Ἀγαθοῦ τελευτήσας, κατατίθεται ἐν τῇ αὐτῇ μονῇ, ἐν τῇ * πόλει τῶν Ψαμαθίου. οὗτος Ἀλέξανδρος διὰ τὰς D ὑπονοίας, ἃς ὁ ἀδελφὸς αὐτοῦ Λέων ἔτι ζῶν εἶχε κατ' αὐτοῦ, ἀεὶ τοῖς κυνηγεσίοις, καὶ τοῖς ἔξω παλατίοις ἐσχόλαζε, μηδὲν βασιλείας ἔργον διαπραττόμενος, ἀλλὰ διάγων ἐν τρυφαῖς, ἀσωτίαις, καὶ μέθαις, καὶ περὶ ταῦτα ἀεὶ * διακείμενος· ὅθεν παρελθὼν Ἰωάννην Παπᾶν, τὸν ἐπίκλην Λαζάριον, Ῥαίκτορα πεποίηκεν, ὃς καὶ κακῶς τὸ ζῆν ἀπέρρηξε μετὰ θάνατον Ἀλεξάνδρου· ὡσαύτως δέ φασιν Γαβριηλόπουλον καὶ Βασιλίτζην ἀπὸ τοῦ Σκλαβινῶν ἔθνους σφοδρῶς κατεπλούτισεν ἐκ τῶν τοῦ παλατίου χρημάτων. ὥς φασι δέ, αὐτὸν Βασίλειον καὶ βασιλέα ἠβούλετο ποιῆσαι, ὡς ἄπαις αὐτὸς ὤν, καὶ Κωνσταντῖνον E υἱὸν Λέοντος εὐνοῦχον ποιῆσαι· ὃ καὶ πολλάκις βουληθεὶς διεσκεδάσθη παρὰ τῶν ὑπὸ τοῦ Λέοντος εὐεργετηθέντων, ποτὲ μὲν ὡς νήπιον ὑποβαλόντων, ποτὲ δὲ ὡς ἀσθενοῦντα. ἐπὶ τούτῳ ἐφάνη ἀστὴρ κομήτης ἐκ δύσεως ἐπὶ ἡμέρας δεκαπέντε, ὃν ἔλεγον

* Γαλακρηνῶν

* Μαγναύρᾳ

* Forsan μονῇ

* ἐκκείμενος

ξιφίαν καλεῖσθαι, καὶ αἱματεκχυσίαν ἐν τῇ πόλει ἐργάσασθαι. οὗτος πλάνοις καὶ γόησιν ἑαυτὸν ἐξέδοτο, οἳ καὶ πεπείκασιν αὐτὸν, ὡς τὸ τοῦ συάγρου στοιχεῖον τὸ ἐν τῷ ἱππικῷ σοὶ καὶ τῇ σῇ ζωῇ προσανάκειται, χοιρόβιον τὸ ἀνόητον ὑπεμφαίνοντες. ὁ δὲ τούτοις ἀπατηθεὶς αἰδοῖα καὶ ὀδόντας τῷ χοίρῳ προσανανεῶσαι * ὡς λειπομένους αὐτῷ· καὶ τῇ αὐτοῦ πλάνῃ πεποιθὼς ὢν, ἱππικὸν ποιήσας τὰς τῶν ἐκκλησιῶν ἐνδυτὰς καὶ πολυκάνδηλα ἄρας τὸ ἱππικὸν ἐστόλισε, καὶ τοῖς ζῳδίοις φωταψίαν ἐποίησε· διὰ τοῦτο ἤρθη ἀπ' αὐτοῦ ἡ τοῦ Θεοῦ χεὶρ, ὡς τὴν τοῦ Θεοῦ τιμὴν τοῖς εἰδώλοις προσάψαντος. Ἱμερίου δὲ Λογοθέτου ἐκ τῆς τῶν Ἀγαρηνῶν ἥττης ὑποστρέψαντος, ἀποστείλας Ἀλέξανδρος περιώρισεν ἐν τῇ μονῇ τοῦ παλατίου, τῇ λεγομένῃ Καμπᾷ, ἀπελάσας ὡς ἐχθρὸν αὐτοῦ ὄντα ἐπὶ τοῦ ἀδελφοῦ αὐτοῦ Λέοντος. ὁ δὲ διὰ θλίψεως πολλῆς ἀρρωστήσας, περιορισάμενος ὢν ἐπὶ μῆνας ἕξ, ἐτελεύτησεν· ἀπέστειλε δὲ Συμεὼν ὁ ἄρχων Βουλγαρίας μηνύων Ἀλεξάνδρῳ τὰ περὶ εἰρήνης. Συμεὼν παρεσκευάζετο κινῆσαι κατὰ τῶν Χριστιανῶν ὅπλα. Ἀλέξανδρος δὲ ὁ βασιλεὺς ἀριστήσας καὶ οἰνωθεὶς ἐν τοῖς ὑπὸ κύνα καύμασι, κατῆλθε σφαιρίσαι, καὶ ῥομφαίᾳ θεηλάτῳ πληγεὶς, καὶ ἀνελθὼν, αἵματος ἐκ τῶν αἰδοίων ἐκφερομένου, μετὰ δύο ἡμέρας ἐτελεύτησε, καταλιπὼν ἐπίτροπον Νικόλαον Πατριάρχην, καὶ Στέφανον Μάγιστρον, καὶ Ἰωάννην Μάγιστρον τὸν Ἐλαδᾶν, καὶ Ἰωάννην Ῥαίκτορα, καὶ Εὐθύμιον, καὶ τὸν Βασιλίτζην, καὶ τὸν Γαβριηλόπουλον, ἐάσας τὴν βασιλείαν Κωνσταντίνῳ υἱῷ Λέοντος. ἀπέθετο δὲ Ἀλέξανδρος ἐν τοῖς τάφοις μετὰ τοῦ πατρὸς αὐτοῦ.

* ἐκλείπουσιν

quem Xiphiam vocari dicebant, & sanguinis effusionem in urbe effecturum portendere. Hic erronibus & præstigiatoribus se totum dedit, qui etiam suaserunt: Apri fatum sive signum quod in Circo erectum est, tibi vitæque tuæ repositum est: porci vitam amentem illum agere subindicantes. His ille seductus pudenda dentesque porco quasi sibi deficientia renovari jussit. Eodem etiam persuasus errore, equestri celebrato certamine, prolatis Ecclesiæ vestibus, productisque candelabris multifidis ludos exornavit, & luminum splendore animalia decoravit. Eam ob rem Dei manus auxiliaris ab eo remota est, qui Dei honorem idolis adolere non est veritus. Himerium vero Logothetam a clade quam ab Agarenis pertulerat, redeuntem, misso nuncio, Alexsnder in Palatii Monasterium, Campa dictum, velut hostem a fratris sui Leonis tempore sibi infensum adjectis minis exulem egit. Ille societate hominum interdictus per menses sex ex nimio mœrore morbo correptus interiit. Simeon autem Bulgariæ Princeps, missis ad Aleaandeum nunciis, de pace tractatum habuit. Simeon adversus Christianos arma movere parabat. Alexander Imperator bene pastus, & vino temulentus sub caniculæ ardores pila lusurus processit, gladioque divinitus immisso, vulneratus rediit sanguinem e naribus & pudendis effundens, & post dies duos Nicolao Patriarcha, & Stephano Magistro Elada, & Joanne Rectore, & Euthymio, & Basilitze, & Gabrielopulo procuratoribus institutis, Constantino Leonis filio reliquit Imperium. Alexander ille cum patre Basilio eodem sepulchro repositus est.

Edit. Paris. pag. 488.

ΚΩΝΣΤΑΝΤΙΝΟΣ.

ΚΩΝΣΤΑΝΤΙΝΟΣ δὲ τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος Λέοντος, παῖς ἔτι τυγχάνων, ἕβδομον γὰρ εἶχε τῆς ἡλικίας ἔτος ὑπὸ Ἀλεξάνδρου * υἱοῦ αὐτοῦ ἐν τῇ βασιλείᾳ καταλέλειπτο ὑπὸ ἐπιτρόπους τελῶν, ἐβασίλευσεν ἐπὶ τῶν αὐτοῦ ἐπιτρόπων, καὶ σὺν τῇ μητρί· ἅμα δὲ Ῥωμανῷ πενθερῷ αὐτοῦ, ἐν ὑποταγῇ ὢν, ἕτερα ἔτη εἴκοσι ἕξ· μονοκράτωρ δὲ ἔτη δεκαπέντε· ὡς εἶναι τὸν ἅπαντα χρόνον τῆς βασιλείας αὐτοῦ ἔτη πεντήκοντα πέντε. λαβόμενος οὖν τῆς τοῦ παλατίου ἐξουσίας, ὁ Πατριάρχης Νικόλαος τὴν τοῦ κοινοῦ πρόνοιαν ἐποιεῖτο καὶ τὴν φροντίδα εἶχε τῶν τῇ βασιλείᾳ ἀνηκόντων πραγμάτων ὁσημέραι. ἐν τούτοις οὖν τῆς βασιλείας οὔσης δηλοῦται Κωνσταντίνῳ τῷ Δουκὶ τῶν σχολῶν παρά τινων τῶν ἐν τῇ πόλει μεγιστάνων φιλούντων αὐτὸν, ὡς ἀνδρεῖον καὶ νουνεχῆ καὶ καλῶς δυνάμενον τὴν * ἐκκλησίαν διακυβερνᾶν, εἰσελθεῖν, καὶ ταύτης * ἐγκρατὴς γενέσθαι δοκοῦντι. ὁ δὲ, ἅτε καὶ πρότερον αὐτὴν ὀνειροπολῶν, καὶ τοὺς στεφάνους ἀεὶ ἐφιέμενος, ὡς εἶχε τάχους τὴν βασιλεύουσαν καταλαβὼν ἅμα τοῖς σὺν αὐτῷ τῶν στρατευμάτων ἐκκρίτοις ἱκανοῖς οὖσι· καὶ νυκτὸς διὰ παραπυλίδος εἰσελθὼν τοῦ Πρωτοβεστιαρίου Μιχαὴλ, οὔσης πλησίον ἀκροπόλεως ἐν τῷ οἴκῳ τοῦ πενθεροῦ * αὐτᾶς Γρηγορᾶ, ἄυπνος μετὰ τῶν συνόντων αὐτῷ διετέλεσε. Νικήτας δὲ Ἀσηκρῆτις ὁ μετὰ ταῦτα Πρωτονοτάριος γεγονὼς τὴν Κωνσταντίνου ἄφιξιν τῷ Πατρικίῳ Κωνσταντίνῳ τῷ Ἐλαδικῷ κατεμήνυσε, καὶ ἄμφω τῇ αὐτῇ νυκτὶ πρὸς τὸν Δοῦκα Κωνσταντῖνον παρεγένοντο, καὶ βουλὴν ποιησάμενοι, οὔπω τῆς ἡμέρας καταλαβούσης, ἀλλ' ἔτι σκοτίας οὔσης, μετὰ λαμπάδων καὶ λαοῦ πολλοῦ καὶ ὅπλων διὰ τῆς τοῦ ἱπποδρομίου πύλης

* θείου

* βασιλείαν

* ἐγκρατεῖ

* αὐτοῦ

CONSTANTINUS.

CONSTANTINUS Patre Leone mortuo adhuc puer (septimum enim tantum ætatis suæ agebat annum) sub patrui tutela Imperatot relictus est. Habuit etiam Imperii procuratores, & sub eorum cura, matre pariter illis adjuncta, vixit: una vero cum Romano Socero suo, cui subjectus fuit annos alios viginti sex: solus Imperium rexit annos quindecim: adeo ut Imperii ejus tempus omne annis quinquaginta quinque concludatur. Eo itaque Palatii potestatem adepto, Nicolaus Patriarcha rebus communibus providebat, curamque gerebat quotidianorum regni negotiorum. Cum igitur sic se haberent Imperii res Constantino Scholarum Duci a quibusdam Urbis proceribus ejus amicis suggeritur, eum ceu virum fortem & prudentem, quique posset rempublicam administrare, ut seipsum promoveret, nulloque labore capessendum Imperium aggrederetur. Ille igitur, ut pote qui prius illud in votorum somniis habuerat, & coronarum libidine semper æstuabat, quanta potuit velocitate, in Regiam urbem una cum selectis copiis & ad quodvis audendum idoneis profectus est: noctuque per portulam Protovestiarii Michaelis Urbis arcis vicini ingressus in domo Gregoræ Soceri insomnis una cum sociis mansit. Nicetas autem A secretis, qui postea factus Protonotarius, Constantini adventum Constantino Eladico Patricio significavit, amboque pariter ipsa nocte ad Ducem Constantinum accedunt: habitoque consilio illucescente die, sed profundis adhuc tenebris, cum lampadibus magnaque populi & armorum multitu-

pag. 489.

dine Circi portam, Constantinum ut Imperatorem acclamantes, occupant. Ibi primum ab iis, qui Circi tenebant penetralia, ejus equiso peremptus est. Illuc igitur non admissus, quinimo expulsus, velut arreptitius debacchans, nec præ Imperii cupiditate mentis compos, Circo se subducit subtristis & vultu demisso, sinistrum omen secum reputans equisonis cædem. Illinc itaque faustis acclamationibus semper comitatus, ad portam, Chalcen nomine, appulit: & per ferream portam ingressus ad Excubitorum usque locum penetravit. Ex adverso Magister Joannes Eladas confœderatorum & remigum selectu habito, armis instructos contra Ducem summisit. Illis itaque ad Chalcem appellentibus, inito certamine, multi ex utraque parte gladiis confossi ceciderunt, imo ad eum numerum, ut fluente sanguine locus fluminis in morem stagnaret. Corruit ibidem Gregoras Ducis filius, & Michael ejus consobrinus, & Cortices ille ex Armenia oriundus. His cognitis, tumultu plurimo per civitatem excitato, Constantinus equum calcari vehementius impulit; equus super lapideis tabulatis infra stratis lapsus equitem in terram dejecit, sociis omnibus hinc inde fuga palantibus & dissipatis. Eum in terram projectum solumque derelictum cum quidam conspexisset ac tenuisset, ejus caput gladio amputavit. His ita peractis, Gregoras Magister ejus socer, una cum Leone cognomento Chœrosphacte ad sanctæ Dei Sapientiæ templum profugit, quos vi inde extractos & laceris vilibusque vestibus indutos, asinoque superpositos, per mediam Urbem in triumphi morem traduxerunt, & ad Dalmatæ Monasterium abductos supplicii ac condemnationis nomine loco celebri fecerunt Inclusos: Leonem vero Catacalitzem & Abessalom Arotræ filium excæcatos in exilium miserunt. Constantinum autem Eulampii filium & ejus comites Philotheus Præfectus ad Circi metam gladio obtruncavit. Non modica vero de Niceta A secretis & Constantino Libe perquisitione facta, ipsi, ceu fuga usi, nullatenus reperti sunt. Ipsum autem multosque, qui cum ipso erant, fortes viros a Damali, quæ est Chrysopoleos locus, ad Lacatem usque geminis lignis sive furcis cunctos suspenderunt: plurimosque crudeliter & sine causa isti procuratores appellati neci tradidissent, nisi judicum quidam iniquum eorum impetum cohibuissent, dicentes illis: Cum adhuc Imperator inter pueros agat, quomodo sine ejus jussu talia patrare aggredimini? Deinde Ducis uxorem, cæsarie deposita, in ejus domum, quam in Paphlagonia possidebat, filio ejus virilibus prius exsecto, miserunt. Mense porro Augusto, Simeon Bulgariæ Princeps adversus Romanos, comparato exercitu cum multitudine gravi, Constantinopolim appulit, & vallo a Blachernis ad portam Chrysem vocatam circumducto, Urbem obsedit: aliisque spei suæ in sublime elatus subacturum omnino nullo labore promittebat. Probatis autem in adversum mœnium munimentis, Urbisque ex populi copia & machinis securitate ac præsidio conspecto, spe deceptus, in locum Hebdomum dictum pacis oblaturus fœdera, reversus est. Procuratoribus pacem oblatam libenter excipientibus, Simeon Theodorum Magistrum de illa tractaturum misit. Nicolaus autem Patriarcha, Stephanus, & Joannes Magister, Imperatore secum

Edit. Paris. pag. 490.

A καταλαμβάνουσι, Κωνσταντῖνον εὐφημοῦντες, ὡς βασιλέα. ἔνθα δὲ ὁ πρῶτος ἱπποκόμος παρὰ τῶν ἔσω τῆς ἱπποδρόμου πυλῶν ἀνῃρέθη. μὴ δεχθεὶς οὖν ἐκεῖσε ὁ Κωνσταντῖνος, ἀλλ' ἀποσοβηθεὶς, ὥσπερ ὑπό τινος ἐκβακχευόμενος δαίμονος, καὶ μὴ ἐφεστηκότα ἔχων τὸν λογισμὸν τῷ τῆς βασιλείας ἔρωτι, ἐν τῷ ἱπποδρομίῳ ὑπεχώρησε, σκυθρωπός τε, καὶ κατηφὴς, κακὸν οἰωνὸν τὴν τοῦ ἱπποκόμου κρίνας σφαγήν. ἐκεῖθεν οὖν εὐφημούμενος ἦλθε μέχρι τῆς λεγομένης Χαλκῆς, καὶ διὰ τὰς σιδηρᾶς πόρτας εἰσελευθεὶς μέχρι τῶν Ἐξκουβίτων παρεγένετο. ὁ οὖν Μάγιστρος Ἰωάννης ὁ Ἐλαδᾶς ἐκλογὴν τῶν τε τῆς ἑταιρείας, καὶ τῶν ἐλατῶν ποιησάμενος, μεθ' ὅπλων τούτους ἀπέστειλε κατὰ τοῦ Δουκός. ἐλθόντων οὖν μέχρι τῆς Χαλκῆς, καὶ πολέμου συστάντος, πολλοὶ ἐξ ἀμφοτέρων ἔπεσον τῶν μερῶν ἔργον ἐκεῖσε μαχαίρας γενόμενοι, καὶ τοσοῦτοι ὥστε τὸν τόπον ἐκλιμνασθῆναι τῷ αἵματι ποταμηδὸν καταρρέοντι. ἀνῃρέθη καὶ Γρηγορᾶς υἱὸς τοῦ Δουκὸς, καὶ Μιχαὴλ ὁ ἐξάδελφος αὐτοῦ, καὶ ὁ Κουρτίκης ἐκεῖνος ὁ ἐξ Ἀρμενίων. ταῦτα ὁ Δοὺξ Κωνσταντῖνος μαθὼν, ταραχῆς ὅτι πλείστης γενομένης, τὸν ἵππον ἐξήλασεν. ὁ δὲ τοῖς ἐκεῖσε ὑπεστρωμμέναις ὀλισθήσας πλαξὶν, εἰς γῆν τὸν ἐπιβάτην κατέβαλεν· οἱ γὰρ ἄλλοι διεσκεδάσθησαν ἅπαντες. ἐπεὶ δέ τις αὐτὸν κατὰ γῆς ἐρριμμένον καὶ μεμονωμένον κατέλαβε, ξίφει τὴν τούτου ἀπέτεμε κεφαλήν. τούτου οὕτω τελεσθέντος Γρηγορᾶς Μάγιστρος, ὁ τούτου πενθερὸς μετὰ Λέοντος, ὃν Χοιροσφάκτην ὠνόμαζον, τῇ ἁγίᾳ Θεοῦ Σοφίᾳ προσπέφευγεν, οὓς καὶ βίᾳ ἐκεῖθεν ἀποσπάσαντες, ῥάκη τε περιβαλόντες, καὶ ὄνῳ ἐπικαθίσαντες, C διὰ μέσης τῆς πόλεως ἐθριάμβευσαν. καὶ ἐν τῇ τοῦ Δαλμάτου ἀπαγαγόντες μονῇ ἐγκατακλείστους, τῇ λεγομένῃ Καταδίκῃ, πεποιήκασι. Λέοντα δὲ τὸν Κατακαλίτζην, καὶ Ἀβεσσαλὼμ τὸν τοῦ Ἀροτρᾶ ἐκτυφλώσαντες, ἐν ἐξορίᾳ παρέπεμψαν· Κωνσταντῖνον δὲ τὸν τοῦ Εὐλαμπίου υἱὸν καὶ ἑτέρους σὺν αὐτῷ, Φιλόθεος Ὕπαρχος ἐν τῇ τοῦ ἱππικοῦ σφενδόνῃ ξίφει ἀπέτεμεν. οὐ μικρῶς δὲ διερευνησάμενοι περὶ Νικήτα Ἀσηκρῆτις, καὶ Κωνσταντίνου τοῦ Λιβός, οὐχ εὗρον αὐτούς, ὡς χρησαμένους φυγῇ. τὸν δὲ ἐκείνου καὶ τοὺς σὺν αὐτῷ πολλοὺς καὶ ἀνδρείους ὄντας ἀπό τε τῆς ἐν Χρυσοπόλει Δαμάλεως, καὶ μέχρι τοῦ Λακάτου διδύμοις ξύλοις πάντας ἀνεσκολόπισε, καὶ πολλοὺς ἀνηλεῶς καὶ ἀναιτίους οἱ λεγόμενοι οὗτοι ἐπίτροποι D ἀπέκτειναν, εἰ μή τινες τῶν δικαστῶν τῆς ἀδίκου ὁρμῆς * ἀνακεχαιτίκεισαν, εἰπόντες πρὸς αὐτούς· ὡς παιδὸς ὄντος τοῦ βασιλέως, πῶς ἄνευ τῆς αὐτοῦ κελεύσεως τοιαῦτα τολμᾶτε ἐξαπράττεσθαι; τὴν τοῦ Δουκὸς οὖν γυναῖκα ἀποκείραντες εἰς τὸν ἐν Παφλαγονίᾳ οἶκον αὐτῆς ἐξαπέστειλαν, εὐνουχίσαντες καὶ τὸν υἱὸν αὐτῆς. Αὐγούστῳ δὲ μηνὶ Συμεὼν ὁ Βουλγαρίας ἄρχων ἐκστρατεύσας κατὰ Ῥωμαίων σὺν ὄχλῳ βαρεῖ κατέλαβε τὴν Κωνσταντινούπολιν, καὶ δὴ περικαθίσας αὐτὴν χάρακα περιέβαλλεν ἀπό τε Βλαχερνῶν, καὶ μέχρι τῆς λεγομένης πόρτης Χρυσῆς, καὶ ἐλπίσι μετέωρος ὤν, ἀκονιτὶ πάντως ἑλεῖν. ἐπεὶ δὲ (τούτου) τῶν τειχῶν κατέμαθεν ὀχυρότητα, τήν τε ἐκ τοῦ πλήθους καὶ τῶν πετροβόλων ἀσφάλειαν, τῶν ἐλπίδων σφαλεὶς, ἐν τῷ λεγομένῳ Ἑβδόμῳ ὑπέστρεψεν, εἰρηνικὰς σπονδὰς αἰτησάμενος. τῶν δὲ ἐπιτρόπων τὴν εἰρήνην ἀσμενισάντων ἀποδεξαμένων, ἀποστέλλει Συμεὼν Θεόδωρον Μάγιστρον αὐτοῦ συλλαλῆσαι τὰ τῆς εἰρήνης. ἀναλαβόμενος δὲ ὁ Πατριάρχης Νικόλαος, καὶ Στέφανος, καὶ Ἰωάννης Μάγιστρος τὸν βασιλέα ἦλθον μέχρι τῶν Βλα-

* ἀνεχαίτισαν

χειρῶν, καὶ εἰσήγαγον τοὺς δύο υἱοὺς Συμεὼν, καὶ συνεστιάθησαν τῷ βασιλεῖ ἐν τοῖς παλατίοις. Νικόλαος δὲ ὁ Πατριάρχης ἦλθε πρὸς Συμεὼν, ᾧ τινι τὴν κεφαλὴν ὑπέκλινε Συμεών. ἀλλ' εὐχὴν οὖν ὁ Πατριάρχης ποιήσας, ἀντὶ στέμματος τὸ ἑαυτοῦ ἐπιρριπτάριον τῇ ἑαυτοῦ ἐπέθηκε κεφαλῇ· δώροις οὖν ἀμέτροις καὶ μεγίστοις φιλοφρονηθέντες ὅ τε Συμεὼν καὶ οἱ τούτου υἱοὶ εἰς τὴν ἰδίαν χώραν ὑπέστρεψαν ἀσύμφωνοι ἐπὶ τῇ εἰρημένῃ εἰρήνῃ διαλυθέντες. τοῦ βασιλέως οὖν Κωνσταντίνου ἅτε παιδὸς ὄντος, καὶ τὴν ἰδίαν μητέρα ἐπιζητοῦντος, ἤδη γὰρ ταύτην τοῦ παλατίου κατήγαγεν Ἀλέξανδρος ὁ βασιλεὺς, ἀναβιβάζουσι πάλιν αὐτήν. αὕτη οὖν περικρατὴς γενομένη τῆς βασιλείας ἀναβιβάζει εἰς τὸ παλάτιον Κωνσταντῖνον Παρακοιμώμενον, καὶ Κωνσταντῖνον, καὶ Ἀναστάσιον αὐταδέλφους, τοὺς λεγομένους Γογγυλίους, καὶ τῇ βουλῇ Ἰωάννου τοῦ Ἐλαδᾶ καταβιβάζουσι τοὺς οἰκείους Ἀλεξάνδρου βασιλέως Ἰωάννην τὸν Ῥαίκτορα, καὶ τὸν λεγόμενον Γαβριηλόπουλον, καὶ Βασιλίτζην, καὶ τοὺς λοιπούς. προχειρίζεται δὲ Ζωὴ Αὐγούστα Θεοφύλακτον Δομήνικον Ἑταιρειάρχην. Ἰωάννης δὲ ὁ Ἐλαδᾶς νόσῳ περιπεσὼν κατελθὼν ἐκ τοῦ παλατίου, καὶ ἐν Βλαχέρναις παραγενόμενος ὑπὸ τῆς νόσου βαρυνθείσης τελευτᾷ. συμβουλῇ δὲ Δομηνίκου ἅμα τοῖς σὺν αὐτῷ, μετ' ὀργῆς τὰ τῆς ἰδίας * ἐκκλησίας περιποιουμένη, καὶ φροντίζειν εἰποῦσα. τοῦ δὲ Βουλγάρου Συμεὼν τὴν Θρᾴκην πάλιν ληϊζομένου ἐν φροντίδι οὔσης τῆς Αὐγούστης καὶ τῶν ἐν τέλει, ὅπως αὐτὸν τῆς ἀλαζονείας παύσωσιν. ᾐτήσατο Ἰωάννης ὁ Βαγᾶς γενέσθαι Πατριάρχης, ὑποσχόμενος ἀγαγεῖν Πατζινάκους. τῆς αἰτήσεως τυχὼν, δῶρά τε πολλὰ λαβὼν εἰς τὴν τῶν Πατζινάκων χώραν ἀπῄει καὶ δὴ ὁμήρους ἐκεῖθεν λαβὼν, ἤγαγεν ἐν τῇ πόλει, συνθεμένων τῶν Πατζινάκων διαπεράσαι, καὶ τὸν Συμεὼν καταπολεμῆσαι. παρεγένετο δὲ ἐν τῇ πόλει καὶ Ἀσώτιος ἀνὴρ ἐμπειρίᾳ ὀνομαστότατος υἱὸς ὢν τοῦ ἄρχοντος τῶν ἀρχόντων, ὅν φασι σιδηρᾶν ῥάβδον ἐκ τῶν ἄκρων ἑκατέραις χερσὶ κρατοῦντα τῇ ὑπερβαλλούσῃ ἀλκῇ διακάμπτειν, καὶ πρὸς τὸ κυκλικὸν σχῆμα μετάγειν τῆς ἀντιτύπου τοῦ σιδήρου φύσεως τῇ βίᾳ τῶν χειρῶν ὑπεικούσης· ὃν παραγενόμενον μετὰ πολλῆς τιμῆς ὑπεδέξαντο, καὶ πάλιν εἰς τὴν ἰδίαν χώραν ἐξέπεμψαν. Σεπτεμβρίῳ μηνὶ ἰνδικτιῶνος τρίτης Παγκρατούκας ὁ Ἀρμένιος τὴν Ἀδριανούπολιν τῷ Συμεὼν παραδέδωκε. μετ' οὐ πολὺ δὲ ἀπεστάλησαν Βασίλειος Πατρίκιος καὶ Κανίκλης, καὶ Νικήτας Πρωτοσπαθάριος ὁ Ἑλλαδικὸς παρὰ Ζωῆς μετὰ δώρων πολλῶν, καὶ ἀντιπαρέλαβον πάλιν αὐτήν. ἦλθε δὲ καὶ Ἀμηρᾶς εἰς Στρόβυλον νῆσον μετὰ πλοίων πολεμικῶν καὶ πολλῆς δυνάμεως· καὶ ταύτην παρέλαβεν ἂν, εἰ μὴ νοσήσας ἐτελεύτησεν· οἱ δὲ τῆς Ἑλλάδος καὶ τῶν Ἀθηνῶν οἰκήτορες συνεχῶς ἐπηρεαζόμενοι παρὰ Χασὲ υἱοῦ τοῦ Ἰούβη, τὴν αὐτοῦ ἀσωτίαν καὶ ἀπληστίαν μὴ ἐνεγκόντες, λίθοις τοῦτον βάλλοντες, ἀνεῖλον κακῶς ἔνδοθεν τοῦ θυσιαστηρίου τοῦ ἐν Ἀθήναις ναοῦ. βλέπουσα δὲ Ζωὴ ἡ βασίλισσα τὴν ἔπαρσιν Συμεὼν, καὶ τὴν κατὰ τῶν Χριστιανῶν αὐτοῦ ἐπίθεσιν, βουλὴν μετὰ τῶν ἐν τέλει βουλεύεται ἀλλάγιον καὶ εἰρήνην μετὰ τῶν Ἀγαρηνῶν διαπράξασθαι. διαπεράσαι δὲ πάντα τὸν τῆς ἀνατολῆς στρατὸν πρὸς τὸ καταπολεμῆσαι καὶ ἀφανίσαι τὸν Συμεών. ἀπεστάλη οὖν ἐν τῇ Συρίᾳ πρὸς τὸ ποιῆσαι ἀλλάγιον Ἰωάννης Πατρίκιος ὁ Ῥαδηνὸς, καὶ Μιχαὴλ ὁ Τοξαρᾶς πρὸς τὴν Θρᾴκην διεπέρασε, Μαγίστρου Λέοντος τοῦ Φωκᾶ Δομεστίκου τυγχάνοντος. ἐξαγαγόντων δὲ τὰ σεβά-

* ἐπιτελείας περιποιουμένη

ducto, Blachernas usque profecti, filios Simeonis geminos induxerunt in Urbem, qui in Palatiis una cum Imperatore convivati sunt. Nicolao vero Patriarchæ ad Simeonem accedenti, ipse Simeon caput inflexit. Patriarcha igitur super eum orationem fusurus, Stemmatis vice proprium capitis tegumentum ejus imposuit capiti. Donis itaque immensis & quam maximis excepti, Simeon & ejus filii in patriam reversi sunt, ad invicem discordes ob præfatæ pacis conditiones. Constantino igitur Imperatore, ceu puero propriam matrem requirente, eam enim longe prius Alexander Imperator amoverat, rursus in Palatium induxerunt. In hunc modum illa Imperii compos, Constantinum Accubitorem, alium Constantinum, & Anastasium fratres cognomento Gongylios in Palatium accersit, ejectis, Joannis Eladæ consilio, Alexandri Imperatoris domesticis & familiaribus, Joanne Rectore, & Gabrielopulo, & Basilitze, & cæteris. Zoe autem Augusta Theophylactum Dominicum Hetæriarcham instituit. Joannes autem Eladas morbo correptus & Palatio digressus, cum ad Blachernas appulisset, morbo ingravescente moritur. Dominici porro & ejusdem mentis hominum consilio cum animi elatione Ecclesiæ (Reipublicæ) administrationem sibi arrogabat Zoe & curare se jactabat. Simeone vero Bulgarorum Principe Thraciam iterum devastante, Augusta & Imperii Proceres de ejus jactantia reprimenda & placanda erant solliciti. His cognitis Joannes Bagas expetiit Patriarchæ dignitatem, & si postulata consequeretur, Patzinaces adducturum se pollicebatur: delatisque secum muneribus in Patzinacam regionem profectus est. Obsidibus inde abductis, cum illis in Urbem appulit: Patzinacibus trajicere jam pollicitis, & Simeonem debellare. Accessit etiam ad Urbem Asotius, vir peritia nominatissimus Principis Principum filius, quem virgam ferream duabus extremitatibus apprehensam tenentem ob robur invictum inflexisse, & ad circularem figuram traduxisse narrant, ferri duritie renitentiaque naturali robori manuum obsequuta. Eum advenientem multo cum honore exceperunt, & pari congratulatione in propriam regionem iterum remiserunt. Septembri mense, indictionis tertiæ, Pancrutucas Armenius Adrianopolim Simeoni prodidit. Haud diu post, Basilius Patricius, & Canicles, & Nicetas Protospatharius Helladicus cum donis multis ad Simeonem missi sunt, qui urbem iterum in suam potestatem receperunt: In Strobylum etiam insulam Ameras, bellicis navibus plurimis, virtuteque non modica instructus appulit: eamque cepisset, nisi lapsus in morbum obiisset. Græciæ autem & Athenarum incolæ continuis a Chase filio Jobæ damnis affecti ejus luxum & inexplebilem cupiditatem ferre non valentes, lapidibus obrutum ad ipsum Athenarum templi penetrale male peremerunt. Imperatrix vero Zoe, cognita Simeonis superbia, & ejusdem odiis adversum Christianos non ignotis, habito cum Optimatibus consilio, fœdus & pacem cum Agarenis componendam statuit, totumque Orientis exercitum ad debellandum & delendum Simeonem traducendum. Missus est autem in Syriam ad fœdus ineundum Joannes Patricius Radenus: Michael vero Toxaras in Thraciam trajecit, Magistro Leone Phoca Domestici munus obeunte.

Edit. Paris. pag. 491.

Eductis autem venerabilibus & vivificis lignis a Constantino Palatii sacerdote primore, Cephala dicto, & a Constantino e Malelia Thracica cuncti in terram prostrati, data juramenti fide se pro invicem commorituros, cum universis copiis in Bulgaros irruperunt. Præerant autem Excubiti turmæ Joannes Grapson, Icanati, Marulis filius: Romanus autem Argyrus, & Leo ejus frater, & Bardas Phocas, quibus aderat Melias cum Armeniis, & aliorum Thematum Præfecti, totum exercitum ducebant. Una cum aliis Constantinus etiam Patricius Libs Leoni Domestico junctus erat, & datus negotiorum omnium consiliarius. Mensis itaque Augusti die vicesimo, indictione quinta, ad Acheloum fluvium Bulgaros inter & Romanos bellum commissum est, & ut se habent Dei judicia, quæ omnino inscrutabilia & impervestigata, Romanorum copiæ omnes in fugam vertuntur: facta est, inquam, fuga & ululatus horrore plenus, aliis alios conculcantibus, plurimis etiam ab hostibus interfectis, eaque strages hominum edita, qualis a sæculo nusquam audita est. Leo Domesticus in Mesembriam fugiens salutem nactus est: Constantinus autem Libs, & Joannes Grapson & Procerum alii quam plurimi interfecti sunt. Eodem tempore Romanus Patricius & navalis Drungarius cum omni classe ad Danubium fluvium, Leoni Phocæ suppetias laturus, missus est. Romano vero & Joanne Badæ filio in contentiones & verborum pugnas lapsis, Patzinaces ab invicem divisos & inter se disceptantes conspicati, ad propria redierunt: bellumque ejusmodi finem consequutum est. Romano vero & Baga in Urbem reversis, de eorum dissidio quæstio mota est: & in illud periculi Drungarium Romanum adduxerunt, ut adversam privationis oculorum sententiam in eum tulerint, quasi ejus incuria, magis autem animi pravitate, non trajecissent Patzinaces: ac licet fuga non fuissent usi, sensim tamen subduxissent se, quod navigiis eos non recepisset. Mulctam vero fuisset passus, nisi a Constantino Congyle & Stephano Magistro plurima apud Augustam auctoritate pollentibus in contrarium versa esset sententia. Bulgaris tunc victoria elatis, & ad Urbem usque copias educentibus, obviam processit Scholarum Domesticus Leo, & Joannes Hetæriarcha & Ducis filius Nicolaus ad eam Thraciæ regionem, cui nomen Catasyrtas, una cum copioso exercitu adversus Bulgaros instructo. Nocte autem ex inopinato irruentibus in eos Bulgaris, Domestico fugam capiente, Nicolaus Ducis filius, & cum eo alii plurimi interfecti sunt. Theodorus itaque Imperatoris Constantini Pædagogus Constantinum Accubitorem in Leonem proprium generum Imperium transferre meditantem animadvertens, suggessit Imp. Constantino, ut Romanum paternum famulum sibique benevolentia conjunctum crearet Drungarium, ut semper adesset auxilio, servaret incolumem, & in omnibus, quibus opus foret, adjutorem & socium haberet. De his frequenter sermonem habente renitentem se præbebat Romanus. Quare Constantinus libellum propria manu exaratum, subscriptione firmatum ad eum transmisit: quem cum manibus accepisset, Constantinum Accubitorem & ejus consanguineos aggressurum se, cum opus foret, pollicitus est: fama igitur istiusmodi ubique

Edit. Paris. pag. 492. — *pag. 493.*

A σμια καὶ ζωοποιὰ ξύλα Κωνσταντίνου τοῦ Πρωτοπαπᾶ τοῦ παλατίου, τοῦ Κεφαλᾶ λεγομένου, καὶ Κωνσταντίνου τῆς Μαλελίας ἐν τῇ Θρᾴκῃ, ἅπαντες προσκυνήσαντες καὶ ἐπομοσάμενοι συναποθνήσκειν ἀλλήλοις πανστρατὶ κατὰ Βουλγάρων ἐξώρμησαν. ἦρχον δὲ τοῦ μὲν τάγματος τῶν Ἐξσκουβίτων, Ἰωάννης ὁ Γράψων, τοῦ Ἰκανάτου, ὁ τοῦ Μαρούλη υἱός. Ῥωμανὸς δὲ ὁ Ἀργυρὸς ἐστρατήγει, καὶ Λέων ὁ ἀδελφὸς αὐτοῦ, καὶ Βάρδας ὁ Φωκᾶς, οἷς συνῆν καὶ ὁ Μελίας μετὰ τῶν Ἀρμενίων, καὶ οἱ ἄλλοι πάντες στρατηγοὶ τῶν θεμάτων. συνῆν δὲ πρὸς τοῖς ἄλλοις καὶ Κωνσταντῖνος Πατρίκιος ὁ Λὶψ Λέοντι Δομεστίκῳ * συμβούλῳ αὐτοῦ ἐν πᾶσι τοῖς ἀνήκουσιν ὤν. μηνὶ τῷ Αὐγούστῳ εἰκάδι ἰνδικτιῶνος πέμπτης ὁ πόλεμος μεταξὺ Βουλγάρων τε, καὶ Ῥωμαίων πρὸς τῷ Ἀχελῴῳ συγκεκρότητο ποταμῷ, καὶ οἷα τοῦ Θεοῦ κρίματα, ὡς ἀνεξερεύνητα καὶ ἀνεξιχνίαστα, τρέπονται Ῥωμαῖοι πανστρατί· καὶ γέγονε φυγὴ, καὶ φρικώδης ὀλολυγὴ, τῶν μὲν ὑπ' ἀλλήλων συμπατουμένων, τῶν δὲ ὑπὸ τῶν πολεμίων ἀναιρουμένων· αἵματος δὲ χύσις, οἷα ἐξ αἰῶνος οὐ γέγονε. Λέων δὲ ὁ Δομέστικος ἐν Μεσημβρίᾳ διεσώθη φυγών. ἐσφάγη δὲ Κωνσταντῖνος ὁ Λὶψ, καὶ Ἰωάννης ὁ Γράψων, καὶ ἄλλοι τῶν ἀρχόντων ἱκανοί. ἀπεστάλη δὲ τότε καὶ Ῥωμανὸς Πατρίκιος καὶ Δρουγγάριος τοῦ πλοΐμου μετὰ παντὸς τοῦ στόλου ἐν τῷ Δανουβίῳ ποταμῷ βοηθήσων Λέοντι τῷ Φωκᾷ. Ῥωμανοῦ δὲ καὶ Ἰωάννου τοῦ Βαρδᾶ εἰς ἔριδας καὶ λογομαχίας ἐλθόντων, ὁρῶντες αὐτοὺς οἱ Πατζινάκοι πρὸς ἀλλήλους διαμαχομένους καὶ στασιάζοντας, ὑπεχώρησαν εἰς τὰ ἴδια, τοῦ πολέμου τέλος λαβόντος. ὑποστρεψάντων * ἐν τῇ πόλει τότε Ῥωμανοῦ καὶ τοῦ * Βαγᾶ, τὰ κατ' αὐτῶν ἐκινήθη, καὶ εἰς τοσοῦτον κίνδυνον τὸν Δρουγγάριον Ῥωμανὸν περιέστησαν, ὥστε καταδικάζουσαν ψῆφον ἀνενεγκεῖν τῶν ὀφθαλμῶν στερηθῆναι, ὡς ἀμελείᾳ, μᾶλλον δὲ κακουργίᾳ μὴ διαπεράσαι τοὺς Πατζινάκους, ἀλλ' ὑποχωρήσαντας τάχιον, καὶ μηδὲ φεύγοντας, ἐν τοῖς πλοίοις ὑποδεξάμενον. καὶ τοῦτο ἂν ἐπεπόνθει, εἰ μὴ ἀπὸ Κωνσταντίνου τοῦ Γογγύλη, καὶ Στεφάνου Μαγίστρου, ὡς δυναμένων παρὰ τῇ Αὐγούστῃ, τὰ τῆς καταδίκης ἀνετράπη. τῶν δὲ Βουλγάρων τῇ νίκῃ κατεπαρθέντων, καὶ ἐκστρατευσαμένων μέχρι τῆς πόλεως, ἐξῆλθε Λέων Δομέστικος τῶν σχολῶν, καὶ Ἰωάννης Ἑταιρειάρχης, καὶ Νικόλαος υἱὸς τοῦ Δουκὸς εἰς χώραν Θρᾳκῴαν, οὕτω λεγόμενον Κατασύρτας, ἅμα πλείστῳ λαῷ κατὰ Βουλγάρων. τῇ δὲ νυκτὶ ἀδοκήτως ἐπιπεσόντων αὐτοῖς τῶν Βουλγάρων, καὶ τοῦ Δομεστίκου φυγόντος, ἐσφάγη ὁ Νικόλαος ὁ υἱὸς τοῦ Δουκὸς, καὶ πολλοὶ ἕτεροι μετ' αὐτοῦ. Θεόδωρος οὖν ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγὸς ὁρῶν Κωνσταντῖνον Παρακοιμώμενον εἰς Λέοντα τὸν ἴδιον γαμβρὸν τὴν βασιλείαν σφετεριζόμενον, ὑπέθηκε Κωνσταντίνῳ τῷ βασιλεῖ Ῥωμανὸν Δρουγγάριον προβαλλέσθαι, ὡς πατρικὸν αὐτοῦ δοῦλον καὶ εὔνουν τὰ πρὸς αὐτὸν, ὡς ἂν ᾖ σὺν αὐτῷ, καὶ * διαφυλάττει αὐτῷ, ἐν οἷς ἂν δέῃ σύμμαχον ἔχειν καὶ βοηθόν. πολλάκις οὖν περὶ τούτου λαληθεὶς, Ῥωμανὸς ἀπείπατο. γραμμάτων ὑπὸ βασιλέως Κωνσταντῖνος διαχαράξας γραφῇ, καὶ ὑπογραφῇ διασφαλισάμενος ἀπέστειλεν αὐτῷ. ὅπερ αὐτὸς ἐπὶ χεῖρας λαβὼν, ὑπέσχετο τὴν τοῦ Παρακοιμωμένου Κωνσταντίνου καὶ τῶν συγγενῶν αὐτοῦ ἐπίθεσιν, ὡς δέοι ποιήσασθαι. τῆς φήμης οὖν ταύτης διαθεούσης, καὶ τοῦ Παρακοιμωμένου Κωνσταντί-

* συμβούλων
* δὲ
* Superius Βαδᾶ
* διαφυλάττειν αὐτόν, καὶ

τι καταναγκάζοντος Ῥωμανὸν κινῆσαι μετὰ στόλου, αὐτὸς προεφασίζετο, ὡς ἀδυνάτως ἔχειν τοῦ ἀποπλεῖν, μὴ τοῦ στόλου τὴν ἐντεταγμένην ῥόγαν λαβόντος. ἐν τῇ ἐξαρτήσει δὲ ὄντος τοῦ Ῥωμανοῦ, καὶ τὰ πλοῖα εὐτρεπίζοντος, ἐξῆλθε Κωνσταντῖνος Παρακοιμώμενος, ὡς ἐπισπουδάσων αὐτὸν τοῦ ἐκπλεῦσαι. ὁ δὲ δουλικῷ σχήματι προϋπήντησε, καὶ προθυμοποιήσειν τὰ κελευόμενον ἐπηγγέλλετο. ὑποστρέψαι δὲ βουλομένου τοῦ Παρακοιμωμένου, καὶ εἰ ἔχει ἄνδρας εὐειδεῖς καὶ γενναίους ἐπιτηδείως τὴν βασιλικὴν ἐρέττειν τριήρη εἰπόντος πρὸς Ῥωμανὸν, οὗτος εὐθὺς ἐκέλευσε τούτους τῇ χειρὶ ἑτοίμους * σύσσῃ πλησίον ἐλθεῖν. οἱ δὲ τὰ τῆς βουλῆς εἰδότες, ἔγγιστα ἤδη τοῦ Δρόμωνος Ῥωμανοῦ γεγονότες, ἥρπασαν αὐτὸν ταῖς χερσὶ, καὶ ἄραντες αὐτὸν, ἐφώνησαν. παραχρῆμα οὖν τοῦτον ἁρπάσαντες εἰς τὴν τοῦ Δρουγγαρίου Ῥωμανοῦ τριήρη εἰσήγαγον, καὶ ἐν ἀσφαλείᾳ κατεῖχον. οὐδεὶς οὖν ὁ ὑπερασπίζων ἦν πάντων τῶν συνόντων * αὐτῶν χρησαμένων φυγῇ. ταῦτα Ζωὴ Αὐγοῦστα μαθοῦσα προσκαλεῖται τὸν Πατριάρχην Νικόλαον, καὶ τοὺς αὐτῆς μεγιστᾶνας, καὶ ἀποστέλλει πρὸς Ῥωμανὸν τὸ γεγονὸς βουλομένη μαθεῖν. τούτων δὲ διαπερασάντων, λίθοις ὁ λαὸς αὐτοὺς ἐξήλασε. ἕωθεν οὖν ἐξελθοῦσα Ζωὴ ἐν τῷ τοῦ Βουκολέοντος ἡλιακῷ, ἐπεφώνει τῷ υἱῷ καὶ πᾶσι· πῶς ἄρα γέγονεν ἡ ἀνταρσία αὕτη; ἔφησε δὲ πρὸς αὐτὴν ὁ παιδαγωγὸς τοῦ βασιλέως Κωνσταντίνου Θεόδωρος· ὅτι διὰ τὸ ἀπολέσαι Λέοντα τὸν Φωκᾶν τοὺς Ῥωμαίους, καὶ Κωνσταντῖνον Παρακοιμώμενον τὸ παλάτιον, ταῦτα γεγόνασι. προσελάβετο δὲ ὁ βασιλεὺς Νικόλαον τὸν Πατριάρχην καὶ Στέφανον Μάγιστρον συνεῖναι αὐτῷ ἐν τῷ παλατίῳ, τὴν ἐξουσίαν εἰς ἑαυτὸν ἀπὸ τῆς μητρὸς * ἐπισπώμενον. τῇ δ' ἐπαύριον ἀπέστειλε Ἰωάννην τὸν Τρουβαλὴν Ζωὴν Αὐγοῦσταν τοῦ παλατίου καταβιβάσαι. ἡ δὲ μετ' ὀλολυγῆς δακρύων τῷ ἑαυτῆς προσπλακεῖσα υἱῷ, πρὸς συμπάθειαν μητρικὴν καὶ οἶκτον ἐκίνησεν, ὡς τὸν βασιλέα εἰπεῖν· ἐάσατε μετ' ἐμοῦ εἶναι τὴν μητέρα μου. οἱ δὲ ταύτην ἅμα τῷ λόγῳ ἀφῆκαν. προσκαλεσάμενοι δὲ ὅ τε βασιλεὺς καὶ ὁ Πατριάρχης Ἰωάννην τὸν Γαριδᾶν προεβάλοντο Δομέστικον τῶν σχολῶν, δεδιότες μὴ εἰς ἀνταρσίαν χωρήσῃ ὁ Φωκᾶς Λέων. ὁ δὲ οὐ κατένευε τοῦτο γενέσθαι, εἰ μὴ Θεόδωρον γυναικάδελφον αὐτοῦ τὸν Ζευφινέζερ καὶ Συμεῶνα τὸν υἱὸν αὐτοῦ προεβάλλετο Ἑταιρειάρχην. ὅρκοις οὖν βεβαιωθεὶς ὑπ' αὐτῶν κατῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ. οἱ δὲ παραυτίκα τοὺς συγγενεῖς αὐτοῦ τοῦ παλατίου καταβιβάζουσι. τούτων οὖν πρὸς αὐτὸν παραγεγονότων, ὡς ἐθεάσατο αὐτοὺς, τρόμος αὐτὸν ἔλαβε καὶ φρενῶν ἔκστασις. εὐθὺς οὖν ἐξῆλθε πρὸς Ῥωμανὸν, καὶ διηγήσατο αὐτῷ οἷα πέπονθε. συμφιλιωθεὶς οὖν αὐτῷ, καὶ ὅρκους δοὺς καὶ λαβὼν, ὥστε μίαν ἔχειν ἀμφοτέρους ψυχὴν, σύμφρων αὐτοῦ καὶ σύμπνους ἐγένετο, ὥστε καὶ γαμικὸν συνάλλαγμα ποιήσασθαι συνεφώνησε, πλέον ἵνα τοῦτον τὸν τῆς ἀγάπης δεσμὸν * ἐπισφίγγωσι. τῇ εἰκάδι οὖν τετάρτῃ τοῦ Μαρτίου μηνὸς ἀποστέλλει Ῥωμανὸς πρεσβύτην αὐτοῦ οἰκεῖον καὶ πιστότατον ὄντα, καὶ Θεόδωρον, τὸν Ματζούκην λεγόμενον, εἰς τὸ παλάτιον, ὑπεραπολογησαμένους. ὡς οὐκ ἀνταρσία γέγονε τὸ παρ' ἐμοῦ διαπραχθὲν, ἀλλὰ τὴν τοῦ Φωκᾶ ἐπίθεσιν ὑφορώμενος, καὶ δεδιὼς μή τι καινοτομηθείη παρ' αὐτοῦ εἰς τὸν βασιλέα, τούτου ἕνεκεν εἰσελθεῖν ἐν τῷ παλατίῳ βεβούλευμαι, καὶ τὴν φυλακὴν ποιεῖ-

* ἔσται

* αὐτῷ

* ἐπισπώμενος

* ἐπισφίγγων

sparsa, & Constantino Accubitore Romanum, ut cum classe moveret, impellente, ipse in contrarium difficilem classis expeditionem, statuto militibus stipendio nondum exhibito, prætexere: Romano vero expeditionem instruente & classem præparante, processit Constantinus Accubitor, ut classem solveret, animum suggesturus. Ipse autem servili habitu occurrit, & mandata promptius se exequuturum pollicitus est. Accubitore deinde regredi parato, & num vultu speciosos animisque fortes viros haberet, qui regiam triremem remis impellerent, Romanum interrogante: confestim ille quosdam manus movere jam dispositos, ad se propius accedere jussit. Illi rei gerendæ conscii jamque Romani Dromoni quam vicini manibus eum rapuerunt, &, Tollite illum; vociferati sunt. Derepente igitur sublatum in Drungarii Romani triremem imposuerunt, & tenuerunt sub custodia, nullo comitum ejus propugnare vel defendere auso: quinimo cunctis fuga turpiter lapsis. Istis ad Zoem Augustam delatis, illa Nicolaum Patriarcham & Optimates sibi bene affectos advocat, & ad Romanum mittit de rerum omnium gestarum ordine certior fieri sollicita. Illos vero ad eam proficiscentes, lapidibus missis populus infectabatur. Postridie itaque egressa Zoe ad Solare Bucoleontis horologium, filio & universis inclamabat: Quomodo rebellio hæc contigit? Ait ad illam Theodorus Constantini Imperatoris Pædagogus: quod Leo Phocas Romanos perdiderit, & Constantinus Accubitor subverterit Palatium, contigerunt hæc. Imperator autem revocatam a matre, & ad se translatam Imperii potestatem omnem declaravit, & Nicolaum Patriarcham, Stephanumque Magistrum in Palatio sibi adesse mandavit. Sequenti luce Joannem Tubacem, qui Zoem Augustam e Palatio detruderet, misit. Illa cum ejulatu & lachrymis filium compleса ad maternam compassionem & dolorem movit: adeo ut Imperator diceret; Matrem meam mecum esse finite. Illi solo verbo petitam dimiserunt. Imperator autem & Patriarcha Joannem Garidam ad se vocatum Scholarum Domesticum esse jusserunt, veriti ne Phocas Leo in rebellionem deficeret. Renuit ille munus subire, nisi Theodorum Levirum Zaphinezeris filium & Simeonem ejus filium Hetæriarchem crearet. Juramentis igitur certior factus, in domum suam profectus est. Illi confestim consanguineos ejus e Palatio deturbant, quos ad se confluentes ut Garidas conspexit, inusitato timore, mentisque stupore insolito correptus est. Confestim itaque Romanum adit, & quæ passus fuerat, exponit. Inita mox cum eo amicitia, & juramentis hinc inde datis & acceptis, & ut mentem unam haberent ad invicem polliciti, Romani propositum sequebatur, & consilium obibat: & ut eum strictiori amoris nexo devinciret, mutuo nuptiarum fœdere contracto, virum sibi promeruit. Mensis igitur Martii quarto supra vicesimum, Domesticum quemdam sibi fidissimum & Theodorum cognomento Matzucem Romanus in Palatium legatos mittit, qui pro defensione, loquerentur: Non hæc rebellio, quod a me gestum est, sed Phocæ molimina veritus, & ne circa Imperatorem aliquid innovetur timens, idcirco Palatium ingredi consilior, & custodiam Imperatoris gerere. His Nicolao Patriarcha non acquiescente a

Edit. Paris. pag. 494.

Theodoro, Pædagogo dicto *, significatum est Romano, ut cum omni classe ad Bucoleontem appelleret, & ejus sociis ipse consilium haberet: In magnam quippe animi anxietatem venerat. Annunciationis Sanctissimæ Deiparæ die, hebdomadis porro quintus erat, Romanus una cum classe armis instructus ad Bucoleontem appulit, & confestim Stephanus Magister e Palatio egressus est. Nicetas autem Patricius Romani consocer in Palatium profectus, Nicolaum Patriarcham inde dejecit. Aulicorum animis Romani jusjurando firmatis, & veneranda cruce ad eum missa, ipse eam adorans, & interposito sacramento, mentis propositum obvelans, ipse cum eisdem paucisque suis Imperatori reverentiam exhibiturus in Palatium conscendit, & cum eo templum quod in Pharco est, ingressus, data securitatis fide, Magister & magnus Hetæriarcha ab Imperatore confestim creatur. Eodemque momento sacrum mandatum ad Leonem Phocam missum, quo relicto seditionis commovendæ proposito, ad modicum tempus domi se contineret, injungebatur. Eum in senium aliæ litteræ ad Constantinum Accubitorem scribi jussæ sunt, rem eamdem, & ne quid in adversum moliatur, sed Imperatore Constantino obsequens perseveret, commendantes. Sacras acceptas Andreas Imperatoris vestiarii Primicerius ad eum in Cappadocia, tunc forte repertum, detulit, quibus lectis, domum propriam se recipiens, quietem egit. Sacrorum autem jejuniorum quinta hebdomade, mense Aprili Helenæ Romani filiæ contractus nuptialis arrha a Constantino Imperatore traditur, & tertia Paschatis feria, Galileæ dicta, benedicitur: & cum ea nuptialibus corollis redimitur a Nicolao Patriarcha, tuncque Romanus Imperatoris pater declaratur: & Romani vice Christophorus ejus filius Hetæriarches instituitur. Haud multo post, Leo Phocas a populo seductus, & a nonnullis Procerum & legionum ei commendatarum militibus motus, tumultum excitavit, missoque nuncio Constantinum Accubitorem, Constantinumque alterum, & Anastasium fratres, & Constantinum A secretis Malellæ filium sibi ascivit, hoc cunctis insinuans & persuadens, motum omnem pro Imperatoris Constantini obsequio excitari. Romanus autem Imperatoris Pater Bullis aureis tabulas insignitas & subscriptione firmatas, velut Imperatoris nomine facinus hujusmodi attentatum repressuras edidit: quibus jubebatur, ut Phoca deserto, qui ad Imperatoris partes transirent, pro Imperatore stare censerentur: easdem vero Annæ cuidam impudentis oris & profligatæ castitatis mulieri Clericoque cuidam Michaeli, ut per adversarium exercitum spargerent, commendavit. Illi receptas litteras per omnem exercitum distribui curarunt: & Michael quidem in rei gestæ suspicionem veniens, crudeliter acceptus a Phoca, naribus & auribus præcisis mulctatus est, qui postmodum congruam a Romano consecutus est vicissitudinem, & pariter ea, quæ cum eo missa fuerat, mulier. Qui primus Phocam deseruit, & in Romani partes transiit, Barymichaelis filius extitit cladis adversæ & in contrarias partes seditionis & tyrannidis auctor: Comitem se præbuit Balantius, ambo turmarum præstantes Præfecti. Leo Phocas vero cum exercitu omnium armorum genere fortiter instructo, Chrysopolim profectus,

Edit. Paris. pag. 495.

A θαι τοῦ βασιλέως. μὴ συνευδοκοῦντος δὲ Νικολάου Πατριάρχου * τούτῳ, ἐμηνύθη Ῥωμανῷ παρὰ Θεοδώρου τοῦ ῥηθέντος παιδαγωγοῦ ἐλθεῖν μετὰ στόλου παντὸς μέχρι Βουκολέοντος· ὃς μετὰ τῶν σὺν αὐτῷ βουλευσάμενος· * τὸ γὰρ ἀγῶνα εἶχεν αὐτόν· τῇ ἡμέρᾳ τοῦ εὐαγγελισμοῦ τῆς ὑπεραγίας Θεοτόκου, πέμπτη δὲ ἦν, ἦλθεν ἅμα τῷ στόλῳ ἔνοπλος ἐν τῷ Βουκολέοντι. καὶ παρελθοῦ μὲν Στέφανος Μάγιστρος ἐξῆλθε τοῦ παλατίου· Νικήτας δὲ Πατρίκιος ὁ συμπενθερὸς Ῥωμανοῦ ἀπελθὼν ἐν τῷ παλατίῳ, ἐξήγαγεν ἐκεῖθεν τὸν Πατριάρχην Νικόλαον. ὅρκοις οὖν βεβαιωθέντες οἱ τοῦ παλατίου παρὰ Ῥωμανοῦ, ἀπέστειλαν αὐτῷ τὸν τίμιον σταυρὸν, καὶ προσκυνήσας αὐτὸν, καὶ ὅρκῳ βεβαιώσας B αὐτοὺς, ἀπῆλθε μετ' αὐτῶν ἐν τῷ παλατίῳ καὶ ὀλίγων τινῶν προσκυνήσας τὸν βασιλέα. καὶ εἰσελθὼν μετ' αὐτοῦ ἐν τῷ ναῷ τῷ ἐν τῷ Φάρῳ, καὶ πίστεις αὐτῷ δοὺς παρ' αὐτοῦ προχειρίζεται παρ' αὐτοῦ Μάγιστρος καὶ μέγας Ἑταιρειάρχης. αὐτίκα γοῦν γέγονε θεία κέλευσις πρὸς Λέοντα τὸν Φωκᾶν παρεγγυωμένη μηδαμῶς στάσιν τινὰ ἐννοῆσαι, ἀλλὰ πρὸς ὀλίγον ἐν τῷ ἰδίῳ * οἴκει ἀναπαύεσθαι. ὡσαύτως καὶ γράμματα ἐστάλησαν Κωνσταντίνῳ Παρακοιμωμένῳ, γράψαι τὰ ὅμοια αὐτῷ παραγγέλλοντα. καὶ μηδὲν ἐναντίον βουλεύσασθαι· ἀλλ' ἐν ὑποταγῇ εἶναι τοῦ βασιλέως Κωνσταντίνου. ἀναλαβόμενος ταῦτα Ἀνδρέας Πριμικήριος τοῦ βασιλικοῦ Βεστιαρίου ἀπεκόμισεν αὐτῷ ταῦτα ἐν Καππαδοκίᾳ ὄντι, καὶ ἀναλεξάμενος ταῦτα, ἀπελ- C θὼν ἐν ἰδίῳ, ἡσύχαζε. τῇ δὲ πέμπτῃ ἑβδομάδι τῶν ἁγίων νηστειῶν Ἀπριλλίῳ μηνὶ, δίδοται ἀρραβὼν γαμικῶν συναλλαγμάτων παρὰ Κωνσταντίνου βασιλέως Ἑλένῃ τῇ θυγατρὶ Ῥωμανοῦ, καὶ τῇ τρίτῃ τοῦ Πάσχα τῇ λεγομένῃ τῆς Γαλιλαίας εὐλογεῖται καὶ στεφανοῦται ἅμα αὐτῷ παρὰ Νικολάου Πατριάρχου Ῥωμανὸν βασιλεοπάτορα προβαλλόμενος, ἀντ' αὐτοῦ Ἑταιρειάρχην κατέστησε. μετ' οὐ πολὺ Λέων ὁ Φωκᾶς μετὰ λαοῦ πλείστου ἀπατηθεὶς παρά τε τινῶν ἀρχόντων καὶ τῶν αὐτοῦ ταγμάτων πρὸς ἀνταρσίαν κινεῖται, καὶ ἀποστείλας ἀνελάβετο εἶναι σὺν αὐτῷ τόν τε Παρακοιμώμενον Κωνσταντῖνον, καὶ Κωνσταντῖνον, καὶ Ἀναστάσιον τοὺς ἀδελφοὺς, καὶ Κωνσταντῖνον Ἀσηκρῆτις τοῦ D Μαλελίας, πληροφορῶν ἅπαντας καὶ βεβαιῶν, ὡς ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τὴν τοιαύτην ποιῆσαι συγκίνησιν. Ῥωμανὸς δὲ ὁ βασιλεοπάτωρ χρυσοβούλλια ποιήσας ἐνυπόγραφα, ὡς ἐκ προσώπου τοῦ βασιλέως Κωνσταντίνου τὴν τοιαύτης ἐπιβουλῆς ἀνατροπὴν περιέχοντα, καὶ ὡς οἱ τὸν Φωκᾶν καταλιμπάνοντες, τῷ βασιλεῖ δὲ προσφεύγοντες, ὑπὲρ τοῦ βασιλέως εἰσί. δοὺς Ἄννῃ τινὶ γυναικὶ ἀναιδεῖ καὶ θρασείᾳ, καὶ κληρικῷ τινὶ Μιχαὴλ, ἐν τῷ αὐτῷ στρατοπέδῳ ἐξέπεμψεν. οἱ δὲ ταῦτα ἀναλαβόμενοι, ἔστειλαν παντὶ τῷ στρατῷ. καὶ ὁ μὲν Μιχαὴλ φωραθεὶς, παρὰ τοῦ Φωκᾶ ἀνηλεῶς τυφθεὶς, * τὴν τε ῥῖνα, καὶ τὰ ὦτα ἀπετμήθη· ὃς μετὰ ταῦτα πα- E ρὰ Ῥωμανοῦ τῆς προσηκούσης ἔτυχεν ἀμοιβῆς· ὡσαύτως καὶ ἡ σὺν αὐτῷ σταλεῖσα γυνή. πρῶτος ὁ υἱὸς τοῦ Βαρυμιχαὴλ καταλιπὼν τὸν Φωκᾶν τῷ Ῥωμανῷ προσέδραμεν, ἀρχηγὸς γεγονὼς καταλύσεως τῆς τοιαύτης ἀνταρσίας καὶ τυραννίδος· σὺν αὐτῷ δὲ ὁ Βαλάντιος, Τουρμάρχαι ὄντες ἀμφότεροι. Λέων δὲ ὁ Φωκᾶς μετὰ λαοῦ πλείστου ἰσχυρῶς καθωπλισμένου ἐν Χρυσοπόλει καταλαβὼν

* καὶ [illegible] γῶν

* οἴκῳ

* τάς τε ῥῖνας

βῶν, διέστηξε παρατάξεις ἀπὸ τῆς λιθίνης Δαμάλεως μέχρι Χαλκηδόνος πρὸς τὸν ἐν τῇ πόλει φόβον. ἀποστέλλεται οὖν μετὰ δρόμωνος παρὰ Ῥωμανοῦ Συμεὼν ὁ ἐπὶ Κανικλείου λόγον ἐνυπόγραφον τοῦ βασιλέως Κωνσταντίνου ἐπιφερόμενος τάδε διαγορεύοντα· ὡς ἐγὼ φύλακα τῆς ἐμῆς βασιλείας ἐγρηγορώτατον καὶ πιστότατον οὐδένα τῶν ὑπὸ χεῖρα ἢ Ῥωμανὸν εὑρηκὼς τούτῳ τὴν ἐμὴν φυλακὴν, μετά γε Θεὸν, ἀνεπίστευσα, καὶ ἀντὶ πατρὸς αὐτὸν ἔχειν ἔκρινα, σπλάγχνα μητρικὰ, καὶ διάθεσιν γονικὴν πρὸς ἐμὲ ἐνδειξάμενον· Λέοντα δὲ τοῦτον τὸν Φωκᾶν ἀεὶ τῇ ἐμῇ βασιλείᾳ ὑποπτεύων ἐπιβουλεύειν, νῦν ἔργοις αὐτοῖς ἐπίβουλον εὕρηκα καὶ τῆς ἐμῆς ἀρχῆς τυραννικῶς * κατεξανιστάμενον· διὸ οὔτε Δομέστικον αὐτὸν ἀπὸ τοῦ νῦν εἶναι βούλομαι, οὐδὲ ταύτην τὴν ἀνταρσίαν μετὰ βουλῆς ἐμῆς πεπραχέναι, φημί. ἀλλ' αὐθαιρέτῳ γνώμῃ ταύτην ποιήσασθαι τὴν ἐπίθεσιν ἑαυτῷ τὴν βασιλείαν σφετεριζόμενον. τούτου οὖν τῷ λαῷ ἐπαναγνωσθέντος, ἤρξαντο πάντες ὑποχωρεῖν, καὶ τῷ βασιλεοπάτορι προσέρχεσθαι Ῥωμανῷ. τοῦ δὲ Φωκᾶ εἰς ἀμήχανον περιστάντος καὶ ἀπογνόντος, ὡς πάσης ἐλπίδος ἐστερηκότος καὶ χρησαμένου φυγῇ, καὶ πρὸς τὸ ἄστρον ἀπογνόντος ἀτελῶς παραγενομένου, καὶ μὴ δεχθέντος· ἐν χωρίῳ δὲ ὀνομαζομένῳ Γοηλέοντι * φυγόντι συλληφθέντος. ἀπέστειλε Ῥωμανὸς Ἰωάννην τὸν Τουβάκην, καὶ Λέοντα τὸν αὐτοῦ συγγενῆ, ὥστε εἰσαγαγεῖν αὐτὸν ἐν τῇ πόλει. οἱ δὲ τοῦτον κρατήσαντες ἀπετύφλωσαν, αὐτοὶ μηδεμίαν παρὰ τούτου δεξάμενοι ἐντολὴν, ἀλλ' αὐθαιρέτῳ γνώμῃ τοῦτο πεποιηκότες, ὡς ἀγανακτῆσαι ἐπὶ τούτῳ καὶ βασιλεοπάτορα Ῥωμανόν. Αὐγούστῳ δὲ μηνὶ ἀπεμηνύθη τὰ τῆς ἐπιβουλῆς Κωνσταντίνου Κτηματηνοῦ, καὶ Δαβὶδ Καμουλιανοῦ, καὶ Μιχαὴλ Κουράτορος τῶν Μαγγάνων· καὶ τυφθέντες οὗτοι καὶ δημευθέντες, διὰ μέσης διῆλθον τῆς πόλεως, καὶ ἐν ἐξορίᾳ παρεπέμφθησαν. ἤγαγον δὲ Λέοντα Μάγιστρον καὶ Δομέστικον τῶν σχολῶν ἐν τῇ πόλει, καὶ διῆλθεν ἐν μέσῃ τῇ ἀγορᾷ ἡμιόνῳ ἐφεζόμενος. ἐφωράθη δὲ καὶ Ζωὴ Αὐγοῦστα ἐπιβουλεύουσα Ῥωμανῷ διὰ * πεφαρμαγμένων βρωμάτων ὑπὸ Θεοκλήτου Νοταρίου τῆς ὑπουργίας σκευασθέντων· καὶ ταύτην τοῦ παλατίου καταβιβάζουσι, καὶ εἰς τὸ Πετρίον ἀπάγουσι, * τῆς ἁγίας Εὐφημίας μονῇ ἀποκείραντες. προσεκλήθη δὲ παρὰ Θεοφυλάκτου Πατρικίου καὶ Κόμητος τοῦ στάβλου εἰς ἄριστον ὁ παιδαγωγὸς Κωνσταντίνου βασιλέως Θεόδωρος, καὶ Συμεὼν ὁ αὐτοῦ ἀδελφός. ἐσθιόντων δὲ αὐτῶν εἰσῆλθεν Ἰωάννης Δρουγγάριος ὁ Κουρκούας μετὰ πλείστου λαοῦ, καὶ τούτους ἀναρπάσας εἰς τὸ Ὀψίκιον ἐν τοῖς αὐτῶν προαστείοις, ὡς κατὰ Ῥωμανοῦ μελετῶντας. εἰκάδι δὲ τετάρτῃ Σεπτεμβρίου μηνὸς τῇ τοῦ Καίσαρος ἀξίᾳ, καὶ Δεκεμβρίῳ μηνὶ δεκάτῃ ἑβδόμῃ τῇ τῶν προπατόρων κυρίου τῷ τῆς βασιλείας στέφεται διαδήματι παρὰ Κωνσταντίνου βασιλέως καὶ Νικολάου Πατριάρχου, καὶ τῇ τῶν ἁγίων φώτων ἡμέρᾳ στέφει Θεοδώραν τὴν γυναῖκα αὐτοῦ. Μαΐῳ δὲ μηνὶ δεκάτῃ ἑβδόμῃ ἰνδικτιῶνος ε'. Χριστοφόρος ὁ υἱὸς Ῥωμανοῦ ἀναγορεύεται βασιλεύς· στέφεται δὲ τῇ εἰκάδι τοῦ αὐτοῦ μηνὸς παρὰ Κωνσταντίνου βασιλέως τῇ τῆς ἁγίας Πεντηκοστῆς ἡμέρᾳ, καὶ μόνοι οὗτοι οἱ δύο ἐν τῇ αὐτῇ προελεύσει προῆλθον. Ἰουλίῳ δὲ μηνὶ ὀγδόῃ ἰνδικτιῶνος ἡμέρᾳ Κυριακῇ τῆς ἐκκλησίας παρὰ Ῥωμανοῦ γέγονεν ἕνωσις, ἀπάντων ἑνωθέντων μητροπολιτῶν τε καὶ κληρικῶν, τῶν ἀπὸ Νικολάου Πατριάρχου, καὶ Εὐθυμίου διεσχισμένων.

* κατεξ.

* φυγόντι

* πεφαρμαγμένων

* ἐν τῇ

& Constantinopolis cives exterriturus, milites per varios globos a juvenca lapidea ad Chalcedonem usque distinxit. Dum hæc gererentur a Romano, Simeon Caniclei Præfectus celoce vectus, libellum Imperatoris Constantini manu subscriptum delaturus mittitur: hæc porro libellus enunciabat: Ut Imperii mei custodem vigilantissimum & fidelissimum e subditis præter Romanum nullum inveni: Huic post Deum custodiam meam commisi, & vice Patris, quod viscera materna & propositum vere paternum in me exercuerit, habere constitui. Leonem Phocam in adversum Imperii mei semper insidiantem suspicatus, in illud machinari opere probavi, & in Majestatem tyrannice rebellem comperi: quare Domesticum amplius non esse decerno, neque tumultum hunc me volente commovisse, sed spontaneo consilio Imperium sibi vindicantem hæc aggressum esse declaro. His ita coram populo lectis, subducere se cuncti, & Romano Imperatoris patri adhærere cœperunt. Phocas in angustias deductus, omni spe lapsus est, quare fuga usus, & de ingressu in urbem aliquam desperans, quod sine dignitatis titulo & viribus accederet, & forte non reciperetur, in locum, cui Goelenn nomen, fugiens comprehensus est: exinde Romanus Joannem Tubacem & Leonem ejus cognatum hominem in Urbem adducturos misit. Comprehensum itaque oculis privaverunt, nullo licet super hoc accepto jussu, sed spontanea voluntate ad hoc ducti: adeo ut Imperatoris pater Romanus de facinore tristatus fuerit. Mense autem Augusto Constantini Ctemateni, Davidis Camuliani, & Michaelis Manganorum Curatoris detectæ sunt insidiæ: quare etiam hi, bonis publicatis, verberibus affecti, & per mediam Urbem traducti, in exilium missi sunt. Leonem insuper Magistrum & Scholarum Domesticum in Urbem induxerunt, qui mulo insidens per medium forum pertransiit. Delata est etiam Zoe Augusta, ut quæ Romano per præparatos cibos a Theocleto ministerii Notario insidiaretur: quare hanc e Palatio recedere coactam, in sanctæ Euphemiæ Monasterio ad Petrium sito tonsis capillis Monialem fecerunt. Theodorus autem Constantini Imperatoris Pædagogus & Simeon ejus frater, a Theophylacto Patricio & stabuli Comite ad convivium vocatus est: Recumbentibus illis, Joannes Drungarius Curcuas cum populi turba ingressus, raptos eosdem ad Opsicium eliminatos propriis in suburbanis, velut adversus Romanum machinatos exulare coegit. Quarto vero supra vicesimum Septembris mensis, Cæsaris dignitate, Decembris autem mensis decimo septimo, Christi Domini Proparentum festo, Imperii diademate a Constantino Imperatore & Nicolao Patriarcha Romanus ornatur: Sanctorum deinde Luminum die Theodoram uxorem coronat: mox Maii mensis decimo septimo, indictione quinta, Christophorus Romani filius Imperator renunciatur: & ejusdem mensis vicesimo sanctæ Pentecostes die festo, a Constantino redimitur: Istique duo soli ejusdem diei processu solemni, per Urbem progressi sunt. Porro Julio mense, indictione octava die Dominico totius Ecclesiæ a Romano inita est concordia, cunctis Metropolitis & Clericis, qui a Nicolai & Euthymii partibus divisis steterant animis, in consensionem redeuntibus. Mensis au-

Edit. Paris. pag. 496.

pag. 497.

tem Februarii die octavo, indictione decima nona, mittens Romanus Magistrum Stephanum Calomariæ filium in Antigoniam insulam eaulem ejecit, imperandi cupiditatis accusatum: cum prius una cum Theophane Tichiote & Paulo Orphanotropho propriis Domesticis in Monachum detonsus fuisset. Cæterum Romanus Imperator ad Tribunalium solemnem habens processum, cunctis armorum omni genere instructis, stipendiisque militibus erogatis, derepente Romanus Præfatus, & Constantinus inusitata celeritate usi in Palatium revertuntur: a Leone quippe Arsenii Domestico, Arsenii ipsius & Pauli Manglanitæ conspiratio delata fuerat: ea quo verberibus acceptis, & bonis fisco addictis in exilium translati sunt. Erat porro tunc ab Imperatore proximus potestate Joannes Presbyter & Rector, qui Leonam Armenii filium Hebdomadarium curavit fieri Imperatori prius commendatum * * *. Bulgaris vero ad Catasyrtas usque post Adralestæ Domestici mortem excurrentibus, Pothus Argiri filius Scholarum Domesticus creatus est. Hic ad Thermopolim copiis eductis Michaelem Moroleontis filium vices suas obeuntem, Bulgarorum motum exploratum misit. Ille de improviso agmini eorum factus obvium, plurimos quidem occidit, vulneribus autem acceptis, in urbe postmodum vitam finivit. Eo tempore insidiæ adversus Romanum Imperatorem structæ ab Anastasio Sacellario & Aurificinæ Principe, & Theodoreto Cubiculario, & Demetrio Regii fisci Notario, & Nicolao Cubatzæ a Theorbeto Officii Notario delatæ sunt: iidemque convicti verberibus pœnas dederunt, & per mediam Urbem delati sunt. Theodoretus autem seorsim ad Trichoncum Palatii plagis acceptis, in exilium ejectus est: Anastasium autem Sacellarium in Elimorum Monasterio cæsarie mulctavit: in quo & defunctus est. Romanus eo prætextu accepto, Imperatorem Constantinum Primatu deturbat, & secundum constituit: seipsum vero priorem præponit. Simeon porro adversus Romanos exercitum rursus educit, militesque emissos contra Urbem quantocius tendere imperavit. Illi per montes progressi Maglaba pervenerunt. Eorum adventu ab Imperatore Romano cognito, ne Pegarum Palatia per Stenum diffusi incenderent, Joannem Rectorem una cum Leone & Potho, dictis Argyris, ea Regiis confœderatis, & gregariis militibus copias secum habentibus misit, quibus insuper adjunctus est Alexias Patricius, & Muzelæus Classis Drungarius, cum navali acie. Erat porro tunc jejuniorum hebdomas quinta. Istis exercitum per turmas componentibus, Bulgarisque e superiore editiorique parte armata manu apparentibus, & incomposita tremendaque vociferatione usis, derepente Joannes Rector fugam arripit; Faustinusque Platypodis filius pro eo decertans cum aliis plurimis interfectus est. Via itaque periculo ereptus celocem ingressus est. Fuga quoque subduxit se Alexius armis omnibus munitus, & Alexius Muzelæus Drungarius. Qui cum ad celocis scalam commode conscendere nequiret, in mare cum Protomandatore præcipitatus, profundo submersus est. Argyri vero ad Castellum fuga sibi consuluerunt. Bulgari nullum reperientes obvium, Pegarum Palatia, Stenique spatium omne igne immisso succenderunt. Februarii porro mensis die vicesimo, indi-

Edit. Paris. pag. 498.

A ὀγδόῃ δὲ Φεβρουαρίου μηνὸς ἰνδικτιῶνος δεκάτης ἐννάτης ἀποστείλας Ῥωμανὸς ὑπερορίζει τὸν Μάγιστρον Στέφανον τὸν τῆς Καλομαρίας εἰς τὴν Ἀντιγόνου νῆσον, ὡς τῆς βασιλείας ἐφίεσθαι κατηγορηθέντα· πρώτον αὐτὸν ἀποκείρας ἅμα Θεοφάνει Τειχειώτῃ καὶ Παύλῳ Ὀρφανοτρόφῳ ἀνθρώποις αὐτοῦ. ἐποίησε Ῥωμανὸς βασιλεὺς ἐν Τριβουναλίῳ πρόκενσον, σωηγμένων ἁπάντων μεθ' ὅπλων ἐκεῖσε. τῆς ἀδνουμίου δὲ γενομένου αἰφνίδιον Ῥωμανὸς καὶ Κωνσταντῖνος τάχει πολλῷ εἰς τὸ παλάτιον ἐπιστρέφουσιν· ἐμηνύθη γὰρ Λέοντος ἀνθρώπου τοῦ Ἀρσενίου αὐτοῦ τὴν Ἀρσενίου ἐπιβουλὰ, καὶ Παύλου Μαγλαβίτου· οἱ τυφθέντες, καὶ δημευθέντες ἐξωρίσθησαν. ἦν τότε παραδυναστεύων Ἰωάννης ὁ Πρεσβύτερος καὶ Ῥαίκτωρ, ὃς Λέοντα τὸν τοῦ

B Ἀρμενίου ἐποίησεν Ἑβδομαδάριον, τῷ βασιλεῖ τοῦτον προσῳκειώσας. τῶν δὲ Βουλγάρων πάλιν ἐξελασάντων μέχρι Κατασύρτων μετὰ τὴν τοῦ Δομεστίκου Ἀδραλέστου τελευτὴν, προεβλήθη Πόθος ὁ τοῦ Ἀργυροῦ Δομέστικος τῶν σχολῶν· καὶ μέχρι Θερμοπόλεως μετὰ τῶν ταγμάτων ἐξελθὼν ἀπέστειλε Μιχαὴλ τὸν τοῦ Μωρολέοντος υἱὸν τοποτηρητὴν ὄντα τοὺς Βουλγάρους κατασκοπήσοντα. ὁ δὲ ἀπροόπτως τῷ λόχῳ* αὐτῶν ἐμπεσὼν, πολλοὺς μὲν τῶν Βουλγάρων ἀνεῖλε, πληγεὶς δὲ αὐτὸς ἐν τῇ πόλει ἐτελεύτησε. ἐμηνύθη δὲ τότε παρὰ Θεοκλήτου Νοταρίου τῆς ὑπουρ-

* λόχῳ

C γίας ἡ κατὰ Ῥωμανοῦ τοῦ βασιλέως ἐπιβουλὴ Ἀναστασίου Σακελλαρίου καὶ ἄρχοντος τοῦ χρυσοχόου, καὶ Θεοδωρήτου Κοιτωνίτου, καὶ Δημητρίου Νοταρίου Βασιλικοῦ τοῦ Ἰδικοῦ, καὶ Νικολάου τοῦ Κουβάτζη. καὶ δὴ ἐλεγχθέντες ἐτύφθησαν, καὶ ἐν τῇ μέσῃ διῆλθον. ὁ δὲ Θεοδώρητος ἰδίως ἐν τῷ λεγομένῳ Τρικόγχῳ τοῦ παλατίου τυφθεὶς, καὶ αὐτὸς ἐξωρίσθη. τὸν δὲ Σακελλάριον Ἀναστάσιον ἀπέκειρεν ἐν τῇ μονῇ τῶν Ἐλεγμῶν, ἔνθα καὶ τελευτᾷ. τοιαύτης προφάσεως λαβόμενος Ῥωμανὸς τὸν βασιλέα Κωνσταντῖνον ἀποβιβάζει, καὶ δεύτερον καθίστησιν, ἑαυτὸν δὲ προάγει εἰς τοὔμπροσθεν. ἐκστρατεύει δὲ πάλιν Συμεὼν κατὰ Ῥωμαίων, καὶ πλῆθος Βουλγάρων ἀποστείλας ἐκέ-

Cedrenus scribit Ἐλεγμῶν pag. 531.

D λευσε κατὰ τῆς πόλεως ὡς τάχιστα ἐξελαύνειν. διελθόντων ἄνω διὰ τῶν ὀρῶν, ἦλθον μέχρι τῶν Μαγλαβᾶ. τὴν αὐτῶν δὲ ἔφοδον μαθὼν ὁ βασιλεὺς Ῥωμανὸς, μὴ τὰ τῶν Πηγῶν παλάτια, καὶ τὸ Στενὸν κατελθόντες ἐμπρήσωσιν, Ἰωάννην Ῥαίκτορα ἀποστέλλει ἅμα Λέοντι καὶ Πόθῳ, τοῖς Ἀργυροῖς λεγομένοις, ἔχοντας μεθ' ἑαυτῶν πλῆθος ἔκ τε τῶν βασιλικῶν, καὶ τῶν τῆς ἑταιρείας, καὶ τῶν ταγματικῶν, οἷς συνῆν καὶ Ἀλέξιος Πατρίκιος καὶ Δρουγγάριος τῶν πλοΐμων ὁ Μωσελὲ μετὰ τὸν λαοῦ αὐτοῦ. ἦν δὲ τῶν νηστειῶν ἑβδομὰς πέμπτη. διατάξαντες οὗτοι τὸν λαὸν, τῶν Βουλγάρων ἄνωθεν ἀναφανέντων ἐνόπλων, καὶ βοῇ χρησαμένων ἀσήμῳ καὶ φοβερᾷ, παραυτὸ μὲν φεύγει Ἰωάννης ὁ Ῥαίκτωρ, σφάττεται δὲ ὑπὲρ

E τούτου ἀγωνισάμενος Φωτεινὸς, ὁ τοῦ Πλατυπόδου υἱὸς, καὶ πολλοὶ ἕτεροι. μόλις οὖν διασωθεὶς εἰσῆλθεν εἰς δρόμωνα. ἦλθε δὲ φεύγων ἔνοπλος καὶ Ἀλέξιος ὁ Μωσελὲ Δρουγγάριος; καὶ μὴ ἰσχύσας τέλειον ἀνελθεῖν ἐν τῇ τοῦ δρόμωνος ἀποβάθρᾳ, πεσὼν ἐν τῇ θαλάσσῃ σὺν τῷ Πρωτομανδάτορι, ἀπεπνίγη. οἱ Ἀργυροὶ δὲ ἐν τῷ καστελλίῳ διεσώθησαν φεύγοντες. οἱ δὲ Βούλγαροι μηδένα ἔχοντες κωλύοντα, τά τε παλάτια τῶν Πηγῶν ἐπυρπόλησαν, καὶ τὸ Στενὸν ἅπαν κατέκαυσαν. εἰκάδι δὲ Φεβρουα-

εἰς μηνὸς δεκάτης ἰνδικτιῶνος Θεοδώρα σύμβιος Ῥωμανοῦ τελευτᾷ, καὶ κατετέθη τὸ σῶμα αὐτῆς ἐν τῷ οἴκῳ αὐτοῦ. τῷ δὲ αὐτῷ μηνὶ στέφεται Σοφία ἡ τοῦ βασιλέως Χριστοφόρου γυνή. τηνικαῦτα δὲ Κουροπαλάτης Ἴβηρ ἐν τῇ πόλει παρεγένετο, καὶ διὰ μέσης διελθὼν * κεκοσμημένης λαμπρῶς, ὃν καὶ ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ Σοφίᾳ εἰσάγαγον· καὶ τὸ κάλλος αὐτῆς καὶ τὸ μέγεθος θεασάμενος, καὶ τὸν πολυτελῆ κόσμον ὑπερθαυμάσας, αὖθις ὑπέστρεψεν εἰς τὰ ἴδια. Ἰουνίῳ δὲ μηνὶ τῶν Βουλγάρων πάλιν ἐκστρατευσάντων, καὶ μέχρι τῆς ἁγίας Θεοδώρας παλατίων ἐλθόντων, καὶ ταῦτα πυρὶ παραδόντων, ἐξαναστάμενος ὁ βασιλεὺς Ῥωμανὸς, τοὺς τῶν ταγμάτων ἄρχοντας συνεκάλεσε συνόντος αὐτῷ καὶ τοῦ λεγομένου Σακτίκε, καὶ παρῄνει * τούτοις, καὶ προὔτρεπε κατὰ τῶν ἐναντίων ἐξελθεῖν, καὶ τῆς πατρίδος ὑπεραγωνίσασθαι. οἱ δὲ συνέθεντο ἑτοίμως ὑπὲρ τῶν Χριστιανῶν ἀποθνήσκειν· τῇ ἐπαύριον καθοπλισθεὶς ὁ εἰρημένος Σακτίκης, ἀληθῆ οὖσαν τὴν ἑαυτοῦ πίστιν τε καὶ ἀνδρείαν ἀπέδειξεν. ὄπισθεν γὰρ τῶν Βουλγάρων γενόμενος, καὶ εἰς τὸ στρατόπεδον αὐτῶν ἐμπεσὼν, πάντας τοὺς ἐκεῖ εὑρεθέντας κατέσφαξε. μαθόντες οὖν οἱ Βούλγαροι τὸ γεγονὸς ὑποστρέφουσιν ἐν τῷ στρατοπέδῳ, καὶ πολέμου συγκροτηθέντος τρέπουσι τὸν Σακτίκην σὺν ὀλίγοις ὑπάρχοντα. ὁ δὲ ἐπειδὴ γενναίως ἀγωνισάμενος πολλοὺς ἀνελὼν, οὐκ ἔτι ἀντέχειν ἐδύνατο, πρὸς τὸ πλῆθος τῶν πολεμίων μεθίεσι τοῦ ἵππου τὸν χαλινὸν, καὶ εἰς φυγὴν ἤλαυνε· ποταμὸν δέ τινα ἐκεῖσε παραρρέοντα διαπερῶν, τοῦ ἵππου αὐτοῦ ἐν τῇ ἰλύϊ ἐμπαγέντος, τιτρώσκεται κατὰ τῆς ἕδρας καὶ τοῦ μηροῦ. μόλις οὖν τοῦ ἵππου ἐκτὸς ἰλύος ἀνασπασθέντος, διασώζεται μέχρι τῶν Βλαχερνῶν, καὶ τεθεὶς ἐν τῇ ἁγίᾳ σορῷ, καιρίας τῆς πληγῆς οὔσης, τῇ νυκτὶ ἐτελεύτησεν. Ἀδριανὸς δέ τις Χάλδος, πρὸς δὲ καὶ Τατζάτης Ἀρμένιος πλούσιος πάνυ, τῇ συνθήκῃ καὶ συμβουλῇ Βάρδα τοῦ Βοηλᾶ στρατηγεῦτο * ἐν Χαλδίᾳ, τυραννίδα καὶ ἀποστασίαν κατὰ Ῥωμανοῦ βασιλέως συσκευάζουσι, τὸ Παΐπερ τὸ ὀχύρωμα κατασχόντες, οὓς ὁ Δομέστικος τῶν σχολῶν Ἰωάννης ὁ Κουρκούας καταπολεμήσας, τοὺς μὲν κατέσχεν, ὧν τοὺς περιφανεστέρους ἀποτυφλοῖ, τὴν οὐσίαν δημεύσας· Τατζάτης δὲ ἐν ἑτέρῳ ὀχυρωτάτῳ καστελλίῳ διαφυγὼν, καὶ λόγον τοῦ μή τι κακὸν παθεῖν δεξάμενος ἐν τῇ πόλει εἰσελήλυθε, καὶ τῇ τοῦ * Μαγλαβίτου ἀξίᾳ τιμηθεὶς, ἐν τῷ οἴκῳ τῶν Μαγγάνων διητᾶτο τηρούμενος. δρασμὸν δὲ βουλευσάμενος ἁλίσκεται, καὶ τῶν ὀμμάτων στερίσκεται. Βάρδαν δὲ τὸν Βοηλᾶν ἀπέκειραν πρῶτον. τοῦ δὲ Πατρικίου τοῦ ἐντὸς ἐπονομαζομένου Μωρολέοντος Ἀδριανουπόλεως στρατηγοῦντος κρατίστου τὰ πολεμικὰ καὶ περιδεξίου τυγχάνοντος, ὃς πλείστας κατὰ Βουλγαρίας ἀνδραγαθίας ἐπεδείξατο, ὁ Βούλγαρος Συμεὼν σὺν παντὶ τῷ στρατεύματι τὴν εἰρημένην πόλιν περιεκύκλωσε, καὶ χάρακα περιβαλὼν ἰσχυρῶς ταύτην ἐπολιόρκει. ἐπεὶ δὲ ὁ σῖτος τοὺς ἐν τῇ πόλει ἐπιλελοίπει, καὶ λιμὸς ἐπίεζε χαλεπὸς, οὐδαμόθεν γὰρ εἶχον ἐπισιτίσασθαι τῇ ἐνδείᾳ πιεζόμενοι, προδεδώκασιν ἑαυτούς τε, καὶ τὸν στρατηγὸν τοῖς Βουλγάροις, ὃν χειρωσάμενος Συμεὼν, καὶ δεσμὰ καθ' ὅλου τοῦ σώματος περιβαλὼν, ἀπέκτεινε θανάτῳ πικρῷ. Βουλγάροις οὖν τὴν τῆς πόλεως παραδοὺς φυλακὴν, ὑπεχώρησεν. Λέοντος δὲ τοῦ Τριπολίτου μετὰ δυνάμεως πολλῆς καὶ πλοίων πολεμικῶν κατὰ Ῥωμαίων ἐξελθόντος, καὶ ἐν τῇ νήσῳ Λήμνῳ καταλαβόντος, Ἰωάννης Πατρίκιος καὶ Δρουγγάριος τῶν πλοΐμων ὁ Ῥαδηνὸς αἰφνίδιος ἐπέθετο αὐτῷ· καὶ πολέμου γεγονότος Θεοῦ συνεργείᾳ οἱ ὑπ' αὐτὸν τρέπονται Ἀγαρηνοί· μόνος δὲ αὐτὸς Τριπολίτης φυγῇ διασωθείς. Σεπτεμβρίῳ δὲ

* κεκοσμημένης
* τούτοις
* δι
* Μαγγλα

ctione decima, Theodora Romani consorte moritur, corpusque illius domo depositum est; eodemque mense Sophia Imperatoris Christophori conjux coronatur. Eo tempore Curopalates Iber in urbem advenit, & per medias ejus vias vestibus præclaris ornatus deductus est, & ad sanctam Dei Sophiam progressus templi immanitatem & cultum contemplatus, variamque ejus supellectilem demiratus, in patriam reversus est. Junio postmodum mense Bulgaris iterato bellum inferentibus, & ad sanctæ Theodoræ Palatia penetrantibus, & eadem igne depopulatis, Romanus Imperator, copiarum Ducibus convocatis, Sactice dicto ei adhærente, sumptis animis milites hortabatur in hostes irrumpere, & pro patria præliari commonebat. Illi pro Christianis se mori paratos polliciti sunt. Postera igitur luce, præfatus Sactices armatus fidem a se datam veram, & constantem demonstravit. Bulgaros quippe retro aggressus, & in eorum castra insiliens, cunctos ibi repertos trucidavit. Bulgari quod gestum erat percipientes in castra revertuntur, & consertis manibus Sacticem paucis comitatum terga dare cogunt. Ille fortiter præliatus multis hostium occisis, totque aliis oppugnatus ut resistere non valeret amplius, laxato equi fræno, per medium adversariorum agmen irrumpit, & fugæ viam aperit, fluviumq; ibidem præterfluentem trajiciens, equo profundi limo infixo ad podicem & coxendicem vulneratur. Equo itaque limo vix extracto ad Blachernas defertur, & sacro loculo impositus, plaga mortifera accepta, nocte mortuus est. Adrianus autem quidam Chaldus, nec non Tatzates Armenus vir opulentus, consiliis & hortatibus Bardæ Boelæ, qui Chaldiensi militiæ præerat, tyrannidem & rebellionem adversus Romanum Imperatorem excitant, & Paiper locum munitissimum occupant; quos Joannes Curcuas Scholarum Domesticus cum debellasset, quosdam quidem tenuit, quorum illustriores, facultatibus eorum publicatis excæcavit, alios vero occidit. Tatzates autem alio validissimo loco fuga occupato, & securitatis fide accepta, in urbem reversus est, & Manglabitæ dignitate honoratus in Manganorum Palatio sub custodia servatus morabatur. Fugam autem machinatus oculorum lumine privatur, cum prius Bardam Boelam in Monasterio detondissent. Patricio vero quopiam cognomine Moroleone Adrianopoleos urbis Duce, in rebus bellicis fortissimo & solertia præstanti, ut qui adversus Bulgariam facinora forti viro digna ostendisset plurima, Simeon Bulgarus cum omni exercitu dictam urbem obsedit, valloque circumducto validis armis pressit: frumento autem per urbem deficiente dura fames invasit, ex nulla quippe parte egestatis calamitate vexati annonam procurare valebant: quare seipsos & exercitus Ducem Bulgaris tradiderunt, quem apprehensum Simeon, vinculisque per totum corpus circumdatum, amara morte interfecit: commendataque Bulgaris urbis custodia in patriam se recepit. Leone Tripolita cum copioso exercitu bellicisque navibus in Romanos erumpente, & Lemnum insulam occupante, Joannes Radinus Patricius & classis Drungarius eum ex improviso aggressus est. Initoque certamine divinis auxiliis, qui comitabantur Agareni fusi sunt, solo Tripolita fuga servato. Septembri vero mense, indi-

Edit. Paris. pag. 499.

ctione secunda, Simeon Bulgariæ Princeps, copiis omnibus eductis adversus Constantinopolim expeditionem parat. Inde Thraciam & Macedoniam depopulatur, incendia ubique spargit, evertit cuncta, & ad arbores usque excindit. Ad Blachernas præterea provectus Nicolaum Patriarcham & procerum quosdam, ut de pace conferrent, ad se mitti postulavit. Datis igitur ex parte utraque obsidibus convenerunt, prius quidem Nicolaus Patriarcha, deinde Michael Patricius Stypiotes, & Joannes Mysticus, qui ab Imperatore secundas tenebat: Jam quippe Joannes Rector apud Imperatorem calumniam passus, causatus ægritudinem Palatium deseruerat: Postmodum autem in Monasterio Galacrenis proximo detonsus est: & hi quidem cum Simeone de pace tractatum habebant; Simeno autem retro eos amandavit, ipsum vero Imperatorem videre expetiit, a multis de ejus prudentia fortitudine & solertia certior factus. Valde lætatus Imperator postulatum admisit, pacis quippe cupiditate ducebatur, & effusum quotidie sanguinem deplorabat. Ad littus itaque Cosmidii machinam in mari validissimam excitari jussit: ad quam triremem Regiam remis rectam facile esset deducere, septoq; munitissimo eam circumvallans spatium ejus medium ita disponi præcepit, ut in ea ad invicem de pace colloquerentur. Simeon autem missis militibus, sacratissimæ Deiparæ ad Pegem templum combussit, & loca circumposita devastavit, a pace alienum se, sed vana tantum spe Imperatorem deludere, inde significans. Imperator una cum Patriarcha Nicolao ad Blachernas & sanctum loculum progressus, ad preces manus extendit, deinde pronus in terram cadens sacrum lachrymis pavimentum irrigavit. Deiparam a labe immunem obtestatus, ut inflexum & rigidum superbi Simeonis emolliret cor, & quæ sunt pacis inspiraret: sacroque scriniolo, quo veneranda sanctæ Deiparæ vestis reposita est, aperto, illam inde sublatam ex fide qua in immaculatam Dei Genitricem pollebat, velut galeam capiti circumponens Imperator firmissimis armis munitus, eis si viæ comite clypeis & armis adornata ad præfinitum locum cum Simeone tractaturus accessit. Quinto igitur die quo hæc facta sunt, Novembris mensis die nono, hora diei quarta Simeon immensa exercitus plebe circumstipatus processit. Militum alii aureis clypeis & deauratis hastis, alii argenteis clypeis pariter & hastis argento rutilantibus, alii quoque omni armorum genere ornati, cuncti autem ferro circumcincti, medium admiserunt Simeonem, quem Græcis pronunciatis, ceu Imperatorem faustis prosequebantur acclamationibus. Senatorii porro ordinis viri muris insidentes quæ fiebant contemplabantur. Spectatu vero dignissima res fuit animus ille Imperatoria dignus & excelsus, mira res illa mentis nullo pacto motæ constantia, quæ tantum percipiens hostium appulsum, nullo modo consternata aut repressa est; sed nec retrocessit, quinimo velut in amicorum cœtum se conferret, sic intrepidus processit, tantum animam subditorum salutis pretium hostibus non offerens. Prior itaque ad dictam machinam perveniens Simeonem præstolabatur: ut obsides ex utraque parte dati sunt: Bulgari vero ne quis dolus aut insidiæ laterent, machinam diligenter perscrutati sunt; Simeon equo desiliens ad Imperatorem accessit, data-

Edit. Paris. pag. 500.

pag. 501.

A μηνὶ ἰνδικτιῶνος δευτέρας, Συμεὼν ὁ ἄρχων Βουλγαρίας πανστρατὶ κατὰ Κωνσταντινουπόλεως ἐκστρατεύει, καὶ ληΐζεται μὲν Θρᾴκην τε, καὶ Μακεδονίαν, ἐμπυρίζει δὲ πάντα, καταστρέφει, καὶ δενδροτομεῖ. μέχρι δὲ Βλαχερνῶν γενόμενος, ἐπεζήτησεν ἐπισταλῆναι αὐτῷ τὸν Πατριάρχην Νικόλαον καί τινας τῶν μεγιστάνων, ὥστε περὶ εἰρήνης συντυχεῖν. ἔλαβον οὖν ὁμήρους ἀμφότεροι, καὶ ἐξῆλθον πρότερον μὲν ὁ Πατριάρχης Νικόλαος, ἔπειτα Μιχαὴλ Πατρίκιος ὁ Στυππειώτης, καὶ Ἰωάννης ὁ Μυστικὸς Παραδυναστεύων. ἤδη γὰρ Ἰωάννης ὁ Ῥαίκτωρ διαβληθεὶς πρὸς τὸν βασιλέα, ἀσθένειαν προφασισάμενος τὸ παλάτιον καταλελοίπει, καὶ ἐν τῇ αὐτῇ μονῇ πλησίον τῶν * Γαλακρηνῶν ἀπεκάρη· οἱ μὲν οὖν μετὰ Συμεὼν περὶ εἰρήνης B διελέγοντο· ὁ δὲ * αὐτοὺς μὲν ἀπεπέμψατο· αὐτὸς δὲ τὸν βασιλέα Ῥωμανὸν ἐπεζήτει θεάσασθαι. παρὰ πολλῶν γὰρ πεπληροφόρητο περὶ τῆς αὐτοῦ φρονήσεως καὶ ἀνδρείας καὶ συνέσεως. ὁ δὲ βασιλεὺς σφόδρα ἐπὶ τούτῳ ἠγαλλιάσατο· ἐπόθει γὰρ τὴν εἰρήνην, καὶ τὰς γινομένας τῶν αἱμάτων ἐκχύσεις ὁσήμεραι. ἀποστείλας οὖν ἐν τῷ τοῦ Κοσμιδίου αἰγιαλῷ κατεσκεύασεν ἐν τῇ θαλάσσῃ ὀχυρωτάτην ὥστε τὴν βασιλικὴν τριήρη διεκπλεύσασαν αὐτῇ προσορμίζεσθαι. περιφράξας οὖν αὐτὴν πάντοθεν διατείχισμα, μέσον γενέσθαι προσέταξεν, ἐν ᾧ ἀλλήλοις ἔμελλον ὁμιλεῖν. ἀποστείλας οὖν Συμεὼν τὸν τῆς ὑπεραγίας Θεοτόκου ναὸν ἐνέπρησε τὸν ἐν τῇ Πηγῇ καὶ τὰ πέριξ αὐτοῦ σύμπαντα C ντα, δῆλος ὢν ἐντεῦθεν μὴ τὴν εἰρήνην ἐλθὼν, ἀλλ' ἐλπίσι μετεώροις τοῦτον ἐξαπατῶν. παραγενόμενος δὲ ἐν Βλαχέρναις ὁ * Βασίλειος ἅμα Νικολάῳ τῷ Πατριάρχῃ ἐν τῇ ἁγίᾳ εἰσῆλθεν σορῷ, καὶ τὰς χεῖρας ἐξέτεινεν εἰς εὐχήν. εἶτα πρηνὴς πεσὼν δάκρυσι τὸ ἅγιον κατέβρεχεν ἔδαφος, τὴν πανάχραντον Θεοτόκον ἀντιβολῶν τὴν ἀκαμπῆ καὶ ἀμείλικτον τοῦ ὑπερηφάνου Συμεὼν μαλάξαι καρδίαν, καὶ πεῖσαι τὰ πρὸς εἰρήνην. καὶ τὸ ἅγιον κιβώτιον διανοίξαντες, ἔνθα τὸ σεπτὸν τῆς ἁγίας Θεοτόκου ἐθησαυρίζετο ὠμοφόριον· τοῦτο ὁ βασιλεὺς ἀνελόμενος, καὶ τὴν πίστιν τὴν ὑπὲρ εἰς τὴν ἄμωμον Θεοτόκον, οἷα περικεφαλαίαν τινὰ περιθέμενος, ἐξῄει τοῦ ναοῦ ὅπλοις ἀσφαλέσι φραξάμενος τὸν σὺν αὐτῷ στόλον, ἀσπίσι τε, καὶ ὅπλοις D * κομίσας, τὸν ὡρισμένον τόπον κατέλαβε συνομιλῆσαι τῷ Συμεών. πέμπτῃ οὖν ἡμέρᾳ ὅτε ταῦτα ἐγένετο, ἐνάτῃ τοῦ Νοεμβρίου μηνὸς τετάρτῃ τῆς ἡμέρας ὥρᾳ, παρεγένετο Συμεὼν πλῆθος ἄπειρον ἐπαγόμενος, τῶν μὲν χρυσασπίδων καὶ χρυσοδοράτων, τῶν δὲ ἀργυρασπίδων, καὶ ἀργυροδοράτων, τῶν δὲ πάσῃ ὅπλων χρείᾳ κεκοσμημένων, πάντων κατατεφραγμένων σιδήρῳ· οἱ μέσον αὐτῶν διειληφότες τὸν Συμεών, ὡς βασιλέα, εὐφήμουν τῇ Ῥωμαίων φωνῇ. πάντες δὲ οἱ τῆς συγκλήτου βουλῆς τοῖς τείχεσιν ἐφεστῶτες κατεθεῶντο τὰ δρώμενα. ἦν οὖν τότε ἰδεῖν ψυχὴν βασιλικὴν τῷ ὄντι καὶ μεγαλόφρονα, καὶ θαυμάσαι τὸ τοῦ φρονήματος ἀκατάπληκτον, ὅπως τοσαύτην πολεμίων βλέπων ἐπιφοράν, οὐ κατεπλάγη καὶ συνεστάλη ἢ ὑπεχώρησεν· ἀλλ' ὥσπερ εἰς φίλων E πλῆθος χωρῶν οὕτως ἀτρέμας ἀπῄει, μονονουχὶ τὴν ψυχὴν τοῖς πολεμίοις τῶν ὑπηκόων διδοὺς ἀντίλυτρον. πρῶτος οὖν ἐν τῇ ῥηθείσῃ ἀποβάθρᾳ καταλαβὼν τὸν Συμεὼν ἐξεδέχετο. ἐπεὶ δὲ ὅμηροι ἐξ ἀμφοτέρων ἐλήφθησαν, καὶ τὴν ἀποβάθραν οἱ Βούλγαροι διηρευνήσαντο ἀκριβῶς μήπως τις δόλος, ἢ ἐνέδρα τυγχάνῃ· κατῆλθε Συμεὼν τοῦ ἵππου, καὶ πρὸς τὸν βασιλέα εἰσῆλθεν. ἀσπασάμενοι οὖν ἀλλήλους,

* Γαλακρηνῶν

* αὐτοὺς

* Βασιλεὺς

* κοσμήσας

εἰρηνικοὺς λόγους ἐκίνησαν. εἰπὼν δὲ λέγεται πρὸς Συμεών· ἀκήκοά σε θεοσεβῆ ἄνθρωπον καὶ Χριστιανὸν ὑπάρχοντα ἀληθινόν· βλέπω δὲ τὰ ἔργα μηδαμῶς τοῖς λόγοις συμβαίνοντα. ἴδιον μὲν γὰρ θεοσεβοῦς ἀνθρώπου καὶ Χριστιανοῦ τὴν εἰρήνην καὶ τὴν ἀγάπην ἀσπάζεσθαι· εἴπερ ὁ Θεὸς ἀγάπη ἐστὶ, καὶ λέγεται. ἀσεβοῦς δὲ καὶ ἀπίστου τὸ χαίρειν σφαγαῖς καὶ αἵμασιν ἀδίκως * ἐκχεομένων. εἰ μὲν οὖν ἀληθὴς Χριστιανὸς ὑπάρχεις, καθὼς πεπληροφορήμεθα, στῆσον ποτὲ τὰς ἀδίκους σφαγὰς καὶ τὰς τῶν ἀνοσίων αἱμάτων ἐκχύσεις, καὶ σπεῖσαι μεθ' ἡμῶν τῶν Χριστιανῶν τὴν εἰρήνην, Χριστιανὸς ὢν καὶ αὐτὸς, καὶ ὀνομαζόμενος· καὶ μὴ θέλε μολύνεσθαι Χριστιανῶν δεξιὰς αἵμασιν ὁμοπίστων Χριστιανῶν. ἄνθρωπος εἶ καὶ αὐτὸς θάνατον προσδοκῶν καὶ ἀνάστασιν καὶ ἀνταπόδοσιν. σήμερον ὑπάρχεις, καὶ αὔριον εἰς κόνιν διαλυθήσῃ. εἷς πυρετὸς ἅπαν κατασβέσει τὸ φρύαγμα. τίνα οὖν λόγον δώσεις τῷ Θεῷ ἐκεῖ εἰσελθὼν ὑπὲρ τῶν ἀδίκων σφαγῶν; ποίῳ προσώπῳ τῷ φοβερῷ καὶ δικαίῳ ἐνατενίσεις κριτῇ; εἰ πλούτου ἐρῶν ταῦτα ποιεῖς, ἐγώ σε κατακόρως τοῦ ἐπιθυμουμένου ἐμπλήσω, μόνον ἐπίσχες τὴν δεξιάν· ἄσπασαι τὴν εἰρήνην, ἀγάπησον τὴν ὁμόνοιαν, ἵνα καὶ αὐτὸς βίον ζήσῃς εἰρηνικὸν καὶ ἀπράγμονα, καὶ οἱ Χριστιανοὶ παύσωνται ποτὲ τῶν συμφορῶν. οὐ θέμις γὰρ αὐτὸν αἴρειν ὅπλα καθ' ὁμοπίστων. τοσαῦτα οὖν εἰπὼν ὁ βασιλεὺς, ἐσίγησεν. αἰδεσθεὶς οὖν Συμεὼν τήν τε ταπείνωσιν, καὶ τοὺς λόγους αὐτοῦ, ἐπένευσε τὴν εἰρήνην ποιήσασθαι. ἀσπασάμενοι οὖν ἀλλήλους διεχωρίσθησαν δώροις μεγαλοπρεπέσι τοῦ βασιλέως δεξιωσαμένου τὸν Συμεῶνα. ὃ δὲ τότε συμβέβηκε διηγήσομαι τεράστιον, καὶ τοῖς τὰ τοιαῦτα συγκρίνειν εἰδόσι, παράδοξον. δύο φασὶν ἀετοὺς τῶν βασιλέων ὁμιλούντων ἄνωθεν ὑπερπτῆναι, ἦξαί τε, καὶ πρὸς ἀλλήλους συμμίξαι, καὶ παραυτίκα διαζευχθῆναι ἀλλήλων· καὶ τὸν μὲν ἐπὶ τὴν πόλιν ἐλθεῖν, τὸν δὲ ἐπὶ τὴν Θρᾴκην διαπτῆναι· τοῦτο οἱ ἀκριβῶς τὰ τοιαῦτα σκοποῦντες, οὐ καλὸν ἔκριναν οἰωνόν. ἀσυμβάτως γὰρ ἐπὶ τὴν εἰρήνην διαλυθήσεσθαι ἔφησαν. Συμεὼν δὲ τὸ ἑαυτοῦ στρατόπεδον καταλαβὼν τοῖς ἑαυτοῦ μεγιστᾶσι τὴν τοῦ βασιλέως ἀπήγγειλε σύνεσιν καὶ ταπείνωσιν. Δεκεμβρίῳ δὲ μηνὶ εἰκάδι πέμπτῃ ἔστεψε Ῥωμανὸς τοὺς υἱοὺς αὐτοῦ ἐν τῇ τοῦ Θεοῦ μεγάλῃ ἐκκλησίᾳ Στέφανόν τε, καὶ Κωνσταντῖνον, ἀλλὰ καὶ Θεοφύλακτον τὸν υἱὸν αὐτοῦ ὁ Πατριάρχης ἀπέκειρε κληρικὸν, χειροτονήσας Ὑποδιάκονον, Σύγκελλόν τε προχειρισάμενος, εἰσελθόντα πρότερον ἐν τῷ τῶν Ὑποδιακόνων τάγματι εἰς τὰ ἅγια. Ἀπριλλίῳ δὲ μηνὶ εἰκοστῇ ἐνάτῃ ἐτίμησε Ῥωμανὸς Ἰωάννην Μυστικὸν Πατρίκιον Ἀνθύπατον. Μαΐῳ δὲ μηνὶ δεκάτῃ πέμπτῃ ἰνδικτιῶνος τρίτης τελευτᾷ τὸν βίον ὁ Πατριάρχης Νικόλαος κρατήσας ἐν τῇ δευτέρᾳ αὐτοῦ ἀναβάσει ἔτη δεκατρία· καὶ ἀπετέθη τὸ σῶμα αὐτοῦ ἐν τῇ ὑπ' αὐτοῦ κτισθείσῃ μονῇ τῶν Γαλακρηνῶν. Αὐγούστῳ δὲ μηνὶ Πατριάρχης καθίσταται Στέφανος Ἀμασείας μητροπολίτης εὐνοῦχος ὑπάρχων. Ὀκτωβρίῳ δὲ μηνὶ κατηγορήθη ὁ Μυστικὸς Ἰωάννης, καὶ Παραδυναστεύων ὡς τῆς βασιλείας ἐφιέμενος, ὑποθήκῃ τοῦ Πατρικίου καὶ Λογοθέτου τοῦ Δρόμου Κοσμᾶ διδόντος εἰς γυναῖκα τὴν θυγατέρα αὐτοῦ. τούτου ἕνεκα καταβιβάζεται μὲν τοῦ παλατίου, ἐγχωρεῖται δὲ προσέρχεσθαι, καὶ τῷ βασιλεῖ ὑπηρε-

* ἐκχεομένοις

que invicem salute, pacis tractatum moverunt. Imperator dixisse fertur ad Simeonem. Virum Dei cultorem & vere Christianum audivi te: verum opera verbis nullatenus consonantia in te perspicio. Proprium enim viri Dei cultoris & Christiani est pacem & charitatem amplecti, siquidem Deus charitas est, & dicitur, Impii vero & infidelis est cædibus & cruore injuste fuso gaudere. Igitur si vere te Christianum profiteris, sicut certo tenemus, compesce tandem cædes injustas, & scelesta sanguinis effusione abstine, & nobiscum Christianis, cum ipse Christianus sis & nomineris, pacis fœdus percute; & Christianorum dexteras unius fidei Christianorum sanguinibus ne permittas pollui. Homo quippe es, & mortem ipse & resurrectionem & operum retributionem præstolaris: hodieque cum existas, crastinus dies in pulverem te resolvet: Febris vel unica omnem extinguet jactantiam. Quam igitur ad Dei tribunal constitutus pro cædibus injustis Deo reddes rationem? Quo vultu in tremendum & justum judicem oculos intendes? Si divitiarum cupiditate ductus hoc agis, ego ad satietatem usque, eo quod desideras, implebo. Solum contine dexteram, amplectere pacem, dilige concordiam, ut & tu vitam agas tranquillam & sollicitudinis expertem, & calamitatibus non nihil Christiani subleventur. Nefas enim est adversus ejusdem fidei homines te arma movere. His dictis Imperator tacuit. Simeon ejus moderationem & ejus sermones cum verecundia miratus, pacem componi annuit. Cum igitur sibi invicem vale dixissent, a se mutuo disjuncti sunt, Imperatore magnificis muneribus Simeonem cumulante. Quod vero tunc accidit narrabo prodigium eorum etiam, qui hæc dijudicant, fidem exsuperans. Principibus quippe ad invicem colloquentibus, aquilas duas desuper ipsos volasse præstoque advenisse, & ad invicem commixtas dicunt: & confestim ab invicem disjunctas, hanc quidem ad Urbem advolasse, aliam vero in Thraciam alarum opere delatam. Qui hæc curiosius indagant, omen judicavere non faustum; discordes quippe, & pace infecta recessuros divinabat. Simeon collecto exercitu, coram optimatibus Imperatoris solertiam & moderationem exposuit. Decembris autem mensis die vicesimo quinto filios suos Stephanum & Constantinum Romanus Imperii corona cinxit: sed & Theophylactum filium Clericum totondit Patriarcha, & Subdiaconum ordinavit: tandemque Syncellum promovit, cum prius ad sanctum Ingressum cum Subdiaconis adlectus processisset. Aprilis vero mensis die vicesimo nono Joannem Mysticum Patricium Romanus Proconsulem designavit. Mensis vero Maii die decimo quinto, Indictione tertia, mortem obiit Nicolaus Patriarcha, post secundam renunciationem throno potitus annos tredecim, ejusque corpus in Galacrenarum Monasterio ab eo condito depositum est. Augusto deinde mense Stephanus Amaseæ Metropolita Eunuchus initiatus est Patriarcha. Post hæc mense Octobri Joannes Mysticus, & post Imperatorem administrator velut Imperii affectari, suggestu Patricii & Logothetæ publici cursus Cosmæ, qui filiam uxorem ei locaverat, accusatus est. Hujus gratia Palatio quidem extruditur, ad eum tamen liber illi servatur accessus, & obsequendi Imperatoris jussis, & cum

Edit. Paris. pag. 302.

eo quæ opus foret administrandi potestas permittitur. Ingens quippe Imperatoris erat in eum affectus. Accusationem porro coram Imperatore urgentibus adversariis, examine habito, & vera esse quæ objicerentur cum Imperator agnovit, detentum interrogare proposuerat. Qua re prævisa, fugam prior arripit, & in Monasterium nomine Monocastanum secedens, Monasticam suscipit tonsuram. Fugit pariter Constantinus Boelæ filius mensæ Præfectus, familiaris, & ei bene affectus: & in Olympum montem digressus, monastico induitur habitu. Timebat enim ipse ceu consiliorum Mystici conscius, & secretorum ejus omnium particeps. Patricium autem Cosmam Magistratu exauctoratum ad Horologium verberibus Imperator emendavit: Joannis vero Mystici vices obiturus Theophanes Protovestiarius & Imperii Administrator promovetur. Tunc in provincia Thraciæ terræ motus horrendus factus est, hiatusque stuporem afferens, ita ut plura prædia & Ecclesiæ cum hominibus absorpta sint. Maii porro mensis die vicesimo septimo indictione quinta, Simeon Bulgariæ Princeps diem obiit, Petro filio, quem ex secunda conjuge suscepit, sorore videlicet Georgii Surzubulis, quem filiis Procuratorem dedit, Principe relicto. Exinde circumpositæ regiones audita Simeonis morte, adversus Bulgaros arma suscipere meditabantur. Fame autem una cum locustarum pernicie Bulgarorum terras depascente, Romanorum timuerunt incursus. Habito itaque consilio adversus Romanos ipsi armantur, & per Macedoniam effundunt exercitum. Cum audissent vero Romanum Imperatorem copias in eos parantem, Petrum, & Georgium quemdam Monachum, cognomine Calocyrim, genere Armenum auream bullam ferentem latenter delegat. Bullæ series erat: Bulgaros non pacem modo cum Romanis amplecti, sed & connubiorum fœdera prosequi. Monachum hujusmodi cum Imp. lubentissime suscepisset, celocem expediit confestim, & Monachum Theodorum Abucem, & Regium Clericum Rhodonatum, ut de pace cum Bulgaris tractarent, Mesembriam destinavit. Illi profecti, & negotiis accommoda collocuti, una cum Stephano Bulgaro per continentem iter egerunt. Retro eos Georgius Sursubules appulit, & Constaotinopolim cuncti convenieotes, pacis fœdera sanxerunt. Mariam vero Christophori Imperatoris filiam contemplati, & ejus summopere delectati aspectu, Petro scripserunt, ut quaotocius accederet. Petro Bulgaro adveniente, conscensis triremibus ad Blachernas Imperator Romaous se contulit: viditque Petrum, & salutavit. Ut vero de negotiorum difficultatibus convenerunt, conscriptis pacis conditionibus, nuptiales contractus peregerunt. Octobris deinde mensis die octavo progressus Patriarcha Stephanus una cum Theophane Protovestiario & Maria Christophori Imperatoris filia, & universo Senatu ad Sanctissimæ Deiparæ templum ad Pegas, Petrum & Mariam conjugali benedictiooe sociavit: Mensaque sumptuosa & magnificentissima instructa, cunctisque ad nuptiarum solemnia spectantibus rite splendideq; peractis, Theophanes Protovestiarius una cum Maria Imperatoris filia in Urbem reversus est. Die autem nuptias sequente tertio Romanus Imperator in machina, sive tabulato ad Pegas magnificum paravit convivium. Non

Edit. Paris. pag. 303.

τρεῖν, καὶ σὺν αὐτῷ τὰ ἀνήκοντα διοικεῖν. στοργὴν γὰρ ὅτι πλείστην ἐκέκτητο ὁ βασιλεὺς πρὸς αὐτόν. τῶν κατηγόρων οὖν καταπειγόντων τὸν βασιλέα, ἐρευνήσας ὁ βασιλεὺς, καὶ ἀληθῆ ταῦτα εἶναι μαθὼν, ἔμελλε τοῦτον κατασχὼν ἀνετάζειν. ὁ δὲ τοῦτο προγνοὺς χρῆται φυγῇ· καὶ τὴν λεγομένην Μονοκάστανον καταλαβὼν, ἀποκείρεται μοναχός. πέφευγε δὲ καὶ Κωνσταντῖνος ὁ τοῦ Βοηλᾶ, ὁ * τῆς τραπέζης, οἰκεῖος καὶ φίλος ὢν αὐτῷ. καὶ τὸν Ὄλυμπον καταλαβὼν, τὸ μοναχικὸν σχῆμα ἐνδύεται· ἐδεδοίκει γὰρ καὶ αὐτὸς ἅτε συμμύστης τυγχάνων τοῦ Μυστικοῦ, καὶ τῶν ἀπορρήτων αὐτοῦ κοινωνός. τὸν δὲ Πατρίκιον Κοσμᾶν ἐν τῷ Ὡρολογίῳ τύψας ὁ βασιλεὺς διεδέξατο. προβάλλεται δὲ ἀντὶ τοῦ Μυστικοῦ Ἰωάννου Θεοφάνην Πρωτοβεστιάριον καὶ Παραδυναστεύοντα. ἐγένετο δὲ τὸ τηνικαῦτα καὶ σεισμὸς φοβερὸς ἐν τῷ τῶν Θρακησίων θέματι, καὶ χάσμα γῆς μέγα καὶ καταπληκτον, ὥστε πολλὰ χωρία καὶ ἐκκλησίας αὐτάνδρους καταποθῆναι. Μαΐῳ δὲ μηνὶ εἰκάδι ἑβδόμῃ δεκάτης πέμπτης ἰνδικτιῶνος Συμεὼν ὁ ἄρχων Βουλγαρίας ἐτελεύτα, Πέτρον υἱὸν αὐτοῦ προβαλλόμενος ἄρχοντα, ὃν ἐκ τῆς δευτέρας αὐτοῦ ἔσχε γυναικὸς τῆς ἀδελφῆς Γεωργίου τοῦ Σουρσουβούλη, ὃν καὶ ἐπίτροπον τοῖς ἑαυτοῦ παισὶν ὁ Συμεὼν καταλέλοιπε. τὰ κύκλῳ οὖν ἔθνη τὴν τοῦ Συμεὼν μαθόντα τελευτὴν ἐκστρατεύειν κατὰ Βουλγάρων ἐβουλεύοντο. λιμοῦ δὲ σὺν ἀκρίσιν τὸ Βουλγαρικὸν ἔθνος ἐκπιέζοντες, ἐδεδίεισαν τὴν τῶν Ῥωμαίων ἐπέλευσιν. βουλὴν οὖν ποιησάμενοι, κατὰ Ῥωμαίων ἐκστρατεύουσι, καὶ ἐν Μακεδονίᾳ καταλαμβάνουσιν. ἔπειτα μαθόντες ὅτι μέλλει κατ᾽ αὐτῶν ὁ βασιλεὺς Ῥωμανὸς ἐκστρατεύειν, ἀποστέλλουσι Πέτρον τε, καὶ Γεώργιον κρυφίως τινὰ μοναχὸν, Καλοκύρην ὀνομαζόμενον, τῷ γένει Ἀρμενιακὸν, χρυσόβουλον ἐπιφερόμενον. διηγόρευε δὲ τὰ ἐν αὐτῷ, ὡς τὴν μετὰ Ῥωμαίων εἰρήνην ἀσπάζονται οὐ μόνον, ἀλλὰ καὶ γαμικὸν ποιῆσαι συνάλλαγμα. τὸν τοιοῦτον οὖν μοναχὸν ὁ βασιλεὺς ἀποδεξάμενος ἀσμενέστατα, παρευθὺ ἀπέστειλε μετὰ δρόμωνος ἐν Μεσημβρίᾳ τὸν μοναχὸν Θεόδωρον τὸν Ἀβούκην, καὶ Βασιλικὸν κληρικὸν τὸν Ῥόδιον τὴν εἰρήνην συλλαλῆσαι τοῖς Βουλγάροις. οἱ δὲ παραγενόμενοι, καὶ τὰ εἰκότα συλλαλήσαντες, ἐξῆλθον ἅμα Στεφάνῳ Βουλγάρῳ, διὰ τῆς ξηρᾶς. ὄπιθεν δὲ αὐτῶν κατέλαβε καὶ Γεώργιος ὁ Σουρσουβούλης, καὶ παραγενόμενοι ἐν Κωνσταντινουπόλει τὴν εἰρήνην ἐποιήσαντο. θεασάμενοι δὲ τὴν θυγατέρα Χριστοφόρου βασιλέως Μαρίαν, καὶ μεγάλως ἐπ᾽ αὐτῇ ἀρεσθέντες, ἔγραψαν τῷ Πέτρῳ διὰ τάχους παραγενέσθαι. τοῦ Βουλγάρου οὖν Πέτρου καταλαβόντος, τριήρεις ὁ βασιλεὺς Ῥωμανὸς ἐπιβὰς ἐν Βλαχέρναις παρεγένετο, καὶ τὸν Πέτρον ἐθεάσατό τε καὶ κατησπάσατο. ἐπεὶ δὲ ἀλλήλοις τὰ εἰκότα συνωμίλησαν, γράφοντες τὰ σύμφωνα τῆς εἰρήνης, καὶ τὰ γαμικὰ ἀλλάγματα. ὀγδόῃ δὲ τοῦ Ὀκτωβρίου ἐξῆλθεν ὁ Πατριάρχης Στέφανος ἅμα Θεοφάνῃ Πρωτοβεστιαρίῳ καὶ Μαρίᾳ τῇ τοῦ βασιλέως Χριστοφόρου θυγατρὶ καὶ πάσῃ τῇ συγκλήτῳ εἰς τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου τῆς Πηγῆς, καὶ εὐλόγησε Πέτρον τε καὶ Μαρίαν. λαμπρᾶς δὲ, καὶ πολυτελοῦς γενομένης τραπέζης, καὶ πάντων τῶν εἰθισμένων τοῖς γάμοις φαιδρῶς ἐπιτελεσθέντων, εἰσῆλθε Θεοφάνης Πρωτοβεστιάριος ἅμα Μαρίᾳ τῇ θυγατρὶ τοῦ βασιλέως ἐν τῇ πόλει. τῇ δὲ τρίτῃ τοῦ γάμου ἡμέρᾳ ἐποίησεν ὁ βασιλεὺς Ῥωμανὸς εὐωχίαν λαμπρὰν ἐν τῇ

* ἐπὶ

τῶν Πηγῶν ἀποβάθρᾳ. τῶν δὲ Βουλγάρων ἔνστασιν οὐ μι-
κρὰν ποιησαμένων πρότερον εὐφημεῖσθαι Χριστοφόρον,
εἶθ' ὕστερον Κωνσταντῖνον, ὁ ἐπεῖξε τῇ ἐνστάσει ὁ βασιλεύς, καὶ
γέγονεν ὅπερ ᾐτήσαντο. ἐπειδὴ δὲ πάντα ἐν τοῖς γάμοις
συνετελέσθησαν, καὶ ἔμελλε Μαρία νῦν πρὸς Βουλγαρίαν
ὁδὸν ὁδεύειν, οἱ ταύτης γονεῖς μέχρι τοῦ Ἑβδόμου συνε-
ξῆλθον αὐτῇ, περιχυθέντων τῇ θυγατρὶ, καὶ πολλὰ
κατέχεον τὰ δάκρυα, καὶ ὡς εἰκὸς ἐπὶ στερήσει σπλάγ-
χνου πεποθημένου. τόν τε γαμβρὸν ἀσπασάμενοι, καὶ
ταύτην ταῖς τούτου χερσὶ περιθέμενοι ἐν τοῖς βασιλείοις
ὑπέστρεψαν. Μαρία δὲ Βουλγαρικαῖς παραδοθεῖσα χερ-
σὶ τὴν ἐπὶ Βουλγαρίαν ἀπῄει. τότε δὲ πρέσβεις πρὸς τὸν
βασιλέα Ῥωμανὸν ἐκ Μελιτινῆς παρεγένοντο εἰρηνικὰς
σπονδὰς ποιῆσαι. μετ' οὐ πολὺ Ἀπόκαψ ὁ τοῦ Ἀμὲρ ἔκ-
γονος Ἀμηρᾶς τῆς Μελιτινῆς, καὶ Ἀπολασὰθ στρατηγὸς εὐ-
γενέστατος καὶ πλούσιος ὢν ἐκ Μελιτινῆς παρεγένετο. ἀπο-
δεχθέντες οὖν μετὰ τῆς προσηκούσης τιμῆς παρὰ Ῥωμανοῦ,
καὶ σύμφωνα εἰρήνης ποιήσαντες, ὑπέστρεψαν πρὸς τὰ
ἴδια. τελευτήσαντος δὲ τοῦ Ἀπόκαψ ἀνδρὸς φρονίμου καὶ
συνετοῦ, διέλυσαν τὴν εἰρήνην. ἐκστρατεύουσι δὲ κατ'
αὐτῶν, ὅ, τε Δομέστικος τῶν σχολῶν Ἰωάννης ὁ Κουρκούας
μετὰ καὶ τῶν θεμάτων, καὶ ὁ Μελίας μετὰ τῶν Ἀρμενίων·
καὶ εἰς τοσαύτην στένωσιν τὴν Μελιτινὴν παρέστησαν, ὥστε
αὐτὴν συντομώτατα ἐκπορθῆσαι, καὶ ἐπ' ἐδάφους κατα-
στρέψαι. ταύτην οὖν Μελιτινὴν εἰς κουρατωρίαν ἀποκα-
ταστήσας ὁ βασιλεύς, πολλὰς χιλιάδας χρυσίου καὶ ἀργυ-
ρίου ἐκεῖθεν δασμοφορεῖσθαι ἐτησίως πεποίηκε. κατη-
γορήθη δὲ Νικήτας ὁ Μάγιστρος καὶ πενθερὸς Χριστοφόρου
βασιλέως, ὡς ὑποτιθέμενος αὐτῷ κατὰ τοῦ ἰδίου γενέσθαι
πατρὸς, καὶ τῆς βασιλείας αὐτὸν ἐξῶσαι. τοῦτον οὖν ἐξα-
γόντες τῆς πόλεως ἀπέκειραν μοναχόν. μηνὶ δὲ Ἰουλίῳ
ὀγδόῃ καὶ δεκάτῃ, ἰνδικτιῶνος ἕκτης τελευτᾷ Στέφανος Πα-
τριάρχης· Δεκεμβρίῳ δὲ μηνὶ ἄγουσι Τρύφωνα μοναχὸν
ἐπ' εὐλαβείᾳ καὶ ἁγιότητι μαρτυρούμενον, καὶ χειροτονοῦσι
Πατριάρχην, μέχρις ἂν εἰς μέτρον ἡλικίας φθάσῃ ὁ
Θεοφύλακτος Ῥωμανοῦ τοῦ βασιλέως υἱὸς, ὃν ἔμελλον Πα-
τριάρχην χειροτονεῖν Κωνσταντινουπόλεως. εἰκάδι δὲ
πέμπτῃ τοῦ αὐτοῦ μηνὸς χειμὼν μέγας γέγονεν, ὥστε κρυ-
σταλλωθῆναι τὴν γῆν ἐπὶ ἡμέρας ἑκατὸν εἴκοσι, ὅθεν καὶ γέ-
γονε μέγας λιμὸς καὶ θάνατος πολύς, ὥστε μὴ δύνασθαι
τοὺς ζῶντας ἐκκομίζειν τοὺς τεθνεῶτας. ὁ δὲ βασιλεὺς Ῥω-
μανὸς τὴν ἀφόρητον ἐκείνην βίαν κατανοήσας, ἀξίαν τῆς
αὐτοῦ συμπαθοῦς ἐλεημοσύνης πρόνοιαν ἐποιήσατο, πολ-
λαῖς ἐλεημοσύναις τὴν ἐκ τοῦ λιμοῦ παραμυθησάμενος ἔνδειαν
ἀνέφραξέ τε θυρίσι καὶ σανιδώμασι τὰς τῶν ἐμβόλων στοὰς ὡς
μὴ τὴν χιόνα καὶ τὸ ψῦχος ἐκεῖθεν ἐπεισιέναι τοῖς πένησι.
τότε δὲ καὶ τὰς λεγομένας ἄρκλας ἐν πᾶσι κατεσκεύασε τοῖς
ἐμβόλοις, ἀργύρεόν τε κατὰ μῆνα τοῖς ἐνταῦθα κατα-
κειμένοις πένησι δίδοσθαι διετάξατο, καὶ τὰ μηνιαῖα τρι-
μίσια ἐν ταῖς ἐκκλησίαις τοῖς πένησι διανέμεσθαι· ὡς
εἶναι τὰ διδόμενα τοῖς τε ἐν ταῖς ἄρκλαις πτωχοῖς καὶ τοῖς
ἐν ταῖς ἐκκλησίαις, ἀργύρου ἐγκεχαραγμένου χιλιάδας
δώδεκα. καὶ ταῦτα ἡ συμπαθὴς ἐκείνου ψυχὴ διετύπωσε
τῶν πενήτων φροντισαμένη. ἀλλὰ καθ' ἡμέραν τρεῖς αὐτῷ συ-
νεσθίειν πένητας διετάξατο, οἳ ἀνὰ ἓν ἐλάμβανον νόμισμα.
τετράδι δὲ, καὶ παρασκευῇ τρεῖς πένητες μοναχοὶ τούτῳ
συνήσθιον τὸ τετυπωμένον λαμβάνοντες νόμισμα. ὅπερ
δὲ ἐν τοῖς μοναστηρίοις εἴωθε γίνεσθαι, ὥστε ἐν τῷ καιρῷ
ἀναγινώσκειν τῆς ἑστιάσεως, τοῦτο καὶ αὐτὸς ἐποίει, δι-
πλῆν ἑαυτῷ καὶ τοῖς δειπνοῦσι τὴν τράπεζαν παρατιθείς,

minima porro contentione a Bulgaris exercita, ut prius Christophorus, deinde Constantinus acclamationum precibus exciperetur, votis eorum Imperatore obsequuto, quod petebant præstitum est. Nuptiarum autem celebritate peracta, Mariaque in Bulgariam iter capescere jam jam parata, Hebdomum usque parentes eam comitati prosequuti sunt, ibi in eam circumfusi, & largo lachrymarum impluvio madidi, ut dilectorum præcordiorum usu orbis contingere solet, tristabantur: tandemque generum, filia ejus potestati tradita, deosculati, in Regiam reversi sunt. Sic Maria Bulgarorum manibus tradita in Bulgariam profecta est. Eo tempore legati pacis fœdera composituri e Melitine ad Imperatorem Romanum accesserunt. Non diu post Apocaps Amer nepos Melitines Ameras, & Apolasath Dux nobilissimus & ditissimus Melitinæ advenit. Isti congruis honoribus a Romano excepti, pacis conditionibus firmatis, in patriam reversi sunt. Apocaps autem viro prudente & sagaci vivis erepto, pacem continuo dissolverunt. In eos autem irrumpunt Scholarum Domesticus Joannes Curcuas, una cum legionibus, & Melias cum adjunctis sibi Armenis: & ad eas angustias Melitinem adigunt, ut eam e vestigio vastent, & funditus ad solum evertant. Melitinem igitur in curatoriam instituit Imperator, plurimis auri & argenti millibus annuatim colligendis eidem impositis. Nicetas autem Magister & Christophori Imperatoris socer quasi in patrem insurgendi consilium dedisset, & eum Imperio dejicere consuluisset, accusatus est. Eum propterea Urbe pulsum detonderunt monachum. Mensis autem Julii die decimo octavo, indictione sexta, Stephanus Patriarcha moritur: cum Decembri mense Tryphonem Monachum pietatis, & sanctitatis testimonio insignem ordinant Patriarcham, donec ætatis metam Imperatoris Romani filius Theophylactus, quem Constantinopolis Patriarcham creare statuerant, attigisset. Vicesimo porro & quinto die mensis ejusdem adeo aspera invaluit hyems, ut terra per dies centum & viginti gelu concresceret: Ex quo fames ingens, & mortalitas immensa pervagata est: adeo ut vivi mortuis efferendis non sufficerent. Romanus autem Imperator intolerandam illam calamitatem contemplatus, affectus ad misericordiam proclivis digna exhibuit argumenta, eleemosynarum liberalitate plurima famis indigentiam consolatus: Exinde porticuum spatia tabulatis distinxit, & fenestras apposuit, ita ut nix & frigus in pauperes per ea non ingruerent. Eo tempore cunctis in porticibus Arclas, ita dictas, disposuit, & egenis ibidem jacentibus argenteos nummos per menses singulos præcepit distribui, & menstrua trimitia per Ecclesias in alios pauperes dividi: adeo ut quæ per Arclas, & Ecclesias erogarentur argenti cusi numismata, ad millia duodecim numerarentur. Hæc in misericordiam, & pietatem propensus ejus animus liberalis pauperum provisor donari sanxit. Egenos insuper tres diebus singulis secum comedere voluit: singulisque nummum unum distribuebat. Feria vero quarta & Parasceve, Monachi tres egentes illi convivabantur, qui definitum accipiebant numisma. Quod in monasteriis observari solet, ut cibi tempore habeatur lectio, hoc ipse exequebatur, sibi convivisque geminam apponens mensam: dum-

Edit. Parif. pag. 504.

pag. 505.

que usitato corpus enutriretur cibo, copioso lachrymarum fonte effuso animam quoque cum contritione pascebat. Nullum umquam Monachum virtutis studiosum observavit, cui cum multo fletu suos non aperuerit actus: cunctas urbis Ecclesias sumptuosis vestibus, præclaraque cereorum & lampadum copia exornavit. Sed & Monachis in montibus Olympo Cymena & Barachæo vitam agentibus annua stipendia quæ decreverat mittere non interposuit ***. Atque ita immensorum ejus beneficiorum, & liberalitatis historiam pertexuimus. Petro vero Bulgaro parabat insidias Joannes ejus frater cum Bulgaris aliis: quorum facinore cognito, Joannes quidem verberibus castigatur, & carcere includitur: in alios vero inusitatis suppliciis animadvertitur. Petro autem Imperatori Romano hæc eadem litteris manifestante, misit Imperator Joannem Monachum, qui Rector extiterat, prætextu quidem ut captivorum detentorum commutationem faceret, sed revera, ut Joannem apprehenderet, & adduceret CP. quod & factum est. Una quippe cum Joanne navim ingressus e Mesembria Constantinopolim navigavit. Non diu post eodem monasticum habitum deponente, & uxorem ducere exquirente, Imperator domum & prædia plurima, & conjugem eadem secum Armeniacorum patria ortam dedit, & in Cæsaris ædibus celeberrimas peregit nuptias. Martii porro mensis die secundo Cosmites fori columnis superpositus in terram decidit, virosque sex oppressit. Contigit etiam incendium ingens & horrendum in fori porticu templo sanctissimæ Deiparæ vicino, adeo ut cereorum artificum & Pellitiariorum fori ad Psechas usque consumerentur officinæ. Christophorus Imperator mense Augusto indictione quarta diem supremum obiit, & in præfato patris sui monasterio corpus ejus reconditum est. Tryphonem porro Patriarcham Augusto mense Indictione tertia deposuerunt, eoque in proprium Monasterium se recipiente & defuncto, annum unum & menses quinque nondum matura Theophylacti Imperatoris filii Romani ætate, Ecclesia pastore viduata permansit. Basilius autem quidam Macedo pravus impostor Constantinum Ducem seipsum mentitus, plurimos post se abducebat. Hic ab Elephantino Opsicii turmarum Præfecto Constantinopolim abducitur, & manuum altera a Petro Præfecto truncatur. Occasione deinde captata in Opsicium rursum digreditur, & truncatæ vice manum æream sibi adaptans, ingentemque spatham sibi accommodans vagabatur plurimos seducens, quasi ipse Constantinus Ducis filius foret: hic multis sibi adlectis, stupendam in Romanum rebellionem movet. Imperator exercitu in eum immisso, ipsum comitesque insequebatur, quem deinde captum & in Urbem abductum, per tribunalia examinatum multis verberibus subjecerunt. Ille sibi consulens insignes dignitate viros quasi secum sentientes, mendaciis confictis & a veritate alienis calumniabatur. Convictus tandem, ad Amastriani plateam ignis pabulum factus est. Præfatus autem Imperatoris filius Theophylactus Februarii die secundo indictione secunda Patriarcha consecratus est, adstantibus Romani Pontificis legatis, & tomum Synodalem de ejus ordinatione tractantem proferentibus, eumdemque collocantibus in throno Patriarchali. Cæterum

Edit. Paris. pag. 506.

ὥστε τὸ μὲν σῶμα τρέφεσθαι τῇ συνήθει τροφῇ, τὴν δὲ ψυχὴν κατενύσσετο, καὶ πολλὰς δακρύων ἀφίει πηγάς. οὐκ ἐθεάσατο ποτὲ μοναχὸν ἀρετῆς ἀντεχόμενον, ᾧ τινι τὰς ἑαυτοῦ πράξεις σὺν πολλοῖς οὐκ ἐξηγόρευσε δάκρυσι. πάσας τὰς τῆς πόλεως ἐκκλησίας πέπλοις ἐξαφνέσι καὶ φωταγωγίαις λαμπρῶς κατεκόσμει. ἀλλὰ καὶ τοῖς ὄρεσι μοναχοῖς τῷ τε Ὀλύμπῳ καὶ τῷ Κυμινᾶ καὶ τῷ τοῦ Βαραχαίου ὄρει οὐ διέλιπεν ἐτησίους ῥογὰς, ἃς διετύπωσε. τῶν ἀπείρων αὐτοῦ κατορθωμάτων, καὶ ἐλεημοσυνῶν διεξήλθομεν. Πέτρῳ δὲ τῷ Βουλγάρῳ ἐπέθετο Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ μετὰ καὶ ἑτέρων Βουλγάρων * τοῦ Συμεών. καὶ φωραθέντων αὐτῶν, ὁ μὲν Ἰωάννης τύπτεται καὶ ἐγκλείεται φυλακῇ· οἱ δὲ λοιποὶ τιμωρίαις οὐ ταῖς τυχούσαις ὑποβάλλονται. ταῦτα δὲ δῆλα ποιήσαντος Πέτρου τῷ βασιλεῖ Ῥωμανῷ, ἀπέστειλεν ὁ βασιλεὺς τὸν μοναχὸν Ἰωάννην, ὃς ἐγεγόνει Ῥαίκτωρ, προφάσει μὲν ὡς ποιῆσαι ἀλλάγιον τῶν κρατουμένων αἰχμαλώτων, τῇ δὲ ἀληθείᾳ Ἰωάννην κατασχεῖν, καὶ ἐν Κωνσταντινουπόλει ἀγαγεῖν· ὃ δὴ καὶ γέγονεν. εἰσελθὼν γὰρ ἅμα καὶ Ἰωάννῃ ἐν τῷ πλοίῳ ἀπὸ Μεσημβρίας ἦλθεν ἐν τῇ πόλει. * μεθ' οὐ πολὺ τούτου τὸ μοναχικὸν σχῆμα ἀπορρίψαντος, καὶ γυναῖκα ἐπιζητήσαντος, δέδωκεν αὐτῷ ὁ βασιλεὺς οἶκον καὶ κτήματα πάμπολλα, καὶ γυναῖκα ἐκ τῆς αὐτοῦ πατρίδος ἐκ τῆς τῶν Ἀρμενιακῶν, γάμον τε λαμπρὸν ἐν τῇ τοῦ Καίσαρος οἰκίᾳ πεποίηκε. Μαρτίου δὲ μηνὸς δευτέρᾳ ἡμέρᾳ κοσμίτας εἷς * ἐπίμψε τῷ φόρῳ ἐν τοῖς ἐκεῖσε κίοσι, καὶ ἀπέκτεινεν ἄνδρας ἕξ. γέγονε δὲ ἐμπρησμὸς μέγας καὶ φοβερὸς εἰς τὸν τοῦ φόρου ἔμβολον πλησίον τοῦ ναοῦ ὑπεραγίας Θεοτόκου, ὥστε κατακαῆναι πάντα κηροπολεῖα, καὶ τὰ γουνάρεια τοῦ φόρου μέχρι τῶν ψαχῶν. ἐτελεύτησε δὲ Χριστοφόρος βασιλεὺς μηνὶ Αὐγούστῳ ἰνδικτιῶνος τετάρτης, καὶ ἐτέθη τὸ σῶμα αὐτοῦ ἐν τῇ ῥηθείσῃ μονῇ τοῦ πατρός. κατήγαγον δὲ Τρύφωνα Πατριάρχην Αὐγούστῳ μηνὶ ἰνδικτιῶνος τρίτης, καὶ ἀπελθόντος ἐν τῇ ἰδίᾳ μονῇ τελευτᾷ, χηρευσάσης τῆς ἐκκλησίας χρόνον ἕνα μῆνας πέντε, διὰ τὸ τῆς ἡλικίας ἀτελὲς Θεοφυλάκτου υἱοῦ Ῥωμανοῦ βασιλέως. Βασίλειος δέ τις Μακεδὼν πλάνος Κωνσταντῖνον Δούκα ἑαυτὸν ἐπιφημίσας πολλοὺς μεθ' ἑαυτοῦ συνεπήγετο· οὗτος συλληφθεὶς ὑπὸ Ἐλεφαντίνου Τουρμάρχου ἐκ τοῦ Ὀψικίου ὄντος, ἤχθη ἐν Κωνσταντινουπόλει, καὶ ὑπὸ Πέτρου Ὑπάρχου τῆς μιᾶς ἀποτέμνεται χειρός. εἶτα καιροῦ λαβόμενος, καταλαμβάνει πάλιν τὸ Ὀψίκιον, καὶ χεῖρα χαλκῆν ἀντὶ τῆς κοπείσης προσαρμοσάμενος, καὶ σπάθην ὑπερμεγέθη κατασκευάσας, διήρχετο πλανῶν πολλοὺς ὡς αὐτὸς εἴη Κωνσταντῖνος ὁ τοῦ Δουκός. ὡς καὶ συναθροισάμενος μεγάλην κατὰ Ῥωμανοῦ ἀνταρσίαν κινεῖ. ἀποστείλας οὖν ὁ βασιλεὺς στρατὸν κατ' αὐτοῦ, αὐτόν τε * συνέλαβε καὶ τοὺς σὺν αὐτῷ, ὃν καὶ ἀγαγόντες ἐν τῇ πόλει ἀνέκρινόν τε, καὶ πολλὰς αὐτῷ πληγὰς ἐπετίθεσαν. ὁ δὲ πολλοὺς τῶν ἐν τέλει ἐσυκοφάντει ψευδῶς ὡς συνόντας αὐτῷ, μηδὲν δὲ ἀληθὲς κατ' αὐτῶν λέγειν ἐξελεγχθεὶς, * ἐν τοῖς Ἀμαστριανοῦ πυρὸς κατανάλωμα γίνεται. χειροτονεῖται δὲ Πατριάρχης ὁ προρρηθεὶς τοῦ βασιλέως υἱὸς Θεοφύλακτος, Φεβρουαρίῳ β'. ἰνδικτ. ϛ'. Τοποτηρητῶν ἐκ Ῥώμης ἀνελθόντων, καὶ τόμον συνοδικὸν ἐπιφερόμενον περὶ τῆς αὐτοῦ χειροτονίας διαγορεύοντα· οἳ καὶ τῷ Πατριάρχου θρόνῳ τοῦτον ἐνίδρυσαν. Ῥω-

μανὸς

* Redundat.

* μετ' οὐ

* ἔπεσεν

* συνέλαβεν

* δ'.

μανὸς δὲ ὁ βασιλεὺς τῷ υἱῷ Στεφάνῳ γυναῖκα ἠγάγετο θυγατέρα οὖσαν τοῦ Γαβαλᾶ, ἐγγόνην δὲ * Κατακυλᾶ Ἄνναν ὄνομα. ἅμα δὲ τῷ νυμφικῷ στεφάνῳ καὶ ὁ τῆς βασιλείας στέφανος ἐπετέθειτο. ἐγένετο δὲ ἐκστρατεία πρώτη τῶν Τούρκων κατὰ Ῥωμαίων ἰνδικτιῶνι ἑβδόμῃ Ἀπριλλίῳ μηνί, οἱ καὶ καταδραμόντες μέχρι τῆς πόλεως ἐληΐσαντο πᾶσαν Θρᾳκῴαν ψυχήν. ἀπεστάλη οὖν ὁ Πατρίκιος Θεοφάνης ὁ Πρωτοβεστιάριος, καὶ ὁ Παραδυναστεύων κατ' αὐτῶν, πολλὰ παρ' αὐτῶν ἐπὶ τῇ φρονήσει καὶ εὐβουλίᾳ ἐπαινεθείς, ὅτε καὶ τὸ μεγαλόψυχον καὶ φιλάνθρωπον αὐτοῦ ὁ βασιλεὺς Ῥωμανὸς ἐπεδείξατο, μηδενὸς φεισάμενος χρήματος πρὸς τὴν αἰχμαλώτων ἀνάρρυσιν. ἠγάγετο δὲ ὁ βασιλεὺς τῷ τελευταίῳ υἱῷ Κωνσταντίνῳ ἐκ γένους τῶν Ἀρμενιακῶν γυναῖκα τοὔνομα Ἑλένην τοῦ Πατρικίου Ἀδριανοῦ θυγατέρα, ἧς καὶ τελευτησάσης, ἑτέρᾳ τοῦτον συνέζευξε γυναικὶ ὀνόματι Θεοφανοῖ. Ἰουνίῳ δὲ μηνὶ ἑνδεκάτῃ δεκατετάρτης ἰνδικτιῶνος, κατέπλευσαν οἱ Ῥῶς κατὰ Κωνσταντινουπόλεως χιλιάδες δέκα. ἀπεστάλη δὲ μετὰ τελαρῶν καὶ δρομώνων ὁ Πρωτοβεστιάριος Θεοφάνης, καὶ τόν τε στόλον προεξήρτισε, καὶ κατοχυρώσας ὡς μάλιστα τοὺς Ῥῶς ἐξεδέχετο. ἐπεὶ ἐκεῖνοι κατέλαβον, καὶ πλησίον τοῦ Φάρου ἐγένοντο, οὗτος πρῶτος τῷ Εὐξείνῳ πόντῳ στόματι παρεδρεύων ἐν τῷ Ἱερῷ λεγομένῳ, καὶ δὴ πρῶτος ἐν τῷ οἰκείῳ δρόμωνι διεκπλεύσας, τήν τε σύνταξιν τῶν Ῥωσικῶν πλοίων διέλυσε, καὶ * τὸ ἐσκευασμένον πυρὶ κατέφλεξε· τὰ λοιπὰ δὲ ἐτρέψαντο εἰς φυγήν· ᾧ ἀκολούθως οἱ λοιποὶ δρόμωνες ἐπεκδραμόντες πλείαν εἰργάσαντο τὴν τροπήν, καὶ πολλὰ μὲν πλοῖα κατέδυσαν αὔτανδρα, πολλοὺς δὲ κατέσφαξαν, πλείους δὲ ζῶντας συνέλαβον. κατῆλθε δὲ τηνικαῦτα Ἰωάννης ὁ Δομέστικος ὁ Κουρκούας μετὰ παντὸς τοῦ τῆς ἀνατολῆς στρατεύματος, καὶ πολλοὺς τούτων διέφθειραν ἀποσπάδας τῇδε κἀκεῖσε καταλαμβάνων. πολλὰ γὰρ κακὰ οὗτοι διεπράξαντο· τό τε γὰρ Στενὸν λεγόμενον ἐνέπρησαν, καὶ οὓς συνελάμβανον αἰχμαλώτους τοὺς μὲν ἀνεσταύρουν, τοὺς δὲ τῇ γῇ προσεπατταλεύσαν, τοὺς δὲ ὥσπερ σκοποὺς ἱστάντες βέλεσι κατετόξευον· ὅσους δὲ τοῦ ἱερατικοῦ κλήρου συνελάμβανον, ὄπισθεν τὰς χεῖρας δεσμοῦντες ἥλους σιδηροῦς κατὰ μέσης τῆς κεφαλῆς αὐτῶν κατέπηγνυσαν, πολλούς τε ἁγίους ναοὺς τῷ πυρὶ παρέδωκαν. χειμῶνος δὲ ἤδη ἐνισταμένου, καὶ τροφῶν ἀποροῦντες ἐβουλεύσαντο τὰ οἰκεῖα καταλαβεῖν, καὶ διαλαθεῖν τῷ στόλῳ σπουδάζοντες. Σεπτεμβρίῳ μηνὶ ἰνδικτιῶνος δεκαπέμπτης νυκτὸς ἀντιπλεῦσαι ὡρμηκότες ἐπὶ τὰ Θρᾳκῷα μέρα ὑπὸ τοῦ ῥηθέντος Θεοφάνους ὑπηντήθησαν (οὐδὲ γὰρ ἔλαθον τὴν αὐτοῦ ἐγρηγορωτάτην ψυχήν) εὐθὺς οὖν δευτέρα ναυμαχία ἐγένετο, καὶ πλεῖστα πλοῖα ἐβύθισαν· ὀλίγοι δὲ μετὰ τῶν πλοίων περισωθέντες, καὶ ἐν τῇ τῆς Κοίλης περισωθέντες ἀκτῇ, νυκτὸς ἐπελθούσης διέφυγον. Θεοφάνης δὲ μετὰ νίκης ὑποστρέψας λαμπρᾶς ἐντίμως ὑπεδέχθη, καὶ Παρακοιμώμενος ἐτιμήθη. ἐπεὶ ὁ ῥηθεὶς Ἰωάννης ὁ Μάγιστρος ἄριστος ἐγένετο τὰ πολεμικά, ἐπλάτυνεν ὅρους, πλείστας τε πόλεις ἐπόρθησε τῶν Ἀγαρηνῶν. διὰ τὸ περιφανὲς τῆς τοῦ ἀνδρὸς ἀρετῆς * * * * Δομέστικος δὲ ἀντικαθίσταται ὁ Πατρίκιος Πανθήριος συγγενὴς τοῦ βασιλέως ὢν Ῥωμανοῦ. ἰνδικτιῶνι πρώτῃ Ἀπριλλίῳ μηνὶ ἐπῆλθον πάλιν οἱ Τοῦρκοι μετὰ πλείστης δυνάμεως. ὁ δὲ Πατρίκιος Θεοφάνης ὁ Παρακοιμώμενος ἐξελθὼν σπονδὰς εἰρηνικὰς ἐποίησε μετ' αὐτῶν, χρόνους πέντε τὴν εἰρήνην διαφυλαχθῆναι. δευτέρᾳ ἰνδικτιῶνι ὁ βασιλεὺς Ῥωμανὸς Πασχάλιον

* τοῦ Κατακυλᾶ

* τῷ ἐσκευασμένῳ τῷ

Romanus Imperator Stephano filio locavit uxorem Gabalæ filiam Catacyle neptim Annam nomine, unaque cum nuptiali corolla Imperii diademate redimitus est. Turcorum autem adversus Romanos irruptio prima Indictionis septimæ Aprili mense contigit: qui ad Urbem usque excurrentes, loca cuncta per Thraciam depopulati sunt. Adversus eos igitur Patricius Theophanes Protovestiarius & Imperii Administrator missus est, laudem ab eis plurimam prudentiæ & consiliorum gratiam reportans. Tunc temporis munificentiam & humanitatem plurimam Romanus Imperator declaravit, nullis parcens pecuniarum expensis, cum captivi instarent liberandi. Locavit etiam Imperator Constantino filio postremo uxorem de Armeniacorum genere, Helenam nomine, Adriani Patricii filiam. Eaque defuncta alteri nomine Theophano eumdem copulavit. Junii porro mensis die undecimo indictione decima quarta Russi ad millia decem adversus Constantinopolim classem paraverunt. Cum triremibus autem & celocibus Protovestiarius Theophanes missus classem disposuit & apte munivit, adeo ut Russos prælio paratus esset excipere. Ut appulerunt illi, & Pharo vicini apparuerunt, primus ille ad Euxini Ponti fauces stationem posuit, loco cui Hierum nomen, omniumque primus celoce navigio vectus Russicarum navium dissolvit ordinem, & præparato igne nautico succendit, reliquas vero in fugam vertit; quem pone sequentes reliquæ naves in adversarios irruentes perfectam hostium ediderunt stragem, navibus una cum militibus plurimis submersis, aliis multa parte cæsis, vivis etiam quampluribus comprehensis. Illuc pariter Joannes Domesticus Curcuas cum toto Orientis exercitu appulit, & huc illucque palantes deprehendens, cunctos ceu malorum plurimorum auctores internecione delevit. Stenum enim ita dictum igne vastaverunt, & quos cepere captivos, partim crucibus, partim palis affixerunt: alios etiam in metam constitutos sagittis confoderunt. Quotquot autem Sacerdotalis ordinis deprehendere, manibus retro vinctis ferreos clavos per medium caput immiserunt, sanctasque ædes plurimas igne consumendas tradiderunt. Ingruente porro hyeme, & annona deficiente domos repetere consiliabantur: Regiæ tamen classi discessum occultare studebant. Septembri autem mense indictionis decimæ quintæ in Thraciæ partes transfretari aggressi, præfatum Theophanem habuerunt obviam: vigilantissimum enim ejus animum latere non poterant. Confestim igitur conflictus in mari secundus habitus, quo navigia plurima submersa sunt: pauci vero cum navibus ad Cœles littora servati incolumes, nocte ingruente fugerunt. Theophanes autem victoria clarus revertens cum honore susceptus, & Accubitoris dignitate decoratus est. Ut vero præfatus Joannes Magister bellicis rebus præstans habebatur, Imperii dilatabat fines, Urbesque Agarenorum plurimas devastabat. Propter tanti viri gloriam * * *. Substitutus est Domesticus Patricius Pantherius Romani Imperatoris affinis. Indictionis primæ Aprili mense rursum irruperunt Turci cum magnis viribus: Patricius autem Theophanes Accubitor egressus pacis fœdera in annos quinque servanda cum eis composuit. Indictione secunda Paschalium Protospatha-

Edit. Paris. pag. 507.

